CANON XIII.

« Quod non licet episcopum nisi a multis eligi: « sin autem necesse sit, etiam vel a tribus eli- « gatur episcopus. Aurelius episcopus dixit: « Quid ad hæc dicit vestra sanctitas? Ab omni- « bus episcopis dictum est: Veterum statuta « debent a nobis servari: quæ quidem temere « et inconsulte, qui in quavis provincia prima- « tum obtinent, non audent negligere. Multi « ergo congregati episcopi episcopum eligent. « Sin autem necessitas incumbat, tres episcopi, « in quocunque loco fuerint, primatis jussu « eligent episcopum. Et si quis in aliquo contra « propriam confessionem vel subscriptionem fe- « cerit, ipse seipsum honore privabit.

ΒΑΛΣ. Χειροτονίαν ἐνταῦθα μὴ τὴν χειροθεσίαν

BALS. Χειροτονίαν hoc in loco, non pro χειρο-

Digitized by Google

θεσίᾳ, id est, manuum impositione et ordinatione, seu consecratione intellexeris, sed pro electione. Nam et hoc ex fine canonis ostenditur, quo cavetur, ut deponatur episcopus, qui contra propriam subscriptionem et confessionem fecerit, quæ subscriptio non fit ad ordinationem sive consecrationem, sed ad electionem : et quia, cum primus canon apostolicus statuat episcopum a duobus esse episcopis ordinandum, si χειροτονίαν pro ordinatione hoc in loco acceperimus, dicto canoni contraria dicere admittemus. Cum autem canon 4 primæ Nicænæ synodi jubeat electiones ab omnibus provincialibus constitui, sin autem hoc sit difficile tres simul congregari, reliquis quoque per litteras suffragium ferentibus, metropolitani quidam, ut est verisimile (eos enim præsens canon primates provinciæ vocat), non observabant canones. Unde et a Patribus definitum est, ut a multis episcopis fierent electiones : sin autem hoc non sit factu facile, necessario a tribus, qui debent cum scientia et permissione primi seu metropolitani in quocunque loco convenire. Si quis autem eorum qui in electione suffragia dederunt contra propriam subscriptionem fecerit, deponetur. Ac in his quidem consistit canon. Cum autem quidam metropolitanus fuisset aliquando accusatus, quod non cum suis provincialibus episcopum elegisset, sed cum metropolitanis, qui in regina urbium versabantur; quidam præsentem canonem pro eo adducebant : et dicebant quod, etiamsi ex canone 4 primæ synodi Nicænæ necesse est a provincialibus ad minimum tribus electionem fieri, a præsenti tamen canone, qui est multo posterior, metropolitano concessum est tres episcopos, quos voluerit accersere, et per eos electionem facere in quocunque loco voluerit, et volebant metropolitanum nulli reprehensioni obnoxium ab hoc canone conservari. Audierunt autem quod, quoniam præsens canon nihil novi decernit, sed quæ a Patribus antea definita sunt, deinceps quoque servanda statuit, debent omnino, quæ de convocatis episcopis dicuntur, secundum illum canonem intelligi, et electiones necessario a provincialibus fieri. Illud autem in quovis loco procedere, non affert præjudicium electioni, solum fiat cum tribus ad minimum episcopis, juxta hunc canonem et, quæ ei consequenter obtinet, consuetudinem. Cum autem canon decernat electiones fieri a tribus episcopis, si sit multos convenire difficile, interrogaverit quispiam : Si multi possint facile convenire, electio infirmabitur, an non? *Solutio.* Quæ de episcopi a duodecim facta depositione supra **528** scripta sunt, quando plures poterant facile convenire, ad præsentis quæstionis solutionem sufficiunt. Illud autem, in quovis loco, scriptum est, propter eos qui dicunt debere fieri ecclesiarum electiones a metropolitano in sua metropoli, quod quidem non receptum est. Locus enim non constituit episcopum, sed suffragium et antistitum electio. Nota

καὶ καθιέρωσιν νοήσεις, ἀλλὰ τὴν ψῆφον. Ὅτι τε τοῦτο παρίσταται ἀπὸ τοῦ τέλους τοῦ κανόνος διοριζομένου καθαιρεῖσθαι τὸν τῇ ἰδίᾳ ὑπογραφῇ καὶ ὁμολογίᾳ ἐναντιούμενον ἐπίσκοπον, ἥτις ὑπογραφὴ οὐ γίνεται εἰς χειροτονίαν ἤτοι καθιέρωσιν, ἀλλὰ εἰς ψῆφον· καὶ ὅτι τοῦ ἀποστολικοῦ πρώτου κανόνος διοριζομένου χειροτονεῖσθαι ἐπίσκοπον ὑπὸ ἐπισκόπων δύο, εἴπερ ἐκλαβώμεθα τὴν χειροτονίαν εἰς χειροθεσίαν, δόξοιμεν λέγειν ἐναντία τῷ ῥηθέντι κανόνι. Τοῦ δὲ δ' κανόνος τῆς ἐν Νικαίᾳ πρώτης συνόδου παρακελευομένου ὑπὸ πάντων τῶν ἐπαρχιωτῶν καθίστασθαι τὰς ψήφους· εἰ δὲ δυσχερὲς τοῦτό ἐστι, τρεῖς ἐπὶ τὸ αὐτὸ συνάγεσθαι, συμψήφων γινομένων διὰ γραμμάτων καὶ τῶν λοιπῶν, ὡς ἔοικε, τινὲς μητροπολῖται (τούτους γὰρ ὁ παρὼν κανὼν πρωτεύοντας ἐπαρχίας καλεῖ) οὐκ ἐφύλαττον τὰ τοῦ κανόνος. Ὅθεν καὶ ὡρίσθη παρὰ τῶν Πατέρων, ὑπὸ πολλῶν ἐπισκόπων γίνεσθαι τὰς ψήφους· εἰ δὲ οὐκ ἔστι τοῦτο εὐχερὲς, ἐξ ἀνάγκης ὑπὸ τριῶν, ὀφειλόντων μετὰ εἰδήσεως καὶ ἐπιτροπῆς τοῦ πρώτου, ἤγουν τοῦ μητροπολίτου, συνέρχεσθαι ἐν οἱῳδήτινι τόπῳ. Ἐὰν δέ τις τῶν ψηφισαμένων ἐναντιωθῇ τῇ ἰδίᾳ ὑπογραφῇ, καθαιρεθήσεται. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Τινὸς δὲ μητροπολίτου αἰτιαθέντος ποτὲ, ὡς μὴ μετὰ ἐπαρχιωτῶν αὐτοῦ ψηφισαμένου ἐπίσκοπον, ἀλλὰ μετὰ μητροπολιτῶν διαγόντων εἰς τὴν τῶν πόλεων βασιλεύουσαν, ἐχρήσαντό τινες, ὑπὲρ αὐτοῦ λέγοντες τῷ παρόντι κανόνι· καὶ εἶπον ὡς, εἰ καὶ ἀπὸ τοῦ δ' κανόνος τῆς ἐν Νικαίᾳ πρώτης συνόδου ἀνάγκη ἐστὶν ὑπὸ ἐπαρχιωτῶν τὸ ἐλάχιστον τριῶν τὰς ψήφους γίνεσθαι, ἀλλὰ ἀπὸ τοῦ παρόντος κανόνος μεταγενεστέρου ὄντος ἐνεδόθη τῷ μητροπολίτῃ μετακαλεῖσθαι τρεῖς ἐπισκόπους τοὺς αὐτῷ βουλητέους, καὶ ποιεῖν τὴν ψῆφον δι' αὐτῶν ἐν οἱῳ ἂν τόπῳ θελήσῃ· καὶ ἤθελον ἀπὸ τούτου τοῦ κανόνος ἀκαταιτίατον τὸν μητροπολίτην συντηρηθῆναι. Ἤκουσαν δὲ ὡς, ἐπεὶ ὁ παρὼν κανὼν οὐ νέον τι θεσμοθετεῖ, ἀλλὰ τὰ προδιορισθέντα παρὰ τῶν Πατέρων καὶ ἐφεξῆς διορίζεται φυλάττεσθαι, ὀφείλουσι πάντως τὰ περὶ τῶν συγκαλουμένων ἐπισκόπων νοεῖσθαι κατ' ἐκεῖνον τὸν κανόνα, καὶ ἐξ ἀνάγκης μετὰ ἐπαρχιωτῶν τὰς ψήφους γίνεσθαι. Τὸ δὲ ἐν οἱῳδήποτε τόπῳ προσῆναι, οὐ προκριματίζει τὴν ψῆφον, μόνον γινέσθω μετὰ ἐπισκόπων τὸ ἐλάχιστον τριῶν κατὰ τὸν παρόντα κανόνα, καὶ τὴν ἀκολούθως τούτου κρατοῦσαν συνήθειαν. Τοῦ δὲ κανόνος διοριζομένου ὑπὸ τριῶν ἐπισκόπων τὰς ψήφους γίνεσθαι, εἴπερ ἐστὶ δυσχερὲς πολλοὺς συνελθεῖν, ἐρωτήσει τις, ἐὰν εὐχέρειά ἐστι πολλοὺς συνελθεῖν, ἀκυρωθήσεται ἡ ψῆφος, ἢ οὔ; *Λύσις* Τὰ ἄνωθεν γραφέντα περὶ καθαιρέσεως ἐπισκόπου γενομένης παρὰ δώδεκα ἐπισκόπων, ὅταν ὑπῆρχεν εὐχερὲς καὶ πλείους συνελθεῖν, ἀρκοῦσιν εἰς ἀπολογίαν τοῦ παρόντος ζητήματος, τὸ δὲ, ἐν οἱῳδήποτε τόπῳ, γέγραπται διὰ τοὺς λέγοντας, ὀφείλειν τὰς ψήφους τῶν ἐκκλησιῶν γίνεσθαι παρὰ τοῦ μητροπολίτου εἰς τὴν κατ' αὐτὸν μητρόπολιν, ὅπερ οὐκ ἐδέχθη. Οὐδὲ γὰρ ὁ τόπος καθιστᾷ τὸν ἐπίσκοπον, ἀλλὰ ἡ ψῆφος καὶ ἡ ἐπιλογὴ τῶν

Digitized by Google

ἀρχιερέων. Σημείωσαι δὲ καὶ ἀπὸ τοῦ παρόντος κανόνος ὅτι ὁ πρωτεύων, ἤγουν ὁ μητροπολίτης, οὐκ ὀφείλει παρουσιάζειν εἰς τὰς ψήφους, ἀλλὰ μόνοι οἱ ἐπίσκοποι. Τί δὲ, ἐάν τις τῶν ψηφισαμένων ἐναντιωθῇ τῇ οἰκείᾳ ὑπογραφῇ, ἀπεντεῦθεν καθαιρεθήσεται, ἢ μετὰ δοκιμασίαν καὶ ἀποτυχίαν ὧν προστίθησιν; Λύσις. Εἰ μὲν ἐκληφθῶσι τὰ ῥήματα τοῦ κανόνος εἰς τὸ ἐπιγινώσκειν μὲν τὸν ψηφισάμενον τὴν οἰκείαν ὑπογραφὴν, λέγειν δὲ μετὰ ταῦτα μαθεῖν τί κωλύον τὸν ψηφισθέντα εἰς ἐπισκοπικὸν προελθεῖν ἀξίωμα, ἄλλως οὐ καθαιρεθήσεται, εἰ μὴ περὶ τὰς ἀποδείξεις ἀτονήσει. Εἰ δὲ ἐκληφθῇ ἡ ἐναντίωσις τῆς ὑπογραφῆς εἰς ἄρνησιν, ταύτης ἐλεγχομένου τοῦ πράγματος· διὰ συγκρίσεως τῶν γραμμάτων, ἢ ἄλλως πως, ἀπεντεῦθεν καθαιρεθήσεται. Σημείωσαι οὖν τὸν παρόντα κανόνα περὶ ἀρνήσεως ὑπογραφῆς διαλεγόμενον, ὡς ἐμοὶ δοκεῖ. Ἀνάγνωθι καὶ κεφάλαιον οε' τοῦ α' τίτλου τοῦ κβ' βιβλίου τῶν Βασιλικῶν, καὶ κεφ. α' τοῦ γ' τίτλου τοῦ αὐτοῦ βιβλίου, καὶ τὸν ὅλον δ' τίτλον τοῦ αὐτοῦ βιβλίου· καὶ τὸ ξ' κεφ. τοῦ α' τίτλου τοῦ κγ' βιβλίου, καὶ μάθῃς ὅπως ποτὲ μὲν διὰ ἀντισυγγράφων, ποτὲ δὲ διὰ μαρτύρων ὁμνυόντων ἐλέγχεται ὁ ἀρνούμενος τὴν οἰκείαν ὑπογραφήν, καὶ ὅτι μετὰ ἔλεγχον ὁ κατακριθεὶς ἀναγκάζεται ποιῆσαι τῷ ἀντιδίκῳ μὴ μόνον τὸ ἰκανὸν τοῦ περιεχομένου ἐν τῷ ἐγγράφῳ ποσοῦ, ἀλλὰ καὶ ἕτερον τοσοῦτον. Ἡ δὲ οβ' Νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Φιλοσόφου διορίζεται πᾶν ἔγγραφον, ἐν ᾧ ἐπιγέγραπται ὁ τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ τύπος διὰ χειρὸς τοῦ συνθεμένου αὐτὸ, ἔχειν τὸ ἰσχυρὸν καὶ ἀμετάπτωτον, κἂν οὐκ ἔστι κατησφαλισμένον διὰ προστίμου. Καὶ ἀνάγνωθι τὴν τοιαύτην Νεαράν. Καὶ συναγαγὼν εἰπὲ ὅτι τὸ καθαιρεῖσθαι τοὺς ἀρχιερεῖς ἀρνουμένους τὰς ἐν ταῖς ψήφοις ὑπογραφάς τούτων ἰδικόν ἐστι καὶ ὀφείλει κρατεῖν εἰς τοῦτο καὶ μόνον τὸ φάκτον. Ἐὰν γὰρ ἕτερον ἔγγραφον αὐτοῦ ἀρνήσηται ἐπίσκοπος ἢ κληρικὸς, ὡς ἐμοὶ δοκεῖ, οὐ καθαιρεθήσεται, καθά τινες λέγουσιν, κολασθήσεται.

ΖΩΝΑΡ. Ὁ τέταρτος κανὼν τῆς ἐν Νικαίᾳ πρώτης συνόδου ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπων καθίστασθαι ὁρίζει ἐπίσκοπον. Εἰ δέ τις εἴη δυσχέρεια, τρεῖς ἐπὶ τοαυτὸ συνάγεσθαι, συμψήφων διὰ γραμμάτων καὶ τῶν λοιπῶν γινομένων, καὶ οὕτως τὴν χειροτονίαν γίνεσθαι. Ἃ τοίνυν ὁ εἰρημένος κανὼν διατάττεται, ταῦτα, φασὶν οἱ τῆς συνόδου ταύτης, δεῖν φυλαχθῆναι, ὡς ὁρισθέντα παρὰ τῶν πρὸ ἐκείνων. Χειροτονίαν δ' ἐνταῦθα μὴ τὴν χειροθεσίαν καὶ καθιέρωσιν νοητέον, ἀλλὰ τὴν ψῆφον, ἵνα μὴ δοκῇ ἐναντιοῦσθαι τῷ πρώτῳ κανόνι τῶν ἁγίων ἀποστόλων, καὶ ὑπὸ δύο ἐπισκόπων ὁρίζοντι χειροτονεῖσθαι ἐπίσκοπον. Ὅπως δὲ οὐκ ἐναντιοῦται, εἴρηται ἐν τῇ ἐξηγήσει τοῦ δ' κανόνος τῆς ἐν Νικαίᾳ πρώτης συνόδου, ἃ καὶ ἀναγνωστέον. Πρωτεύοντας δ' ἐνταῦθα τῶν ἐπαρχιῶν τοὺς μητροπολίτας φησὶν, ὧν παραγγέλματι, ἤγουν ἐντολῇ, χειροτονεῖν, τουτέστι ψηφίζεσθαι, τοὺς ἐπισκόπους ἐπίσκοπον διατάττεται. Ἐὰν δέ τις, φησὶ, τῶν ψη

ergo etiam ex hoc canone, quod primas sive metropolitanus non debet interesse electioni, sed soli episcopi. Quid vero, si quis eorum qui elegerunt suæ subscriptioni contradixerit, eone ipso deponetur, an post examinationem, cum ea quæ proponit probare non possit? Solutio. Si canonis quidem verba accepta fuerint ad hoc, ut is qui elegit propriam subscriptionem agnoscat, dicat autem postea se accepisse aliquid, quod vetet quominus is, qui electus est, ad dignitatem episcopalem provehatur non alias deponetur, quam si in probationibus defecerit. Sed si subscriptionis contradictio pro ejus negatione accepta fuerit, re per litterarum probationem, vel aliquo alio modo convicta, eo ipso deponetur. Nota ergo præsentem canonem, qui de subscriptionis inficiatione loquitur, ut mihi quidem videtur. Lege et caput 75, primi tituli, lib. XXII Basilic., et cap. 1. tit. 3. ejusdem libri, et totum tit. 4 ejusdem libri, et cap. 60 tituli 1. libri XXIII, et dices quomodo, aliquando quidem per litterarum collationem, aliquando autem per testes jurantes, convincitur is qui negat propriam subscriptionem: et quod post probationem, qui convictus est, cogitur, non solum satisfacere adversario de quantitate quæ in scriptis continetur, sed et alterum tantumdem solvere. Septuagesima secunda autem imperatoris domini Leonis Philosophi novella statuit, ut quodcunque scriptum, in quo venerandæ et vivificæ crucis figura per manum ejus qui ipsum composuit scripta est, firmum et immutabile maneat, etiamsi non sit adjectione pœnæ munitum. Lege quoque eamdem novellam. Et tandem conclude, quod deponi antistites qui negant suas in electionibus subscriptiones, speciale est, et debet in hoc solo facto valere. Si enim aliud suum scriptum negaverit episcopus vel clericus, ut mihi videtur, non deponetur, ut dicunt aliqui, sed ex legibus supra positis punietur.

ZONAR. Episcopum quartus Nicænæ primæ synodi canon omnium provinciæ episcoporum suffragio constituendum esse decernit. At si quonimus id fieri possit, causa aliqua gravior obsiterit, tum vero tres simul convenire, ac cæteris per litteras assentientibus episcopum illorum auctoritate creari placet. Quæ igitur illo canone præscribuntur, ea nimirum a majoribus statuta servari oportere hujus synodi Patres affirmant. Creationis porro nomine, non manuum impositio et consecratio, sed electio hoc loco intelligi debet; ne primo sanctorum apostolorum canoni, qui a duobus episcopis creandum esse episcopum decernit, hic canon contrarius esse existimetur. Nam illi quidem nullo modo adversari, in explicatione canonis 4 Nicænæ primæ synodi demonstravimus; tu eam vide. Primates vero hic provinciarum, metropolitas nominat, eorumque mandato, hoc est, jussu, ab episcopis creandum, hoc est, eligendum esse episcopum decernit. Quod

Digitized by Google

si quis, inquit, suffragio lato postea confessioni suæ aut subscriptioni adversatus fuerit, hoc est, quem prius episcopali gradu dignum suffragio, vel etiam subscriptione, dum de eo decerneretur, declaravit, mox dignum negat, atque a se ipse dissentit; ipse se summi sacerdotii honore privabit, id est, depositione, nisi illius, quem accusat, probato crimine, condemnabitur.

529 ARIST. « Primate jubente, etiam tres episcopi « constituunt episcopum. Et qui suæ confessioni « vel subscriptioni adversatur, suopte judicio « honore privabitur. »

Omnes, si fieri potest, provinciæ episcopi adsint necesse est, quando in vacantibus episcopatibus episcopi sunt eligendi; quemadmodum et quarto synodi Nicænæ canoni visum est, et undevicesimo Antiochenæ. Si hoc autem difficile fuerit, aut propter viæ longitudinem, aut aliam quamcunque necessitatem, tres saltem jussu et sententia metropolitani sui electionem facient, absentibus etiam per litteras consensum suum præbentibus. Si quis autem episcopus confessus fuerit, et affirmaverit quempiam episcopatus gradu dignum esse; deinde autem per passionem aliquam suæ confessioni vel subscriptioni adversatus fuerit, et eum qui ab ipso electus fuit, indignum vocitaverit, cum non ignoravit etiam ante, qualis fuit, suo honore privabitur. Et lex enim eos, qui mendaciter et sibimet contrario testati sunt, per magistratus, qui jurisdictionem habent, pœnis subjicit, ut decimum quartum primi tituli vicesimi primi libri caput jubet.

CANON XIV.

« Ut unus ex Tripoli episcopus in legationem ve- « niat : et ut presbyter illic a quinque audiatur « episcopis. Similiter placuit a Tripoli, propter « regionis inopiam, unum episcopum in lega- « tionem venire, et ut presbyter illic a quinque « episcopis audiatur, et diaconus a tribus, ut « superius dictum est, proprio scilicet episcopo « præsidente. »

BALS. Est etiam in Africa Tripolis; et quoniam in ea erant pauci episcopi, statuit synodus, ut unus quidem illinc mittatur legatus ad anniversarias synodos : a quinque autem episcopis, propter antistitum paucitatem, examinentur causæ sacerdotum criminales, et a tribus diaconorum ultra illos episcopis, sub quibus sunt litigatores, præsidentibus. Quare nota ex hoc quoque canone, quod episcopi, quibus subjecti sunt litigatores, debent esse ultra duodecim, sex et tres conjudices. Et quod si non sit episcoporum inopia, plures his episcopi debent causas eorum, qui sunt sacrati cognoscere.

ZONAR. Tripolim illam quæ in Africa intelligit.

φισμένων καὶ μετὰ τὴν ψῆφον ἐναντιωθῇ τῇ ἰδίᾳ ὁμολογίᾳ ἢ τῇ ὑπογραφῇ, ἤγουν ἐὰν ὡμολόγησεν ἄξιον εἶναι γίνεσθαι ἐπίσκοπον, ἢ ὑπέγραψεν ἐν τῷ περὶ ἐκείνου ψηφίσματι, τοῦτον μετὰ ταῦτα λέγῃ μὴ εἶναι ἄξιον, καὶ ἐναντιῶται αὐτὸς ἑαυτῷ, ἑαυτὸν ἀποστερήσει τῆς ἀρχιερατικῆς τιμῆς, τουτέστι καθαιρεθήσεται, μὴ ἀποδεικνὺς τὸ κατὰ τοῦ διαβαλλομένου αἰτίαμα..

ΑΡΙΣΤ. « Τοῦ πρωτεύοντος ἐπιτάττοντος, καὶ « τρεῖς ἐπίσκοποι καθιστῶσιν ἐπίσκοπον· καὶ ὁ « τῇ οἰκείᾳ ὁμολογίᾳ ἢ ὑπογραφῇ ἐναντιούμενος « οἴκοθεν ἕξει τὸ ἄτιμον. »

Πάντας μὲν χρὴ παρεῖναι, εἰ δυνατὸν, τῆς ἐπαρχίας τοὺς ἐπισκόπους, ὅτε μέλλει γενέσθαι ψῆφος ἐπισκόπου ἐν ταῖς χηρευούσαις ἐπισκοπαῖς· καθὼς καὶ τῷ τετάρτῳ κανόνι τῆς ἐν Νικαίᾳ συνόδου δοκεῖ, καὶ τῷ ἐννεακαιδεκάτῳ τῆς ἐν Ἀντιοχείᾳ· εἰ δὲ δυσχερὲς τοῦτο, ἢ διὰ μῆκος ὁδοῦ, ἢ δι' ἑτέραν τινὰ ἀνάγκην, τρεῖς κἂν τὸ ἐλάχιστον ἐπιταγῇ καὶ γνώμῃ τοῦ μητροπολίτου αὐτῶν τὴν ψῆφον ποιήσουσι, συμψήφων γινομένων καὶ τῶν ἀπόντων διὰ γραμμάτων. Εἴ τις δὲ τῶν ἐπισκόπων ὁμολογήσει καὶ διαβεβαιώσεταί τινα ἄξιον εἶναι τοῦ βαθμοῦ τῆς ἐπισκοπῆς· εἶτα διά τι πάθος ἐναντίως τῇ ὁμολογίᾳ αὐτοῦ ἢ τῇ ὑπογραφῇ χωρήσει, καὶ ἀνάξιον τοῦτον τὸν παρ' αὐτοῦ ἐπιλεγέντα καλοίη, μὴ ἀγνοούμενον παρ' αὐτοῦ καὶ πρώην ὁποῖος ἦν, τῆς οἰκείας τιμῆς ἀποστερηθήσεται. Καὶ γὰρ καὶ ὁ νόμος τοὺς ψευδῶς ἢ ἐναντίως ἑαυτοῖς μαρτυρήσαντας διὰ τῶν προσφόρων ἀρχόντων τιμωρεῖ, καθὼς τὸ τεσσαρακαιδέκατον κεφάλαιον τοῦ πρώτου τίτλου τοῦ εἰκοστοῦ πρώτου βιβλίου διαλαμβάνει.

ΚΑΝΩΝ ΙΑ'.

« Ὥστε ἀπὸ Τριπόλεως ἕνα ἐπίσκοπον εἰς τοποτη- « ρησίαν ἐλθεῖν; καὶ ὥστε τὸν πρεσβύτερο « νἐκεῖσε ὑπὸ πέντε ἀκούεσθαι ἐπισκόπων. « Ὁμοίως ἤρεσεν ἀπὸ Τριπόλεως διὰ τὴν τῆς « χώρας ἔνδειαν ἕνα ἐπίσκοπον εἰς τοποτηρησίαν « ἐλθεῖν, καὶ ἵνα ὁ πρεσβύτερος ἐκεῖσε ὑπὸ « πέντε ἀκούηται ἐπισκόπων, καὶ διάκονος ὑπὸ « τριῶν, ὡς ἀνωτέρω εἴρηται, τοῦ ἰδίου αὐτοῦ « ἐπισκόπου δηλονότι προκαθημένου. »

ΒΑΛΣ. Ἔστι καὶ ἐν τῇ Ἀφρικῇ Τρίπολις· καὶ ἐπεὶ ἦσαν ἐν αὐτῇ ὀλίγοι ἐπίσκοποι, ὥρισεν ἡ σύνοδος, ἕνα μὲν πέμπεσθαι ἐκεῖθεν τοποτηρητὴν εἰς τὰς ἐτησίους συνόδους· ὑπὸ πέντε δὲ ἐπισκόπων, διὰ τὴν ὀλιγότητα τῶν ἀρχιερέων, τηρεῖσθαι τὰς ἐγκληματικὰς τῶν ἱερέων ὑποθέσεις, καὶ ὑπὸ τριῶν τὰς τῶν διακόνων, ὀφειλόντων ἐπέκεινα τούτων προκαθῆσθαι καὶ τῶν ἐπισκόπων, ὑφ' οὓς οἱ δικαζόμενοι τάττονται. Ὥστε σημείωσαι καὶ ἀπὸ τούτου ὅτι οἱ ἐπίσκοποι, οἱ ἔχοντες ὑφ' ἑαυτοὺς τοὺς δικαζομένους, ἐπέκεινα ὀφείλουσιν εἶναι τῆς δωδεκάδος, τῆς ἑξάδος καὶ τῆς τριάδος τῶν συνδικαστῶν. Καὶ ὅτι, ἐνδείας μὴ οὔσης ἐπισκόπων, πλείονες τούτων ἐπίσκοποι ὀφείλουσι τηρεῖν τὰς ὑποθέσεις τῶν ἱερωμένων.

ΖΩΝΑΡ. Τρίπολιν τὴν ἐν Ἀφρικῇ λέγει. Ἦν γὰρ

Digitized by Google

καὶ Τρίπολις, ἔνθα ὀλίγοι ἦσαν ἐπίσκοποι. Διὸ καὶ ἕνα τοποτηρητὴν ὥρισεν ἡ σύνοδος ἐκεῖθεν πέμπεσθαι· διὰ δὲ τὴν αὐτὴν αἰτίαν καὶ πέντε ἐπισκόπους ἀρκεῖν διετυπώσατο εἰς τὸ δικάσαι πρεσβύτερον, προκαθημένου τοῦ ἐπισκόπου, ὑφ' ὃν τέτακται ὁ δικαζόμενος πρεσβύτερος, ὥστε ἐξ πάλιν εἶναι τοὺς διαγνώμονας.

A Erat siquidem in ea quoque regione Tripolis, in qua episcoporum numerus sane exiguus fuit. Proinde et unum ex eo loco legatum synodo destinari placuit, et eamdem ob causam, non amplius quam quinque episcopos, eo, cui subjectus est reus, quæstioni præfecto, cum quo sex videlicet cognitores constituantur, in sacerdotis causa judices necessario adhibendos esse decernit.

ΑΡΙΣΤ. « Διὰ τὴν εἰς Τρίπολιν τῶν ἐπισκόπων « ἔνδειαν καὶ εἷς ἐπίσκοπος εἰς τοποτηρησίαν « ἐπάρκιος. »

ARIST. « Propter inopiam Tripoli episcoporum, « unus etiam episcopus ad legationem suffi- « cit. »

Οἱ μὲν ἄλλοι τῶν ἐπαρχιῶν πρόεδροι δύο ἢ καὶ πλείονας ἐπισκόπους τοποτηρητὰς ἐπιλέγεσθαι ὡρίσθησαν, καὶ ἀποστέλλειν αὐτοὺς ἐν τῇ κατ' ἰνιαυτὸν συνόδῳ ἐν Καρχηδόνι· ἀπὸ δὲ Τριπόλεως καὶ ἕνα ἐπίσκοπον ἐπαρκεῖν εἰς τοποτηρησίαν διὰ B τὴν τῶν ἐπισκόπων ἔνδειαν.

Alii quidem provinciarum præsides duos vel etiam plures episcopos legatos eligere in mandatis acceperunt, eosque ad synodum Carthagine quotannis habitam mittere. A Tripoli autem et unum episcopum ad legationem sufficere propter episcoporum inopiam.

ΚΑΝΩΝ ΙΕ'.

« Περὶ διαφόρων τάξεων τῆς Ἐκκλησίας δουλευ- « τῶν (15)· ὥστε, ἐάν τις εἰς ἐγκληματικὸν « πρᾶγμα περιπέσῃ, καὶ παραιτήσηται τὸ ἐκ- « κλησιαστικὸν δικαστήριον, ὀφείλειν τὸν τοιοῦ- « τον κινδυνεύειν, καὶ ὥστε τὰ τέκνα τῶν ἱερέων « κοσμικοῖς θεωρίοις μὴ προσιέναι. Ὁμοίως « ἤρεσεν, ἵνα ὅστις δήποτε τῶν ἐπισκόπων ἢ « πρεσβυτέρων ἢ διακόνων ἢ κληρικῶν, πράγμα- « τος αὐτῷ ἐγκληματικοῦ ἢ πολιτικοῦ ἐν τῇ « ἐκκλησίᾳ κινουμένου, ἐὰν παραιτούμενος τὸ « ἐκκλησιαστικὸν δικαστήριον δημοσίοις θελήσῃ « καθαρθῆναι δικαστηρίοις, κἂν ὑπὲρ αὐτοῦ ἡ C « ψῆφος ἐκφωνηθῇ, ὅμως τὸν ἴδιον τόπον ἀπο- « λέσῃ. Καὶ τοῦτο μὲν ἐπὶ τοῦ ἐγκληματικοῦ· « ἐπὶ δὲ πολιτικοῦ, ἀπολέσῃ τὸ εἰς ὃ ἐνίκησεν, « ἐὰν τὸν ἴδιον τόπον θελήσῃ κατέχειν. Καὶ τοῦτό « γε μὴν ἤρεσεν, ὥστε, ἐὰν ἀπὸ οἱωνδήποτε « δικαστῶν ἐκκλησιαστικῶν ἐπὶ ἄλλους δικαστὰς « ἐκκλησιαστικοὺς, ἔχοντας μείζονα τὴν αὐθεν- « τίαν, ἔκκλητος γένηται, μηδὲν βλάπτειν τούτους « ὧν ἡ ψῆφος λύεται, ἐὰν ἐλεγχθῆναι μὴ δυνη- « θῶσιν ἢ κατὰ ἔχθραν ἢ κατὰ προσπάθειαν « δεδικακέναι, ἢ τινι χάριτι ὑποφθαρῆναι· ἐὰν « δὲ κατὰ συναίνεσιν τῶν μερῶν ἐπιλεγέντες ὦσι « δικασταὶ, εἰ καὶ ὀλιγώτεροι ἔσονται τῶν « ὁρισθέντων, μὴ ἐξεῖναι ἐκκαλεῖσθαι. Καὶ ὥστε « τὰ τέκνα τῶν ἱερέων θεάρια κοσμικὰ μὴ ἐκτε- D « λεῖν μηδὲ θεωρεῖν. Τοῦτο δὲ καὶ πᾶσι τοῖς « Χριστιανοῖς ἀεὶ κεκήρυκται, ὥστε τούτων « ἀπέχεσθαι, ὥστε ὅπου βλασφημίαι εἰσὶ μὴ προσ- « ιέναι. »

CANON XV.

« De diversis ordinibus Ecclesiæ servientibus, ut si « quis in **530** criminale negotium inciderit, et « abnuerit judicium ecclesiasticum, debeat in « periculum venire, et ut filii sacerdotum ad « mundana spectacula non accedant. Similiter « placuit, ut quicunque episcopus vel presbyter « vel diaconus vel clericus, criminali vel civili « controversia in Ecclesia adversus eum mota, « si recusans forum ecclesiasticum velit publicis « judiciis purgari, etiamsi pro eo sententia lata « sit, tamen proprium locum amittat. Et id qui- « dem in criminali; in civili autem, perdat id « pro quo actionem intendit, si proprium locum « obtinere voluerit. Atque hoc quidem placuit; « ut si a quibuscunque ecclesiasticis judicibus « ad alios judices ecclesiasticos, majorem po- « testatem habentes, fiat appellatio, id nihil eos « lædat duorum sententia solvitur, si convinci « non possint vel odio vel aliqua animi affe- « ctione judicasse, vel gratia aliqua corruptos « esse; sin autem ex consensu partium electi « sint judices, etiamsi sint pauciores, quam sit « definitum, non licere appellare. Et ut sacer- « dotum filii, sæcularia spectacula nec peragant « nec spectent. Hoc autem et omnibus Christia- « nis semper est interdictum, ut ab iis abstineant, « ut ubi sunt blasphemiæ et maledicta non ac- « cedant. »

ΒΑΛΣ. Καὶ ἀπὸ τῶν νόμων καὶ ἀπὸ τῶν κανόνων δέδοται, μὴ ἔχειν ἐπ' ἀδείας ἕκαστον παρ' οἷῳ βούλεται δικαστηρίῳ ἀπακριματίστως ἐνάγειν. Ἀλλὰ τοῖς μὲν λαϊκοῖς ἀπενεμήθησαν τὰ πολιτικὰ δικαστήρια, τοῖς δὲ ἱερωμένοις καὶ τοῖς μοναχοῖς τὰ ἐκκλησιαστικά. Εἴ τις οὖν ἱερωμένος, φησὶν ὁ κα-

BALS. Et a legibus et a canonibus traditum est, non licere unicuique apud quodcunque velit forum citra præjudicium agere. Sed laicis quidem tributa sunt fora civilia: eis autem, qui sunt sacrati, et monachis ecclesiastica. Si quis ergo, inquit canon, sacratus, hac constitutione contempta, in civili

Guill. Beveregii notæ.

(15) *Τῆς ἐκκλησίας δουλευτῶν.* In mss. Amerbachiano et Ætoniensi rectius legitur, Τῇ ἐκκλησίᾳ δουλευουσῶν.

Digitized by Google

judicio adversus sacratum vel monachum criminalem actionem intenderit; vel si quis ad competens forum ecclesiasticum tractus, id recusaverit, et publicum seu civile elegerit (id enim est velle purgari, seu a crimine velle absolvi innocensque declarari per publicum judicium), etiamsi in illo publico judicio vicerit, sive actor, sive reus: tamen proprium locum, sive gradum et honorem sacerdotalem amittet; propter hoc ipsum solum depositus, quod scilicet forum ecclesiasticum recusaverit, et civile elegerit. Et quando fuerit quidem criminale judicium, sic erit: quando autem est civile quod movetur, seu pecuniarium, etiamsi sacratus sententiam obtinuerit, sic quoque a proprio gradu excidet, nisi rem contempserit, pro qua sententiam obtinuit, et ea cesserit adversario suo a se superato. Præterea decreverunt Patres, ut si quis adversus episcoporum vel aliorum ecclesiasticorum judicum sententiam appellaverit, et appellatio ad majorem judicem, ecclesiasticum videlicet, redierit, juxta universalem juris regulam, quæ statuit, judices, ad quos appellatur, oportere esse majores iis qui primum judicaverint: et contigerit a judicibus appellationis primam sententiam everti; nulla in re lædantur ii, qui primam sententiam tulerunt, sive sit causa criminalis, sive pecuniaria; nisi ii convicti fuerint sententiam tulisse propter odium ejus qui damnatus est, vel propter affectionem in eum qui est absolutus, vel ut muneribus corrupti; id enim est gratia corruptum esse; aut muneribus corrumpitur quispiam, vel pecunias accipiendo, vel eo qui ipsum corrupit, aliqua gratia vel beneficio demerente. Nota ergo præsentem canonem, homines sacratos valde punientem, qui quomodocunque in politicis judiciis litigant. Nec tibi contrarium videatur cap. 90, tit. 1, lib. XI Basilic, et cap. 9, tit. 3, lib. III, quod dicit, sacratos renuntiare posse sacerdotii præscriptioni. Quantum enim ad adversarium attinet, valet hoc pactum. Est autem alia ratio quod secundum præsentem canonem læditur qui eum contempserit sacris initiatus. Lege et centesimum quartum canonem synodi præsentis, et Chalced. synodi canonem 9. Cum autem canon superius statuerit, ut episcopi **531** a duodecim episcopis judicentur, a sex autem sacerdotes, et diaconi a tribus: subjunxerunt Patres, quod quæ de appellationibus dicta sunt et reliqua locum habent, quando judicia ecclesiastica apud tot competentes judices fuerint: non autem, quando ex accusatoris et ejus qui accusatur voluntate, apud aliquos electos seu ex electione susceptos judices, qui sæpe sunt pauciores quam canonibus constitutum sit, aliqui judicio contenderint. Tunc enim in eorum sententiam ne appellatio quidem cadit, ut dicit lex in lib. VII, tit. 2, cap. 27, them. 3, quod hic se habet; Sive justa sive injusta est electi judicis sententia, ei stare oportet. Et caput tertium ejusdem libri ac tituli: Non indigent provocatione judicis electi sen-

νών, καταφρονήσας τῆς τοιαύτης θεσμοθεσίας, ἐναγάγῃ παρὰ πολιτικῷ δικαστηρίῳ κατὰ ἱερωμένου ἢ μοναχοῦ περὶ ἐγκληματικῆς ὑποθέσεως, ἢ εἴ τις αὐτῶν, παρὰ τῷ προσφόρῳ ἐκκλησιαστικῷ δικαστηρίῳ ἑλκυσθείς, παραιτήσεται τοῦτο, καὶ ἐπιλέξεται δικαστήριον δημοτικὸν ἤτοι πολιτικὸν (τοῦτο γάρ ἐστι τὸ ἐθέλειν καθαρθῆναι ἤτοι ἀθωωθῆναι τοῦ αἰτιάματος διὰ δημοσίου δικαστηρίου), κἂν νικήσῃ ἐν τῷ δικαστηρίῳ ἐκείνῳ τῷ πολιτικῷ, εἴτε ὡς ἐναγών, εἴ τε ὡς ἐναγόμενος, ὅμως τὸν ἴδιον τόπον, ἤτοι βαθμὸν καὶ τὴν ἱερατικὴν τιμὴν ἀπολέσει· διὰ τοῦτο αὐτὸ καὶ μόνον καθαιρούμενος, διὰ τὸ παραιτήσασθαι τὸ ἐκκλησιαστικὸν δικαστήριον, καὶ ἐπιλέξασθαι τὸ πολιτικόν. Καὶ ὅτε μὲν ἐγκληματικὸν εἴη τὸ δικαστήριον, γενήσεται τοῦτο· ὅτε δὲ πολιτικόν ἐστι τὸ κινούμενον ἤτοι χρηματικὸν, κἂν δικαιωθῇ ὁ ἱερωμένος, καὶ οὕτως ἐκπεσεῖται τοῦ οἰκείου βαθμοῦ, εἰ μὴ καταφρονήσει τοῦ πράγματος ἐφ' ᾧ ἐδικαιώθη, καὶ παραχωρήσει εἶναι αὐτὸ παρὰ τῷ ἀντιδίκῳ αὐτοῦ τῷ ἡττηθέντι. Πρὸς τούτοις ὥρισαν οἱ Πατέρες, ἵνα, ἐὰν ἐκκαλέσηταί τις κατὰ ἀποφάσεως ἐπισκόπων ἢ ἑτέρων δικαστῶν ἐκκλησιαστικῶν, καὶ ἡ ἔκκλητος ἐπαναδράμῃ εἰς μείζονα δικαστὴν, πάντως ἐκκλησιαστικὸν, κατὰ τὴν καθόλου νομικὴν διδασκαλίαν, τὴν διοριζομένην τοὺς ἐκκλήτους δικαστὰς ὀφείλειν εἶναι μείζονας τῶν πρώτως δικασάντων, καὶ συμβῇ ἀνατραπῆναι τὴν πρώτην ἀπόφασιν παρὰ τῶν ἐκκληταρίων δικαστῶν, κατὰ μηδὲν βλάπτεσθαι τοὺς πρώτως ἀποφηναμένους, κἂν ἐγκληματικὴ ἐστι, κἂν χρηματικὴ ὑπόθεσις· εἰ μήπω ἐλεγχθῶσιν οὗτοι ἀποφηνάμενοι κατὰ ἔχθραν τοῦ καταδικασθέντος, ἢ κατὰ προσπάθειαν τοῦ δικαιωθέντος, ἢ ὡς δωροδοκηθέντες· τοῦτο γάρ ἐστι τὸ χάριτι ὑποφθαρῆναι· ἤτοι δωροδοκεῖταί τις ἢ χρήματα λαμβάνων, ἢ ἄλλην τινὰ χάριν αὐτῷ πληροῦντος τοῦ αὐτὸν ὑποφθείραντος. Σημείωσαι οὖν τὸν παρόντα κανόνα, μεγάλως κολάζοντα τοὺς ἱερατικοὺς δικαζομένους ὁπωσδήποτε εἰς δικαστήρια πολιτικά. Καὶ μὴ ἐναντιωθῇ σοι τὸ κεφ. ιʹ τοῦ αʹ τίτλου τοῦ ιαʹ βιβλίου τῶν Βασιλικῶν, καὶ τὸ θʹ κεφ. τοῦ γʹ τίτ. βιβλίου τοῦ γʹ λέγοντος δύνασθαι τοὺς ἱερωμένους ἀποτάττεσθαι τῇ τῆς ἱερωσύνης παραγραφῇ· ὅσον γὰρ πρὸς τὸν ἀντίδικον ἔρρωται τὸ σύμφωνον τοῦτο. Ἕτερον δὲ λόγου ἐστὶ, ὅτι βλάπτεται κατὰ τὸν παρόντα κανόνα ὁ καταφρονήσας τούτου ὁ ἱερωμένος· καὶ ἀνάγνωθι τὸν ρδʹ κανόνα τῆς παρούσης συνόδου καὶ τῆς ἐν Χαλκηδόνι κανόνα βʹ. Τοῦ δὲ κανόνος ἄνωθεν διορισαμένου ὑπὸ δώδεκα ἐπισκόπων κρίνεσθαι τοὺς ἐπισκόπους, ὑπὸ ἓξ τοὺς ἱερεῖς, καὶ τοὺς διακόνους ὑπὸ τριῶν, ἐπήγαγον οἱ Πατέρες ὡς τὰ περὶ τῶν ἐκκλήτων καὶ τὰ λοιπὰ χώραν ἔχουσιν, ὅτε τὰ ἐκκλησιαστικὰ δικαστήρια παρὰ τοσούτοις προσφόροις δικασταῖς γένωνται· οὐ μὴν, ὅτε κατὰ θέλησιν τοῦ κατηγόρου καὶ τοῦ κατηγορουμένου παρά τισιν ἐπιλεγεῖσιν, ὡς αἱρετοῖς δικασταῖς πολλάκις καὶ ὀλιγωτέροις οὖσι τῶν ὁρισθέντων παρὰ τῶν κανόνων, δικασθῶσί τινες. Τηνικαῦτα γὰρ οὐδὲ ἐκκλήτῳ ὑποπεσεῖται ἡ τούτων ἀπόφασις, ὡς

Digitized by Google

φησιν ὁ νόμος ἐν βιβλίῳ ζ', τίτλῳ β', κεφ. κζ', θέματι γ', οὕτως ἔχοντι· Εἴτε δικαία εἴτε ἀδικός ἐστιν ἡ τοῦ αἱρετοῦ ψῆφος, ἰμμένειν δεῖ· καὶ τὸ γ' κεφ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου· Μὴ χρείαν ἐχέτω ἐκκλήτου ἡ τοῦ αἱρετοῦ δικαστοῦ ἀπόφασις. Ἐπὶ τούτοις ὁ κανὼν περὶ τῶν τέκνων τῶν ἱερέων φησίν, ἵνα μήτε θεώρια ἐκτελῶσι, μήτε ἄλλων τοιούτων παραγίνωνται καὶ θεωρῶσιν· ὅτι καὶ πᾶσι Χριστιανοῖς κεκήρυκται μὴ προσιέναι ὅπου βλασφημίαι εἰσί. Θεώρια δὲ λέγονται οὐ μόνον τὰ ἱπποδρόμια, ἀλλὰ καὶ πᾶσα θέα, θηριομαχία δηλαδή, παίγνια μίμων, ὄρχησις, καὶ ἄλλα τοιαῦτα δαιμονιώδη ἔργα. Ταῦτα τοῦ κανόνος διοριζομένου, εἰπὲ ὅτι τὸ, κἂν ἡ ψῆφος ὑπὲρ αὐτοῦ ἐκφωνηθῇ, προστέθη διὰ τοὺς λέγοντας ὀφείλειν καθαιρεῖσθαι μόνον τὸν οὕτω δικασάμενον ἱερωμένον χάριν ἐγκληματικῆς ὑποθέσεως καὶ ἡττηθέντα, οὐ μὴν καὶ τὸν νικήσαντα, ὡς δικαίαν ἔχοντα ὑπόθεσιν. Καὶ ἄμφω γὰρ καθαιρεθήσονται, ὡς ὑβρισταὶ τῆς Ἐκκλησίας, καὶ τοῦ κανόνος· ἀθετηταί. Ὁ μέντοι τὸν ἐκκλησιαστικὸν ἑλκύσας ἱερωμένος εἰς κοσμικὸν δικαστήριον χάριν χρηματικῆς αἰτιάσεως καὶ νικήσας καθαιρεῖται, ἐὰν στοιχῇ τῇ ὑπὲρ αὐτοῦ ἀποφάσει, καὶ θέλῃ ἐὰν παρητήσατο τὸ ἐκκλησιαστικὸν δικαστήριον, ἀφίσταται τοῦ πράγματος, περὶ οὗ ἐδικάσατο, μένει

Καὶ ταῦτα μὲν ὁ κανὼν διορίζεται. Σήμερον δὲ παρορῶνται ταῦτα δι' ἣν αἰτίαν οὐ γινώσκω. Πολλοὶ γάρ, οὐ μόνον λαϊκοί, ἀλλὰ καὶ ἱερωμένοι, ἑλκουσιν εἰς πολιτικὰ δικαστήρια ἐπισκόπους, κληρικούς τε καὶ μοναχούς, μηδὲ πρόσταξιν βασιλικὴν περὶ τούτου πορισάμενοι, καὶ οὔτε ἡ τοῦ ἀπροσφόρου δικαστοῦ παραγραφὴ λυσιτελεῖ τοῖς ἀναγομένοις· καταναγκάζουσι γὰρ τούτους καὶ ἄκοντας δικάζεσθαι· οὔτε οἱ ἑλκύσαντες αὐτοὺς ἱερωμένοι ἐβλάβησαν ὁπωσδήποτε, ἀλλ' οὐδὲ οἱ ἀναγόμενοι μοναχοὶ ἢ κληρικοὶ εἰς δικαστήριον ἐκκλησιαστικόν, καὶ παραιτησάμενοι τοῦτο, πολιτικὴν δὲ ζητήσαντες κατεξέτασιν, κατά τι ἠτιμωρήθησαν· ὥσπερ οὐδὲ οἱ ἑλκυσθέντες κληρικοὶ ἢ μοναχοὶ εἰς κοσμικὸν δικαστήριον, καὶ καταδεξάμενοι εἰς τοῦτο δικάσασθαι. Τοῦ δὲ χρηματίσαντος καθηγουμένου τῆς μονῆς τοῦ Παντεπόπτου μοναχοῦ ἐκείνου Μελετίου, ἑλκυσθέντος εἰς τὸ συνοδικὸν δικαστήριον, καὶ παραιτησαμένου αὐτὸ ὡς καταθύμιον, καὶ μεταγαγόντος τὴν ὑπόθεσιν εἰς κοσμικὸν δικαστήριον διὰ πρόσταξιν βασιλικήν, ὁ ἁγιώτατος πατριάρχης ἐκεῖνος κύριος Λουκᾶς ὑβριοπαθήσας ἐπὶ τῷ γεγονότι, πολλὴν ἔθετο σπουδὴν διορθώσασθαι τὸ γενόμενον. Ἤκουσε δὲ ἀπὸ τῶν πολιτικῶν δικαστῶν ὡς ἡ βασιλικὴ ἐξουσία πάντα δύναται ποιεῖν· καὶ ὥσπερ ἐδύνατο πρωτοτύπως δοῦναι πολιτικὸν δικαστὴν χάριν τοῦ δικάσαι ἐπίσκοπον ἢ ἕτερον ἱερωμένον ἀναγόμενον· οὕτω καὶ κατὰ μετάθεσιν τὸ ἐκκλησιαστικὸν δικαστήριον μεταγάγῃ κατὰ νόμιμον παραίτησιν εἰς πολιτικόν. Πλὴν ὁ ἐντὸς δηλούμενος καθηγούμενος, κἂν εἰσηκούσθη τὸ συνοδικὸν παραιτησάμενος δικαστήριον, καὶ διετηρήθη ἀποκριμάτιστος· ἀλλὰ ἀπὸ τοῦ ρδ' κανόνος τῆς παρούσης συνόδου, ὃν καὶ ἀνάγνωθι, ὤφειλε καθαιρεθῆναι. Τὸ γὰρ ιζ'

tentia. Post hæc canon de filiis sacerdotum, dicit. Ne spectacula peragant, nec aliis peragentibus intersint et spectent: quia et omnibus Christianis interdictum est, ne accedant ubi sunt blasphemiæ et maledicta. Spectacula autem dicuntur, non solum equorum cursus, sed et omnis generis spectatio, bellуarum scilicet certamina, histrionum ludicra, saltationes, et hujusmodi alia opera diabolica. Hæc autem decernente canone, dic quod illud, etiamsi pro eo sententia lata sit, adjectum est propter eos, qui dicunt, eum solum debere deponi sacratum, qui sic judicio contendit in causa criminali, et victus est: non autem eum qui vicit, ut qui justam causam habeat. Ambo enim deponentur, ut qui Ecclesiam injuria afficiant, et canonem contemnant. Sacratus quidem qui traxit ecclesiasticum in sæculare judicium pro causa pecuniaria, et vicit, deponitur, si sententiæ, quæ pro se lata est, steterit, et voluerit rem habere quam vicit: quemadmodum et reus, si judicium ecclesiasticum recusavit, et civile petivit, et vicit. Si enim cedit re, pro qua litigavit, suum honoris gradum retinet. ἔχειν τὸ πρᾶγμα ὃ ἐνίκησεν, ὥσπερ καὶ ὁ ἐναχθείς, καὶ ἐζήτησε τὸ πολιτικόν, καὶ ἐνίκησεν. Εἰ γὰρ ἔχων τὴν οἰκείαν ἐπιτιμίαν.

Et hæc quidem canon constituit. Hodie autem hæc negliguntur, propter quam causam nescio. Multi enim, non solum laici, sed etiam sacrati, episcopos, clericos et monachos ad civilia judicia trahunt, nec imperatoris quidem mandatum de ea re exhibent; et neque incompetentis judicis præscriptio seu exceptio prodest iis, qui rei aguntur: eos enim cogunt vel invitos judicio contendere. Nec sacrati, qui eos traxerunt, aliquid penitus damni sensere; sed nec monachi vel clerici, adversus quos in foro ecclesiastico agitur, si id quidem recusaverint, civilem autem examinationem petiverint, ulla in re puniti sunt: quemadmodum nec clerici vel monachi, qui in sæculare judicium tracti sunt, et in eo litigare non recusarunt. Cum autem monachus ille Meletius, qui præpositus fuit monasterii Pantepopti, ad synodale judicium tractus, ipsum ut sibi non gratum recusasset, et causam ad sæculare tribunal traduxisset per mandatum imperiale; sanctissimus patriarcha dominus Lucas id ægre ferens, plurimum studium adhibuit ut corrigeretur quod factum fuerat. Audivit autem a civilibus judicibus, quod imperatoris potestas omnia facere potest: et quemadmodum primo loco potuit imperator civilem judicem pro judicando episcopo vel alio sacrato, adversus quem agitur constituere: ita et per transpositionem, judicium ecclesiasticum ex legitima exceptione in civile traduxerit. Sed etiamsi qui hic dicitur monasterii præfectus exauditus est, synodale judicium recusans, et sine præjudicio conservatus est: tamen ex canone 104 præsentis synodi deponi debuit, quem lege: decimum septimum enim caput primi tituli tertii libri, licet decernat cum imperatoris mandato

Digitized by Google

posse adversus episcopos agi, et eos sisti coram civilibus judicibus : hoc tamen, ut mihi videtur, non quadrat canonicæ doctrinæ. **532** Debemus enim dicere, tunc trahi episcopum pro re, quæ privatim ad ipsum pertinet : non autem pro quæstione ecclesiastica. Re enim ejusmodi proposita, non debent civiles judices ullam ejus habere cognitionem. Jam vero magna quoque est ejus differentia, qui sua sponte ecclesiasticum judicium recusat et sæculare ex imperatoris mandato quærit, et ejus qui jussu imperatoris invitus tractus est ad sæculare judicium. Lege etiam cap. 1 tit. 9 præsentis operis, et quæ in ipso a nobis scripta sunt. Petere autem conjudicem civilem per mandatum imperiale non est, ut mihi videtur, prohibitum et maxime quando est causa pecuniaria, quæ est synodaliter dicenda.

κεφ. τοῦ α' τίτλου τοῦ γ' βιβλίου, κἂν διορίζηται μετὰ βασιλικῆς κελεύσεως διάγεσθαι καὶ παρίστασθαι τοὺς ἐπισκόπους παρὰ πολιτικοῖς ἄρχουσιν, ἀλλὰ τοῦτο οὐ προσίσταται, ὡς ἐμοὶ δοκεῖ, τῇ κανονικῇ διδασκαλίᾳ. Ὀφείλομεν γὰρ εἰπεῖν τὸν ἐπίσκοπον τηνικαῦτα ἕλκεσθαι περὶ πράγματος ἰδικῶς αὐτῷ διαφέροντος, οὐ μὴν περὶ ἐκκλησιαστικοῦ ζητήματος· τοιούτου γὰρ προκειμένου τινὸς ἀμέτοχοι εἶναι ὀφείλουσιν οἱ πολιτικοὶ δικασταί. Τέως δὲ καὶ μεγάλη ἐστὶ διαφορὰ τοῦ αὐθαιρέτως παραιτουμένου τὸ ἐκκλησιαστικὸν δικαστήριον, καὶ ζητοῦντος τὸ πολιτικὸν δικαστήριον διὰ προστάξεως βασιλικῆς, καὶ τοῦ ἑλκυσθέντος ἀκουσίως κατὰ κέλευσιν βασιλικὴν εἰς κοσμικὸν δικαστήριον. Ἀνάγνωθι καὶ κεφ. α' τοῦ θ' τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ παρ' ἡμῶν γεγραμμένα. Τὸ μέντοι ζητῆσαι συνδικαστὴν πολιτικὸν διὰ προστάξεως βασιλικῆς, ὡς ἐμοὶ δοκεῖ, οὐκ ἔστι κεκωλυμένον, καὶ μᾶλλον ὅταν χρηματικὴ ἐστὶν ὑπόθεσις, ἡ μέλλουσα λαληθῆναι συνοδικῶς.

Interrogaverit autem quispiam, Cum lex dicat, cum ab actione sua excidere, qui suum adversarium ad judicium incompetens traxerit, qui sacratum ad civile judicium traxerit, annon ex hoc canone suo jure excidet ? *Solutio.* Incompetentis judicis præscriptio in principio judicii solum proponitur, non autem etiam postea. Finge ergo, quod ea a principio non est proposita a reo : vel proposita a judice admissa non est. Et propterea definierunt Patres, quod, etiamsi actor vicerit, eo quod incompetentis judicis exceptio quomodocunque inefficax fuerit : sic quoque tamen propter honorem Ecclesiæ eorum victoria nihil ei proderit; sed deponetur, si eam retineat. Præterea interrogaverit quispiam, quam pœnam sustinebunt ecclesiastici judices, si convicti fuerint, ex odio, vel affectione, vel propter gratiam sententiam tulisse, cum canon de eo nihil jubeat ? *Solutio.* Genus pœnæ, etsi ex canone non appareat, ex legibus tamen declaratur. Jam enim de judice muneribus corrupto dicit cap. 3, tit. 23, lib. IX, Magistratus, qui pecunias accipit ad jus dicendum, vel decernendum, vel ad plus vel minus suo officio faciendum, et magistratuum quoque assessores, lege tenentur. Et thema 3, cap. 8 : Pœna legis est extraordinaria, et ut plurimum exsilio condemnat, nonnunquam etiam gravius. Et thema 2, cap. 9 : Qui hac lege condemnatur, nec potest publice testimonium dicere, nec judex esse, nec causas agere. Lege et thema 2, cap. 6, tit. 4, lib. IX, quod quidem est pars 124 Justiniani novellæ, quæ sic dicit : Si quis autem eorum, qui litigant, dixerit se aliquid dedisse, vel esse pollicitum, et personam nominaverit, et hoc probaverit, ipse quidem in litis exitu venia dignus habeatur. Qui autem donum vel promissum admisisse convictus fuerit, si sit quidem causa pecuniaria, quod datum est, triplum, quod vero promissum, duplum a comite privatarum nostrarum facultatum exigatur, et dignitatem seu magistratum, quem habet, in utroque

Ἐρωτήσει δέ τις, Ὡς τοῦ νόμου λέγοντος ἐκπίπτειν τῆς οἰκείας ἀναγωγῆς τὸν εἰς ἀπρόσφορον δικαστήριον ἑλκύσαντα τὸν ἴδιον ἀντίδικον, οὐκ ἔμελλε καὶ πρὸ τοῦ κανόνος τούτου ὁ τὸν ἱερωμένον ἑλκύσας εἰς πολιτικὸν δικαστήριον ἐκπεσεῖν τοῦ δικαίου αὐτοῦ ; Λύσις. Ἡ τοῦ ἀπροσφόρου παραγραφὴ κατὰ τὴν ἀρχὴν τοῦ δικαστηρίου προτίθεται καὶ μόνον, οὐ μὴν καὶ μετὰ ταῦτα. Θεμάτισον οὖν ὅτι οὐ προετέθη αὕτη παρὰ τοῦ ἀναγομένου, ἢ προτεθεῖσα οὐκ ἐδέχθη παρὰ τοῦ δικαστοῦ. Καὶ διὰ τοῦτο ὥρισαν οἱ Πατέρες ὡς, κἂν νικήσῃ ὁ ἀναγαγὼν, διὰ τὸ ἀπρακτῆσαι ὁπωσδήποτε τὴν τοῦ ἀπροσφόρου δικαστοῦ παραγραφήν, ἀλλὰ καὶ οὕτω διὰ τὴν τιμὴν τῆς Ἐκκλησίας εἰς οὐδὲν αὐτῷ ἡ νίκη λυσιτελήσει· ἀλλὰ καθαιρεθήσεται, εἴπερ ἀντέχεται ταύτης. Ἔτι ἐρωτήσει τις, ποίαν βλάβην ὑποστήσονται οἱ ἐκκλησιαστικοὶ δικασταὶ, εἴπερ ἐλεγχθῶσι κατὰ ἔχθραν ἢ κατὰ προσπάθειαν ἢ διὰ χάριν ἀποφηνάμενοι, τοῦ κανόνος μηδὲν περὶ τούτου παρακελευομένου ; Λύσις. Τὸ εἶδος τῆς βλάβης, κἂν ἀπὸ τοῦ κανόνος οὐκ ἀναφαίνηται, ἀλλὰ ἀπὸ τῶν νόμων δηλοῦται. Αὐτίκα γὰρ περὶ τοῦ δωροδοκηθέντος δικαστοῦ φησι τὸ γ' κεφ. τοῦ μγ' τίτλου τοῦ ξ' βιβλίου· Ὁ ἄρχων λαμβάνων χρήματα ἐπὶ τῷ δικάσαι, ἢ ψηφίσασθαι, ἐπὶ τῷ ποιῆσαί τι πλέον ἢ ἧττον τοῦ ἰδίου ὀφφικίου, καὶ οἱ σύνεδροι τῶν ἀρχόντων ὑπόκεινται τῷ νόμῳ. Καὶ τὸ γ' θέμα τοῦ η' κεφ. (Ἡ ποινὴ τοῦ νόμου ἐκστραορδιναρία ἐστὶ, καὶ ἐπίπαν εἰς ἐξορίαν καταδικάζει, ἔσθ' ὅτε δὲ καὶ σφοδρότερον. Καὶ τὸ β' θέμα τοῦ θ' κεφ.) Ὁ τῷ νόμῳ τούτῳ καταδικαζόμενος οὔτε μαρτυρεῖν δημοσίᾳ δύναται, οὔτε δικάζειν, οὔτε συνηγορεῖν. Ἀνάγνωθι καὶ τὸ β' θέμα τοῦ ς' κεφ. τοῦ δ' τίτλου τοῦ ξ' βιβλίου, ὅπερ ἐστὶ μέρος τῆς ρκδ' Ἰουστινιανείου νεαρᾶς, λέγων οὕτως· Εἰ δέ τις ἐκ τῶν δικαζομένων εἴποι δεδωκέναι τι ἢ ὑποσχέσθαι, καὶ τὸ πρόσωπον ἐξείπῃ, καὶ τοῦτο ἀποδείξει, αὐτὸς μὲν ἐπὶ τῇ τῆς δίκης ἐκβάσει συγγνώμης ἀξιούσθω· ὁ δὲ δόσιν ἢ ὑπόσχεσιν καταδίξασθαι δεικνύμενος, εἰ μὲν χρηματικὴ εἴη ἡ ὑπόθεσις, τὸ μὲν δεδομένον τριπλοῦν, τὸ δὲ ὑποσχεθὲν διπλοῦν

Digitized by Google

παρὰ τοῦ κόμητος τῆς ἰδικῆς ἡμῶν περιουσίας εἰσπραττέσθω, καὶ τὴν ἀξίαν ἤτοι ἀρχὴν ἣν ἔχει ἐφ' ἑκατέρου θέματος ἀπολλύτω. Εἰ δὲ ἐγκληματικὴ εἴη ἡ κατηγορία, δήμευσιν τῆς οἰκείας ὑπομενέτω περιουσίας, καὶ εἰς ἐξορίαν πεμπέσθω, ὅστις διὰ λῆψιν ἀλλότριον ἔγκλημα εἰς ἑαυτὸν ἐσπούδακε μετενεγκεῖν. Εἰ δὲ τὴν δόσιν ἢ τὴν ὑπόσχεσιν ὁ διάδικος μὴ δυνηθῇ δεῖξαι, ὀμνύτω τὸ πρόσωπον τὸ τὴν δόσιν ἢ τὴν ὑπόσχεσιν λεγόμενον καταδέξασθαι, ὅτι οὐδὲ δι' ἑαυτοῦ οὐδὲ δι' ἄλλου προσώπου ἢ ἔλαβέ τι ἢ ὑπόσχεσιν ἔσχε. Καὶ τοῦ τοιούτου ὅρκου παρεχομένου, αὐτὸς μὲν ἐλεύθερος ἔστω· ὁ δὲ διάδικος ὁ μὴ δυνηθεὶς δεῖξαι ἐπὶ μὲν ταῖς χρηματικαῖς αἰτίαις τὴν ἀποτίμησιν τῆς δίκης ὑπὸ τοῦ κόμητος τῆς ἰδικῆς ἡμῶν περιουσίας εἰσπραττέσθω, τῆς δίκης δηλονότι τὴν ἰδίαν ἔκβασιν ἀναμενούσης· ἐπὶ δὲ ταῖς ἐγκληματικαῖς δήμευσιν τῆς ἰδίας περιουσίας ὑπομενέτω, καὶ τὸ πρᾶγμα παρὰ τοῖς ἀρμοδίοις δικασταῖς κατὰ τὴν τῶν νόμων τάξιν περαιούσθω. Εἰ δὲ τὸ παρὰ τοῦ δικαζομένου φανερωθὲν πρόσωπον τὸν μνημονευθέντα παραιτήσεται ὅρκον, τοῦτο μὲν ἐπὶ ταῖς ἐγκληματικαῖς, τοῦτο δὲ ἐπὶ ταῖς χρηματικαῖς αἰτίαις, ταῖς μνημονευθείσαις ὑποκείσθω ποιναῖς. Εἴ δέ τις τῶν δικαζομένων ὁμόσει μὴ δεδωκέναι ἢ ἐπαγγεῖλασθαι, ἐντὸς δὲ τεσσάρων μηνῶν, μετὰ τὸ προενεχθῆναι τὴν ψῆφον ἀριθμουμένων, δειχθῇ δοθέν τι ἢ ὑποσχεθὲν, αἱ εἰρημέναι ποιναὶ κατά τε τῶν διδόντων κατά τε τῶν λαμβανόντων χώραν ἐξουσι. Καὶ ταῦτα μὲν ἐὰν κατὰ χρῆσιν, ἤγουν διὰ λῆψιν νομισμάτων ἢ προσπάθειαν ἢ ἔχθραν, ἡ ψῆφος ἐξενεχθῇ· τῆς γὰρ αὐτῆς δυνάμεώς εἰσι τὰ τρία· ἐὰν δὲ μὴ διὰ τοιαύτην αἰτίαν, ἀλλὰ κατὰ ἀπειρίαν ἀποφήνηται ἐπίσκοπος κατά τινος, τί γενήσεται; Λύσις. Οἱ ἄρχοντες, ἤτοι οἱ προκαθήμενοι τῶν δικαστῶν, οὐκ ἀναγκάζονται ἀκριβῶς εἰδέναι τοὺς νόμους, ἐφ' ἑτέραις μεγάλαις δουλείαις ἐνασχολούμενοι· καὶ διὰ τοῦτο ἐξ ἀπειρίας ἀποφαινόμενοι, συγγινώσκονται. Οἱ δὲ σύνεδροι τούτων, παρανόμως ψηφιζόμενοι, κολάζονται. Φησὶ γὰρ ὁ νόμος ἐν βιβλίῳ ζ', τίτλῳ γ', κεφαλαίῳ κθ'· Τὸν δόλον ἐπιζητοῦμεν τοῦ ἄρχοντος. Ἐὰν γὰρ ἀπειρία τοῦ συνέδρου ἄλλως ψηφισθῇ, ὁ ἄρχων οὐκ ἀδικεῖται, ἀλλ' ὁ συμπονῶν. Καὶ ὁ λογισμὸς εὔλογος. Οἱ μὲν γὰρ ἄρχοντες, δι' ἣν εἴρηται αἰτίαν, οὐκ αἰτιῶνται· οἱ δὲ κριταὶ, τὸ δικάζειν καὶ μόνον ἔργον ἔχοντες, ἐὰν παρανομήσωσιν, ἐνέχονται ὡς δόλον ποιήσαντες, κατὰ τὸν νόμον τὸν λέγοντα· Ἡ ἀπειρία ἔοικε τῇ ἀμελείᾳ· καὶ πάλιν· Δόλον τις ποιεῖ μὴ εἰδὼς ἀκριβῶς ὃ ἐπαγγέλλεται εἰδέναι.

Καὶ τοῦτο μὲν ἐξεφωνήθη περὶ τῶν πολιτικῶν δικαστῶν. Εἰς δὲ τοὺς ἐκκλησιαστικοὺς δικαστὰς ἄλλη τις κρατήσει ἀκολουθία, ὡς ἐμοὶ δοκεῖ· καὶ αὕτη μέντοι κατὰ τὴν παροῦσαν θεσμοθεσίαν. Εἰ μὲν γὰρ ἐναντίαν τοῖς κανόσιν ἐπίσκοπος ἐνέγκῃ ψῆφον, τιμωρηθήσεται, ἤγουν καθαιρεθήσεται, μὴ δυνάμενος ἀγνοίαν ἢ ἀπειρίαν προβαλέσθαι. Οὐ γὰρ συγγνωστέος ἔσται λέγων μὴ εἰδέναι τοὺς κανόνας, οὓς ἀναγκάζεται διὰ γλώττης ἔχειν σχεδὸν ἀεί. Εἰ δὲ ἀποφήνηταί τι νόμοις ἀνένδεκτον, ἢ δικαστικῆς

A casu perdat. Sin autem sit criminalis accusatio, propriarum facultatum confiscationem patiatur, et in exsilium mittatur, ut qui accipiendo alienum crimen in seipsum transferre studuerit. Si autem donationem vel promissionem litigator ostendere non potuerit, juret persona, quæ donationem vel promissionem suscepisse dicitur, quod nec per se, nec per aliam personam, vel aliquid accepit, vel promissum habuit. Et hoc dato jurejurando, ipse quidem liberabitur : litigator vero, qui probare non potuit, in causis quidem pecuniariis, litis æstimationem a comite privatarum nostrarum facultatum exigatur, judicio scilicet suum eventum exspectante : in criminalibus autem bonorum suorum publicationem sustineat, et a convenientibus judi-
B cibus ex legum ordine negotium terminetur. Sin autem persona a litigatore declarata prædictum jusjurandum recusaverit, tam in criminalibus, quam in pecuniariis causis, prædictis pœnis subjiciatur. Si quis autem eorum, qui litigant, juraverit se nihil dedisse, vel pollicitum esse, intra quatuor autem menses, postquam **533** sententia lata est numerandos, datum aliquid vel promissum ostensum fuerit, prædictæ pœnæ tam adversus dantes quam adversus accipientes locum habebunt. Et hæc quidem, si propter sordes seu pecuniarum acceptionem vel amorem vel odium sententia lata sit : ejusdem enim virtutis sunt hæc tria. Si autem non propter ejusmodi ullam causam, sed per
C imperitiam adversus aliquem fert sententiam episcopus, quid fiet? *Solutio.* Magistratus, seu qui præsunt judicibus, non coguntur leges exacte scire, ut qui in multis aliis magnis occupationibus versentur; et propterea si per imperitiam sententiam ferant, eis venia datur. Eorum autem assessores, si contra leges ferant sententiam, puniuntur. Dicit enim lex in lib. VII, tit. 3, cap. 24 : Dolum magistratus requirimus. Si enim per imperitiam assessoris aliter judicatum fuerit, non facit injuriam præses seu magistratus, sed qui ei fert auxilium. Et est probabilis quidem ratio. Magistratus enim, propter eam quæ dicta est causam, non insimulantur : judices autem, quorum est proprium munus judicare, si contra leges fecerint, tenentur ac si
D dolo fecissent, secundum legem quæ dicit : Imperitia negligentiæ æquiparatur; et rursus : Dolum quis facit qui perfecte nescit quod se scire profitetur.

Et hoc quidem dictum est de civilibus judicibus. In judices autem ecclesiasticos alia quædam valebit consequentia, ut mihi videtur : et ea quidem secundum præsentem constitutionem. Si enim contrariam canonibus sententiam episcopus protulerit, punietur sive deponetur, ut qui non possit ignorantiam vel imperitiam allegare. Neque enim erit ei ignoscendum, si dicat se nescire canones, quos cogitur in lingua semper habere. Sin autem aliquid pronuntiaverit, quod a legibus non admittitur, vel

Digitized by Google

est extra judiciariam consequentiam, venia dabitur propter imperitiam, ut qui nec perfecte leges scire debeat. Hæc autem observabuntur, quando criminalem causam judicaverit episcopus, vel aliam ecclesiasticam quæstionem, quæ inducit depositionem. Si enim pecuniariam contra leges sententiam protulerit per imperitiam, id ei præjudicium non afferet. Præterea interrogabit quispiam, cum canon permittat sacris initiatos judices electitios eligere, eisne licebit civiles eligere? *Solutio.* Quia statuit canon, ut electorum judicum valeat sententia, nec appellationi sit obnoxia, etiamsi ii sint pauciores quam duodecim, quam sex, et quam tres, evidenter apparet civilium judicum electionem non admitti a canonibus. Unde, ut mihi videtur, secundum præsentem canonem punientur sacrati, qui a civilibus judicibus judicari elegerint. Videtur autem ex verbis canonis, quæ dicunt deponi sacratos, qui litigaverint in foro civili pro causa pecuniaria, et vicerint, nisi a sua sententia desistant, quod judicium quidem factum ab incompetenti judice, ex voluntate ejus qui est sacratus, tenendum est et non labefactandum. Qui autem ecclesiasticum recusavit judicium et fori præscriptione non est usus, sacratus punietur, ut superius dictum est. Electitios autem judices hic ne dixeris cujusmodi tit. 2 libri VII dicit, qui scilicet cum pœnæ stipulatione judicant, sed ecclesiasticos ordinarios. Illi enim non possunt causam criminalem judicare : hi vero, ut ex præsenti canone ostenditur, omnem causam judicant. De spectaculis autem, et equorum curriculis, et venationibus, et scenicis saltationibus, satis diximus in canone 24 synodi in Trullo, et in 51 ubi etiam præsentis canonis meminimus ; et lege eos. Quære etiam sanctorum apostolorum canonem 74, synodi Antiochenæ canones 14 et 15, synodi Chalcedonensis canones 10, 17, synodi Sardicensis canones 3, 5, 14, et hujus canones 28, 120 et 121. Quod autem possint sacrati renuntiare præscriptioni fori, quære cap. 9 tit. 3 lib. III Basilicorum.

καὶ ρκα'. Περὶ δὲ τοῦ δύνασθαι τοὺς ἱερωμένους κεφ. θ' τοῦ γ' τίτλου τοῦ γ' βιβλίου τῶν Βασιλικῶν.

534 ZONAR. In omnium, qui sacris initiati sunt, quin et in monachorum controversiis, ejus cui subjecti sunt episcopi propria causæ cognitio est. Sive igitur aliquis horum deferatur, sive deferat conclericum, coram ipsius episcopo, sive rei capitalis, seu civilis, aut pecuniariæ quæstio sit, rem transigi oportet. Quod si ex iis quispiam, se ab ecclesiastica jurisdictione subtrahens, publico judicio, apud magistratus nimirum populares, hoc est civiles, purgari, id est, se a culpa immunem probare contendat; quamvis in eo judicio superior evaserit, eumque ab objecti facinoris culpa omnino procul abfuisse judices pronuntiarint; locum tamen proprium, gradum videlicet, ac sacerdotii dignitatem amittet, atque vel ob id ipsum, quod ab ecclesiastica jurisdictione se subduxerit, deposi-

A ἀκολουθίας ἔξωθεν, συγγνωσθήσεται διὰ τὴν ἀπειρίαν, ὡς μηδὲ ὀφείλων εἰδέναι νόμους ἀκριβῶς. Ταῦτα δὲ κρατήσουσιν, ὅταν ἐγκληματικὴν ὑπόθεσιν δικάσῃ ἐπίσκοπος, ἄλλην ἐκκλησιαστικὴν ζήτησιν ἐπάγουσαν καθαίρεσιν. Εἰ γὰρ χρηματικὴν παρανόμως ἐξενέγκῃ ἀπόφασιν ἐξ ἀπειρίας, οὐ προκριματισθήσεται. Ἔτι ἐρωτήσει τις, ὡς τοῦ κανόνος ἐνδιδόντος τοῖς ἱερωμένοις ἐπιλέγεσθαι δικαστὰς αἱρετούς, ἐξέσται αὐτοῖς ἐπιλέγεσθαι πολιτικούς ; *Λύσις.* Ἐπεὶ ὁ κανὼν διορίζεται κρατεῖν τὴν ψῆφον τῶν αἱρετικῶν δικαστῶν, καὶ μὴ ὑποκεῖσθαι ἐκκλήτῳ, κἂν ἥττονες ὦσιν οὗτοι τῶν δώδεκα, τῶν ἓξ καὶ τῶν τριῶν, φαίνεται ἐναργῶς ἀνένδεκτον εἶναι τοῖς κανόσι τὴν ἐπιλογὴν τῶν πολιτικῶν δικαστῶν. Ὅθεν, ὡς ἐμοὶ δοκεῖ, κολασθήσονται κατὰ τὸν B παρόντα κανόνα οἱ παρὰ πολιτικοῖς δικασταῖς αἱρετισάμενοι δικασθῆναι ἱερωμένοι· ἔοικε δὲ ἀπὸ τῶν ῥημάτων τοῦ κανόνος, τῶν λεγόντων καθαιρεῖσθαι τοὺς ἱερωμένους δικασαμένους παρὰ πολιτικῷ δικαστηρίῳ χάριν χρηματικῆς αἰτιάσεως, καὶ νικήσαντας, ἐὰν μὴ ἀποστῶσι τῆς ὑπὲρ αὐτῶν ἀποφάσεως, ὡς ἡ μὲν γενομένη κρίσις παρὰ ἀπροσφόρου δικαστοῦ κατὰ θέλησιν τοῦ ἱερωμένου στερκτέα ἔσται καὶ ἀκατάσειστος· ὁ δὲ τὸ ἐκκλησιαστικὸν παραιτησάμενος δικαστήριον καὶ μὴ χρησάμενος τῇ τοῦ φόρου παραγραφῇ ἱερωμένος κολασθήσεται, καθὼς ἄνωθεν εἴρηται. Αἱρετοὺς δὲ δικαστὰς ἐνταῦθα μὴ εἴπῃς οἵους ὁ β' τίτλ. τοῦ ζ' βιβλίου φησὶ, μετὰ ἐπερωτήσεως δηλονότι ποινῆς δικάζοντας· ἀλλὰ ἐκκλησιαστικοὺς ἐνορδίνους. Ἐκεῖνοι γὰρ ἐγC κληματικὴν ὑπόθεσιν οὐ δύνανται δικάζειν· οὗτοι δὲ, ὡς ἀπὸ τοῦ παρόντος κανόνος παρίσταται, πᾶσαν ὑπόθεσιν κρίνουσι. Περὶ μέντοι τῶν θεωρίων καὶ τῶν ἱπποδρομίων καὶ τῶν κυνηγεσίων καὶ τῶν ἐπὶ σκηναῖς ὀρχήσεων ἱκανῶς ἐγράψαμεν ἐν τῷ κδ' κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τῷ να', ὅπου καὶ τοῦ παρόντος κανόνος ἐμνήσθημεν· καὶ ἀνάγνωσον τούτους. Ζήτει καὶ τῶν ἁγίων ἀποστόλων κανόνα οδ', τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα ιδ' καὶ ιε', τῆς ἐν Χαλκηδόνι καν. ι', ιζ', τῆς ἐν Σαρδικῇ κανόνα γ', ε', ιδ', καὶ ταύτης κανόνα κη', καὶ ρκ', ἀποτάττεσθαι τῇ τοῦ φόρου παραγραφῇ ζήτει

ΖΩΝΑΡ. Τοῖς ἱερωμένοις ἅπασιν, ἀλλὰ μέντοι D καὶ μοναχοῖς πρόσφορά εἰσι δικαστήρια τὰ τῶν ἐπισκόπων, οἷς ὑπόκεινται. Εἴτε οὖν ἐνάγεταί τις τούτων, εἴτε ἐνάγει κατὰ συγκληρικοῦ, παρὰ τῷ ἐπισκόπῳ αὐτοῦ καὶ ἐνάγεσθαι καὶ ἐνάγειν ὀφείλει, κἂν ἐγκληματικὸν εἴη τὸ δικαστήριον, καὶ πολιτικὸν ἤτοι χρηματικόν. Ἐὰν δὲ παραιτήσηταί τις τῶν τοιούτων τὸ ἐκκλησιαστικὸν δικαστήριον, καὶ δημοσίοις δικαστηρίοις, ἤγουν δημοτικῶν ἀρχόντων, τουτέστι πολιτικῶν, θελήσῃ καθαρθῆναι, ἀντὶ τοῦ καθαρὸς φανῆναι τοῦ αἰτιάματος, κἂν νικήσῃ ἐν τῷ δικαστηρίῳ ἐκείνῳ, καὶ ὑπὲρ αὐτοῦ γένηται ἡ ἀπόφασις, ἀθῶον αὐτὸν ἀποφαινομένη τοῦ ἐγκλήματος, ἐφ' ᾧ κατηγορεῖτο, ὅμως τὸν ἴδιον τόπον, τὸν βαθμὸν δηλαδὴ, καὶ τὴν ἱερατικὴν τιμὴν ἀπολέσει, διὰ τοῦτο αὐτὸ καθαιρούμενος, διότι παρῃτήσατο τὸ

Digitized by Google

ἐκκλησιαστικὸν δικαστήριον. Ὅτε οὖν, φησὶν, ἔγ- A κλημα εἴη τὸ κινηθὲν κατὰ τοῦ ἱερωμένου, τὰ εἰρημένα γενήσονται· ὅτε δὲ πολιτικόν ἐστι τὸ κινούμενον, ἤτοι χρηματικὸν, κἂν δικαιωθῇ ὁ ἱερωμένος, καὶ οὕτως ἐκπεσεῖται τοῦ οἰκείου βαθμοῦ, εἰ μὴ καταφρονήσει τοῦ πράγματος, ἐφ' ᾧ ἐδικαιώθη, καὶ τῆς δικαιούσης αὐτὸν ἀποφάσεως. Ἐὰν δὲ ἔκκλητος γένηται, ἢ ἐπισκόπων δικασάντων ἢ δικαστῶν ἑτέρων, ἐπὶ ἄλλους ἐκκλησιαστικοὺς δικαστὰς, ἤγουν ἐπὶ μητροπολίτας ἢ πατριάρχας, καὶ ἐξεταζομένη ἐν τῇ ἐκκλήτῳ ἡ ἀπόφασις λυθῇ, ἀντὶ τοῦ ἀνατραπῇ, μηδὲν, φησὶ, βλαπτέσθωσαν οἱ πρώην ἀποφηνάμενοι· εἰ μή που ἐλεγχθῶσιν ἢ κατὰ ἔχθραν δικάσαι, ὡς ἐχθρωδῶς ἔχοντες κατὰ τοῦ καταδικασθέντος, ἢ κατὰ προσπάθειαν, ὡς φιλίως διακείμενοι πρὸς τὸν B δικαιωθέντα, ἢ δωροδοκηθέντες· τοῦτο γάρ ἐστι τὸ χάριτι ὑποφθαρῆναι. Δωροδοκεῖται δέ τις, ἢ χρήματα λαμβάνων, ἢ ἄλλην τινὰ χάριν αὐτῷ πληροῦντος τοῦ αὐτὸν ὑποφθείροντος. Εἰ γὰρ δι' ἔχθραν ἢ προσπάθειαν ἢ δωροδοκίαν φανείεν μὴ καλῶς ψηφισάμενοι, βλαβήσονται περὶ τὴν οἰκείαν ἐπιτιμίαν. Ἐὰν δὲ αἱρετίσωνται οἱ τὴν ὑπόθεσιν ἔχοντες, ὅ τε κατήγορος καὶ ὁ κατηγορούμενος, δικασταὶ, εἰ καὶ ὀλιγώτεροι, φησὶν, εἶεν τῶν ὁρισθέντων, τῶν ιβ' ἐπὶ ἐπισκόπων, καὶ τῶν ἓξ ἐπὶ πρεσβυτέρων, καὶ τῶν τριῶν ἐπὶ διακόνων, ὁ καταδικασθεὶς ὑπ' ἐκείνων οὐ δυνήσεται ζητεῖν ἔκκλητον. Τοῦτο δὲ καὶ νόμοι πολιτικοὶ διατάττονται, καὶ ζήτει βιβλίον τῶν Βασιλικῶν γ', τίτλ. α', κεφάλαιον μδ', καὶ βιβλ. θ'. Ἐπὶ τούτοις ὁ κανὼν περὶ τέκνων τῶν ἱερέων φη- C σὶν, ἵνα μήτε θεώρια ἐκτελῶσιν αὐτοὶ, μήτε ἄλλων ποιούντων παραγίνωνται καὶ θεωρῶσι. Τὸ δὲ θεώρια ἐκτελεῖν τοιοῦτόν ἐστιν· Ἐν ταῖς μεγίσταις πόλεσι θέατρα ἦν, καὶ ἵπποι ἐτρέφοντο ἀμιλλητήριοι, καὶ θηρία εἰς θηριομαχίαν, καὶ ἀνετίθετο ἡ ἱπποτροφία, καὶ ἡ τῶν θηρῶν ἐπιμέλεια, καὶ ἡ φροντὶς τοῦ τὰς θεωρίας ἐν τοῖς θεάτροις ἐπιτελεῖσθαι, ἐνίοις τῶν πολιτικῶν, κἀκείνοις ἔμελε περί τε τῆς τῶν ἵππων ἀμίλλης καὶ τῆς θηριομαχίας καὶ τῶν ἄλλων, ὅσα ἐν τοῖς θεάτροις εἴωθε γίνεσθαι. Ταῦτα οὖν γίνεσθαι παρὰ παίδων τῶν ἱερέων ἐκώλυσεν ὁ κανών. Δεῖ γὰρ τοὺς ἱερεῖς τὰ οἰκεῖα τέκνα ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου ἀνάγειν, κατὰ τὸν μέγαν Παῦλον, ὃς καὶ πρὸς Τίτον γράφων οἷος δεῖ καθιστᾶν πρεσβυτέ- D ρους, πρὸς τοῖς ἄλλοις καὶ τοῦτο ἔγραψεν· *Εἴ τίς ἐστι τέκνα ἔχων πιστὰ, μὴ ἐν κατηγορίᾳ ἀσωτίας, ἢ ἀνυπότακτα.* Καὶ Τιμοθέῳ ἐπιστέλλων, οἷον δεῖ τὸν ἐπισκοπῆς ὀρεγόμενον εἶναι, τοῖς λοιποῖς καὶ τοῦτο προσέθετο· τὰ τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος. Τὰ θεωρίαις δὲ μίμων προσέχοντα καὶ ἱπποδρομίαις σχολάζοντα, καὶ τοιούτοις ἄλλοις, οὔτε ἀσωτίας ὑπόληψιν ἐκφεύξονται, οὔτε σεμνότης αὐτοῖς προσμαρτυρηθήσεται. Καὶ οὐ θαυμαστὸν εἰ τὰ τῶν ἱερέων τέκνα τοιαύτην διαγωγὴν ἀπαιτοῦνται· ἐπεὶ καὶ πᾶσι Χριστιανοῖς κεκήρυκται μὴ προσιέναι, ὅπου βλασφημίαι εἰσί. Βλασφημίας δὲ τὰ ἀσέμνως γινόμενα ἐκάλεσεν, ὡς βλασφημεῖ-

tione punietur. Atque hæc quidem, quocunque demum crimine sacratus accusetur, ita servari placet : at si civilis sive pecuniariæ rei sit controversia, quamvis secundum eum, qui sacris initiatus est, lis data fuerit; nisi tamen ipse rem totam et eam, quæ secundum ipsum pronuntiata fuit, sententiam contemnat, gradu suo nihilominus excidet. Quod si ab episcopis, aliisve cognitoribus, ad alios ecclesiasticos judices, metropolitanos videlicet, aut patriarchas, quispiam provocet, illique causa examinata, judicatum solvi, hoc est, rescindi placere decreverint; nihil in eos, inquit, qui prius judicium exercuere, grave constituatur : nisi forte illos, aut odio impulsos, quod videlicet ei, quem condemnarunt, infensi forent; aut studio, quod quempiam benevolentia erga illum adducti absolverint; aut mercede emptos, id namque est, gratia corruptos, judicasse probatum fuerit. Mercede namque emptus is dicitur, qui pecuniam accipit, aut aliud quodcunque beneficium, ab eo a quo corruptus esse dicitur. Nam quicunque aut odio aut amore adducti, aut largitione corrupti, judicium minus fideliter exercuisse deprehensi fuerint, propria illos dignitate multari decretum est. Quod si judices illi ipsi, qui inter se judicio conflictantur, accusator nimirum et reus, elegerint, quamvis, inquit, pauciores, quam præfinitum est, designentur, nempe in episcoporum causa duodenis, presbyterorum sex, diaconorum tribus : tamen ab his judicibus damnato provocandi facultas non erit. Quod civiles quoque leges eodem modo sanxere, ut tertio libro, titulo primo, capite quadragesimo quarto, et libro nono Basilicorum videre est. His absolutis, de filiis presbyterorum, ne aut spectacula ipsis exhibere aut quæ ab aliis exhibentur spectare liceat, canon decernit. Est vero hoc quod dicitur de spectaculis exhibendis ejusmodi : fuere siquidem in magnis urbibus theatra, tum equi quoque ad certamina bestiæque ad pugnam alebantur, eaque, tum equorum ac bestiarum, tum reliquorum spectaculorum, quæ in theatris exhibenda forent, curatio nonnullis ex civium numero committebatur, quibus, et equestre certamen, et bestiarum pugna, et quæcunque alia in theatris præberi solita, curæ fuere. Rerum igitur hujusmodi curatores esse sacerdotum filios hic canon vetat. Sacerdotes enim filios suos in doctrina ac lege Domini instituere debent, ut est apud divum Paulum, qui etiam Epistola ad Titum, dum eorum, qui sacerdotes creandi sunt, conditiones exsequitur, ad alia hoc quoque addidit: *Si quis filios habet fideles, non in accusatione luxuriæ, aut immorigeros*[11]. Et Epistola ad Timotheum, dum eum, qui episcopatum desiderat, qualem oporteat esse describit, præter cætera id etiam apposuit, filios habentem subditos cum omni castitate. Qui vero mimorum eorumque spectaculis, aliisque hu-

[11] Tit. I. 6.

Digitized by Google

jusmodi iudicris, occupantur, neque intemperantiæ crimen effugient, neque integritatis et castimoniæ testimonio commendabuntur. Nec vero mirum si hæc vitæ degendæ ratio a filiis sacerdotum exigatur; nam et Christianis omnibus, ne ad ea loca ubi blasphemiæ sunt accedere liceat, interdictum fuit. Blasphemiæ vero nomine ea, quæ licenter ac inverecunde fiunt, significavit. Ob illa quippe fideles, quasi temperantiæ integritatisque contemptores, ab infidelibus blasphemantur

535 ARIST. « Episcopus vel clericus, causa criminali ei instituta, si, relicta ecclesia, ad judicia « publica recurrat, etiam injuria affectus, proprium « amittet gradum. Si vero et vicerit in negotiis « politicis, si hoc sequatur, proprium gradum « amittet. Ecclesiasticos autem judices, nisi gratia aut odio antea judicasse convincantur, appellatio instituta non propellit. Si partes vero judices elegerint, ab iis ne discedant. »

Non oportet episcopum aut clericum judicium ecclesiasticum recusare. Quapropter si quis ex iis criminaliter accusatus, ecclesiasticum recusaverit judicium, et ad civiles judices accesserit, et coram iis, quæ ad accusationem suam spectant, denudaverit, quamvis innocens appareat, et pro eo lata sit sententia, proprium gradum amittet. Si autem non criminalis sit contra eos accusatio, sed pecuniaria, et accidat de ista evadere eos, judicium ipsis conveniens recusantes, et ad sæculares judices accedentes, et ab iis judicatos; si quidem sententiæ ab iis latæ acquiescere vellent, et id pro quo contendebant, exigere, proprium gradum amittent. Si autem despectui habuerint causæ suæ prolationem, illudque pro quo contendebant amittere mallent, locum suum retinebunt. Si quis autem ab episcopis accusatus et condemnatus, ad majores ecclesiasticos judices appellaverit, eorumque sententiam evertere potuerit, nullam hoc illis judicibus ecclesiasticis quorum sententia evertitur, noxam afferret, nisi forsitan propter odium, aut passionem, vel gratiam aliquam cum affectu sententiam tulisse convincantur. Quicunque autem ex accusatis episcopis aut clericis, ecclesiasticos judices elegerint, et ab iis judicari voluerint, quamvis contra episcopos accusatos duodecim episcopis sint pauciores, contra presbyteros autem et diaconos septem vel etiam quatuor, quemadmodum et in duodecimo præsentis synodi canone scripsimus, condemnati non debent contra judicium eorum appellare: appellatio enim judicis inscitiam vel injustitiam corrigit. Quomodo itaque, qui judices ecclesiasticos elegit, quos et sermone et vita inculpatos esse judicavit, dicens se insipienter et injuste ab iis judicari, et reprehensionem quamdam hominibus sacerdotalibus ab ipso judicatis afferre admittatur?

CANON XVI.

« Similiter placuit, ut episcopi, presbyteri et diaconi « conductores vel procuratores non fiant; nec « ex turpi aliquo vel vili negotio victum sibi quæ- « rant; debent enim ad id quod scriptum est re-

A σθαι ποιοῦντα τοὺς πιστοὺς παρὰ τῶν ἀπίστων, οἷα μὴ ἐν σωφροσύνῃ ζῶντας ἢ σεμνότητι

ΑΡΙΣΤ. « Ἐπίσκοπος ἢ κληρικὸς ἐγκληματικοῦ κι- « νουμένου πράγματος, εἰ τὴν ἐκκλησίαν ἀφεὶς, « τοῖς δημοσίοις προσδράμοι, καὶ ἀδικούμενος, « τὸν ἴδιον ἀπολέσει βαθμόν. Εἰ ὑπερέξει δὲ καὶ « ἐπὶ πολιτικαῖς κεφαλαίς, εἰ τούτῳ στοιχεῖη, τὸν « ἴδιον ἀπολέσει βαθμόν. Δικαστάς γε μὴν ἐκκλη- « σιαστικοὺς, εἰ μὴ ἐλέγχοιντο κατὰ προσπάθειαν « ἢ ἀντιπάθειαν προδεδιψηκότες, ἔκλητος γε- B « νομένη οὐκ ἀμύνεται. Ἐὰν δὲ τὰ μέρη ἐπιλέ- « ξωνται δικαστὰς, τούτων μὴ ἀφιστάσθωσαν. »

Οὐ δεῖ παραιτεῖσθαι ἐπίσκοπον ἢ κληρικὸν τὸ ἐκκλησιαστικὸν δικαστήριον. Ὅθεν ἐάν τις τούτων κατηγορούμενος ἐγκληματικῶς, τὴν ἐκκλησιαστικὴν παραιτήσηται κρίσιν; καὶ πολιτικοῖς δικασταῖς προσέλθῃ, καὶ παρ' ἐκείνοις γυμνάσῃ τὰ τῆς αἰτιάσεως· κἂν ἀνεύθυνος φανῇ, καὶ ὑπὲρ αὐτοῦ ἡ ἀπόφασις ἐξενεχθῇ, τὸν ἴδιον ἀπολέσει βαθμόν. Εἰ δὲ οὐκ ἐγκληματική ἐστιν ἡ κατ' αὐτῶν αἰτίασις, ἀλλὰ χρηματική, καὶ συμβῇ καὶ ἐπὶ ταύτην νικῆσαι αὐτοὺς, τὸ πρόσφορον αὐτοῖς παραιτησαμένους δικαστήριον, καὶ κοσμικοῖς δικασταῖς προσελθόντας, καὶ παρ' ἐκείνων κριθέντας· εἰ μὲν αἱροῦνται τῇ ὑπὲρ αὐτῶν ψήφῳ στοιχεῖν, καὶ τὸ πρᾶγμα εἰς ὃ ἐνίκησαν ἀπαι- C τῆσαι, τὸν ἴδιον βαθμὸν ἀπολέσουσιν. Εἰ δὲ καταφρονοῦσι τῆς δικαιώσεως, καὶ ἀπολέσαι αἱροῦνται τὸ εἰς ὃ ἐνίκησαν, τὸν οἰκεῖον τόπον καθέξουσιν. Εἰ δέ τις παρὰ ἐπισκόπων κριθεὶς, καὶ καταδικασθεὶς, πρὸς μείζονας ἐκκλησιαστικοὺς δικαστὰς ἐκκαλέσηται, καὶ ἀνατρέψαι ἰσχύσει τὴν ψῆφον αὐτῶν· οὐδεμίαν βλάβην τοῦτο ἐπάξει τοῖς ἐκκλησιαστικοῖς δικασταῖς ἐκείνοις, ὧν ἡ ἀπόφασις ἀνατρέπεται· εἰ μή που κατὰ ἔχθραν, ἢ κατὰ προσπάθειαν, ἢ κατά τινα χάριν ἀπελεγχθῶσιν ἐμπαθῶς τὴν κρίσιν ποιήσασθαι. Ὅσοι δὲ τῶν αἰτιωμένων ἐπισκόπων, ἢ κληρικῶν, ἐπιλέξονται ἐκκλησιαστικοὺς δικαστὰς, καὶ παρ' αὐτοῖς κριθῆναι θελήσουσι, κἂν ἧττονες ἐπὶ μὲν ἐπισκόπων κατηγορουμένων, τῶν δώδεκα ἐπισκόπων ὦσιν, ἐπὶ δὲ πρεσβυτέρων, καὶ διακόνων, D τῶν ἑπτὰ, ἢ καὶ τεσσάρων, καθὼς ἐν τῷ δωδεκάτῳ κανόνι τῆς παρούσης συνόδου ἐγράψαμεν, οὐκ ὀφείλουσι καταδικασθέντες· ἐκκαλεῖσθαι κατὰ τῆς κρίσεως αὐτῶν. Ἡ γὰρ ἔκκλητος ἀπειρίαν ἢ ἀδικίαν ἐπανορθοῦται τοῦ δικαστοῦ. Πῶς γοῦν ὁ ἐπιλεξάμενος ἐκκλησιαστικοὺς δικαστὰς, οὓς καὶ κατὰ λόγον, καὶ κατὰ βίαν ἀνεπιλήπτους ἔκρινεν εἶναι, παραδεχθήσεται, λέγων, ἀπείρως ἢ ἀδίκως ὑπ' αὐτῶν κριθῆναι, καὶ οἱονεί τινα μέμψιν τοῖς παρ' αὐτοῦ οἱονεὶ κριθεῖσιν ἱερατικοῖς ἐπάγειν ἀνδράσιν.

ΚΑΝΩΝ ΙϚ'.

« Ὁμοίως ἤρεσεν, ἵνα ἐπίσκοποι καὶ πρεσβύτεροι « καὶ διάκονοι ἐκλήπτορες μὴ γίνωνται ἢ προκου- « ράτορες, μηδὲ ἔκ τινος αἰσχροῦ ἢ ἀτίμου πρά- « γματος τροφὴν πορίζωνται· ὀφείλουσι γὰρ ἀπο-

Digitized by Google

« βλέψαι εἰς τὸ γεγραμμένον· *Οὐδεὶς στρατευό-* A
« *μενος τῷ Θεῷ ἐμπλέκεται ἑαυτὸν πράγμασι*
« *κοσμικοῖς*· καὶ ὥστε τοὺς ἀναγνώστας εἰς τὸν
« καιρὸν τῆς ἥβης ἐρχομένους ἀναγκάζεσθαι ἢ
« συμβίους ἀγαγέσθαι, ἢ ἐγκράτειαν ὁμολογεῖν.
« Ὡμοίως ἤρεσεν, ἵνα κληρικὸς, ἐὰν χρήματα δῷ
« ἐν χρήσει, τὰ χρήματα λάβῃ· ἐὰν εἶδος, ὅσον
« δέδωκε λάβῃ. Καὶ ἵνα πρὸ τῶν εἰκοσιπέντε
« ἐνιαυτῶν μήτε διάκονοι χειροτονῶνται. Ἀλλὰ
« καὶ οἱ ἀναγνῶσται τὸν δῆμον μὴ προσκυνῶσιν. »

ΒΑΛΣ Περὶ μὲν τῶν κληρικῶν τῶν παρεμβαλλόν-
των ἑαυτοὺς εἰς κοσμικὰς ἐνεργείας ἐγράψαμεν εἰς
τὸ ιγ' κεφ. τοῦ η' τίτλου τοῦ παρόντος συντάγματος,
εἰς τὸν ς' καὶ πγ' ἀποστολικὸν κανόνα, καὶ εἰς τὸν
γ' κανόνα τῆς δ' συνόδου· καὶ ἀνάγνωθι τούτους. Κα-
ταστρωθήσεται δὲ εἰς τὴν παροῦσαν ἑρμηνείαν καὶ ἡ B
κατὰ τὴν η' τοῦ Δεκεμβρίου μηνὸς τῆς ς' ἰνδικτιῶνος
γενομένη συνοδικὴ σημείωσις εἰς τὴν ἐφημερίαν τοῦ
ἁγιωτάτου ἐκείνου πατριάρχου κυρίου Λουκᾶ, ἡ καὶ
τόμου τάξιν ἐπέχουσα. Ὡσαύτως καὶ ἡ σημείωσις
τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Ἰωάννου,
ἡ γενομένη χάριν τοῦ μὴ συνηγορεῖν τοὺς ἱερωμέ-
νους. Καὶ ἡ δύναμις τοῦ σημειώματος τοῦ ἁγιωτάτου
πατριάρχου κυροῦ Μιχαὴλ τοῦ ὑπάτου τῶν φιλοσό-
φων, ἡ προβᾶσα χάριν τοῦ ἐπίσης τῷ διακόνῳ καὶ τῷ
ἱερεῖ κωλύεσθαι καὶ τὸν ἀναγνώστην ἐκ τῆς ἐνερ-
γείας τῶν κοσμικῶν ὀφφικίων. Ἐπεὶ δὲ ὁ παρὼν
κανὼν διορίζεται, μὴ πορίζεσθαι τοὺς ἱερωμένους τὰ
πρὸς τροφὴν ἀπὸ πραγμάτων αἰσχρῶν καὶ ἀτίμων,
ἐζητήθη πολλάκις ποῖα ταῦτά εἰσι. Καί τινες μὲν C
εἶπον εἶναι ταῦτα τὸ πορνοβοσκεῖν, τὸ καπηλικοῦ
ἐργαστηρίου προΐστασθαι, καὶ τὰ ὅμοια· ὁ δὲ ἁγιώ-
τατος πατριάρχης κυρὸς Λουκᾶς καὶ τὰ μυρεψικὰ
ἐργαστήρια καὶ τὰ βαλανεῖα αἰσχροκερδῆ εἶναι
ἔλεγεν, ὡς καὶ ψεύδους παραίτια. Ἀλλ' οὐδὲ ἀρχια-
τροὺς παρεχώρει γίνεσθαι τοὺς διακόνους ἢ τοὺς
ἱερεῖς, λέγων ἀνένδεκτον εἶναι τοὺς μετὰ φαινολίων
καὶ στιχαρίων τὰ ἅγια μεταχειριζομένους κοσμικὰς
στολὰς ἐνδιδύσκεσθαι, καὶ μετὰ λαϊκῶν ἀνδρῶν, τῶν
ἰατρῶν δηλαδὴ, προπομπεύειν. Ἐπὶ τούτοις νενομο-
θέτηται παρὰ τῶν ἁγίων Πατέρων τοὺς ἀναγνώστας
ἐν τῷ καιρῷ τῆς ἥβης μετὰ τὸν ιδ' ἐνιαυτὸν ἀναγκά-
ζεσθαι ἢ γάμῳ ὁμιλῆσαι ἢ ἀγαμίαν ὑποσχέσθαι.
Τοῦτο δὲ εἰ παρὰ τοῖς ἐν τῇ Ἀφρικῇ ἐκράτησεν, οὐκ
οἶδα, παρὰ δὲ ταῖς ἄλλαις ἐκκλησίαις οὐ κρατεῖ. D
Νομίζω δὲ ὅτι οὐδὲ ἔν τινι χώρᾳ τοῦτο ἐκράτησέ
ποτε, ὡς ἐναντιούμενον τῷ ἀποστολικῷ ς' κανόνι,
τῷ ὁρίζοντι ἀναγνώστας καὶ ψάλτας, καὶ μετὰ τὸ
εἰς κλῆρον προελθεῖν, γαμεῖν, καὶ μὴ καιρὸν αὐτοῖς
γάμου ὁρίζοντι, μήτε ἐγκράτειαν ἐπαγγέλλεσθαι
ἀπαιτοῦντι. Τὸ δὲ δανείζειν τοὺς κληρικοὺς ἐπὶ τό-
κοις πολλοὶ κανόνες ἀπαγορεύουσι. Καὶ ὁ παρὼν δὲ
κανὼν οὐ μόνον τοὺς τοῦ βήματος, ἀλλὰ καὶ πάντας
τοὺς κληρικοὺς τοκίζειν ἐμποδίζει. Ὅτι δὲ τῶν τό-
κων ἐπὶ δανείῳ νομισμάτων δεδομένων εἰκὸς ἦν
εἶναί τινας τοῦτο μὲν εἶναι κεκωλυμένον, τὸ δὲ δι-
δόναι σῖτον ἢ ἕτερον εἶδος, καὶ λαμβάνειν πλεῖον τοῦ

« spicere, *Nemo Deo militans seipsum implicat*
« *sæcularibus negotiis* [28], et, ut lectores ad
« pubertatis tempus venientes cogantur, vel uxo-
« res ducere, vel continentiam profiteri. Simili-
« ter placuit, ut si clericus mutuas pecunias de-
« derit, pecunias accipiat : sin autem speciem,
« quantum dederit accipiat. Et ut ante quinque
« et viginti annos diaconi non ordinentur. Sed
« et lectores populum non salutent. »

BALS. De clericis quidem, qui se negotiis sæcularibus ingerunt, scripsimus in decimo tertio capite octavi tituli præsentis operis ; in sexto et octogesimo tertio canone apostolico, et in tertio canone quartæ synodi, et lege eos. In præsenti autem interpretatione ponetur et quæ octavo mensis Decembris sexta indictione facta est synodalis declaratio, tempore sanctissimi patriarchæ domini Lucæ, quæ etiam decisionis locum obtinet. Similiter et promulgatio patriarchæ illius domini Joannis, quæ facta est, **536** ne causas agerent qui sacris initiati sunt. Et jus edicti sanctissimi patriarchæ domini Michaelis philosophorum summi, quod prodiit, ut æque, ac diaconus et sacerdos, lector quoque prohiberetur ab exercendis sæcularibus officiis. Quoniam autem præsens canon statuit, ne qui sunt sacrati victum quærant ex rebus turpibus et vilibus, sæpe quæsitum est, quænam sint eæ. Et nonnulli quidem dixerunt eas esse, lenonem esse ac meretrices alere, cauponatoriæ tabernæ præesse, et similia. Sanctissimus autem patriarcha dominus Lucas unguentarias quoque officinas et balnea turpis esse quæstus dicebat, ut quæ mendacii quoque causæ essent. Sed nec archiatros fieri sinebat diaconos vel sacerdotes, dicens non esse ferendum, ut qui cum infulis et casulis sancta tractant, sæcularibus vestibus induantur, et cum laicis, viris scilicet medicis, incedant. Postea autem cautum est a sanctis Patribus, ut lectores in tempore pubertatis post annum quartum decimum cogantur vel matrimonio conjungi vel cœlibatum profiteri. An hoc autem apud Africanos observatum sit, nescio : sed apud alias Ecclesias non servatur. Existimo autem, quod nec in ulla unquam regione hoc servatum sit ; ut quod apostolico sexto canoni adversetur, qui decernit, ut lectores et cantores, etiam postquam in clerum provecti fuerint, uxores ducant, et nec uxorem ducendi tempus definit, nec, ut continentiam profiteantur, exigit. Dare autem pecuniam mutuam ad usuram multi canones clericis prohibent. Præsens quoque canon, non solum eos qui sunt e tribunali, sed et omnes clericos fenerari prohibet. Quia autem, cum usuræ dabantur ob pecunias mutuo datas, verisimile erat dicere aliquos hoc quidem esse prohibitum ; dare autem frumentum vel aliquam aliam speciem, et plus accipere quam datum sit, non esse prohibitum : Patres hoc quoque expresse prohibuerunt.

[28] Tim. II, 4.

Digitized by Google

Sed et illud, ante completos quinque et viginti annos non ordinari diaconum, in diversis canonibus decretum est. Prohibitum est autem lectoribus, ne expleto ministerio ad populum conversi eum salutent : ut qui solos tunc debent sacerdotes et antistites adorare, et non laicos qui in ecclesia congregantur. Ipsi enim sunt sacrati : populus vero procul est a sacerdotio et consecratione. Ac ipse potius lectores adorare deberet propter ministerium eorum. Lege sanctorum apostolorum canones 17, 18, 19, 25, 26, synodi Ancyr. canonem 10, et Chalcedonensis canones 14, 15, sextæ canonem 3, 4, 6, 12, 13, 48, 58, et sancti Basilii canones 3, 6, 49, 70.

A δοθέντος, μὴ ἀπαγορευθῆναι, ἐκώλυσαν οἱ Πατέρες ῥητῶς καὶ τοῦτο. Ἀλλὰ καὶ τὸ πρὸ συμπληρώσεως κε' ἐνιαυτῶν μὴ χειροτονεῖσθαι διάκονον ἐν διαφόροις κανόσιν ὥρισται. Ἀπηγόρευται δὲ τοῖς ἀναγνώσταις, ἐν τῷ πληροῦν τὴν διακονίαν αὐτῶν στρέφεσθαι πρὸς τὸν δῆμον καὶ προσκυνεῖν, ὡς ὀφείλουσι τότε προσκυνεῖν μόνους τοὺς ἱερεῖς καὶ τοὺς ἀρχιερεῖς, καὶ οὐχὶ τοὺς λαϊκοὺς τοὺς ἐν τῇ Ἐκκλησίᾳ συναθροιζομένους· οἱ μὲν γὰρ ἱέρωνται, οἱ δὲ τοῦ δήμου πόρρω τῆς ἱερωσύνης εἰσί. Καὶ οὗτοι μᾶλλον τοὺς ἀναγνώστας προσκυνεῖν ὀφείλουσι, διὰ τὴν ὑπουργίαν αὐτῶν. Ἀνάγνωθι τῶν ἁγίων ἀποστόλων κανόνα ιζ', ιη', ιθ', κε', κς', συνόδου Ἀγκύρας κανόνα ι', τῆς ἐν Χαλκηδόνι κανόνα ιδ', ιε'· τῆς ς' κανόνα γ', δ', ς', ιβ', ιγ', μη', νη', καὶ τοῦ ἁγίου Βασιλείου κανόνα γ', ς', ξθ' καὶ ο'.

Et edictum quidem sanctissimi patriarchæ domini Lucæ sic se habet : Mense Decembri die 8, indict. 6. Sin autem etiam ille Ozan, qui divinam arcam, quæ everteba[tur], attigit, non parvo supplicio affectus est (atqui ejus erat institutum illam erigere, non diruere), quis est adeo audax, et ad extremam usque impudentiam arrogantiamque elatus, malo omnino spiritu ductus, qui non solum divina et spiritualia mandata in integrum non vult, sed etiam in contrarium detorquens, ea labefactare ac destruere impudenter molitur, eaque dissolvere quæ firme ac stabiliter locata sunt, et ea commovere quæ conquassari non possunt, ut quæ sint ædificata, ut aiunt, supra fundamentum apostolorum et prophetarum? Propterea nostra quoque moderatio non ferendum esse rata malam consuetudinem adhuc servari, quæ divina et humana confundit, et Ecclesiæ, quæ est ab omni reprehensione aliena Dei sponsa, constitutioni non vulgares maculas inurit, quæque superbia et vana negotiatione, et in iis, quæ sunt abjecta ab eaque abhorrentia, studio et labore, et turpibus præterea lucris, ejus honestatem splendoremque polluit; visum est eam esse radicitus evellendam, ut non amplius enascatur radix amaritudinis, secundum divinum apostolum, per præsentem nostram spiritualem et **537** paternam doctrinam, quæ scopum quidem aperte declarat causæ propositæ de iis, qui sacram auctoritatem sortiti sunt, et sæcularibus seipsos magistratibus et dignitatibus curisque ac negotiis implicant. Ad verbum autem sic se habet : Iis, qui sacerdotalem, inquiunt Patres, dignitatem sortiti sunt, testimonia et præclara facta sunt canonicarum constitutionum informationes, quas etiam lubenter admittentes, ad Dominum Deum cum Davide Dei præcone canimus : *In via testimoniorum tuorum delectatus sum, tanquam in omnibus divitiis* [19]. Et rursus : *Mandasti justitiam; testimonia tua in æternum doce me, et vivam* [20]. Quod si vox prophetica nos jubet in æternum Dei testimonia custodire, et in ipsis vivere, manifestum est ea inconcussa et nulla ratione la-

Τὸ μέντοι σημείωμα τοῦ ἁγιωτάτου πατριάρχου κυρίου Λουκᾶ ἔχει οὕτως· Μηνὶ Δεκεμβρίῳ η', ἡμέρᾳ α' ἰνδικτιῶνος ς. Εἰ δὲ καὶ Ὀζὰν ἐκεῖνος τῆς θείας κιβωτοῦ παρατραπείσης ἁψάμενος οὐ μικρὸν] κατ. εκρίθη τὸ ἐπιτίμιον (καίτοι σκοπὸς ἐν αὐτῷ πρὸς ἀνόρθωσιν ταύτης, οὐ πρὸς καθαίρεσιν), τίς οὕτω τολμηρὸς καὶ εἰς ἐσχάτην ἀναίδειαν καὶ ὑπερηφανίαν ἐξενεχθείς, πνεύματι πάντως ἀγόμενος πονηρῷ, ὃς μὴ μόνον οὐκ ἐπανορθοῦν αἱρεῖται τὰ θεῖα καὶ πνευματικὰ διατάγματα, ἀλλὰ καὶ τὴν ἐναντίαν τρεπόμενος, παρασαλεύειν ταῦτα καὶ καθαιρεῖν ἀναιδεύεται, καὶ παραλύειν τὰ παγίως ἠδρασμένα, καὶ παρακινεῖν τὰ ἀσάλευτα, ᾠκοδομημένα, καθώς φησιν, ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν; Διὰ τοῦτο καὶ ἡ μετριότης ἡμῶν οὐκ ἀνασχετὸν ἡγησαμένη πονηρὰν συνήθειαν καὶ ἔτι κρατεῖν, μιγνύουσαν θεῖά τε καὶ ἀνθρώπινα, καὶ τῇ τῆς Ἐκκλησίας καταστάσει, τῆς ἀμωμήτου νύμφης Χριστοῦ, σπίλους οὐ τοὺς τυχόντας προσεπιτρίβουσαν, καὶ τύφῳ καὶ ἀσχολίᾳ ματαίᾳ, καὶ τῇ περὶ τὰ εἰκαῖα καὶ ταύτῃ ἀπράδοντα διαπονήσει τε καὶ σπουδῇ, ἔτι γε μὴν καὶ ἀκερδέσι τὸ σεμνὸν ταύτης καταῤῥυπαίνουσαν, ηὐδόκησε ῥιζόθεν ταύτην ἀποτεμεῖν, ἵνα μὴ ῥίζα πικρίας καὶ ἔτι φυῇ, κατὰ τὸν θεῖον ἀπόστολον, διὰ τῆς παρούσης ἡμετέρας πνευματικῆς καὶ πατρικῆς διαλαλιᾶς, τῆς δηλούσης μὲν τὸν σκοπὸν φανερῶς τῆς προτεθείσης ὑποθέσεως περὶ τῶν ἱερὰν ἀξίαν λαχόντων, καὶ κοσμικαῖς ἑαυτοὺς ἐμπλεκόντων ἀρχαῖς καὶ ἀξίαις καὶ φροντίσι καὶ πράγμασι, οὕτω δὲ κατὰ ῥῆμα ἐχούσης· Τοῖς τὴν ἱερατικὴν, φασὶν οἱ Πατέρες, λαχοῦσιν ἀξίαν, μαρτύριά τε καὶ κατορθώματα αἱ τῶν κανονικῶν διατάξεων ὑποτυπώσεις εἰσὶν, ἃς καὶ ἀσμένως δεχόμενοι, πρὸς τὸν Δεσπότην Θεὸν μετὰ Δαβὶδ τοῦ θεοφάντορος ᾄδομεν· *Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ·* καὶ αὖθις· *Ἐντέλλῃ δικαιοσύνην· τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα συνέτισόν με, καὶ ζήσομαι.* Καὶ εἴπερ εἰς τὸν αἰῶνα φυλάττειν ἡμῖν ἐντέλλεται ἡ προφητικὴ φωνὴ τὰ μαρτύρια τοῦ Θεοῦ, καὶ ζῆν ἐν αὐτοῖς, δῆλον ὡς ἀκραδάντα καὶ ἀσάλευτα διαμένουσιν. Ὅτι οὕτω φησὶ

[19] Psal. cxviii, 14. [20] ibid. 138

καὶ ὁ θεόπτης Μωσῆς· *Ἐν αὐτοῖς οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν*. Τούτων τοίνυν οὕτως ὄντων καὶ διαμαρτυρουμένων ἡμῖν, ἀγαλλιώμενοι ἐπ' αὐτοῖς, ὡς, εἴ τις εὕρῃ σκῦλα πολλὰ, τοὺς θείους ἀσπασίως κανόνας ἐνστερνιζόμεθα, καὶ τὴν αὐτῶν διαταγὴν ὁλόκληρον καὶ ἀσάλευτον μένειν ὁλοψύχως αἱρούμεθα. Καὶ ἐπειδὴ τῶν ἐν κλήρῳ τεταγμένων τινὰς ἔγνωμεν πράγμασι κοσμικοῖς ἐμπλέκοντας ἀκανονίστως ἑαυτοὺς, οὓς μὲν κουρατωρείας καὶ προνοήσεις οἴκων ἀρχοντικῶν ἢ κτημάτων ἀναλαμβάνοντας, οὓς δὲ καὶ δημοσίων τελῶν εἰσπράξεις ἢ κεφαλαίων ἑτέρων, ἢ ἐξελάσεις πλοΐμων, ἢ δὴ καὶ ἀναγραφὰς ἢ λογοποιίας, ἢ καὶ ἑτέραν ὁμοίαν ἐνέργειαν, οὐκ ἐπὶ πράγμασιν ἐκκλησιαστικοῖς, ἀλλὰ κοσμικοῖς, ἐνίους δὲ καὶ ἀξίας τε καὶ ἀρχὰς τὰς τῆς πολιτείας ἀπονενεμημένας, τοῖς τοιούτοις παρεγγυώμεθα παύσασθαι τοῦ λοιποῦ τῶν εἰρημένων ἁπάντων· ταῖς ἐκκλησιαστικαῖς δὲ χρείαις προσευκαιρεῖν, εἰ μὴ βούλοιντο τῇ δεδογμένῃ τοῖς θείοις καὶ ἱεροῖς κανόσι καθαιρέσει τοῦ προσόντος αὐτοῖς ἐκκλησιαστικοῦ τοῦ βαθμοῦ ὑπαγαγεῖν ἑαυτούς. Εἰ γὰρ καὶ μακρᾷ συνηθείᾳ ἐδράζεσθαί τινες οἴονται τοῦ τοιαῦτα μετιέναι καὶ πρὸ αὐτῶν οὐκ ὀλίγους, πρὸς δὲ καὶ βασιλικάς φασί τε προβῆναι οἰκονομίας ἀνατιθείσας ἱερωμένοις ἀξίας τε καὶ κοσμικὰς καὶ ὀφφίκια ἢ ἐνεργείας ὁμοίας εἴτε ἀρχάς· ἀλλ' οὐχ ἑλκυσθήσεται πρὸς ὑπόδειγμα. Ἐπειδὴ γὰρ οὔθ' ὑπ' ἀμφιβολίαν οἱ περὶ τούτων ἱεροὶ καὶ θεῖοι κανόνες ἔπεσον, οὔτε δοκιμασία τις καὶ διάγνωσις ἔγγραφος προβεβήκει παρά τε τοῦ κατὰ καιρὸν τὰ τῆς βασιλείας σκῆπτρα διέποντος, ἔτι δὲ καὶ ἁγιωτάτων πατριαρχῶν καὶ συνόδων τούτους αὐτοὺς παραθραύουσα, οὐ τοὺς γεγραμμένους κανόνας αἱ τοιαῦται οἰκονομίαι, καὶ ἡ μὴ δοκιμασθεῖσα συνήθεια ὅλως παρασαλεύουσιν· αὗται δὲ μᾶλλον ὑπὸ τούτων τούναντίον τέλεον συντριβήσονται, ὡς χύτρα κατὰ τὸν Σολομῶντα προσκρούσασα λέβητι. *Πύλαι* γὰρ, φησὶν, *ᾅδου τῆς Ἐκκλησίας οὐ κατισχύσουσιν*, οἰκοδομηθεῖσης παρὰ Κυρίου ἐπὶ τῷ θεοκήρυκι Πέτρῳ, τῷ σὺν τοῖς λοιποῖς ἁγίοις ἀποστόλοις νομοθετήσαντι οὕτως ἐν ς' κανόνι αὐτῶν· *Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος κοσμικὰς φροντίδας μὴ ἀναλαμβανέτω· εἰ δὲ μή, καθαιρείσθω*. Ὡσαύτως καὶ ἐν πα' εἴπομεν ὅτι μὴ χρὴ ἐπίσκοπον ἢ πρεσβύτερον καθιέναι ἑαυτὸν εἰς δημοσιακὰς διοικήσεις, ἀλλὰ προσευκαιρεῖν ταῖς ἐκκλησιαστικαῖς χρείαις· ἢ πειθέσθω οὖν τοῦτο μὴ ποιεῖν, ἢ καθαιρείσθω. *Οὐδεὶς γὰρ δύναται δυσὶ κυρίοις δουλεύειν*, κατὰ τὴν Κυριακὴν παρακέλευσιν. Ἔτι καὶ ὁ πγ' φησίν· Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος στρατείᾳ σχολάζων, καὶ βουλόμενος ἀμφότερα κατέχειν, Ῥωμαϊκὴν ἀρχὴν καὶ ἱερατικὴν διοίκησιν, καθαιρείσθω. *Τὰ γὰρ Καίσαρος, Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ, τῷ Θεῷ*. Ἀλλὰ μὴν καὶ ὁ τῆς ἐν Καρθαγένῃ ις' οὕτως ἐν μέρει διαγορεύει· Ὁμοίως ἤρεσεν, ἵνα ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ διάκονοι ἐκλήπτορες μὴ γίνωνται ἢ προκουράτορες. Καὶ μετ' ὀλίγον· Οὐδεὶς γὰρ

befactanda permanere. Nam divinus quoque Moses sic inquit: *Non licet eis addere nec detrahere* [31]. Cum hæc itaque ita sint, et nobis testimonium ferant, in eis exsultantes, tanquam si quis multa spolia invenerit, divinos lubenter canones amplectimur, et eorum constitutionem integram et inconcussam manere toto animo eligimus. Quoniam autem nonnullos eorum qui sunt in clero constituti novimus se sæcularibus negotiis contra canones implicare: hos quidem domorum magistratuum vel possessionum curationes administrationesque suscipientes; illos vero etiam publicorum vectigalium exactiones, vel aliorum capitum, vel eorum quæ navibus portantur pensionum petitiones, vel colligendarum pecuniarum rationumque reddendarum munera, vel aliquod ejusmodi officium; non in ecclesiasticis, sed sæcularibus negotiis; nonnullisque eorum civiles etiam magistratus dignitatesque esse attributas: eis præcipimus ut deinceps a prædictis omnibus cessent, in ecclesiasticis autem negotiis officiisque versentur; nisi velint ei, quæ sacris divinisque canonibus placuit, gradus quem habent ecclesiastici depositioni subjici. Etsi enim longa consuetudine confirmari stabilirique quidam existimant, quod non pauci ante eos illa susceperint; præterea autem dicunt imperiales administrationes, quæ sæculares dignitates et officia, aut similia munera seu magistratus, sacratis hominibus committunt processisse: sed tamen non trahetur ad exemplum. Quia enim est citra controversiam, nec sacros ac divinos de iis canones intercidisse; nec ulla cognitio aut examinatio litteris mandata ab eo qui illo tempore imperialia sceptra tenebat, nec a sanctissimis patriarchis et synodis eos ipsos evertens, processit: scriptos canones ejusmodi dispensationes et non probata consuetudo omnino non labefactabunt; sed ipsæ potius ab eis penitus conterentur, sicut olla, inquit Solomon, quæ lebeti allisa est. *Portæ enim*, inquit, *inferi adversus Ecclesiam non prævalebunt* [32], quæ a Domino supra Dei præconem Petrum ædificata est, qui cum reliquis sanctis apostolis in sexto eorum canone sic decrevit: Episcopus, vel presbyter, vel diaconus sæcularia negotia non recipiat: sin minus, deponatur. Similiter et in octogesimo primo diximus, quod non oportet episcopum vel presbyterum ad publicas administrationes descendere, sed in ecclesiasticis negotiis officiisque versari: vel ergo hoc non facere persuadeatur, vel deponatur. *Nemo enim potest duobus dominis servire* [33], ut est præceptum Domini. Præterea et canon 83 inquit: Episcopus vel presbyter vel diaconus militiæ vacans, et volens utrumque obtinere, Romanum magistratum et sacerdotalem administrationem, deponatur. *Quæ enim sunt Cæsaris, Cæsari, et quæ sunt Dei, Deo* [34]. Jam vero et Carthaginensis decimus sextus sic præcise dicit: Similiter placuit, ut episcopi et presbyteri et diaconi non sint

[31] Deut. iv, 2. [32] Matth. xvi, 18. [33] Matth. vi, 24. [34] Luc. xx, 25.

Digitized by Google

administratores vel procuratores. Et paulo post : Nullus enim Deo militans implicat se sæcularibus negotiis. Cum his quoque canon 77 Chalcedonensis **538** synodi : Eos, qui semel in clero constituti sunt, vel monachos, statuimus neque ad militiam neque ad sæcularem dignitatem accedere : vel si hoc audeant, et non pœnitentia ducti ad id revertantur, quod propter Deum elegerunt, anathematizari. Et Constantinopolitani primi et secundi undecimus, hæc ita ad verbum persequitur : Presbyteros vel diaconos sæculares magistratus vel curas suscipientes, vel quæ in magistratuum ædibus dicuntur curationes, divini et sacri canones depositioni subjiciunt. Hoc ergo nos quoque confirmantes, etiam de reliquis, qui in clerum relati sunt, statuimus, ut, si quis eorum sæcularia negotia aggrediatur, vel quæ in magistratuum ædibus vel suburbanis curationes dicuntur, suscipiat, is ex clero expellatur. *Nemo* enim *potest*, secundum Christi veri Dei nostri dictum et verissimam vocem, *duobus dominis servire*. Et omnino manifesti sunt et aperti hi divini canones : et ideo non sunt transformandi vel aliter accipiendi. Si autem etiam causæ procuratorem quæ ad ecclesiam, cujus est clericus, non pertinet, fieri clerico prohibitum est, ne, inquit, divina ministeria impediantur, quanto magis prohibitum est majoribus sæcularibus negotiis implicari, quæ impediunt, ne possit ecclesiasticis negotiis vacare. Omnibus ergo religiosissimis sanctissimisque clericis in sancto Spiritu præcipimus, ut a dictis abstineant : vel sciant, se quidem segregationis pœnæ subjectos fore; quin et quod majorem quoque et canonicam acerbitatem non effugient, ejusmodi sæcularibus negotiis seipsos implicantes. Ad hoc enim præsens quoque nostræ mediocritatis decretum sacratissimis antistitibus scriptis tradi jussum est, ut etiam clericis, qui sunt ubicunque, sit manifestum.

Edictum patriarchæ domini Joannis sic se habet : Mense Februario die decimo sexto, feria tertia, indictione octava. Cum multos ecclesiasticos et monachos videremus alienas causas subeuntes, et pro iis decertantes, qui in civilibus et ecclesiasticis judiciis litigant, ab ecclesiastica consuetudine et legum gravitate, quod fiebat, indignum judicantes, statuimus, ut nemo deinceps, nec monachus, nec ullus ecclesiasticus, alienas causas suscipiens in judicio defendat. Id enim est aperte mercenaria opera. Et nemo tale quid agens nostræ moderationis supplicium effugiet : præterquam, si forte cum sit causa ecclesiastica, a nobis jubeatur alterutrius litigantium partis defensionem suscipere. Tunc enim præterquam quod a reprehensione erit alienus, in pœnam quoque non cadet. Præsens autem edictum omnibus quoque civilibus judicibus legi jussum est, ut, cum nostri decreti scientiam habuerint, eos omnino non admittant ad ullorum causas agendas. Vis autem edicti domini Michael hæc est : Mense Januario die decimo tertio, feria quarta,

A στρατευόμενος τῷ Θεῷ ἐμπλέκεται ἑαυτὸν πράγμασι κοσμικοῖς. Σὺν τούτοις καὶ ὁ οζ' τῆς ἐν Χαλκηδόνι συνόδου, τοὺς ἅπαξ ἐν κλήρῳ τεταγμένους ἢ καὶ μοναστὰς ὡρίσαμεν μήτε ἐπὶ στρατείαν μήτε ἐπὶ ἀξίαν κοσμικὴν ἔρχεσθαι· ἢ τοῦτο τολμῶντας, καὶ μὴ μεταμελομένους, ὥστε ἐπιστρέψαι ἐπὶ τοῦτο ὃ διὰ Θεὸν εἵλοντο, ἀναθεματίζεσθαι. Καὶ ὁ τῆς ἐν Κωνσταντινουπόλει α' καὶ β' συνόδου ια' τάδε κατὰ ῥῆμα διέξεισι· Τοὺς πρεσβυτέρους ἢ διακόνους κοσμικὰς ἀρχὰς ἢ φροντίδας ἀναδεχομένους, ἢ τὰς ἐν τοῖς οἴκοις τῶν ἀρχόντων λεγομένας κουρατωρείας, οἱ θεῖοι καὶ ἱεροὶ κανόνες καθαιρίσει καθυποβάλλουσι. Τοῦτο οὖν καὶ ἡμεῖς ἐπικυροῦντες, καὶ περὶ τῶν λοιπῶν τῶν ἐν κλήρῳ κατειλεγμένων διοριζόμεθα, ὡς, εἴ τις αὐτῶν κοσμικὰς ἀρχὰς μεταχειρίB ζοιτο, ἢ τὰς ἐν τοῖς τῶν ἀρχόντων οἴκοις ἢ προαστείοις λεγομένας κουρατωρείας ἀναδέχοιτο, τοῦτον τοῦ οἰκείου κλήρου ἀποδιώκεσθαι. *Οὐδεὶς* γὰρ *δύναται*, κατὰ τὴν τοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν αὐτόλεκτον καὶ ἀψευδεστάτην φωνήν, *δυσὶ κυρίοις δουλεύειν*. Καὶ σαφεῖς πάντως οἱ θεῖοι κανόνες οὗτοι καὶ πρόδηλοι· καὶ διὰ τοῦτο μεταποιεῖσθαι τούτους οὐ χρή. Εἰ δὲ καὶ ἐντολέα δίκης γίνεσθαι τὸν κεκληρωμένον κεκώλυται μὴ ἀνηκούσης τῇ ἐκκλησίᾳ ἧς ἐστι κληρικός, ἵνα, φησὶ, μὴ αἱ θεῖαι ὑπηρεσίαι παρεμποδίζοιντο, πόσῳ πλέον κεκώλυται μείζοσι κοσμικαῖς φροντίσιν ἐμπλέκεσθαι, παρεμποδιζούσαις αὐτῷ ταῖς ἐκκλησιαστικαῖς χρείαις προσευκαιρεῖν. Πᾶσι τοίνυν εὐλαβεστάτοις κληρικοῖς ἐν C ἁγίῳ παρεγγυώμεθα Πνεύματι τῶν εἰρημένων ἀπέχεσθαι· ἢ μὴν εἰδέναι ὡς ἔσονται μὲν ἐπιτιμίῳ ἀφορισμοῦ ὑποβεβλημένοι, καὶ τὴν μείζω δὲ κανονικὴν αὐστηρίαν οὐ διαφεύξονται, πράγμασι κοσμικοῖς τοιούτοις ἐμπλέκοντες ἑαυτούς. Ἐπὶ τούτῳ γὰρ καὶ ὁ παρὼν ἔγγραφος ὁρισμὸς τῆς ἡμῶν μετριότητος καὶ τοῖς ἱερωτάτοις ἀρχιερεῦσιν ἐπιδοθῆναι τετύπωται, ἵνα καὶ τοῖς ἁπανταχοῦ κληρικοῖς κατάδηλος γένηται

Τὸ σημείωμα τοῦ πατριάρχου Κυρίου Ἰωάννου ἔχει οὕτως· Μηνὶ Φεβρουαρίῳ ις', ἡμέρᾳ γ', ἰνδικτιῶνος η', πολλοὺς τῶν ἐκκλησιαστικῶν καὶ μοναχῶν καθορῶντες ὑποθέσεις ἀλλοτρίας ὑποδυομένους, καὶ ὑπεραγωνιζομένους τῶν δικαζομένων ἐν πολιτικοῖς καὶ ἐκκλησιαστικοῖς δικαστηρίοις, ἀλλότριον D τῆς ἐκκλησιαστικῆς συνηθείας, καὶ τῆς τῶν νόμων ἀκριβείας τὸ πραττόμενον κρίναντες, διοριζόμεθα μηκέτι τοῦ λοιποῦ μήτε μοναχὸν μήτε τῶν τινα ἐκκλησιαστικῶν ἀλλοτρίας ἀγωγὰς ὑπεισερχόμενον ἐν δικαστηρίῳ συνηγορεῖν. Ἐργολάβια γὰρ ἄντικρυς τοῦτο. Καὶ οὐκ ἄν τις τοιοῦτόν τι διαπραττόμενος τὴν ἀπὸ τῆς ἡμῶν μετριότητος ἐπιτίμησιν διαφεύξηται, πλὴν εἰ μήπω ἐκκλησιαστικῆς ὑποθέσεως οὔσης κελευσθείη παρ' ἡμῶν ὑπεραγωνίζεσθαι θατέρου μέρους τῶν δικαζομένων. Τηνικαῦτα γὰρ ἔξει τὸν τῷ ἀμέμπτῳ καὶ τὸ ἀνεπιτίμητον. Τὸ δὲ παρὸν σημείωμα ὑπαναγνωσθῆναι ὡρίσθη καὶ πᾶσι τοῖς πολιτικοῖς δικασταῖς, ἵν', ἐντεῦθεν εἴδησιν λαβόντες τοῦ ἡμετέρου διορισμοῦ, μὴ προσδέχωνται τοὺς τοιούτους εἰς τὸ εἶναι ὅλως συντηρεῖν. Ἡ δὲ δύναμις

Digitized by Google

τοῦ σημειώματος τοῦ κυροῦ Μιχαήλ ἐστιν αὕτη· Μηνὶ Ἰανουαρίῳ ιγ', ἡμέρᾳ δ', ἰνδικτιῶνος δ', καὶ ἐφεξῆς, διατάττεται καὶ τοὺς ἀναγνώστας ἐπίσης τοῖς διακόνοις καὶ τοῖς ἱερεῦσι μὴ ἀναδέχεσθαι κοσμικὰ ὀφφίκια ἢ πρακτωρικὰς ἐνεργείας ἢ κουρατωρείας, διὰ τὸν ια' κανόνα τῆς ἐν Κωνσταντινουπόλει α' καὶ β' συνόδου. Περὶ δὲ ἱερωμένων συνηγορούντων ἱκανῶς ἐγράψαμεν εἰς τὸ ιγ' κεφ. τοῦ η' τίτλου τοῦ παρόντος συντάγματος· καὶ ἀνάγνωθι ταῦτα. Καὶ τὰ μὲν τῶν κανόνων καὶ τῶν συνοδικῶν σημειωμάτων ἐν τούτοις. Λέγουσι δέ τινες χώραν ταῦτα ἔχειν, ὅταν δίχα προστάξεως βασιλικῆς ἐνεργῇ τις ἱερωμένος δουλείαν δημοσιακήν· εἰ γὰρ κατ' οἰκονομίαν βασιλικὴν τοιαύτην τινὰ δουλείαν ἀναδέξεταί τις, ὑπὸ τῶν ῥηθέντων κανόνων οὐ κωλυθήσεται, οὐδὲ βλαβήσεται. Καὶ προστιθέασιν ὡς ὁ βασιλεὺς οὔτε νόμοις οὔτε κανόσιν ὑπόκειται· διὸ καὶ ἐπ' ἀδείας ἔχει ἐπισκοπὴν εἰς μητρόπολιν ἄγειν, καὶ ἀποξενοῦν ἐκ τῶν οἰκείων μητροπόλεων, ὡσαύτως καὶ ἐνορίας ἀρχιερέων διαιρεῖν, καὶ ἐκ νέου ἐπισκόπους καὶ μητροπολίτας καθιστᾷν, καὶ διορίζεσθαι ἐπισκόποις ἱερουργεῖν ἀποκριματίστως εἰς ἀλλοτρίας ἐνορίας παρὰ γνώμην τῶν ἐγχωρίων ἐπισκόπων, καὶ ἄλλα τινὰ ἐνεργεῖν ἀρχιερατικὰ δίκαια. Χρῶνται δὲ καὶ τῷ ιβ' καὶ ιζ' κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ τῷ λη' κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου, τὰ αὐτὰ παρακελευομένοις. Ἐμοὶ δὲ δοκεῖ ὡς ἀπὸ τοῦ δ' κανόνος τῆς ἐν Χαλκηδόνι συνόδου καὶ μάλιστα ἐνεδόθη τῷ βασιλεῖ ἀνατιθέναι κοσμικῶν δουλειῶν ἐνεργείας ἱερωμένοις καὶ μοναχοῖς, κατὰ λόγον οἰκονομίας δοκούσης αὐτῷ. Εἰ γὰρ ὁ κατὰ χώραν ἐπίσκοπος δύναται τοῦτο ποιεῖν, πολλῷ πλέον ὁ βασιλεύς, ὁ μὴ ἀναγκαζόμενος ἀκολουθεῖν τοῖς κανόσι, τοῖς διοριζομένοις τὰς ψήφους τῶν ἐπισκόπων γίνεσθαι, καὶ μὴ παρὰ ἀρχόντων· κἀντεῦθεν καὶ ψήφου μὴ γενομένης πατριάρχας καὶ ἐπισκόπους προβαλλόμενος. Καὶ ἀνάγνωσον τὰ ἐν αὐτῷ δ' κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου γραφέντα.

A indictionis quartæ, et deinceps, constituit ne lectores æque ac diaconi et sacerdotes sæcularia officia suscipiant, vel exactorum munera, vel curationes, propter undecimum canonem primæ et secundæ Constantinopol. synodi. De sacratis autem hominibus causas agentibus satis scripsimus in cap. 13, tit. 8 præsentis operis : et lege ea. Ac canones quidem et synodalia edicta in his consistunt. Dicunt autem quidam, hæc locum habere, quando sine jussu imperatoris sacratus quispiam sæculare ministerium exercuerit : si enim ex dispensatione imperatoris quis hoc ministerium susceperit, a dictis canonibus non prohibebitur, nec lædetur. Et adjiciunt, quod imperator nec canonibus nec legibus subjicitur : et ideo est in ejus potestate episcopatus in metropoles erigere, et a suis metropolibus alienare, similiter etiam antistitum terminos dividere **539** et de novo episcopos et metropolitanos constituere; et jubere episcopis in alienis diœcesibus absque ullo præjudicio sacrificare præter sententiam episcoporum illius regionis, et alia ejusmodi episcopalia jura exercere. Utuntur autem etiam duodecimo et decimo sexto canone Chalced. syn., et tricesimo septimo canone synodi in Trullo, qui eadem præcipiunt. Mihi autem videtur, quod ex quarto canone Chalcedonensis synodi imperatori vel maxime concessum est sæcularium munerum functiones sacratis et monachis, ex ratione dispensationis quæ illi videtur tribuere. Si enim hoc potest regionis episcopus, multo magis imperator, qui non cogitur sequi canones, decernentes, episcoporum electiones a provincialibus episcopis fieri, non autem a magistratibus : et qui exinde, nulla facta electione, patriarchas et episcopos provehit. Et lege quæ in eodem quarto canone Chalcedonensis synodi scripta sunt

B

C

ΖΩΝΑΡ. Περὶ τοῦ μὴ γίνεσθαί τινας τῶν ἱερωμένων ἀλλοτρίων κτημάτων ἐκλήπτορας, ἤγουν μισθωτάς, μηδὲ προκουράτωρας, τουτέστι διοικητάς, φροντιστάς, πλατύτερον περιέχει τρίτος κανὼν τῆς δ' συνόδου. Καὶ ὁ πα' δὲ κανὼν τῶν ἁγίων ἀποστόλων τὸν ἐμβάλλοντα ἑαυτὸν εἰς δημοσίας διοικήσεις καθαιρεῖσθαι προστάττει· μηδὲ ἐκ τινος αἰσχροῦ καὶ ἀτίμου πράγματος τροφὴν πορίζεσθαι παρακελεύεται ὁ κανών. Αἰσχρὸν μὲν οὖν ἂν εἴη πρᾶγμα τὸ πορνοβοσκεῖν, ἤγουν τὸ πόρνας τρέφειν, ὥστε κερδαίνειν ἐκ τοῦ μισθώματος ἐκείνων, καὶ τὰ ὅμοια· ἄτιμον δ' ἐστὶ τὸ προΐστασθαι καπηλείου, καὶ τὰ παραπλήσια. Ἐκ τοιούτων οὖν τροφὴν πορίζεσθαι ὁ κανὼν ἀπαγορεύει τοῖς ἱερωμένοις· καὶ οὐκ εἶπε κέρδος, ἀλλὰ τροφήν. Κἂν γὰρ εἰς τοῦτο περιστῶσι πενίας, ὥστε μηδὲ τροφῆς εὐπορεῖν, οὐδ' οὕτω χρὴ αὐτοὺς ἐκ πράγματος αἰσχροῦ ἢ ἀτίμου πορίζεσθαι τροφήν. Ὀφείλουσι γάρ, φησὶ, τὸ ἀποστολικὸν ἐνοῆσαι παράγγελμα, τὸ λέγον· *Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ.* Εἰ δὲ τοῖς κοσμι-

D

ZONAR. Non licere cuiquam ex sacro ordine alienæ possessionis conductorem, mercenarium videlicet, neque procuratorem sive publicanum vel administratorem fieri, tertio quartæ synodi canone fusius explicatum est. Qui vero se publicæ administrationi immiscuerit, eum primus et octogesimus sanctorum apostolorum canon deponi jubet : eosdem ex aliquo turpi ac sordido negotio victum sibi parare hic canon vetat. Ac turpe quidem fuerit, exempli causa, si quis lenoniam exerceat, hoc est, alat meretrices, ut ex earum mercede ipse lucretur, atque hujus generis alia. Sordidum vero cauponari, et similia. Victum igitur sibi ejusmodi artibus quærere hoc canone sacris initiati homines prohibentur : neque vero lucrum dixit, sed victum. Quamvis enim eo inopiæ redigantur, ut alimenta quoque deficiant; ne tunc quidem eos turpi aut sordido artificii genere vitæ subsidia comparare oportet. Eos enim, inquit, illius apostolici præcepti memores esse decet, quod ait : *Nemo militans implicat se negotiis sæcularibus, ut ei placeat qui*

Digitized by Google

milites elegit [35]. Quod si de profana militia verum est, certe in eos, qui divinæ militiæ in sacro ordine mancipati sunt, longe accommodatius quadrabit. De lectoribus vero quod sequitur, ut pubertatis tempore, quarto decimo scilicet anno expleto, vel matrimonio jungi, vel cœlibatum profiteri cogantur : an ea in Africana Ecclesia consuetudo inoleverit haud facile dixerim. In aliis certe Ecclesiis haud viget; imo nec ullo unquam tempore viguisse ego quidem existimo ; adversatur quippe sanctorum apostolorum vicesimo sexto canoni, qui lectoribus et cantoribus, postquam in clerum ascripti fuerint, uxores ducendas esse statuit, neque certum aliquod tempus nuptiarum præscribit, aut aliqua eos continentiæ professione obligandos esse decernit. De fenore porro a clericis non exercendo multi canones exstant : idemque hoc quoque canone ne liceat constitutum; ac si quidem, inquit, pecuniam aut nummos utendos cuipiam clericus concesserit, hoc est, mutuos dederit, totidem sibi vicissim, nec plures ullo modo, curet reddendos : si vero rei speciem, frumentum quippe aut vinum, aut ejusmodi quidpiam dederit, tantumdem, quantum dedit, nec plus aliquid vicissim accipiat. Illud quoque, ne minores quinque et viginti annis diaconi eligantur, complures item canones decrevere. Deinde lectoribus, ne expleto ministerio se ad populum salutandi gratia convertant, interdictum. Solos namque eo tempore antistites et sacerdotes, non congregatam in ecclesia multitudinem, ab iis salutari fas est. Ipsi enim sacrati sunt, multitudo vero a sacris ordinibus longo intervallo disjuncta : ut proinde iis potius a populo honorem exhiberi, præsertim dum in sui ministerii functionibus versantur, oporteat

A κὴν στρατευομένοις στρατείαν τοῦτο εἴρηται, πολλῷ μᾶλλον ἁρμόσει τοῖς τῷ Θεῷ στρατευομένοις διὰ τῆς ἱερωσύνης. Τὸ δὲ τοὺς ἀναγνώστας ἐν τῷ καιρῷ τῆς ἥβης, ἤγουν μετὰ τὸν ιδ' ἐνιαυτὸν ἀναγκάζεσθαι ἢ γάμῳ ὁμιλῆσαι, ἢ ἁγαμίαν ὑποσχέσθαι, οὐκ οἶδα εἰ παρὰ τοῖς ἐν Ἀφρικῇ ἐκράτησε. Παρὰ δὲ ταῖς ἄλλαις Ἐκκλησίαις οὐ κρατεῖ· οἶμαι δὲ ὅτι οὐδὲ πώποτε ἐκράτησεν, ἐναντιούμενον τῷ κς' ἀποστολικῷ κανόνι, ὁρίζοντι ἀναγνώστας καὶ ψάλτας, μετὰ τὸ εἰς κλῆρον προελθεῖν, γαμεῖν, καὶ μὴ καιρὸν αὐτοῖς τοῦ γάμου ὁρίζοντι, μήτε ἐγκράτειαν ἐπαγγέλλεσθαι ἀπαιτοῦντι. Τὸ δὲ δανείζειν τοὺς κληρικοὺς ἐπὶ τόκοις πολλοῖς ἀπηγόρευται κανόσι· καὶ οὗτος δὲ τὸ αὐτὸ κελεύει· καί φησιν, ἐὰν χρήματα ἤτοι νομίσματα δῷ κληρικὸς ἐν χρήσει, ἤγουν B δανείσῃ τὰ χρήματα, τουτέστι τοσαῦτα λήψεται καὶ οὐ πλείονα· ἐὰν δὲ εἶδος δῷ, σῖτον τυχὸν ἢ οἶνον, ἢ ἕτερόν τι τοιοῦτον, ὅσον ἔδωκε, λήψεται, καὶ οὐ πλέον. Καὶ τὸ πρὸ συμπληρώσεως κε' ἐνιαυτῶν μὴ χειροτονεῖσθαι διάκονον, διαφόροις κανόσιν ὥρισται. Ἀπηγόρευται δὲ τοῖς ἀναγνώσταις ἐν τῷ πληροῦν τὴν διακονίαν αὐτῶν στρέφεσθαι πρὸς τὸν δῆμον, καὶ προσκυνεῖν. Μόνοις γὰρ τοῖς ἀρχιερεῦσι τότε καὶ τοῖς ἱερεῦσιν ὀφείλουσι προσκυνεῖν, καὶ οὐχὶ τῷ πλήθει τῶν ἐν τῇ Ἐκκλησίᾳ συναθροιζομένων. Οἱ μὲν γὰρ ἱέρωνται, οἱ δὲ τοῦ δήμου πόρρω τῆς ἱερωσύνης εἰσὶ, καὶ μᾶλλον τιμᾶσθαι δέον, καὶ ταῦτα ἐν καιρῷ τῆς ὑπουργίας αὐτῶν.

ARIST. « Episcopus, presbyter, et diaconus non « fiunt conductores, neque procuratores. Lector « pubes factus vel matrimonium contrahat vel « continentiam profiteatur. »

C ΑΡΙΣΤ. « Ἐπίσκοπος, πρεσβύτερος, καὶ διάκονος, « ἐκλήπτορες οὐ γίνονται, οὐδὲ προκουράτορες. « Ὁ ἄνηβος ἀναγνώστης ἢ γάμον αἱρείσθω, ἢ « ἐγκράτειαν ὁμολογείτω. »

Episcopos, et presbyteros, et diaconos feneratores, **540** aut possessionum aliquarum conductores, vel etiam provisores fieri, et præsens canon prohibet et diversi alii. Lector autem, qui impuberem ætatem transilierit, et viginti fere annos attigerit, et hypodiaconus fieri cupit (nam viginti annis junior hypodiaconus non ordinatur, ut decimus quintus sextæ in Trullo synodi canon statuit), vel uxorem ante ordinationem ducat, vel cælibem agere profiteatur. Nam post ordinationem nec presbytero, nec diacono, nec hypodiacono matrimoniale jugum in se suscipere licet : sed lectoribus solis et cantoribus illud permittitur, quemadmodum sextus sextæ in Trullo synodi canon statuit.

Τὸ πακτωναρίους, ἢ μισθωτὰς κτημάτων τινῶν, ἢ καὶ προνοητὰς γίνεσθαι ἐπισκόπους, καὶ πρεσβυτέρους, καὶ διακόνους, καὶ ὁ παρὼν κωλύει κανὼν, καὶ ἕτεροι διάφοροι. Ἀναγνώστης δὲ τὴν ἄνηβον ὑπεραναβὰς ἡλικίαν, καὶ ἐγγύς που τῶν εἴκοσι χρόνων γενόμενος, καὶ βουληθεὶς γενέσθαι ὑποδιάκονος (οὐδὲ γὰρ ἥττων τῶν εἴκοσι χρόνων χειροτονεῖται ὑποδιάκονος, καθὼς ὁ πεντεκαιδέκατος κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου διαλαμβάνει) ἢ γυναῖκα πρὸ τῆς χειροτονίας λαμβανέτω, ἢ παρθενεύειν ὁμολογείτω. Μετὰ γὰρ τὴν χειροτονίαν οὔτε D πρεσβύτερος, οὔτε διάκονος, οὔτε ὑποδιάκονος, γαμικὸν ἑαυτῷ συνιστᾷν συνοικέσιον ἐπ' ἀδείας ἔχει· ἀλλὰ μόνοις τοῖς ἀναγνώσταις καὶ ψάλταις τοῦτο ἐφεῖται, καθὼς ὁ ἕκτος κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου παρίστησι

CANON XVII.

« Placuit, ut Mauritania Sitiphensis, ut petivit,

ΚΑΝΩΝ ΙΖ'.

« Ἤρεσεν, ἵνα ἡ Μαυριτανία Σιτιφένσης (16), ὡς

[35] II Tim. II, 4.

Guill. Beveregii notæ.

(16) *Ἵνα ἡ Μαυριτανία Σιτιφένσης.* Hic canon ut recte intelligatur, primo tenendum est, Africam proprie sic dictam, sive tractum istum a freto Gaditano ad Cyrenaicam regionem porre-

Digitized by Google

« ἤτησε, τὸν πρωτεύοντα τῆς Νουμιδικῆς χώρας, A
« ἥστινος ἐκ τῆς συνόδου κεχώρισται, ἴδιον ἔχῃ
« πρωτεύοντα. Συναινέσει πάντων τῶν πρωτευόν-
« των τῶν Ἀφρικανῶν ἐπαρχιῶν καὶ πάντων
« ἐπισκόπων διὰ τὸ μακροδαπὲς ἔχειν ἐπιτράπη.

ΒΑΛΣ. Τοπικός ἐστιν ὁ κανών.

ΖΩΝΑΡ. Καὶ οὗτος ὁ κανὼν τοπικός ἐστι, περὶ ἐκείνης μόνης τῆς χώρας διατατόμενος, περὶ ἧς ἐξεφωνήθη, ἀλλαχοῦ δὲ μὴ ἐξακουόμενος.

ΑΡΙΣΤ. « Κληρικὸς χρήσας τὸ χρησθὲν λήψεται, ἢ
« τοσοῦτον. Πρὸ τῶν εἴκοσι καὶ πέντε χρόνων
« διάκονος οὐ διάκονος. Καὶ οἱ ἀναγνῶσται τὸν
« δῆμον μὴ προσκυνείτωσαν. Ἡ Μαυριτανία Σι-
« τιφένσης ἴδιον πρωτεύοντα διὰ τὸ μακροδαπὲς
« ἔχειν ἐπετράπη. »

Πλεῖον οὗπερ δέδωκέ τινι ὁ κληρικὸς εἰς δάνειον B
ἢ εἰς χρῆσιν λαβεῖν οὐκ ὀφείλει· ἀλλ' ἐκεῖνο μόνον
τὸ δοθὲν, ἢ ἐκείνου μὴ περισωζομένου, ἕτερον τῆς
αὐτῆς ὂν καλλονῆς καὶ ποιότητος καὶ ποσότητος.
Ἀλλ' οὐδὲ πρὸ τῶν εἴκοσι πέντε χρόνων χειροτονεῖ-
ται διάκονος. Οὔτε οἱ ἀναγνῶσται τῷ δήμῳ συγχω-
ροῦνται συντάττεσθαι καὶ ὑπὸ τὴν ἐκείνου γενέσθαι

« primatem Numidicæ regionis, a qua ex synodo
« separata est, habeat proprium primatem. Con-
« sensu omnium primatum Africanarum provin-
« ciarum et omnium episcoporum, ob magnum
« intervallum, habere permissa est.

BALS. Localis est canon.

ZONAR. Hic quoque canon est localis, ac eam tantummodo regionem, de qua promulgatus est, complectitur. Alibi non auditur.

ARIST. « Clericus, qui mutuo dedit, quod dedit
« accipiat, vel tantumdem. Qui ante annos vi-
« ginti quinque fit diaconus, non est diaconus.
« Et lectores populum ne salutent. Mauritania
« Sitiphensis proprium primatem propter ma-
« gnam distantiam habere permittitur. »

Plus quam clericus cuilibet in mutuum dedit aut usuram, non debet accipere; sed illud tantum quod datum fuit, aut si illud non supersit, aliud aliquid ejusdem bonitatis, qualitatis et quantitatis. Sed nec ante viginti quinque annos ordinatur diaconus. Nec lectores cum populo permittuntur collocari, et ejus subesse potestati, mandata ex-

Guill. Beveregii notæ.

ΖΩΝΑΡ. Τοὺς ἐπισκόπους καὶ τοὺς προεστῶτας λογικοῦ ποιμνίου πάντας ἁπλῶς, καὶ αὐτὸ τὸ δίκαιον καὶ οἱ κανόνες τῷ δικαίῳ ἑπόμενοι ἀπαιτοῦσι προσμένειν ταῖς ἐκκλησίαις αὐτῶν, καὶ ποιμαίνειν καὶ καταρτίζειν τοὺς ἐμπιστευομένους αὐτοῖς λαούς. Διὸ καὶ ὁ κανὼν οὗτος πέραν θαλάσσης, ἤγουν μακρὰν ὁδὸν, μὴ ἀποδημεῖν ἐπίσκοπον ἐκκελεύεται· εἰ δέ ποτε ἀνάγκη ἐπείγει τοῦτο γενέσθαι, μὴ ἄλλως ἀπιέναι αὐτὸν εἰ μὴ κατὰ ψηφίσματος τοῦ τῆς πρώτης καθέδρας τῆς ἐπαρχίας ἐκείνης ἐπισκόπου. Ψηφίσματος δ' ἐμνήσθη, ἵνα δείξῃ ὅτι, εἰ μὴ ὁ τῆς χώρας ἐκείνης πατριάρχης ἢ μητροπολίτης ἐξετάσει τὴν αἰτίαν, δι' ἣν ἀποδημῆσαι μέλλει ὁ ἐπίσκοπος, καὶ διαγνῷ ἀναγκαίαν εἶναι, καὶ δώσῃ αὐτῷ τὴν λεγομένην ἀπολυτικὴν ἐπιστολὴν, οὐ δύναται κανονικῶς ἀποδημῆσαι. Ψήφισμα δὲ ἡ διάγνωσις καὶ ἡ ἀπόφασις λέγεται. Κατ' ἐξαίρετον δὲ τοῦ πρωτεύοντος, φησὶν, ἐπεὶ ἐν ἑτέρῳ κανόνι εἴρηται ὅτι καὶ τῶν ἐπισκόπων τῆς ἐπαρχίας ἐκείνης δεῖ κομίζεσθαι τὸν ἀποδημοῦντα ἐπιστολάς. Διὰ τοῦτο οὖν τὸν λόγον εἶπεν ἐπὶ τοῦ πρωτεύοντος τῆς ἐπαρχίας τὸ κατ' ἐξαίρετον, τουτέστι, καλὸν μὲν καὶ πάντων τῶν ἐπισκόπων τῆς χώρας ἔχειν ἐπιστολὰς, κατ' ἐξαίρετον δὲ, ἀντὶ τοῦ κυρίως δὲ, τοῦ πρωτεύοντος ἔχειν ἀπολυτικὴν, τετυπωμένην, ἤτοι παράθεσιν, τυποῦσαν δηλονότι ἀναγκαίαν εἶναι τὴν ἀποδημίαν αὐτοῦ, ἢ τετυπωμένην, ἀντὶ τοῦ ἐνσεσημασμένην, ὑπογεγραμμένην. Τὸ δὲ, ἤτοι παράθεσιν, ἀντὶ τοῦ παρατιθεῖσαν αὐτὸν τοῖς πρὸς οὓς ἄπεισιν, ἤγουν γνωρίζουσαν, ἀξιοῦσαν περὶ αὐτοῦ, παριστῶσαν αὐτόν.

Digitized by Google

ΑΡΙΣΤ. « Ἐπίσκοπος οὐκ ἀποδημήσει πέραν θα-
« λάσσης, εἰ μὴ τοῦ πρωτεύοντος τῆς χώρας ἀπο
« λυτικὴν λάβῃ παράθεσιν.

Οὔτε ἐπίσκοπος οὔτε κληρικὸς μακρὰν ἀποδημεῖν
ὀφείλει ἄνευ γνώμης καὶ γραμμάτων τοῦ πρωτεύον-
τος ἐν αὐτῇ· καθὼς καὶ τῇ ἐν Σαρδικῇ συνόδῳ καὶ
τῇ ἐν Λαοδικείᾳ δοκεῖ.

ΚΑΝΩΝ ΚΖ'.

« Ὁμοίως ἤρεσεν, ἵνα ἐκτὸς τῶν κανονικῶν Γραφῶν
« μηδὲν ἐν τῇ ἐκκλησίᾳ ἀναγινώσκηται ἐπ' ὀνό-
« ματι θείων Γραφῶν. Εἰσὶ δὲ αἱ κανονικαὶ Γραφαί,
« Γένεσις, Ἔξοδος, Λευϊτικόν, Ἀριθμοί, Δευτε-
« ρονόμιον, Ἰησοῦς ὁ τοῦ Ναυῆ, Κριταί, Ῥοὺθ,
« τῶν Βασιλειῶν τέσσαρες, τῶν Παραλειπομένων
« βίβλοι δύο, Ἰὼβ, Ψαλτήριον, Σολομῶντος βίβλοι
« πέντε, τῶν προφητῶν βίβλοι δώδεκα, Ἡσαΐας, B
« Ἱερεμίας, Ἰεζεκιὴλ, Δανιὴλ, Τωβίας, Ἰουδὶθ,
« Ἐσθὴρ, Ἔσδρα βίβλοι δύο. Τῆς νέας Διαθήκης
« Εὐαγγέλια τέσσαρα, Πράξεων τῶν ἀποστόλων
« βίβλος μία, ἐπιστολαὶ Παύλου δεκατέσσαρις,
« Πέτρου ἀποστόλου δύο, Ἰωάννου ἀποστόλου
« τρεῖς, Ἰακώβου ἀποστόλου μία, Ἰούδα ἀποστόλου
« μία, Ἀποκαλύψεως Ἰωάννου βίβλος μία. Τοῦτο
« δὲ ἀδελφῷ καὶ συλλειτουργῷ ἡμῶν Βονιφατίῳ
« καὶ τοῖς ἄλλοις τῶν αὐτῶν μερῶν ἐπισκόποις
« πρὸς βεβαίωσιν τοῦ προκειμένου κανόνος γνω-
« ρισθῇ ἐπειδὴ παρὰ τῶν Πατέρων ταῦτα ἐν τῇ
« ἐκκλησίᾳ ἀναγνωστέα παρελάβομεν.

ΒΑΛΣ. Περὶ τοῦ τίνα δεῖ ἀναγινώσκεσθαι βιβλία
ἐπ' ἐκκλησίας ζήτει τῶν ἁγίων ἀποστόλων κανόνα ξ' C
καὶ πε', τῆς ἐν Λαοδικείᾳ συνόδου κανόνα ξ', τὰ ἔμ-
με-ρα τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου, καὶ τὰ
κανονικὰ τοῦ ἁγίου Ἀθανασίου καὶ τοῦ ἁγίου Ἀμ-
φιλοχίου.

ΖΩΝΑΡ. Περὶ τοῦ τίνα δεῖ ἀναγινώσκεσθαι βιβλία
ἐπ' ἐκκλησίᾳ καὶ ὁ τελευταῖος τῶν ἀποστολικῶν κα-
νόνων διαλαμβάνει, καὶ ὁ τῆς ἐν Λαοδικείᾳ συνόδου
ν̄θ' κανών, καὶ ὁ μέγας Ἀθανάσιος ἀπαριθμεῖται,
ὅσα χρὴ ἀναγινώσκεσθαι βιβλία, καὶ ὁ μέγας Γρηγό-
ριος ὁ Θεολόγος, καὶ ὁ ἅγιος Ἀμφιλόχιος (19).

« ΑΡΙΣΤ. Μηδὲν ἔξω τῶν κεκανονισμένων Γραφῶν
« ἐν ἐκκλησίᾳ ἀναγινωσκέσθω.

Παρὰ τὰ κεκανονισμένα βιβλία τῆς Παλαιᾶς καὶ
Καινῆς Διαθήκης ἕτερα ψευδεπίγραφα τῶν ἀσεβῶν
βιβλία ἐπ' ἐκκλησίας, ὦ, ἅγια, οὐκ ἀναγνωσθήσον- D
ται· ἀλλ' ὁ τοῦτο ποιῶν κληρικὸς καθαιρεθήσεται·
ὡς καὶ ὁ ἑξηκοστὸς κανὼν τῶν ἁγίων ἀποστόλων
διαλαμβάνει, καὶ ἕτεροι πολλοί.

ΚΑΝΩΝ ΚΗ'.

« Αὐρήλιος ἐπίσκοπος εἶπεν· Προστίθημι, ἀδελφοὶ
« τιμιώτατοι, πρὸς τούτοις, ἐν τῷ ἀναφέρεσθαι
« ἕνεκεν ἐγκρατείας τῆς περὶ τὰς ἰδίας γυναῖκας

A 549 ARIST. « Episcopus trans mare non peregri-
« nabitur, nisi a regionis primate dimissoriam
« acceperit expositionem. »

Nec episcopus nec clericus peregre proficisci de-
bet, sine sententia et litteris provinciæ primatis:
quemadmodum et Sardicensi synodo et Laodicenæ
visum est.

CANON XXVII.

« Item placuit, ut præter canonicas Scripturas nihil
« in ecclesia legatur sub nomine divinarum
« Scripturarum. Sunt autem canonicæ Scriptu-
« ræ, Genesis, Exodus, Leviticus, Numeri, Deu-
« teronomium, Jesus Nave, Judices, Ruth, Re-
« gnorum libri quatuor, Paralipomenon libri duo,
« Job, Psalterium, Solomonis libri quinque, Pro-
« phetarum libri duodecim, Isaias, Jeremias,
« Ezechiel, Danielis, Tobias, Judith, Esther,
« Esdræ libri duo; Novi Testamenti Evangelia
« quatuor, Actorum apostolorum liber unus,
« Epistolæ Pauli quatuordecim, Petri apostoli
« duo, apostoli Joannis tres, Jacobi apostoli
« una, Judæ apostoli una, Apocalypsis Joannis
« liber unus. Hoc autem fratri et nostro in sacris
« comministro Bonifacio, et aliis earumdem re-
« gionum episcopis, ad propositi canonis confir-
« mationem, significetur, quoniam a Patribus
« hæc in ecclesia legenda accepimus. »

BALS. Quosnam libros legi in ecclesia opor-
teat, quære sanctorum apostolorum canones 40 et
85, Laod. syn. can. 60, sancti Gregorii Theologi
ea quæ metro scripsit, et sancti Athanasii canonica
et sancti Amphilochii.

ZONAR. Quos libros legere in ecclesiis oporteat,
et postremus apostolorum canon et Laodicenæ
synodi undesexagesimus statuit: et magnus Atha-
nasius, qui libri legendi sint, omnes enumerat, et
magnus Gregorius Theologus, et sanctus Amphilo-
chius.

ARIST. « Nihil præter Scripturas canonicas in ec-
« clesia legatur. »

Præter libros in canonem receptos Veteris et
Novi Testamenti, alii falso scripti impiorum libri,
in ecclesia, ut sancti non legentur. Sed clericus,
qui hoc fecerit, deponetur; ut et sexagesimus
sanctorum apostolorum canon statuit, et multi
alii.

CANON XXVIII.

« Aurelius episcopus dixit: Iis adjicio, fratres
« imprimis venerabiles, dum de continentia quo-
« rumdam clericorum, præterquam lectorum

Guill. Beveregii notæ.

(19) *Καὶ ὁ ἅγιος Ἀμφιλόχιος.* Post hæc Zo-
naræ verba in ms. Gallandi additur, Οὐ: οἶμαι καὶ
οὗτοι Πατέρας ὠνόμασαν, παραδόντας τινὰ βιβλία
ἀναγινώσκεσθαι χρή. Ὅμως κοινωθῆναι τὸν κανόνα
τοῦτον ἔδοξεν αὐτοῖς καὶ πάπᾳ Βονιφατίῳ καὶ τοῖς
ἐπισκόποις τῶν μερῶν ἐκείνων, δηλαδὴ τῆς Ἰτα-
λίας. *Unos, ut opinor, hi nominarunt Patres, tra-*
dentes quos libros legere oportet. Similiter visum
est iis, hunc canonem communicari etiam cum Bo-
nifacio papa et episcopis istarum partium, scilicet
Italiæ. Sed codex Amerbachianus hæc verba non
agnoscit, etiamsi Zonaræ reapse esse videan-
tur.

Digitized by Google

« erga suas uxores refertur, id quod in diversis A « canonibus confirmatum est : ut hypodiaconi, « qui sacra mysteria contrectant, et diaconi, et « presbyteri, quin etiam et episcopi in propriis « terminis a conjugibus abstineant, ut sint tan- « quam non habentes ; quod nisi fecerint, ab ec- « clesiastico officio moveantur. Reliqui autem cle- « rici ad hoc non cogantur, nisi in provecta « ætate. Ab universa synodo dictum est : Quæ « vestra sanctitas juste composuit, cum sancta « sint et Deo grata, confirmamus. »

« τινων τῶν κληρικῶν, ἐξαιρέτως ἀναγνωστῶν, « τὸ ἐν διαφόροις συνόδοις βεβαιωθέν · ὥστε τοὺς « ὑποδιακόνους, τοὺς τὰ ἱερὰ μυστήρια ψηλα- « φῶντας, καὶ τοὺς διακόνους καὶ πρεσβυτέρους, « ἀλλὰ καὶ ἐπισκόπους κατὰ τοὺς ἰδίους ὅρους καὶ « ἐκ τῶν συμβίων ἐγκρατεύεσθαι, ἵνα ὡς μὴ « ἔχοντες ὦσιν ὅπερ εἰ μὴ ποιήσωσιν, τοῦ ἐκκλη- « σιαστικοῦ ἀποκινηθῶσι καθήκοντος. Τοὺς δὲ « λοιποὺς κληρικοὺς πρὸς τοῦτο μὴ ἀναγκάζεσθαι, « εἰ μὴ ἐν προβεβηκυίᾳ κήρᾳ. Ἀπὸ πάσης « ἐλέχθη τῆς συνόδου, ἅπερ ἡ ὑμετέρα ἁγιωσύνη « δικαίως ἐρρύθμισεν, ἱεροπρεπῆ ὄντα καὶ θεά- « ρεστα, βεβαιοῦμεν.

BALS. Quæ in quartum canonem præsentis synodi scripta sunt, qui statuit ut a propriis uxoribus omnino abstineant presbyteri, diaconi et subdiaconi tempore suæ vicis, scilicet quando tractant sacra, **550** sufficiunt ad præsentis canonis interpretationem. Lectoribus autem Patres concesserunt, ut a suis uxoribus non contineant omnino tempore suæ vicis : nisi utique, inquiunt, provecti sint ætate; κείρα enim pro ἡλικίᾳ, hoc est, ætate, accipitur. Nota ergo quod etiam hypodiaconi sacra tractant. Nec dicas præsentem canonem repugnare canoni 21 synodi Laodicenæ qui dicit, subdiaconos non habere locum in ministrandi officio, nec debere sacra tangere : sed dic quod aliud est contrectare et aliud tangere. Contrectare enim, aut a loco in locum mutare, est ministerii; et nec subdiaconus hoc facere impedietur : tangere autem, solis sacerdotibus concessum est, et iis qui sacrificio subserviunt, seu diaconis. Debent autem ex præsenti canone, non solum qui sacra tangunt, sed et qui ea contrectant, suæ vicis tempore continere. Ut clerici autem, qui sunt extra tribunal, a propriis uxoribus abstineant in provecta ætate, honestum quidem est. Ut ii autem puniantur a natura compulsi, non est, ut existimo, sanctorum Patrum judicii. Et propterea, ut est consentaneum, ne canon quidem nos puniendos esse statuit. Lege præsentis synodi canonem 3, et sextæ 12 et 13.

ΒΑΛΣ. Τὰ εἰς τὸν δ' κανόνα τῆς παρούσης συνόδου γραφέντα, τὸν διοριζόμενον ἀπέχεσθαι, τῶν ἰδίων γυναικῶν τοὺς πρεσβυτέρους, τοὺς διακόνους καὶ τοὺς ὑποδιακόνους πάντως κατὰ τὸν καιρὸν τῆς ἐφημερίας αὐτῶν, ἤγουν καθ' οὓς καιροὺς μεταχειρίζονται τὰ ἅγια, ἀρκοῦσι καὶ εἰς τὴν τοῦ παρόντος κανόνος ἑρμηνείαν. Τοῖς μέντοι ἀναγνώσταις ἐνέδωκαν οἱ πατέρες μὴ ἐγκρατεύεσθαι ἐκ τῶν συμβίων αὐτῶν πάντως κατὰ τὸν καιρὸν τῆς τούτων ἐφημερίας, εἰ μήπω, φασί, ὦσι προβεβηκότες. Τοῦτο γάρ ἐστιν ἡ κήρα, τουτέστιν ἡ ἡλικία· Σημείωσαι οὖν ὅτι καὶ οἱ ὑποδιάκονοι τὰ ἅγια μεταχειρίζονται. Καὶ μὴ εἴπῃς ἐναντιοῦσθαι τὸν παρόντα κανόνα τῷ κα' κανόνι τῆς ἐν Λαοδικείᾳ συνόδου διοριζομένῳ τοὺς ὑποδιακόνους μὴ ἔχειν χώραν ἐν τῷ διακονικῷ, μηδὲ ἅπτεσθαι τῶν ἱερῶν · ἀλλ' εἰπὲ ὅτι ἕτερόν ἐστι τὸ ψηλαφᾶν, καὶ ἕτερον τὸ ἅπτεσθαι. Τὸ μὲν γὰρ ψηλαφᾶν, ἤγουν τὸ μετακινεῖν ἀπὸ τόπου εἰς τόπον, ὑπηρεσίας ἐστὶ καὶ οὐδὲ ὁ ὑποδιάκονος τοῦτο ποιεῖν ἐμποδισθήσεται · τὸ δὲ ἅπτεσθαι, μόνοις ἐνεδόθη τοῖς ἱερεῦσι καὶ τοῖς ὑπουργοῦσιν ἐν τῇ θυσίᾳ, ἤγουν τοῖς διακόνοις. Ὀφείλουσι δὲ κατὰ τὸν παρόντα κανόνα οὐ μόνον οἱ ἁπτόμενοι τῶν ἱερῶν, ἀλλὰ καὶ οἱ ψηλαφῶντες αὐτὰ ἐγκρατεύεσθαι κατὰ τὸν καιρὸν τῆς τούτων ἐφημερίας. Τὸ δὲ ἀπέχεσθαι ὑπὸ τῶν ἰδίων γυναικῶν τοὺς ἔξω τοῦ βήματος κληρικοὺς ἐν προβεβηκυίᾳ ἡλικίᾳ καλὸν μέν ἐστι · κολάζεσθαι δὲ τούτους ὑπὸ τῆς φύσεως ἀναγκαζομένους οὐκ ἔστι τῆς τῶν ἁγίων Πατέρων, ὡς οἶμαι, διακρίσεως. Καὶ διὰ τοῦτο, ὡς ἔοικεν οὐδὲ ὁ κανὼν διορίζεται τιμωρεῖσθαι τούτους. Ἀνάγνωθι τῆς παρούσης συνόδου κανόνα γ' καὶ τῆς ς' καν. ιβ' καὶ ιγ'.

ZONAR. Illic quoque canon eos, qui sancta contrectant, continentiæ [legibus teneri, proindeque hypodiaconos, diaconos et sacerdotes, qui nimirum divina mysteria tractant, a conjugibus abstinere jubet; et profert in eam sententiam Apostoli verba, ut, *qui uxores habent*, dicens, *sint tanquam non habentes*[38]; quo nimirum tempore sancta illorum manibus administrantur. Quod si, inquit, non ita fecerint, ecclesiastico ordine movebuntur : nam officii nomine hoc loco ordinem et honorem intelligit. Alii vero clerici, nisi provecta admodum ætate sint (κείρα enim ætatem significat), hoc est, nisi jam multum senectute processerint, ad id ne cogantur. Extremæ enim senectutis homi-

ΖΩΝΑΡ. Καὶ οὗτος ὁ κανὼν περὶ τοῦ ἐγκρατεύεσθαι τοῦ ψηλαφῶντας τὰ ἅγια ἐκ τῶν γυναικῶν αὐτῶν διατάττεσθαι, καί φησι τοὺς ὑποδιακόνους καὶ διακόνους καὶ πρεσβυτέρους ἀπέχεσθαι τῶν ἰδίων γαμετῶν, ψηλαφῶντας τὰ θεῖα μυστήρια, καὶ τὰ ἀποστολικὰ ῥήματα παράγει, λέγων, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν, ἤγουν καθ' ὃν καιρὸν μεταχειρίζονται τὰ ἅγια. Ἐὰν δὲ μὴ οὕτω ποιῶσι, φησὶν, ἀποκινηθήσονται τῆς ἐκκλησιαστικῆς τάξεως. Καθῆκον γὰρ ἐνταῦθα τὴν τάξιν καὶ τὴν τιμὴν φησι. Τοὺς δὲ λοιποὺς κληρικοὺς πρὸς τοῦτο μὴ ἀναγκάζεσθαι, εἰ μὴ ἐν προβεβηκυίᾳ κήρᾳ, εἰ μὴ πάνυ εἶεν προβεβηκότες ἐν ἡλικίᾳ. Κήρα γὰρ ἡλικία ἐστὶ, τουτέστιν εἰ μὴ πάνυ εἶεν γεγηρακότες. Τοὺς γὰρ ἐν γήρᾳ βαθεῖ

[38] I Cor. VII, 29.

Digitized by Google

καταντήσαντας δεῖ σωφρονεῖν. Μᾶλλον δὲ, κατὰ τὸν μέγαν Βασίλειον, οὐδὲ σωφροσύνη ἂν λεχθείη τῶν γερόντων ἡ ἀποχή. Φησὶ γὰρ ἐκεῖνος· Ἡ ἐν γήρᾳ σωφροσύνη οὐ σωφροσύνη, ἀλλ' ἀκολασίας ἀδυναμία. Ὃς δὲ οὐδὲ ἐν γήρᾳ σωφρονεῖ, οὗτος λίαν ἀκόλαστος. Κληρικὸν δὲ τοιοῦτον εἶναι οὐ δεῖ. Εἰ μὲν οὖν οὕτως νοεῖτο ὁ κανὼν οὗτος, ὥστε κατὰ τὸν καιρὸν τῆς μετοχειρίσεως τῶν ἁγίων ἀπέχεσθαι τῶν ἰδίων γυναικῶν τοὺς ἱερωσύνους, ἐνεργήσει καὶ παρ' ἡμῖν· εἰ δὲ τελέως χωρίζεσθαι λέγει τῶν ἰδίων συμβίων αὐτοὺς, χωρισθήσεται τῶν ἱερῶν κανόνων, ἀποστολικοῖς τε καὶ συνοδικοῖς κανόσιν ἐναντιούμενος ἐναντιοῦται δὲ καὶ κατ' ἄλλο κανόνι ἑτέρῳ. Ὁ δὲ κα' κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου τοὺς ὑποδιακόνους μὴ ἔχειν χώραν ἐν τῇ διακονικῇ κελεύει, μηδὲ ἅπτεσθαι τῶν ἱερῶν· οὗτος δὲ καὶ τοὺς ὑποδιακόνους ἐκ τῶν τὰ ἱερὰ ψηλαφώντων εἶναί φησιν. Εἴποι οὖν τις ὅτι ἐν τοῖς τόποις ἐκείνοις, τῇ Ἀφρικῇ δηλονότι καὶ τῇ Καρχηδόνι, ἔθος τοιοῦτον ἦν ἴσως, ὥστε καὶ τοὺς ὑποδιακόνους ἅπτεσθαι τῶν ἱερῶν μυστηρίων (20).

uem omnino decet esse temperantem. Quin potius, ut magno Basilio visum est, nec erit cur temperantem dicamus, qui a mulieris commercio effetus abstineat. Temperantia enim, inquit ille, in senili ætate, non temperantia, sed quædam suis viribus destituta libido est. At vero qui ne in senectute quidem temperans fit, longe illum nequitiæ sordibus contaminatissimum esse necesse est. Talem vero clericum esse haud decet. Atque hunc quidem canonem, si ita accipiatur, ut quo tempore sancta tractanda sunt sacris initiati, quos diximus, ab uxorum commercio abstineant, nos quoque admittimus: sin vero perpetuum indicit ab uxore divortium, ipsum potius, apostolicis quippe et synodicis constitutionibus adversantem, ex sacrorum canonum numero ejiciemus. Quin et alteri canoni ex alio quodam capite est contrarius. Nam hypodiaconos a sacro ministerio arceri, neque sacra contingere, Laodicenæ synodi canon 21 jubet: hic vero, inter eos qui sacra contrectant, hypodiaconos quoque numerat. Dixerit igitur quispiam, fortasse in iis regionibus, Africa nimirum et Carthagine, fuisse hoc in more positum, ut hypodiaconi quoque sacra mysteria contingerent.

ΑΡΙΣΤ. « Οἱ τὰ ἱερὰ χειριζόμενοι καὶ ἀπὸ τῶν « συμβίων κατὰ ἰδίους ὅρους ἐγκρατευέσθωσαν.

Χρὴ τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας ἐν τῷ καιρῷ τῆς τῶν ἁγίων μετοχειρίσεως καὶ ἀπὸ τῶν ἰδίων γυναικῶν ἐγκρατεύεσθαι· ὅπως δυνηθῶσιν ὃ παρὰ τοῦ Θεοῦ αἰτοῦσιν ἁπλῶς ἐπιτυχεῖν.

ARIST. « Qui res sacras tractant, etiam a propriis « uxoribus suis terminis abstineant. »

Oportet eos, qui altari assident, tempore quo sacra tractant, et a propriis uxoribus se continere, ut consequi omnino possint quod a Deo petunt.

ΚΑΝΩΝ ΚΘ'

Ὁμοίως ἤρεσεν, ἵνα πρᾶγμα ἐκκλησιαστικὸν μηδεὶς πιπράσκῃ· ὅπερ πρᾶγμα ἐὰν προσόδους μὴ ἔχῃ, καὶ πολλή τις ἐπείγῃ ἀνάγκη, τοῦτο ἐμφανίζεσθαι τῷ πρωτεύοντι τῆς αὐτῆς ἐπαρχίας, καὶ μετὰ τοῦ ὡρισμένου ἀριθμοῦ τῶν ἐπισκόπων βουλεύεσθαι, τί δεῖ πρᾶξαι. Εἰ δὲ τοσαύτη ἀνάγκη ἐπείγει τὴν ἐκκλησίαν, ὡς μὴ δύνασθαι, πρὸ τοῦ πωλεῖν, βουλεύεσθαι, κἂν τοὺς γειτνιῶντας πρὸς μαρτυρίαν καλέσῃ ὁ ἐπίσκοπος, φροντίδα ποιούμενος τοῦ ἀποδεῖξαι τῇ συνόδῳ πάσας τὰς συμβάσας τῇ ἐκκλησίᾳ αὐτοῦ περιστάσεις· ὅτι εἰ μὴ ποιήσῃ, ὑπεύθυνος τῷ Θεῷ καὶ τῇ συνόδῳ φανῇ ὁ πιπράσκων, καὶ ἀλλότριος τῆς οἰκείας τιμῆς.

551 CANON XXIX.

« Similiter placuit, ut rem ecclesiasticam nemo « vendat: quæ res, si reditus non habeat, et « magna aliqua necessitas urgeat, id ejus provinciæ primati ostendatur, et cum præfinito « episcoporum numero deliberetur, quid agere « oporteat. Sin autem tanta premat ecclesiam « necessitas, ut non possit, antequam vendat, « consultare; saltem vicinos ad testimonium « vocet episcopus curam adhibens, ut synodo demonstret urgentes omnes incommoditates, quæ « suæ ecclesiæ evenerunt: quod nisi fecerit, et « Deo et synodo rationi reddendæ obnoxius vi- « debitur venditor, et a proprio honore alienus. »

ΒΑΛΣ. Ὁ δωδέκατος κανὼν τῆς οἰκουμενικῆς ἑβδόμης συνόδου περὶ ἐκποιήσεως αὐτουργίων ἐπισκοπείου ἢ μοναστηρίου διαλαμβάνει, ἀλλὰ μὴν καὶ περὶ ἐκδόσεως· καὶ ἀνάγνωσον τὰ ἐν αὐτῷ παρ' ἡμῶν γεγραμμένα. Ὁ δὲ παρὼν κανὼν διορίζεται μὴ πιπράσκεσθαι πρᾶγμα ἐκκλησιαστικὸν πρόσοδον ἔχον (21), καὶ ὃν δηλονότι ἀκίνητον. Ἐὰν δὲ, φησὶν, ἀνάγκη κατεπείγῃ πολλὴ τὴν ἐκκλησίαν, καὶ διὰ

BALS. Duodecimus canon universalis septimæ synodi de prædiorum rusticorum, episcopatus vel monasterii alienatione tractat, et etiam de elocatione: et lege quæ in eum a nobis scripta sunt. Præsens autem canon statuit, rem ecclesiasticam, quæ reditum habet et est videlicet immobilis, non alienari. Sin autem, inquit, multa necessitas urgeat ecclesiam, et prooterea oporteat alienari rem ec-

Guill. Beveregii notæ.

(20) Ἅπτεσθαι τῶν ἱερῶν μυστηρίων. Post hæc ultima Zonaræ in præsentem canonem verba, in codice Gallandi additur: Τὸ δὲ, ἐξαιρέτως ἀναγνωστῶν, οἶμαι σφάλμα εἶναι γραφέως· ὀφείλει οὕτω γράφεσθαι, ἐξαιρουμένων ἀναγνωστῶν. *Illud autem* ἐξαιρέτως ἀναγνωστῶν *præcipue lectorum, scriptoris erratum esse suspicor. Sic enim scribi debuit,* ἐξαιρουμένων ἀναγνωστῶν, *exceptis lectoribus.* Sed Dionysius Exiguus legit, *quamvis lectorum*, et in omnibus Græcis codicibus ἐξαιρέτως legitur.

(21) Πρόσοδον ἔχον. Ita quidem legit Bodleianus noster Balsamonis codex. Sed Amerbachianus et Ætoniensis cum Parisiensi editione rectius, particula negativa interserta, legunt πρόσοδον μὴ ἔχον.

Digitized by Google

clesiasticam immobilem, quæ nullius est omnino reditus (quæ enim affert reditum nulla ratione alienatur), oportet hoc ad primatem Ecclesiæ seu metropolitanum referre, et cum præfinito episcoporum numero, duodecim scilicet antistitum, quos convenientes adversus episcopum criminationes audire, ut sæpe dictum est, consultare debere statuit quid sit agendum. Sin autem magna urget ecclesiam necessitas ad alienandum, et non potest episcopus ad metropolitanum et competentes episcopos de ea re referre: debet vicinos episcopos accersere ad testificandam acrem et urgentem necessitatem alienandæ rei. Si autem hoc non fecerit, et Deo erit obnoxius et deponetur. Et in his quidem consistit canon. Tu autem lege totum secundum titulum quinti libri Basilic. quæ est novella Justiniani 120, quæ quidem docet de empyteusi, venditione et de omni, ut semel dicam, alienatione rerum non solum episcopalium, sive ecclesiasticarum, sed etiam monasterialium, et ad sacrosanctas ædes pertinentium: similiter et de alienatione sacrorum vasorum. Et secundum quidem hanc novellam, quæ est præsenti canone multo recentior; quin et secundum constitutionem Nomocanoni, quæ in Basilic. admissa et ibidem sita est, dic aliquando quidem non prohiberi alienationes ecclesiasticorum vel etiam monasterialium mobilium et immobilium bonorum, aliquando vero prohiberi. Lege et secundum caput epistolæ sancti Cyrilli ad Domnum. Nota autem ex præsenti canone quod quæ synodaliter fiunt de causis quibusdam ecclesiasticis statuta, et decreti locum obtinent, debent necessario fieri a primate provinciæ et duodecim antistitibus; et quæ aliquo alio modo fiunt, vim suam non obtinebunt, ut mihi videtur, utpote quæ consistere nequeant. Præterea nota, quod deponitur episcopus, qui non secundum dictam Justianini novellam ecclesiasticum sacrum vel immobile alienat, etiamsi hoc dictæ novellæ non sit adjectum. Est enim manifeste sacrilegium, quæ non sit secundum novellam alienatio.

ZONAR. Ecclesiasticas possessiones alienare omnino haud licet. Quod si ejus rei gravis aliqua necessitas contingat, sitque alienanda possessio sterilis et infructuosa; tum vero, et infrugiferam eam rem esse, et gravem ejus alienandæ necessitatem instare, provinciæ primati, metropolitano videlicet indicare, ac de re tota **552** cum præfinito episcoporum numero deliberare oportet. Præfinitum vero numerum, duodecim, quos in episcoporum criminibus cognitores esse vult, intelligi arbitror. Si vero necessitatis ejus magna vis episcopo metropolitanum adeundi, et cum episcopis delibe-

A τοῦτο δεήσῃ ἐκποιηθῆναι ἀκίνητον ἐκκλησιαστικὸν πάντως ἀπρόσοδον (τὸ γὰρ ἔχον πρόσοδον ὁπωσδήποτε οὐκ ἐκποιεῖται), χρὴ τὰ περὶ τούτου ἀναφέρειν τῷ πρωτεύοντι τῆς ἐπαρχίας, ἤγουν τῷ μητροπολίτῃ, καὶ μετὰ τοῦ ὡρισμένου ἀριθμοῦ τῶν ἐπισκόπων, ἤγουν τῶν δώδεκα ἀρχιερέων, οὓς ὡρίσατο συνιόντας ἀκροᾶσθαι τῶν κατὰ τοῦ ἐπισκόπου αἰτιαμάτων, καθὼς πολλάκις εἴρηται, βουλεύεσθαι τί δεῖ πρᾶξαι. Εἰ δὲ μεγάλη ἀνάγκη βιάζει τὴν ἐκκλησίαν εἰς τὴν ἐκποίησιν, καὶ οὐ δύναται ὁ ἐπίσκοπος τὰ περὶ τούτου ἀναφέρειν τῷ μητροπολίτῃ καὶ τοῖς προσφόροις ἐπισκόποις, ὀφείλει μεταπαλεῖσθαι τοὺς γειτνιάζοντας ἐπισκόπους εἰς μαρτυρίαν τῆς τε ὀξύτητος τῆς ἀνάγκης καὶ τῆς περιστατικῆς ἐκποιήσεως τοῦ πράγματος. Εἰ δὲ μὴ οὕτω ποιήσει, καὶ τῷ B Θεῷ ὑπεύθυνος ἔσται, καὶ καθαιρεθήσεται. Καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις· σὺ δὲ ἀνάγνωσον τὸν ὅλον β' τίτλον τοῦ ε' βιβλίου τῶν Βασιλικῶν, νεαρὰν ὄντα Ἰουστινιάνειον ρκ', καὶ διδάσκοντα περὶ ἐμφυτεύσεως, πράσεως, καὶ ἁπλῶς περὶ πάσης ἐκποιήσεως, οὐ μόνον ἐπισκοπικῶν (22) ἤτοι ἐκκλησιαστικῶν πραγμάτων, ἀλλὰ καὶ μοναστηριακῶν, καὶ τῶν ἀνηκόντων εὐαγέσιν οἴκοις, ὡσαύτως καὶ περὶ ἐκποιήσεως ἱερῶν σκευῶν. Καὶ κατὰ τὴν τοιαύτην νεαρὰν μεταγενεστέραν οὖσαν κατὰ πολὺ τοῦ παρόντος κανόνος, ἀλλὰ καὶ μετὰ τὴν σύνθεσιν τοῦ νομοκανόνου δεχθεῖσαν καὶ καταστωθεῖσαν εἰς τὰ Βασιλικά, λέγε, ποτὲ μὲν μὴ κωλύεσθαι τὰς ἐκποιήσεις τῶν ἐκκλησιαστικῶν καὶ μοναστηριακῶν κινητῶν καὶ ἀκινήτων πραγμάτων, ποτὲ δὲ ἐμποδίζεσθαι. Καὶ ἀνάγνωθι καὶ τὸ β' κεφάλ. τῆς πρὸς Δόμνον ἐπιστολῆς τοῦ ἁγίου Κυρίλλου. Σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος ὅτι τὰ συνοδικῶς γινόμενα σημειώματα χάριν ἐκκλησιαστικῶν τινων ὑποθέσεων, καὶ δεκρέτου τόπον ἐπέχοντα, ἐξ ἀνάγκης ὀφείλουσι γίνεσθαι παρὰ τοῦ μετὰ χώραν πρώτου καὶ ιβ' ἀρχιερέων, καὶ τὰ ἄλλως πως γινόμενα ὡς ἀνυπόστατα οὐχ ἕξουσι τὸ ἐνεργόν, ὡς ἐμοὶ δοκεῖ. Ἔτι σημείωσαι ὅτι καθαιρεῖσθαι ὁ ἐπίσκοπος, μὴ κατὰ τὴν ῥηθεῖσαν Ἰουστινιάνειον νεαρὰν ἐκποιούμενος ἐκκλησιαστικὸν ἱερὸν ἢ ἀκίνητον, κἂν τοῦτο οὐ πρόσκειται τῇ ῥηθείσῃ νεαρᾷ. Ἱεροσυλία γὰρ ἀντικρὺς ἐστὶν ἡ μὴ κατὰ τὴν νεαρὰν γινομένη ἐκποίησις.

ΖΩΝΑΡ. Τὰ ἐκκλησιαστικὰ πράγματα ἀνεκποίητα D εἶναι δεῖ. Ἐὰν δὲ πολλή τις ἀνάγκη κατεπείγῃ, καὶ τὸ μέλλον δι' ἐκείνην ἐκποιεῖσθαι ἀπρόσοδον ᾖ, χρὴ τοῦτο, τὸ εἶναί τε ἀπρόσοδον τὸ πρᾶγμα, καὶ τὸ κατεπείγεσθαι ὑπὸ ἀνάγκης πολλῆς, ἐμφανίζειν τῷ πρωτεύοντι τῆς ἐπαρχίας, δηλαδὴ τῷ μητροπολίτῃ, καὶ μετὰ τοῦ ὡρισμένου ἀριθμοῦ τῶν ἐπισκόπων βουλεύεσθαι, τί δεῖ πρᾶξαι. Ὡρισμένον δὲ ἀριθμὸν, οἶμαι, λέγει τοὺς ιβ', οὓς ὡρίσατο συνιόντας ἀκροᾶσθαι τῶν κατὰ ἐπισκόπων αἰτιαμάτων. Εἰ δὲ σφοδρά τις εἴη ἀνάγκη, ὡς μὴ δυνατὸν εἶναι προσελθεῖν τὸν ἐπίσκοπον τῷ μητροπολίτῃ, τοῖς ἐπισκό-

Guill. Beveregii notæ.

(22) *Οὐ μόνον ἐπισκοπικῶν.* Hæc usque ad περὶ ἐκποιήσεως tam in ms. Amerbachiano, quam Parisiensi Balsamonis editione desiderata, nos ex codice Bodleiano restituimus.

Digitized by Google

ποις βουλεύσασθαι, τότε χρὴ τὸν ἐπίσκοπον κἂν τοὺς γείτονας ἐπισκόπους εἰς μαρτυρίαν καλέσαι τῆς τε ὀξύτητος τῆς ἀνάγκης, καὶ περιστάσεως, καὶ ἐκποιήσεως τοῦ πράγματος. Εἰ δὲ μὴ οὕτω ποιήσει, ὑπεύθυνος ἔσται τῷ Θεῷ, τουτέστι καὶ τῷ Θεῷ ὀφέξει λόγους, καὶ ὑπὸ τῆς συνόδου ἀλλοτριωθήσεται τῆς οἰκείας τιμῆς, ἤτοι τῆς ἀρχιερατικῆς. Καὶ ὁ μέγας δὲ Κύριλλος ἐν τῇ πρὸς Δόμνον ἐπιστολῇ αὐτοῦ φησι· Κειμήλια καὶ κτήσεις ἀκινήτους ἀνεκποίητα ταῖς ἐκκλησίαις σώζεσθαι χρή. Ἀνάγνωθι καὶ τὸν ιβ' κανόνα τῆς οἰκουμενικῆς ζ' συνόδου.

A randi, facultatem adimat; tunc saltem vicinos episcopos et magnæ necessitatis, et negotii totius, et rei alienationis ab episcopo testes adhiberi oportet. Quod si facere neglexerit, et Deo erit obnoxius, hoc est, et facti rationem Deo reposcenti reddet, et a synodo, proprio honore, hoc est summi sacerdotii dignitate privabitur. Magnus vero Cyrillus in epistola ad Domnum hæc habet: Vasa pretiosa, inquit, ac possessiones immobiles salvas atque incolumes ecclesiis conservari oportet. Lege præterea œcumenicæ septimæ synodi canonem duodecimum.

ΑΡΙΣΤ. « Ἄπρατα τὰ ἐκκλησιαστικὰ πράγματα. Εἰ « δὲ μὴ πρόσοδον ἔχει, γνώμῃ τῶν ἐπισκόπων « πιπράσκεται. Εἰ δὲ ἡ ἀνάγκη οὐχ ὑπομένει B « βουλεύσασθαι, τοὺς γείτονας ὁ πιπράσκων « συγκαλέσει· εἰ δ' οὐχ οὕτω, Θεῷ καὶ τῇ συν- « όδῳ ὑπεύθυνος. »

ARIST. « Bona ecclesiastica non sunt vendenda. « Si vero reditus non habeant, sententia episco- « porum venduntur. Si vero necessitas non fe- « ret ut consulatur, qui vendit vicinos vocabit. « Sin ita non fecerit, Deo et synodo reus te- « netur. »

Οὐκ ὀφείλουσιν οἱ ἐπίσκοποι τὰ τῶν ἐκκλησιῶν ἐκποιεῖσθαι πράγματα· θείου γάρ εἰσι ταῦτα δικαίου, καὶ διὰ τοῦτο ἄπρατα. Εἰ δέ τις κτῆμα ἔχων ἀπρόσοδον, καὶ τὴν ἐκκλησίαν αὐτοῦ βαρυνομένην χρέεσιν, ἢ περιστάσεσιν ἄλλαις πιεζομένην, καὶ βουληθῇ τοῦτο διαπράσαι, ὥστε τὴν τιμὴν αὐτοῦ καταβαλεῖν εἰς ἀπόφλησιν τῶν χρεῶν, ἢ εἰς ἄλλας τινὰς κατεπειγούσας ἀνάγκας· μὴ τοῦτο πωλείσθω ἄνευ γνώμης τοῦ μητροπολίτου τῆς αὐτῆς ἐπαρχίας καὶ τῶν συνεπισκόπων αὐτοῦ. Εἰ δ' οὐκ ἔχει καιρὸν διὰ τὴν ἐπικειμένην αὐτῷ ἀνάγκην, τούτοις περὶ τοῦ ἀπροσόδου ἀκινήτου βουλεύσασθαι, ὡς μέλλει τοῦτο πωλῆσαι· κἂν τοὺς γείτονας συγκαλείτω εἰς μαρτυρίαν, ἵνα τὰς ἐπισυμβάσας τῇ ἐκκλησίᾳ αὐτοῦ περιστάσεις, δι' ἃς τὸ τοιοῦτον πωλεῖ ἀκίνητον, ἐπιγινώσκωσι, καὶ τῇ συνόδῳ ταῦτα καὶ μετέπειτα παραστήσωσι. Εἰ δὲ οὐ ταῦτα φυλάξει, ἀλλ' αὐτοβούλως ποιήσεται τὴν διάπρασιν· καὶ τῷ Θεῷ καὶ τῇ συνόδῳ ἔσται ὑπεύθυνος, καὶ ἀλλότριος τῆς τιμῆς.

Episcopi non debent ecclesiastica bona alienare, illa enim divini sunt juris, atque ideo non venalia. Si quis autem possessionem habeat reditus non proferentem, et ecclesiam suam debitis gravatam et aliis pressam incommoditatibus et eam divendere vellet, ut pretium illius indebitorum solutionem conjiceret, aut ad alias quasdam urgentes necessitates; illam non vendat sine provinciæ istius metropolitani et coepiscoporum ipsius sententia. Si autem tempus non habeat, propter imminentem ipsi necessitatem, cum iis de immobili reditus non C habente consultare, quomodo illud venditurus sit, saltem vicinos in testimonium convocet, ut quæ ecclesiæ illius acciderunt incommoditates, propter quas immobile illud vendit, cognoscant, et ea synodo etiam postea exhibeant. Si autem hæc non observaverit, sed sua sponte venditionem fecerit; et Deo et synodo reddendæ rationi obnoxius erit, et ab honore alienus.

ΚΑΝΩΝ Λ'.

« Ὁμοίως ἐβεβαιώθη, ἵνα, ἐάν ποτε πρεσβύτεροι ἢ « διάκονοι ἐπί τινι βαρυτέρῳ ἐγκλήματι ἐλεγχθῶσι « τῷ ἀναγκαίως αὐτοὺς τῆς λειτουργίας ἀποκι- « νοῦντι, μὴ ἐπιτίθεσθαι αὐτοῖς χεῖρας ὡς μετα- « νοοῦσιν, ἢ ὡς πιστοῖς λαϊκοῖς μηδὲ ἐπιτρέπε- « σθαι αὐτοῖς, ὥστε ἀναβαπτιζομένους, πρὸς τὸν « τοῦ κλήρου βαθμὸν προκόπτειν. »

CANON XXX.

« Similiter confirmatum est, ut, si quando presby- « ter vel diaconus alicujus gravioris criminis « convicti fuerint, quod eos a sacro ministerio ne- « cessario movet, non esse eis manus imponen- « das, ut pœnitentiam agentibus, vel ut fidelibus « laicis; neque permitti eis, tanquam rebaptiza- « tis, ad cleri gradum promoveri. »

ΒΑΛΣ. Τινὲς τῶν τοῦ βήματος, καθαιρεθέντες διά τινα ἐγκληματικὰ αἰτιάματα, ἤθελον, ὡς ἔοικεν, ἀναγνώστης ταχθῆναι ἢ εἰς ἑτέρους βαθμοὺς ἔξω τοῦ βήματος ὄντας· καὶ ἔλεγον, ὡς, Ἐπεὶ μετανοοῦμεν καὶ εἰς τόπον κατηντήσαμεν λαϊκῶν, ὀφείλομεν κἂν εἰς βαθμοὺς τοιούτους προκόπτειν, εἰς οἵους καὶ οἱ λαϊκοὶ προκόπτουσι. Τοῦτο οὖν μὴ δεξάμενοι οἱ Πατέρες, ὥρισαν τοῖς καθαιρεθεῖσι μὴ ἐπιτίθεσθαι παρὰ τῶν ἀρχιερέων χεῖρας χάριν οἱασδήτινος κληρώσεως· κἂν μετανοῶσι, καὶ ὡς πιστοὶ λαϊκοὶ δέχωνται. Ἐπεὶ δὲ ἔλεγόν τινες ὡς τὸ βάπτισμα ῥύπον πάντα ἐκπλύνει, καὶ ἐζήτουν ἐκ δευτέρου βαπτισθῆναι, ὥστε ἀποπλυνθῆναι τάχα τὴν ἐγκληματικὴν ἀκαθαρσίαν, δι' ἣν καθηρέθησαν, καὶ οὕτω κληρω-

BALS. Quidam eorum, qui locum habebant in pulpito, depositi propter criminales causas, volebant, ut est verisimile, lectores ordinari, vel in alios gradus qui sunt extra pulpitum: et dicebant: Quoniam pœnitentiam agimus et in laicorum locum redacti sumus, debemus saltem ad eos gradus provehi, ad quos laici provehuntur. Hoc ergo non admittentes Patres statuerunt, ut depositis non imponantur manus, ob qualemcunque in clerum receptionem, etiamsi pœnitentiam agant, et ut fideles laici recipiantur. Quia autem dicebant nonnulli baptismum sordes omnes abluere, et petebant secundo baptizari, ut cluereture forsan criminis macula, propter quam sunt depositi, et sic in clerum

Digitized by Google

reciperentur : decreverunt Patres ne hoc quidem fieri quod unum baptismum facere nobis traditum est. Quamobrem nota etiam ex hoc, quod qui post depositionem legunt in suggestu, vel precantur et dant benedictionem, male faciunt.

ZONAR. Qui ob admissa facinora depositi ac de suo gradu dejecti sunt, præterquam in certis quibusdam peccatis, haud segregantur. Aliorum namque omnium suppliciorum instar illis depositio est. Quin et magnus Basilius canone 32 : Qui clerici, inquit, peccatum ad mortem **553** peccant, de gradu quidem dejiciuntur ; a laicorum autem communione non arcentur. Non enim vindicabis bis in idipsum. Idem igitur hic quoque canon asserit : Si quando enim presbyter, inquit, aut diaconus gravioris peccati, ad depositionem necessario inferentis, convictus fuerit, ipsum segregare, ac quasi in pœnitentia degenti manus imponere nequaquam oportet. Accedentibus enim ad ecclesiam et peccata confitentibus episcopi, aut eorum consensu sacerdotes, manus imponebant, ac precibus adhibitis segregatos, unumquemque in locum pœnæ luendæ constitutum pro ratione criminis, deducebant. Id ergo, inquit, in iis, qui ministerio exciderunt, sacerdotibus et diaconis usurpari, aut eos in laicorum fidelium, qui segregati sunt, stationibus collocari non oportet ; neque vero, quia nimirum sordes omnes sacra baptismi lympha elui credamus, iis ut iterum baptizentur permittere, ut proinde quasi purgatis peccati maculis in clerum demo cooptentur. Nam elui quidem divinitus instituto lavacro maculas omnes flagitii credimus ; sed uno quemque baptismate initiari licere a majoribus accepimus.

ARIST. « Presbyter convictus et resipiscens, non « iterum baptizatur tanquam promovendus, neque ut laicus iterum ordinatur. »

Presbyter vel diaconus semel depositus ob aliquod delictum, et de eo pœnitentiam agens, non postea, ut laicus, iterum ordinabitur : sed neque rebaptizabitur ad abluenda peccata, et sacerdotum aut diaconorum gradum iterum assequendum. Unum enim confitemur et agnoscimus baptismum.

CANON XXXI.

« Similiter placuit, ut presbyteri et diaconi, et reliqui inferiores clerici, in iis quas habent causis, si de propriorum episcoporum judiciis quærantur, vicini episcopi eos audiant : et cum propriorum episcoporum consensu, quæ inter eos intercedunt, controversias ab ipsis evocati episcopi componant. Proinde si ab ipsis etiam provocandum esse putaverint, ad transmarina judicia ne appellent, sed ad primates suarum provinciarum, quemadmodum et de episcopis sæpe definitum est. Qui autem

θῆναι, ὥρισαν οἱ Πατέρες μηδὲ τοῦτο γίνεσθαι, ὅτε ἓν βάπτισμα ποιεῖν ἡμῖν παραδέδοται. Ὥστε σημείωσαι καὶ ἀπὸ τούτου ὅτι οἱ μετὰ τὴν καθαίρεσιν ἀναγινώσκοντες ἐπ' ἀμβωνος, ἢ εὐχὰς διδόντες καὶ εὐλογητὸν, κακῶς ποιοῦσιν.

ΖΩΝΑΡ. Οἱ διά τινα ἁμαρτήματα καθαιρούμενοι, καὶ τῶν οἰκείων βαθμῶν ἐκπίπτοντες; οὐκ ἀφορίζονται εἰ μὴ ἐπί τινων ἰδικῶν ἁμαρτημάτων. Ἀρκεῖ γὰρ αὐτοῖς ἡ καθαίρεσις ἀντὶ πάσης ἄλλης τιμωρίας. Φησὶ γὰρ ὁ μέγας Βασίλειος ἐν κβ' κανόνι αὐτοῦ · Οἱ τὴν πρὸς θάνατον ἁμαρτίαν ἁμαρτάνοντες κληρικοὶ τοῦ βαθμοῦ κατάγονται · τῆς κοινωνίας δὲ τῶν λαϊκῶν οὐκ ἐξείργονται. Οὐ γὰρ ἐκδικήσεις δὶς ἐπὶ ταὐτό. Τοῦτο οὖν καὶ ὁ παρὼν λέγει κανών. Ἐὰν γὰρ πρεσβύτερος ἢ διάκονος, φησὶν, ἐν βαρυτέρῳ ἁμαρτήματι ἐλεγχθῇ, ἐξ ἀνάγκης καθαιροῦντι αὐτὸν, οὐ χρὴ ἀφορίζεσθαι αὐτὸν, καὶ ὡς μετανοοῦντι αὐτῷ ἐπιτίθεσθαι χεῖρας. Τοῖς γὰρ προσερχομένοις τῇ ἐκκλησίᾳ καὶ ἐξαγορεύουσιν ἁμαρτήματα ἐπετίθουν τὰς χεῖρας οἱ ἀρχιερεῖς, ἢ κατὰ γνώμην αὐτῶν οἱ ἱερεῖς, καὶ εὐχόμενοι ἀφώριζον αὐτοὺς, καὶ ἑστῶν ἕκαστον εἰς τόπον ἐπιτιμίου πρὸς τὸ ἁμάρτημα αὐτοῦ. Τοῦτο οὖν οὐ χρὴ, φησὶ, γίνεσθαι ἐπὶ πρεσβυτέρων καὶ διακόνων ἐκπιπτόντων τῆς λειτουργίας, μηδὲ εἰς τόπον καθίστασθαι αὐτοὺς πιστῶν λαϊκῶν ἀφορισθέντων, μηδὲ ἐπιτρέπεσθαι αὐτοῖς βαπτίζεσθαι, ὡς τοῦ θείου βαπτίσματος ἅπαντα μολυσμὸν καθαίρειν πιστευομένου, ὥστε αὖθις μετὰ τὸ βάπτισμα, ὡς τοῦ ῥύπου τῆς ἁμαρτίας κεκαθαρμένους, προκόπτειν εἰς τὸν τοῦ κλήρου βαθμόν. Ἐκπλύνειν μὲν γὰρ τὸ θεῖον λουτρὸν ἅπαντα ῥύπον ἁμαρτιῶν πιστεύομεν, ἓν δὲ βάπτισμα ποιεῖν ἡμῖν παραδέδοται.

« ΑΡΙΣΤ. Πρεσβύτερος ἐλεγχόμενος καὶ μεταγινώσκων οὐκ ἀναβαπτίζεται ὡς προκόψων, οὐδ' ὡς λαϊκὸς αὖθις χειροτονεῖται. »

Ἅπαξ πρεσβύτερος καθαιρεθεὶς, ἢ διάκονος, διά τι ἁμάρτημα, καὶ μεταγνοὺς ἐπὶ αὐτῷ, οὐκέτι, ὡς λαϊκὸς, πάλιν χειροτονηθήσεται · ἀλλ' οὐδὲ ἀναβαπτισθήσεται, ἐπὶ τῷ ἀποπλῦναι τὰ ἁμαρτήματα, καὶ τοῦ βαθμοῦ τῶν ἱερέων ἢ τῶν διακόνων αὖθις τυγχεῖν. Ἓν γὰρ ὁμολογοῦμεν καὶ γινώσκομεν βάπτισμα.

ΚΑΝΩΝ ΛΑ'.

« Ὁμοίως ἤρεσεν, ἵνα οἱ πρεσβύτεροι καὶ διάκονοι, « καὶ οἱ λοιποὶ κατώτεροι κληρικοὶ, ἐν αἷς ἔχωσιν « αἰτίαις, ἐὰν τὰ δικαστήρια μέμφωνται τῶν ἰδίων « ἐπισκόπων, οἱ γείτονες ἐπίσκοποι ἀκροάσονται « αὐτῶν, καὶ μετὰ συναινέσεως τῶν ἰδίων ἐπι- « σκόπων τὰ μεταξὺ αὐτῶν διαθῶσιν οἱ προσκα- « λούμενοι παρ' αὐτῶν ἐπίσκοποι. Διὸ εἰ καὶ περὶ « αὐτῶν ἔκκλητον παρέχειν νομίσωσι, μὴ ἐκκα- « λέσωνται εἰς τὰ πέραν τῆς θαλάσσης δικαστήρια, « ἀλλὰ πρὸς τοὺς πρωτεύοντας τῶν ἰδίων ἐπαρ- « χιῶν, ὡς καὶ περὶ τῶν ἐπισκόπων πολλάκις

Digitized by Google

« ὥρισται. Οἱ δὲ πρὸς περαματικὰ δικαστήρια διακαλούμενοι, παρ' οὐδενὸς ἐν τῇ Ἀφρικῇ δεχθῶσιν εἰς κοινωνίαν. »

« ad transmarina judicia provocant, a nullo in Africa ad communionem recipiantur. »

ΒΑΛΣ. Εἰς τὸν ιε' κανόνα τῆς παρούσης συνόδου ἀρκούντως ἐγράψαμεν περὶ δικαστηρίων ἐκκλησιαστικῶν· καὶ ἀνάγνωθι τὰ ἐν ἐκείνῳ γραφέντα. Ὁ δὲ παρὼν κανὼν φησιν ὡς, ἐπεὶ τῶν εἰκότων ἐστὶ τινὰς κληρικοὺς ἀπαρέσκεσθαι ἐπὶ ταῖς κρίσεσι τῶν ἰδίων ἐπισκόπων, δέον ἐστὶ μετὰ θελήσεως τούτων μετακαλεῖσθαι αὐτοὺς γειτνιάζοντας ἐπισκόπους, πάντως ἀρκοῦντας, καὶ ἀξιοῦν παρὰ τούτων λυθῆναι τὴν κατ' αὐτῶν ἀπόφασιν. Εἰ δὲ, φησὶ, καὶ κατὰ τῆς ἀποφάσεως τούτων τῶν γειτνιαζόντων ἀπαρέσκονται, οὐκ ὀφείλουσιν ἐκκαλεῖσθαι εἰς τὰ πέραν τῆς θαλάσσης δικαστήρια, ἤγουν εἰς μητροπολίτας ἑτέρων ἐπαρχειῶν, ἀλλὰ εἰς τὸν πρῶτον τῆς προσφόρου ἐπαρχίας. Τοῦτο γὰρ καὶ εἰς τὰ δικαστήρια τῶν ἐπισκόπων προωρίσθη. Οἱ δὲ παρὰ ταῦτα ποιοῦντες ἀφοριζέσθωσαν. Σημείωσαι οὖν ὅτι οὐκ ὀφείλουσιν ὑβριοπαθεῖν οἱ ἐπίσκοποι κατὰ τῶν κληρικῶν αὐτῶν ἀπαρεσκομένων ἐπὶ ταῖς ἐκείνων ἀποφάσεσιν, ἀλλὰ μᾶλλον προσδέχεσθαι αὐτοὺς, καὶ συναινεῖν εἰς τὸ παρὰ γειτνιαζόντων ἐπισκόπων τηρηθῆναι τὴν τούτων ἀπόφασιν. Τινὲς δὲ ἀκούοντες τοῦ κανόνος λέγοντος ὡς οἱ γείτονες ἐπίσκοποι ἀκροάσονται αὐτῶν, καὶ μετὰ συναινέσεως τοῦ ἰδίου ἐπισκόπου τὰ μεταξὺ αὐτῶν διαθῶσιν οἱ προσκαλούμενοι δι' αὐτῶν ἐπίσκοποι, λέγουσιν ἐπ' ἀδείας ἔχειν τὸν πρῶτον δικάσαντα ἐπίσκοπον παρουσιάζειν εἰς τὸ τῶν γειτνιαζόντων ἐπισκόπων δικαστήριον. Ἐμοὶ δὲ οὐ δοκεῖ. Ὁ γὰρ ἅπαξ ἀποφηνάμενος πέπαυται τοῦ εἶναι δικαστής. Τὸ δὲ μετὰ συναινέσεως εἴρηται, ἵνα μὴ κατὰ ἀναισχυντίαν καὶ χωρὶς εἰδήσεως τοῦ ἐπισκόπου τὴν ἔκκλητον ζητῶσιν οἱ κληρικοί, ἀλλὰ μετὰ ὁρισμοῦ τούτου. Ἐπειδὴ δὲ οἱ παρόντες κανόνες ἐτέθησαν ἐν Καρθαγένῃ, ἤγουν ἐν Ἀφρικῇ, περαματικὰ πάντως δικαστήρια κληθήσονται τὰ τῆς Ῥώμης. Καὶ σημείωσαι ἀπὸ τούτου ὅτι μάτην καυχῶνται οἱ περὶ τὴν Ἐκκλησίαν τῆς Ῥώμης, λέγοντες πασῶν τῶν ἐκκλησιῶν τὰ ζητήματα ὀφείλειν διευλυτοῦσθαι παρ' αὐτῆς κατὰ λόγον ἐκκλήτου. Εἰ γὰρ τοὺς ἐκκλήτους τῶν ἐν Ἀφρικῇ οὐ συγχωρεῖται τηρεῖν, πολλῷ μᾶλλον καθ' ἑτέρων χωρῶν οὐχ ἕξει τὸ τοιοῦτον δίκαιον.

BALS. In decimo quinto canone præsentis synodi satis scripsimus de judiciis ecclesiasticis; et lege quæ in ipso scripta sunt. Præsens autem canon dicit quod quoniam est verisimile fore ut aliqui clerici suorum episcoporum judiciis non acquiescant, opus est, ut cum eorum voluntate ipsi vicinos episcopos omnino sufficientes appellent, et petant adversus se prolatam sententiam ab ipsis resolvi. Si autem, inquit, etiam vicinorum episcoporum sententiæ non acquiescant, non debent ad transmarina judicia appellare, scilicet ad aliarum provinciarum metropolitanos, sed ad primatem competentis provinciæ. Hoc enim in episcoporum judiciis ante definitum est. Qui autem præter hæc faciunt, segregentur. Nota ergo, quod episcopi non debent ægre ferre, si sui clerici eorum sententiæ non acquiescant; sed ipsos potius admittere, et consentiant ut a vicinis episcopis sua examinetur sententia. Nonnulli autem canonem audientes dicentem, quod vicini episcopi eos audient, et cum consensu proprii episcopi controversias eorum componant ii, qui ab ipsis appellati sunt, episcopi; dicunt esse in potestate ejus qui primum judicavit episcopi, ut finitimorum episcoporum judicio intersit. Mihi autem non videtur. Qui enim semel sententiam tulit, cessat esse judex. **554** Illud autem, cum consensu, dictum est, ut non per impudentiam et sine scientia episcopi ad appellationem prorumperent clerici, sed ejus definitione. Quia autem præsentes canones Carthagine seu in Africa editi sunt, transmarina omnino judicia appellabuntur Romana. Et nota ex eo quod frustra se jactant qui sunt Romanæ Ecclesiæ, dicentes eam debere de omnium Ecclesiarum quæstionibus per appellationem decidere. Si enim ei non permittitur appellationes eorum qui sunt in Africa examinare, multo magis hoc jus non habebit in alias regiones.

ΖΩΝΑΡ. Τοὺς κληρικοὺς ὑπόθεσιν ἔχοντας οἱ κανόνες παρὰ ταῖς ἐπισκόποις αὐτῶν δικάζεσθαι διωρίσαντο. Εἰ γοῦν κληρικοὶ παρὰ τῷ οἰκείῳ ἐπισκόπῳ δικασάμενοι αἰτιῶνται τὴν ἀπόφασιν αὐτοῦ, τοὺς γείτονας ἐπισκόπους χρὴ συγκαλεῖσθαι, καὶ ἀκροᾶσθαι τῆς ὑποθέσεως ἐκείνους, μετὰ συναινέσεως καὶ τοῦ κρίναντος ἐπισκόπου. Εἰ δὲ καὶ κατὰ τῆς ψήφου τοῦ προκηλθέντων ἐπισκόπων ἔκκλητον αἰτοῦσι, πρὸς τὸν μητροπολίτην τῆς ἐπαρχίας δεῖ ἀπιέναι, ὅπερ καὶ ἐπὶ τῶν ἐπισκόπων ὡρίσθη. Εἰ δὲ πέραν τῆς θαλάσσης, ἤτοι εἰς ἄλλας ἐπαρχίας πόρρω κειμένας ἀπίοιεν οἱ ζητοῦντες τὴν ἔκκλητον, ἵνα ἐκεῖ ταύτην γυμνάσωσιν, ἀφωρισμένοι, φησὶν, ἔστωσαν, ἐν Ἀφρικῇ πρὸς κοινωνίας μὴ δεχόμενοι. Ἐντεῦθεν ὁ τῦφος τῆς τῶν Ῥωμαίων Ἐκκλησίας καταβάλλεται, αὐχούντων αὐτοῖς δεδόσθαι πάσας τὰς ἐκκλήτους τηρεῖν. Εἰ γὰρ τὰς ἐκκλήτους τῶν ἐν

ZONAR. Clericos controversiæ aliquid habentes ab episcopis suis judicari canones voluerunt. Igitur, si qui clerici sententiæ ab episcopo suo prolatæ non acquiescant, advocari vicinos episcopos, ac ab iis causam, non sine illius qui judicavit episcopi approbatione, cognosci placet. Quod si ab episcoporum quoque, qui advocati sunt, judicio provocationem sibi dari postulent, ad metropolitanum provinciæ, quod de episcopis quoque definitum est, convenire debent. Si vero qui sibi provocationem concedi postulant, ultra mare, hoc est, in alias provincias longe disjunctas, ut in iis judicium exerceant, transmearint; segregati, inquit, sint, nec ad communionem in Africa recipiantur. Illic certe ventosa illa Romanorum Ecclesiæ superbia, ut ab aliis omnibus Ecclesiis ad illam dentur provocationes, sibi concessum esse jactantium, subsidat necesse

Digitized by Google

est. Si enim ab Africanis ecclesiis non datur (est quidem certe Roma trans mare, si ad Africam comparetur), multo minus in alias regiones jus ejusmodi obtinebit.

ARIST. « Clerici condemnati, si judicem accusent,
« trans mare non appellent; sed ad episcopos
« vicinos, et ad proprium : alioquin in Africa
« excommunicentur. »

Patres in omnibus decorum observant; adeoque ut episcopi, uti accidit, molestia non afficerentur, decrevit hæc in Africa synodus clericos, qui ob culpas aliquas a propriis episcopis condemnantur, seque injuria affectos putant, ultra mare ad Romæ forsan episcopum aut reliquos non provocare, sed ad vicinos episcopos, et cum proprii episcopi sententia quæ inter eos sunt examinari et dilui : sin minus in tota Africa ad communionem non admittendos esse.

A Ἀφρικῇ οὐ συγχωροῦνται τηρεῖν· καὶ ἡ Ῥώμη γὰρ πέραν θαλάσσης διάκειται πρὸς τὴν Ἀφρικήν· πολλῷ μᾶλλον καθ' ἑτέρων χωρῶν οὐχ ἕξουσι τοιοῦτον δίκαιον (23).

ΑΡΙΣΤ. « Κληρικαὶ καταγνωσθέντες, ἂν αἰτιῶνται
« τὸν διαγνόντα, μὴ καὶ πέραν θαλάσσης ἐκκαλεῖ
« σθωσαν, ἀλλὰ πρὸς τοὺς γείτονας ἐπισκόπους καὶ
« τὸν ἴδιον· εἰ δὲ μὴ ἐν Ἀφρικῇ ἀκοινώνητοι
« ἔσονται. »

Τὸ εὐπρεπὲς ἐν πᾶσιν οἱ Πατέρες συντηροῦντες, καὶ τὸ μὴ σκύλλεσθαι τοὺς ἐπισκόπους, ὡς ἔτυχεν, ὥρισεν ἡ ἐν Ἀφρικῇ αὕτη σύνοδος, τοὺς ἐπί τισιν αἰτίαις παρὰ τῶν ἰδίων ἐπισκόπων καταδικασθέντας κληρικοὺς, καὶ οἰομένους ἀδικεῖσθαι, μὴ πέραν θαλάσσης πρὸς τὸν Ῥώμης τυχὸν ἐπίσκοπον ἢ τοὺς λοιποὺς ἐκκαλεῖσθαι, ἀλλὰ πρὸς τοὺς γείτονας ἐπισκόπους, καὶ μετὰ γνώμης τοῦ ἰδίου ἐπισκόπου τὰ μεταξὺ αὐτῶν τηρεῖσθαι καὶ διαλύεσθαι· εἰ δὲ μή, ἀπροσδέκτους εἶναι εἰς κοινωνίαν ἐν πάσῃ τῇ Ἀφρικῇ.

B

CANON XXXII.

« Similiter placuit universæ synodo, ut qui propter
« suam socordiam communione motus est, sive
« episcopus sive quilibet clericus, si in tempore
« suæ excommunicationis, antequam auditus fue-
« rit, ad communionem se ingerere ausus fuerit,
« ipse adversus se condemnationis sententiam tu-
« lisse judicetur. »

BALS. Ex decimo quarto canone synodi Sardicensis, et ex præsenti canone dicunt aliqui, debere omnes, qui quomodocunque ab episcopis, segreganter, segregationem obedienter suscipere, et eam servare donec decretum fuerit an recte an male inflicta sit. Dicit enim hic canon, clericum qui propter socordiam seu peccata depositus est, non posse sibi jus dicere, et segregationem contemnere ante examinationem; si autem hoc fecerit, condemnationi subjici. Ac multi quidem hoc canones sic accipiunt. Alii autem undecimum caput noni tituli præsentis operis reperientes, quod ex quibusnam causis episcopus vel clericus vel laicus segregatur, exposuit; et decimum quintum caput ejusdem tituli, quod dicit ex quibusnam causis simul deponitur et segregatur; et cap. 16 ejusdem tit. quod dicit ex quibusnam causis clericus vel laicus anathematizatur, dicunt quod, si ex causis quidem in dictis capitibus declaratis segregatus sit ab episcopo clericus vel laicus, debet servare segregationem, quomodocunque prolata sit, et eam non contemnere, donec ejus causa fuerit examinata. Si autem propter aliquam aliam causam episcopus inconsiderate laicum vel clericum segregavit, forte quod seditiones non excitat contra proprium exactorem, vel quod non iniquæ et temerariæ ejus voluntati assentitur,

C

555 D

ΚΑΝΩΝ ΛΒ'.

« Ὁμοίως ἤρεσε συμπάσῃ τῇ συνόδῳ, ἵνα ὁ διὰ ῥᾳ-
« θυμίαν αὐτοῦ ὑπὸ κοινωνίαν γενόμενος εἴτε ἐπί-
« σκοπος, εἴτε οἱοσδήποτε κληρικὸς, ἐὰν ἐν τῷ
« καιρῷ τῆς ἀκοινωνησίας αὐτοῦ, πρὸ τοῦ ἀκου-
« σθῆναι, εἰς κοινωνίαν τολμήσοι, αὐτὸς καθ' ἑαυ-
« τοῦ τῆς καταδίκης τὴν ψῆφον ἐξενηνοχέναι
« κριθῇ. »

ΒΑΛΣ. Ἀπὸ τοῦ ιδ' κανόνος τῆς ἐν Σαρδικῇ συνόδου, καὶ ἀπὸ τοῦ παρόντος κανόνος λέγουσί τινες ὀφείλειν πάντας τοὺς ὁπωσδήποτε παρὰ τῶν ἐπισκόπων ἀφοριζομένους δέχεσθαι εὐπειθῶς τὸν ἀφορισμὸν, καὶ φυλάττειν αὐτὸν, μέχρις ἂν διαγνωσθῇ εἰ ἄρα καλῶς εἴτε κακῶς ἐπηνέχθη. Φησὶ γὰρ οὗτος ὁ κανὼν τὸν ἀφορισθέντα κληρικὸν διὰ ῥᾳθυμίαν ἤτοι ἁμάρτημα μὴ αὐτεξδίκητον γίνεσθαι καὶ καταφρονεῖν τοῦ ἀφορισμοῦ πρὸ ἐξετάσεως· εἰ δὲ τοῦτο ποιήσει, καταδίκῃ καθυποβάλλεσθαι. Καὶ πολλοὶ μὲν οὕτω τούτους τοὺς κανόνας ἐκλαμβάνονται· ἕτεροι δὲ εὑρίσκοντες τὸ ια' κεφάλ. τοῦ θ' τίτλου τοῦ παρόντος συντάγματος, λέγον ἐκ ποίων αἰτιῶν ἀφορίζεται ἐπίσκοπος ἢ κληρικὸς, ἢ λαϊκός· καὶ τὸ ιε' κεφάλαιον τοῦ αὐτοῦ τίτλου, λέγον ἐκ ποίων τις αἰτιῶν ἐν τῷ αὐτῷ ἀφορίζεται καὶ καθαιρεῖται· καὶ τὸ ις' κεφάλαιον τοῦ αὐτοῦ τίτλου λέγον ἐκ ποίων αἰτιῶν κληρικὸς ἢ λαϊκὸς ἀναθεματίζεται λέγουσιν ὅτι, ἐὰν μὲν ἐξ αἰτιῶν δηλουμένων ἐν τοῖς διαληφθεῖσι κεφαλαίοις ἀφορισθῇ παρὰ ἐπισκόπου κληρικὸς ἢ λαϊκὸς, ὀφείλει φυλάττειν τὸν ἀφορισμὸν, κἂν ὁπωσ; ἂν καὶ ἀπηνεχθῇ, καὶ μὴ καταφρονεῖν αὐτοῦ μέχρις; ἂν δοκιμασθῇ ἡ τούτου αἰτία· εἰ δὲ διά τι ἕτερον αἴτιον ἀμετόχως οὕτως ἀφορίσῃ ἐπίσκοπος λαϊκὸν ἢ κληρικὸν, τυχὸν ὅτι οὐ στασιάζει κατὰ τοῦ οἰκείου πράκτορος, ὅτι οὐ δίδωσιν αὐτῷ πρᾶγμά τι οἰκεῖον,

Guill. Beveregii notæ.

(23) *Τοιοῦτον δίκαιον*. Post hæc ultima Zonaræ in hunc canonem verba in ms. Augusti Galandi J. C. codice additur, Σημειωτέον δὲ ὅτι καὶ δευτέρα ἔκκλητος τοῖς κληρικοῖς δίδοται, *Notandum est autem, quod etiam secunda provocatio clericis conceditur*. Sed hæc marginalis tantum nota videtur : quæ proinde in codice Amerbachiano rectius omittitur.

Digitized by Google

καὶ ὅτι οὐ συναινεῖ τῷ ἀδίκῳ ἡ τολμηρῷ τούτῳ θελήματι, ἀκινδύνως καταφρονήσει τοῦ ἀφορισμοῦ, καὶ μᾶλλον ὁ ἀφορίσας κολασθήσεται. Εἰ γὰρ δοθῇ εὐκαίρως ἀκαίρως ἔχειν ἐπ' ἀδείας τὸν ἐπίσκοπον ἀφορίζειν λαϊκούς τε καὶ κληρικούς, καὶ ἔχειν πρὸς ἀνάγκης τοὺς ἀφοριζομένους φυλάττειν τὸν ἀφορισμόν, κατατολμήσουσι τυραννικῶς οἱ ἐπίσκοποι, καὶ παντὸς πράγματος κυριεύσουσι, καὶ οὐδεὶ, ἔσται ὁ ἀντικείμενος αὐτοῖς διὰ τὸν φόβον τοῦ ἀφορισμοῦ· ἴσως δὲ καὶ τῆς εὐσεβείας αὐτῆς καταρχήσονται, καὶ πολλῶν κακῶν παραίτιοι οἱ θεῖοι κανόνες γενήσονται, ὅπερ ἄτοπον. Ὅρα γάρ μοι καὶ τὸν παρόντα κανόνα λέγοντα τότε ὀφείλειν τὸν ἀφορισμὸν φυλάττεσθαι, ὅτε διὰ ῥᾳθυμίαν ἐπένεχθῇ, ἤγουν διὰ ἁμάρτημα ἐπεγνωσμένον πάντως τοῖς κανόσι. Καὶ αὐτοὶ μὲν ταῦτα· ἐγὼ δὲ οὐκ ἔχω τίνι ἐκ τούτων ἀκολουθήσω. Κἂν γὰρ ὑπὸ τοῦ εὐλαβοῦς ἕλκωμαι, ἀλλὰ ὑπὸ τοῦ ἀκανονίστου μεθέλκομαι. Ζητῶ οὖν μαθεῖν τί ποιητέον, ὡς θέλων διὰ βίου παῖς εἶναι καὶ μαθητής. Σημείωσαι τὸν παρόντα κανόνα διοριζόμενον καθαιρεῖσθαι τοὺς μετὰ τὸν ἀφορισμὸν ἐνεργοῦντάς τι ἱερατικόν. Ἀνάγνωσον καὶ τὰ παρ' ἡμῶν ἐντεῦθεν γραφέντα.

A secure segregationem contemnet, et is potius punietur qui segregavit. Si enim datum fuerit episcopo, seu recte seu perperam, clericos et laicos segregare, et necesse habere eos, qui segregantur, segregationem servare; tyrannidem exercebunt episcopi, et in omni re dominium obtinebunt, nec quisquam eis resistet ob metum segregationis; forte autem et ipsi etiam pietati insultabunt, et divini canones erunt multorum malorum auctores, quod est absurdum. Vide enim præsentem canonem, qui dicit, tunc debere segregationem servari, quando propter socordiam inflicta fuerit, seu propter peccatum, quod est omnino canonibus condemnatum. Ac ipsi quidem hæc. Ego autem non habeo quemnam eorum sequar. Nam etsi a pietate trahor, ab B eo tamen quod fit contra canones retrahor. Cupio ergo discere quid agendum, ut qui tota vita velim esse puer et discipulus. Nota præsentem canonem eos, qui post segregationem aliquid sacerdotale peragunt, deponi statuentem. Lege et quæ ibi a nobis scripta sunt.

ΖΩΝΑΡ. Τοὺς ἐπιτιμωμένους ἤτοι ἀφοριζομένους χρὴ, κἂν μὴ δικαίως λέγωσιν ἐπιτιμηθῆναι, ἐμμένειν τῷ ἐπιτιμίῳ, ἕως ἂν ἀκουσθῶσι παρὰ τοῦ ἔχοντος δίκαιον ἀνακρίνειν τὰ τοιαῦτα. Εἰ δὲ ὁ ἐξ ἐπιτιμίου γενόμενος ἀκοινώνητος τολμήσει εἰς κοινωνίαν ἐλθεῖν, πρὸ τοῦ ἐξετασθῆναι, εἰ εὐλόγως γέγονεν ἀκοινώνητος ἢ μὴ, αὐτὸς ἑαυτὸν, φησὶ, κατεδίκασε. C Καὶ ὁ ιδ' δὲ κανὼν τῆς ἐν Σαρδικῇ συνόδου περὶ τούτου διαλαμβάνει.

ZONAR. Quibus pœna aliqua, segregatio nempe, indicta est, donec ab eo, penes quem in ejusmodi causis judicandi facultas est, auditi fuerint, multam, quamvis injuste irrogatam asserant, persolvere oportet. Quod si quis multæ nomine communione motus, priusquam jurene an injuria damnatus sit examinatum fuerit, se in communionem fidelium insinuare audeat, ano se, inquit, calculo condemnavit. Hoc idem Sardicensis quoque synodi decimo quarto canone explicatum reperias.

ΑΡΙΣΤ. « Ὁ ἀκοινώνητος, κοινωνήσας; πρὸ συμπαθείας, αὐτοκατάκριτος. »

ARIST. « Excommunicatus, qui communicaverit « ante commiserationem, contra se condemnationis sententiam tulit. »

Ὁ ἀφορισθεὶς, καὶ πρὸ τοῦ λυθῆναι τοῦ ἀφορισμοῦ λειτουργήσας, αὐτὸς καθ' ἑαυτοῦ τὴν καταδίκην ἐπήγαγε.

Qui segregatur et, antequam a segregatione solvitur, sacra peragit, ipse contra se condemnationis sententiam protulit.

ΚΑΝΩΝ ΛΓ'.

« Ὁμοίως ἤρεσεν, ἵνα ὁ κατηγορούμενος ἢ ὁ κατηγορῶν ἐν τῷ τόπῳ, ἔνθα ἐστὶν ὁ κατηγορούμενος, ἐὰν φοβῆταί τινα βίαν προπετοῦς πολυπληθείας, τόπον ἑαυτῷ ἐπιλέξηται ἐγγιστον, D « ἐν ᾧ οὐκ ἔστιν αὐτοῦ δυσχέρεια μάρτυρας προκομίσαι, ἔνθα τὸ πρᾶγμα περατοῦται.

CANON XXXIII.

« Similiter placuit, ut qui accusatur, vel qui accusat, si in loco, in quo est is qui accusatur, « temerariæ multitudinis vim aliquam timeat, « locum sibi proximum eligat, in quo nulla erit « testes producendi difficultas, ubi negotium terminatur. »

ΒΑΛΣ. Ἐπεὶ τῶν εἰκότων ἦν παραδυναστεύειν τινα ἐκ τῶν δικαζομένων ἐν τῷ τόπῳ ἐν ᾧ ἡ διαδικασία γίνεται, ὥρισαν οἱ Πατέρες, ἵνα, ἐάν τις ἐξ αὐτῶν, εἴτε δηλονότι ὁ κατηγορῶν εἴτε ὁ κατηγορούμενος, εἰς τὸν οἰκεῖον φόρον, ἤγουν εἰς τὸν τόπον ἐν ᾧ κατοικεῖ, ὑποπτεύσῃ βίαν παθεῖν ἀπὸ πολυπληθείας δημώδους ἀτάκτου λαοῦ διὰ φόβον τοῦ ἀντιδίκου, ἢ διὰ τὴν αὐτὴν αἰτίαν δυσχέρεια ἔχειν μάρτυρας πραχθῆναι, ἔχῃ ἐπ' ἀδείας ἕτερον ἐπιλέξασθαι πλησιόχωρον τόπον, ἵνα ἐκεῖ τὸ δικαστήριον προβῇ χωρὶς φόβου παντὸς, καὶ ἡ τῶν μαρτύρων παραγωγὴ εὐχερῶς γένηται, καὶ οὕτω διευλυτωθῇ ῥᾳδίως ἡ ὑπόθεσις. Καλῶς δὲ εἶπεν ὁ κανὼν ἐπιλέγεσθαι

BALS. Quia erat verisimile, majorem esse alicujus eorum qui litigabant potentiam, in loco in quo disceptabatur, decreverunt Patres, ut si quis eorum, sive scilicet qui accusat sive qui accusatur, in foro proprio, sive eo in loco in quo habitat, suspicatur fore, ut ab incondita insolentis populi et numerosa multitudine vim patiatur, propter metum adversarii, vel propter eamdem causam difficile fuerit testes producere; sit in ejus potestate alium locum finitimum eligere, ut illic procedat judicium absque ullo timore, et facile fieri possit productio testium et sic causa facile dirimatur. Pulchre autem dixit canon, locum propinquum eligi debere. Si

Digitized by Google

enim procul situs sit, non cogetur judex aut adversarius hanc electionem sequi. Existimo autem hæc locum non habere in patriarchalibus judiciis; **556** quia nemo potest metum causari, ubi patriarchalis magnitudinis potestas omnem superat potentiam : sed de episcopalibus inferioribus judiciis hæc sunt accipienda, ubi et judicis et litigatorum facilis est a loco in locum translatio.

ΒΑΛΣ. Ἡ μὲν ρκγ' Ἰουστινιάνειος νεαρά, ἤγουν τὸ δ' κεφ. τοῦ α' τίτλου τοῦ δ' βιβλίου φησὶ ταῦτα ῥητῶς· Ἐν ἅπασι δὲ τοῖς μοναστηρίοις, ἅπερ κοινόβια καλοῦνται, κελεύομεν κατὰ τοὺς μοναχικοὺς κανόνας ἐν ἑνὶ οἴκῳ πάντας οἰκεῖν, καὶ κοινῶς τρέφεσθαι, κατὰ τὸν ὅμοιον τρόπον, καὶ ἐν ἑνὶ οἴκῳ πάντας κεχωρισμένως καθεύδειν, ὥστε ἀμοιβαδὸν ἀλλήλοις μαρτυρίαν τῆς σώφρονος διαγωγῆς παρέχειν αὐτούς· τούτων ἁπάντων καὶ περὶ τὰ μοναστήρια καὶ ἀσκητήρια τῶν γυναικῶν παραφυλαττομένων· ὁ δὲ παρὼν κανὼν διορίζεται τὰς ἀνατεθειμένας τῷ Θεῷ παρθένους, χωριζομένας ἀπὸ τῶν οἰκείων πατέρων, μὴ καθ' ἑαυτὰς διάγειν, ἀλλ' ἐπεὶ παρὰ τῶν πατέρων ἐφυλάττοντο, ἡ δὲ τοιαύτη φυλακὴ μετὰ τὴν εἰς τὴν Ἐκκλησίαν ἀνάθεσιν αὐτῶν ἀπέλειψεν, ὀφείλουσιν οἱ ἐπίσκοποι ἢ τούτων ἀπόντων οἱ πρεσβύτεροι παραδιδόναι ταύτας σεμναῖς γυναιξὶν, ἐφ' ᾧ ὑπὸ τούτων διὰ βίου ὁμοζώτας φυλάττεσθαι. Ἢ εἰ μὴ τοῦτο, πάσας τὰς ἱερὰς ταύτας παρθένους ὁμοῦ κατοικεῖν, ἵνα συζῶσαι φυλάττωσιν ἀλλήλας, καὶ μὴ πλαζόμεναι, ἤγουν τῇδε κἀκεῖσε διατρίβουσαι τὴν ἐκκλησιαστικὴν εὐκοσμίαν μολύνωσι διὰ τοῦ δοκεῖν οὐκ ἀγαθὰς ὑπολήψεις κατ' αὐτῶν. Καὶ ὁ μὲν νόμος καὶ οἱ κανόνες ἐν τούτοις· σήμερον δὲ ἀπὸ τούτων τέως εἰς ἡμᾶς μικρὸν ἢ οὐδὲν σχεδὸν γίνεται· οὔτε γὰρ οἱ μοναχοὶ τῶν ἀνδρῶν μοναστηρίων ὁμοῦ κατοικοῦσιν, οὔτε αἱ ἀσκήτριαι· εἰς μόνα δὲ τὰ γυναικεῖα κοινόβια μοναστήρια συντηρεῖται ἡ κοινὴ δίαιτα καὶ κατοικία. Εἰς δὲ τοὺς Λατίνους τέως ἡ τοιουτότροπος διαγωγὴ συντηρεῖται. Πάντες γὰρ οἱ μοναχοὶ ὁμοῦ καὶ ἐσθίουσι καὶ ὑπνώττουσιν. Ἀνάγνωθι καὶ τὸν ς' κανόνα τῆς παρούσης συνόδου, καὶ τὰ ἐν αὐτῷ (πλατύτερον γὰρ ἐκεῖσε διελήφθη πῶς παρθένοι καθιεροῦνται, καὶ δίχα τοῦ μοναστικοῦ σχήματος) καὶ τὸν ιη' κανόνα τοῦ ἁγίου Βασιλείου.

ΖΩΝΑΡ. Ἐν ἕκτῳ κανόνι τῆς παρούσης συνόδου εἴρηται περὶ κορῶν καθιερώσεως. Ἃς γοῦν ἐκάλεσεν ἐκεῖ κόρας καθιερουμένας, ἐνταῦθα ἱερὰς παρθένους ὠνόμασε. Κόρας γὰρ τὰς παρθένους ἔθος

Digitized by Google

καλεῖν. Ἀνατιθεμένων οὖν τῷ Θεῷ παρθένων ἁγνεύειν ὁμολογουσῶν ὁ ἐπίσκοπος αὐτὰς ἀνεδέχετο. Λέγει οὖν ὁ κανὼν ὅτι δεῖ τὸν ἐπίσκοπον προνοεῖν αὐτῶν, ἢ ὅτε ἄπεστι, τοὺς πρεσβυτέρους, καὶ ἐπεὶ διίστανται τῶν πατέρων αὐτῶν ὑφ' ὧν ἐφυλάττοντο, παραδίδοσθαι αὐτὰς σεμναῖς γυναιξὶν, ὥστε συνοικεῖν αὐταῖς, καὶ καταρτίζεσθαι εἰς ἀρετὴν, ἢ πάσας τὰς ἱερὰς ταύτας παρθένους ὁμοῦ συνοικεῖν, ἵνα συζῶσαι ὁρῶεν ἀλλήλας, καὶ φυλάττοιεν, καὶ μὴ πλαζόμεναι, ἤγουν τῇδε κἀκεῖσε περιοῦσαι, καὶ πλανώμεναι βλάψωσι τὴν ὑπόληψιν τῆς Ἐκκλησίας, τουτέστιν ὑπολαμβάνειν οὐκ ἀγαθὰς ὑπολήψεις παρασκευάσωσί τινας περὶ τῆς Ἐκκλησίας. Ἐκκλησία δέ ἐστιν ὁ τῶν πιστῶν ἀθροισμός.

A Quæ se ergo virgines Deo dicabant, continentiamque profitebantur, eas episcopus excipiebat. Episcopi igitur vel presbyterorum, si is absit, cura providentiaque eas regendas esse : et quoniam a parentibus divisæ sunt, quorum oculis domi observabantur, honestis mulieribus, cum quibus una degentes ad virtutem informentur, eas commendari ac tradi, canon jubet; vel in uno eodemque contubernio simul omnes ejusmodi sacras virgines degere, ut mutuo sese aspectu vicissim custodiant, neque vero huc illuc errantes ac vagæ existimationem Ecclesiæ lædant; hoc est, suspicionibus de Ecclesia parum commodis occasionem nonnullis præbeant. Est vero Ecclesia fidelium multitudo sive conventus.

ΑΡΙΣΤ. « Ἡ διὰ παρθενίαν τοῦ πατρὸς ἀφισταμένη « ταῖς τιμιωτάταις τῶν γυναικῶν παρατίθεται. »

B ARIST. « Quæ a patre virginitatis gratia secesserit, venerabilioribus feminis commendetur. »

Δεῖ τὸν ἐπίσκοπον τῶν ἱερῶν παρθένων τίθεσθαι πρόνοιαν· καὶ εἰ τῶν οἰκείων πατέρων αὗται χωρισθῶσι, παρ' ὧν ἐφυλάττοντο, ταῖς τιμιωτάταις γυναιξὶν εἰς ἐπιτήρησιν παραδιδόσθωσαν, ὥστε ἅμα ἀλλήλας κατοικεῖν.

Oportet episcopum sacrarum virginum curam habere, et si illæ a suis patribus, quibus custoditæ fuere, separentur, venerabilissimis mulieribus in observationem tradantur, ut secum invicem cohabitent.

ΚΑΝΩΝ ΜΗ'.

571 CANON XLVIII.

« Περὶ τῶν ἀσθενούντων καὶ ὑπὲρ αὐτῶν ἀποκρίνεσθαι μὴ δυναμένων. Ὥστε τοὺς ἀσθενοῦντας, « οἵτινες ὑπὲρ ἑαυτῶν ἀποκρίνεσθαι οὐ δύνανται, τότε βαπτίζεσθαι, ὅτε τῇ αὐτῶν προαιρέσει τὴν περὶ αὐτῶν μαρτυρίαν κινδύνῳ ἰδίῳ « εἴπωσιν. »

« De iis qui sunt infirmi et pro se respondere nequeunt. Ut qui sunt infirmi, qui quidem pro se « respondere non possunt, tunc baptizentur, « quando voluntate sua de se testimonium proprio « periculo dixerint. »

C

ΒΑΛΣ. Τινὲς ἐζήτουν ἀπίστους τινὰς βαπτισθῆναι κατὰ τὰς τελευταίας αὐτῶν ἀναπνοάς· καὶ οὐκ εἰσηκούοντο, διὰ τὸ τοὺς ἀσθενοῦντας μὴ δύνασθαι δι' ἑαυτῶν ὁμολογεῖν τὰς τοῦ ἁγίου βαπτίσματος συνθήκας. Φασὶ γοῦν οἱ Πατέρες ὅτι, ἐὰν οἱ ἀσθενοῦντες δείξωσι προαίρεσιν περὶ τοῦ ἐθέλειν αὐτοὺς βαπτισθῆναι, καὶ εἴπωσι κινδύνῳ ἰδίῳ ζητεῖν τὸ βάπτισμα, ἀπαρεμποδίστως βαπτισθήσονται, δι' ἑτέρων τὰς ὁμολογίας ποιούμενοι. Καὶ τοῦτο μὲν, ὅτε τυχὸν ἐν τῷ τελευτᾶν ἡ τοιαύτη τούτων προαίρεσις κατάδηλος γένηται. Εἰ δὲ τότε μὲν οὐδέν τι τοιοῦτον εἰπεῖν δύνανται, διὰ τὴν ἀνάγκην τῆς νόσου, μαρτυρεῖται δὲ παρά τινων ὡς οἱ τοιοῦτοι καὶ πρὸ τῆς μανίας τυχὸν ἢ τῆς ἄλλης κινδυνώδους νόσου ὁλοψύχως προῃροῦντο βαπτισθῆναι, ἐρωτῶ, βαπτισθήσονται ἢ οὔ; Λύσις. Ἐμοὶ δοκεῖ ὡς ἀπαρεμποδίστως βαπτισθήσονται διὰ τὴν ἐν ὑγείᾳ ἀγαθὴν πρόθεσιν αὐτῶν. Τούτων δὲ οὕτως ἐχόντων, μὴ εἴπῃς ὡς, ἐπεὶ ὁ παρὼν κανὼν διορίζεται ἐκείνους βαπτίζεσθαι τοὺς ἐνδειξαμένους προαίρεσιν ἀγαθὴν πρὸ τῆς νόσου, ἢ κατ' αὐτὴν τὴν νόσον, ἐξ ἀνάγκης ἐκεῖνοι καὶ ἀποκάρσεως ἀξιωθήσονται, οἱ κατὰ τὸν καιρὸν τελευτῆς πρὸ τῆς τελευταίας ἀναπνοῆς ἐνδειξάμενοι πρόθεσιν ἀποκάρσεως. Οὗτοι γὰρ τοῦ ἐπιτελευτίου ἐφοδίου τοῦ ἀγγελικοῦ σχήματος ἀδιαστίκτως ἀξιωθήσονται, ἐὰν τέως αἴσθησιν τοῦ γινομένου ἔχωσι. Τοῖς μὲν γὰρ ὀρθοδόξοις, ὡς ἐλπίζουσι τὴν μέλλουσαν κρίσιν τοῦ Θεοῦ, ἡ μετάνοια σύνοικός ἐστι, καὶ πᾶς Χριστιανὸς κατὰ πρόληψιν ἔφεσιν

BALS. Quidam petebant, ut infideles nonnulli ad extremum spiritum baptizarentur : nec fuerunt exauditi, eo quod non possint infirmi per se sancti baptismatis pacta et conventa profiteri. Dicunt ergo Patres, quod si ii, qui sunt infirmi, se baptizari velle ostenderint, seque proprio periculo baptismum quærere dixerint; sine impedimento baptizabuntur, per alios pacta promissa facientes. Atque hoc quidem quando forte inter moriendum talis eorum voluntas aperta fuerit. Si autem tunc quidem nihil possunt ejusmodi dicere, propter morbi necessitatem; testificantur autem aliqui, quod ante furorem fortasse vel aliquem alium periculosum morbum ii ex toto vellent animo baptizari, rogo, baptizabuntur annon? *Solutio*. Mihi videtur, quod sine periculo baptizabuntur, propter bonam eorum in sanitate intentionem. Cum hæc autem ita se habeant, ne dixeris, quod quoniam præsens canon statuit illos baptizandos, qui bonam voluntatem ostenderint ante morbum, vel in ipso morbo; illi quoque necessario tonsuram assequentur, qui ante tempus mortis et extremi spiritus, ut tonderentur, voluntatem ostenderint. Hi enim extremum angelici amictus viaticum indistincte assequentur, si ejus quod fit sensum habeant. Orthodoxis enim, ut qui futurum Dei judicium sperent, pœnitentia cohabitat, et quilibet proposito Christianus desiderat, ut per tonsuram ei sua peccata remittantur. Infidelibus autem non est necessario consequens baptismi de-

Digitized by Google

sideriun : magis ergo dicimus eorum esse institutum, ut cum propria superstitione moriantur, et sanctum etiam baptismum irrideant. Nisi ergo ostendatur eos dum essent sani, baptizari voluisse, vel saltem dum ægrotant, inter moriendum baptismo digni non habebuntur.

A ἔχει τοῦ συγχωρηθῆναι διὰ τῆς ἀποκάρσεως τὰς ἁμαρτίας αὐτοῦ· τοῖς δὲ ἀπίστοις οὐκ ἐξ ἀνάγκης ἐπομένη ἐστὶν ἡ ἔφεσις τοῦ βαπτίσματος· μᾶλλον μὲν οὖν κατὰ πρόληψιν λέγομεν ἔχειν αὐτοὺς ἔφεσιν μετὰ τῆς οἰκείας θρησκείας ἀποθανεῖν, καὶ καταγελᾷν δὲ καὶ τοῦ θείου βαπτίσματος. Εἰ γοῦν οὐ δείκνυται τὸ θέλειν τούτους ἐν ὑγείᾳ ὄντας βαπτισθῆναι, ἢ κἂν ἐν τῷ νοσηλεύεσθαι, οὐκ ἀξιωθήσονται τοῦ βαπτίσματος ὅτε τελευτῶσιν.

ZONAR. Qui ex morbo aliove discrimine tam male affecti sunt, ut neque sermones conferre, neque, an baptizari cupiant, roganti respondere queant, vel etiam ita sibi animo non constent, ut ne ea quidem, quæ rogantur, intelligant; tum demum baptizari oportet, si se baptizari velle non obscuris antea indiciis probaverint, seque proprio periculo baptismum quærere dixerint, ita nimirum, ut nisi fidei depositum custodiverint, ipsi in periculum veniant. Quod si ab aliquo, prinsquam morbo premeretur, baptismum postulatum, aliquibus tamen ex causis dilatum fuisse, testatum sit; hominem, quamvis respondere nequit, nihilominus baptizari placet.

ZΩΝΑΡ. Τοὺς ἐκ νόσων ἢ τινων συμπτωμάτων κακῶς ἔχοντας, ὥστε μὴ δύνασθαι ὁμιλεῖν, μηδ' ἀποκρίνεσθαι ἐρωτωμένους, εἰ βούλοιντο βαπτισθῆναι, ἢ καὶ τὸν νοῦν ἴσως βεβλαμμένους, ὡς μηδὲ νοεῖν ἃ ἐρωτῶνται, τότε χρὴ βαπτίζειν, ὅτε προαίρεσιν δείξουσιν εἰ βούλοιντο βαπτισθῆναι· καὶ εἴπωσι κινδύνῳ ἰδίῳ ζητεῖν τὸ βάπτισμα, ὥστε, εἰ μὴ τὴν πίστιν φυλάξουσιν, αὐτοὺς κινδυνεύειν. Εἰ δὲ μαρτυρεῖται ὅτι καὶ πρὸ τῆς ἀσθενείας ἐζήτει τὸ βάπτισμα, ὑπερετίθετο δὲ δι' αἰτίας τινάς, καὶ τότε, κἂν μὴ δύνηται ἀποκρίνεσθαι, βαπτισθήσεται.

ARIST. « Qui propter infirmitatem pro se non « respondet, tunc baptizetur, cum sua sponte « testimonium dederit. »

Oportet eum qui baptizatur gratiam percipere, et mystice interrogata intelligere, et ad ea respondere. Si quis autem eum, qui respondere nequit, utpote infirmum, baptizari cupit, tunc baptizetur, quando ille, qui hoc cupit, suo periculo testatus fuerit, se exacte infirmi scire voluntatem, quod baptismum in desideriis habeat, et adhuc desiderans maneat.

ΑΡΙΣΤ. « Ὁ δι' ἀσθένειαν μὴ ἀποκρινόμενος ὑπὲρ « ἑαυτοῦ τότε βαπτιζέσθω, ὅταν τῇ αὐτοῦ προαι« ρέσει δῷ τὴν μαρτυρίαν. »

Δεῖ τὸν βαπτιζόμενον τῆς χάριτος ἐπαισθάνεσθαι, καὶ τὰ μυστικῶς ἐρωτώμενα συνιέναι, καὶ ἀποκρίνεσθαι πρὸς αὐτά. Εἰ δέ τις τὸν μὴ δυνάμενον ἀποκριθῆναι, ὡς ἀσθενοῦντα, ἀπαιτεῖ βαπτισθῆναι, τότε βαπτιζέσθω, ὅταν αὐτὸς, ὁ τοῦτο ἀπαιτῶν, κινδύνῳ ἰδίῳ διαμαρτύρηται τὴν αὐτοῦ γνώμην εἰδέναι ἀκριβῶς τοῦ ἀσθενοῦντος, ὡς ἐπιζητεῖ τὸ βάπτισμα, καὶ ἐπιμένει ποθῶν.

572 CANON XLIX.

« De scenicis pœnitentiam agentibus et ad Domi« num conversis. Ut scenicis et mimis et reliquis « ejusmodi personis, vel apostatis, pœnitentiam « agentibus, et se ad Deum convertentibus, gratia « vel reconciliatio non neretur. »

ΚΑΝΩΝ ΜΘ'.

« Περὶ σκηνικῶν μετανοούντων καὶ ἐπιστρεφόν« των πρὸς τὸν Κύριον. Ὥστε τοῖς σκηνικοῖς « καὶ μίμοις καὶ τοῖς λοιποῖς τοιουτοτρόποις « προσώποις, ἢ ἀποστάταις, μετανοοῦσι καὶ ἐπι« στρέφουσι πρὸς τὸν Θεὸν, χάριν ἢ καταλλαγὴν « μὴ ἀρνεῖσθαι. »

BALS. Scenici et mimi sunt, non thymelici, qui cantus epithalamios cum musicis canunt instrumentis, ii enim sunt integræ existimationis : sed histriones ac ludiones, qui servos et milites et mulieres et alias quasdam personas imitantur, et in faciem ferunt. Sicut hoc ex primo et quarto capite, tit. 2 lib. XXI Basilic. ostenditur. Dicunt ergo Patres, omnes qui sic peccant, et temere ac citra delectum vitam instituunt; quin et apostatas, hoc est, eos qui Christianismum abnegaverunt, ad Deum se convertentes, seu pœnitentiam agentes, non esse amandandos, sed eis dandam esse gratiam seu peccatorum remissionem, et reconciliationem sive pœnarum solutionem.

ZONAR. Scena imitatio dicitur. Qui ergo nunc duces, nunc servos, nunc alia personarum genera imitantur, scenici nominantur. Ex hoc numero, qui coram imperatoribus artem factitarent, leges civiles in honore habuere : qui vero in publico cœtu plebeculæque conventibus histrioniam exercerent,

ΒΑΛΣ. Σκηνικοὶ καὶ μῖμοί εἰσιν οὐχὶ οἱ θυμελικοὶ, οἱ τὰς ἐπιθαλαμίους ᾠδὰς μετὰ μουσικῶν ὀργάνων ᾄδοντες· οὗτοι γὰρ ἔντιμοί εἰσιν· ἀλλὰ οἱ παιγνιῶται, οἱ δούλους καὶ στρατιώτας καὶ γυναῖκας καὶ ἕτερα πρόσωπα μιμούμενοι, καὶ κατὰ κόρρης τυπτόμενοι· καθὼς τοῦτο παρίσταται ἀπὸ τοῦ α' καὶ δ' κεφ. τοῦ β' τίτλου τοῦ κα' βιβλίου τῶν Βασιλικῶν. Φασὶ γοῦν οἱ Πατέρες πάντας τοὺς τὰ τοιαῦτα ἁμαρτάνοντας, καὶ ἀδιαφόρως ζῶντας, ἀλλὰ μὴν καὶ τοὺς ἀποστάτας, τουτέστι τοὺς ἀρνησαμένους τὸν Χριστιανισμὸν, ἐπιστρέφοντας πρὸς Θεὸν ἤτοι μετανοοῦντας, μὴ ἀποπέμπεσθαι, ἀλλὰ διδόναι αὐτοῖς χάριν, ἤγουν ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ καταλλαγὴν, ἤτοι λύσιν τῶν ἐπιτιμίων.

ΖΩΝΑΡ. Σκηνὴ λέγεται ἡ ὑπόκρισις. Οἱ γοῦν ὑποκρινόμενοι ποτὲ στρατηγοὺς, ποτὲ δούλους, ποτὲ δ' ἕτερα πρόσωπα, ὀνομάζονται σκηνικοί. Τούτων δὲ τοὺς μὲν ἐνώπιον βασιλέων ταῦτα ὑποκρινομένους ἐντίμους ἔχουσιν οἱ νόμοι τῆς πολιτείας· τοὺς δὲ ἐν πανηγύρεσι καὶ δήμων ἄλλαις

Digitized by Google

συνάξεσιν ἐπιδεικνυμένους τοιαῦτα, καὶ γέλωτα τοῖς ὁρῶσι κινοῦντας ταῖς ὑποκρίσεσι, καὶ τοῖς κατὰ κόρρης ῥαπίσμασι καὶ ψοφήμασιν, ἀτίμου; ἡγοῦνται. Ὁ δὲ κανὼν οὗτος ἀδιαστίκτως πάντας τοὺς τοιούτους μετανοίας δεῖσθαί φησιν, ὡς αὐτούς γε ἀδιαφόρως ζῶντας, καὶ ἄλλοις γινομένους αἰτίους ἀνειμένης καὶ διακεχυμένης ζωῆς. Τούτοις οὖν καὶ τοῖς λοιποῖς τοῖς τοιουτοτρόποις, οἷον τερατοποιοῖς καὶ ὀρχησταῖς, ἀλλὰ μὴν καὶ τοῖς ἀποστάταις, τουτέστι τοῖς ἀρνησαμένοις τὸν Χριστιανισμόν, μετανοοῦσιν οὐ δεῖ, φησὶν, ἀρνεῖσθαι χάριν ἢ καταλλαγήν. Χάριν μὲν λέγει τὴν ἄφεσιν τῶν σφαλμάτων, ὡς χάριτι διδομένην ἡμῖν παρὰ τοῦ Θεοῦ, καθὼς καὶ ὁ μακάριος Παῦλος λέγει, ὅτι *Χάριτί ἐστε σεσωσμένοι*· καταλλαγὴν δὲ τὴν λύσιν τῶν ἐπιτιμίων. Λύεται γὰρ τοῦ δεσμοῦ ὁ ἐπιτιμηθείς, ὅτε συνίδῃ ὁ δεσμήσας αὐτὸν, ὡς καταλλαγέντος αὐτῷ τοῦ Θεοῦ διὰ τῶν ἐπιτιμίων.

risumque astantium imitata simulatione, ac colaphis sibi vicissim impactis inconditaque strependi ratione captarent, ignominia notavere. Hic vero canon omnes hujusmodi, sine discrimine pœnitentia indigere affirmat, quippe qui et ipsi negligenter vitam agant, et aliis dissolute ac effuse vivendi causam præbeant. His igitur ac reliquis ejusmodi hominibus, quales sunt præstigiatores et saltatores, quin et apostatis, qui videlicet a Christiana religione defecerint, si pœnitentiam agant, gratiam et conciliationem minime denegandam esse pronuntiat. Gratiam quidem appellat, per quam peccatorum veniam consequimur, quod ea nobis a Deo per gratiam donetur; quemadmodum beatus quoque Paulus ait; *Gratia salvi facti estis* [69]: Conciliationem vero, absolutionem a pœnis. Tunc enim qui pœnæ obnoxius est a vinculo absolvitur, cum illi Deum ob susceptas pœnas placatum et quodammodo conciliatum esse multæ exactor intelligit.

ΑΡΙΣΤ. « Καὶ σκηνικὸς δὲ ἐπιστρέφων δεκτὸς εἰς « μετάνοιαν. »

Πᾶς δὲ ἁμαρτάνων, καὶ μετανοῶν, δεκτὸς εἰς μετάνοιαν, κἂν σκηνικός ἐστι, κἂν μῖμος, κἂν οἱονδήτινα ἕτερον μετερχόμενος βίον.

ARIST. « Et scenicus vero sese convertens ad « pœnitentiam recipiendus est. »

Omnis autem qui peccat et resipiscit, ad pœnitentiam recipiendus est, licet scenicus sit, licet mimus, licet aliam quamcunque vivendi rationem consectatus est.

ΚΑΝΩΝ Ν'.

« Περὶ τῶν παθῶν τῶν μαρτύρων. Ἐξέστω ἔτι « μὴν ἀναγινώσκεσθαι τὰ πάθη τῶν μαρτύ« ρων, ἡνίκα αἱ ἐτήσιαι αὐτῶν ἡμέραι ἐπιτε« λοῦνται. »

ΒΑΛΣ. Εἰ καὶ ὥρισαν οἱ Πατέρες ἐν τῷ κδ' κανόνι τῆς παρούσης συνόδου τὰ ὀφείλοντα ἀναγινώσκεσθαι βιβλία· ἀλλὰ νῦν προστιθέασιν ἀναγινώσκεσθαι καὶ τὰ ὑπομνήματα τῶν μαρτυρικῶν παθημάτων ἐν ταῖς ἐτησίαις μνήμαις αὐτῶν.

ΖΩΝΑΡ. Ἐν κδ' κανόνι ἡ σύνοδος αὕτη ἀπηρίθμησε τίνα δεῖ ἀναγινώσκεσθαι ἐν ἐκκλησίᾳ βιβλία τῆς παλαιᾶς Γραφῆς καὶ τῆς νέας, τὰ δ' ἐκτὸς τῶν ἀπηριθμημένων ἐκώλυσεν ἀναγινώσκεσθαι· νῦν δὲ τοῖς ἀναγνωστέοις προστίθησι καὶ τὰ ὑπομνήματα τῶν μαρτυρικῶν παθημάτων, ἐν ταῖς ἐτησίαις μνήμαις αὐτῶν ἀναγινώσκεσθαι ὀφείλοντα.

ΑΡΙΣΤ. « Τὰ πάθη τῶν μαρτύρων ἐν ταῖς μνείαις αὐτῶν ἀναγινωσκέσθωσαν. *Σαφής*. »

CANON L.

« De passionibus martyrum. Liceat præterea legere « passiones martyrum, quando anniversarii eorum « dies celebrantur. »

BALS. Etiamsi in canone 24 præsentis synodi Patres definierint libros, qui legi debeant; nunc tamen adjiciunt esse quoque legendas commemorationes passionum martyrum, in anniversariis eorum memoriis.

ZONAR. Vicesimo quarto canone, quinam ex Veteri Novoque Testamento libri in ecclesia legendi sint, hæc synodus recensuit, aliorum omnium usu penitus interdicto: nunc vero præterea commentarios, in quibus martyrum certamina describuntur, adjungit, qui per eos dies, quibus ipsorum memoria anno vertente celebratur, perlegi debent.

ΚΑΝΩΝ ΝΑ'.

« Περὶ Δονατιστῶν καὶ παιδίων τῶν παρὰ τοῖς Δο« νατισταῖς βαπτιζομένων. Ἤρεσεν ἵνα ἐρωτή« σωμεν τοὺς ἀδελφοὺς καὶ συνιερεῖς ἡμῶν, « Σηρίκιον καὶ Σιμπλικιανὸν, περὶ μόνων τῶν « νηπίων τῶν παρὰ τοῖς Δονατισταῖς βαπτιζομέ« νων, μήπως τοῦτο, ὅπερ οἰκείᾳ προαιρέσει οὐκ « ἐποίησαν, ἡ τῶν γονέων πλάνη ἐμποδίσῃ αὐ« τοὺς πρὸς τὸ μὴ προκόπτειν εἰς ὑπουργίαν τοῦ « ἁγίου θυσιαστηρίου, ὅταν πρὸς τὴν τοῦ Θεοῦ « Ἐκκλησίαν σωτηριώδει προθέσει ἐπιστρέψωσιν. « Τούτων δὲ ἐναρχθέντων, Ὁνωράτος καὶ Οὐρ-

CANON LI.

« De Donatistis et pueris, qui a Donatistis baptizantur. « Placuit ut interrogemus fratres, et nos ros in « sacris comministros, Siricium et Simplicianum, « de solis infantibus qui a Donatistis baptizantur, « ne hoc, quod propria voluntate non fecerunt, « parentum error ipsos impediat, ne promo« veantur ad sancti altaris ministerium, quando « ad Dei ecclesiam salutari proposito conversi « fuerint. His autem inceptis, Honoratus et Ur« banus Mauritaniæ Sitifensis episcopi dixerunt: « Jamdudum quando ad vestram sanctitatem

[69] Ephes. II, 8.

Digitized by Google

« missi sumus, quæ scripta erant distulimus, A
« hac consideratione, quod expectaremus ut fra-
« tres nostri adessent de Numidia legati. Sed
« quia non pauci sunt dies, ex quo ii qui ex-
« spectantur, nequaquam accesserunt, ulterius
« prætermittere quæ nobis à nostris coepiscopis
« mandata sunt, non decet; et propterea, fratres,
« nostram relationem alacri animo suscipite. De
« fide enim Nicæni tractatus audivimus: verum
« est de sacrificiis, quæ fiunt post prandium, ut
« a jejunis, ut par est, offerantur, et tunc con-
« firmatum est. »

BALS. Qui ex hæresi ad fidem orthodoxam ac- B
cedunt, hi quidem baptizantur, illi vero sancto
solum chrismate unguntur, postquam eorum hære-
ses anathematizaverint. Ut est ergo verisimile, ad
veram et inculpatam fidem nostram quidam in in-
faktia a Donatistis baptizati, parentum suorum vo-
luntate, qui erant et ipsi Donatistæ, volebant etiam
ad sacros gradus promoveri, postquam suscepti
fuerant. Quia autem facile ad hoc non admissi
sunt, facta est interrogatio, quid de iis fieri opor-
teat. Atque hic quidem canon nihil de eo, quod
interrogatum est, respondet. Nihil enim dicit, an
chrismate inungi, an baptizari oporteat, neque de-
finit non impediri eos, quominus ad gradum eccle-
siasticum promoveantur; quemadmodum nec con-
tra. Tu vero lege canonem 7 secundæ synodi et C
quæ in eo sunt, et scies quid in his fieri debeat.
His autem sic prolatis, dixerunt Mauritaniæ epi-
scopi, quod etiam si huc usque distulerunt sciscitari
quæ jussi fuerant, quod sperarent venturos a Nu-
midia legati, quia tamen multum temporis effluxit,
et qui exspectabantur non accesserunt, non oportet
amplius differre interrogationem. Quamobrem
dixerunt non oportere sacrificia a sacerdotibus of-
ferri, postquam nutrimentum gustaverint, sed a je-
junis, quia, inquiunt, hoc quoque a Patribus Nicææ
confirmatum est, in tractatu de fide, sive in dis-
quisitione fidei (tractatus enim apud Latinos est
inquisitio). In canonibus autem primæ Nicænæ sy-
nodi nihil de ea materia inventum est.

ZONAR. Ex iis qui ejurata hæresi rectam fidem
amplectebantur, partim libellis datis, hoc est,
scriptis publice editis, damnare suas hæreses jube-
ntur (libellus enim Latine editio est), easque ubi de-
testati fuerint, sacro unguento liniuntur; partim
sacri baptismatis fonte lustrantur, quemadmodum
hac de re septimus secundæ œcumenicæ synodi
canon statuit. Hujus igitur synodi Patres, de Do-
natistarum filiis ad Eclesiam Dei accedentibus, ba-
ptismone initiandi, an vero sacro chrismate tantum-
modo inungendi orent, ut credibile est, ambigentes,
ea de re coepiscoporum suorum sententiam exqui-
rere decreverunt, ne, inquiunt, quod ab ipsis non

« βανὸς, οἱ ἐπίσκοποι τῆς Μαυριτανίας Σιτιφέν-
« σης χώρας, εἶπον· Ἐκ πολλοῦ, ὅτε πρὸς ὑμε-
« τέραν ἁγιωσύνην ἀπεστελλόμεθα, τὰ γραφέντα
« ὑπερεθέμεθα ταύτῃ τῇ κατανοήσει, ὅτι προσε-
« δοκῶμεν ἀδελφοὺς ἡμῶν παραγενέσθαι τοποτη-
« ρητὰς Νουμηδίας. Ἀλλ' ἐπειδὴ οὐκ ὀλίγαι
« ἡμέραι εἰσὶν ἀφ' οὗ οἱ προσδοκώμενοι οὐδαμῶς
« κατέλαβον, περαιτέρω παριδεῖν τὰ ἐνταλέντα
« ἡμῖν ἀπὸ τῶν συνεπισκόπων οὐ δεῖ· καὶ διὰ
« τοῦτο, ἀδελφοὶ, τὴν ἀναφορὰν ἡμῶν προθύμως
« εἰς δέξασθε. Περὶ τῆς πίστεως γὰρ τοῦ ἐν Νι-
« καίᾳ τρακτάτου ἠκούσαμεν· Ἀληθές ἐστι περὶ
« τῶν γινομένων μετὰ τὸ ἄριστον ἁγίων, ἵνα
« ἀπὸ νηστικῶν, ὡς ἔστιν ἄξιον, προσφέρωνται,
« καὶ τότε βεβαιωθῇ.

ΒΑΛΣ. Οἱ ἐξ αἱρέσεως προσιόντες τῇ ὀρθοδόξῳ
πίστει οἱ μὲν βαπτίζονται, οἱ δὲ μόνῳ χρίονται τῷ
ἁγίῳ μύρῳ, μετὰ τὸ ἀναθεματίσαι τὰς αἱρέσεις
αὐτῶν. Ὡς ἔοικεν οὖν, προσήρχοντο τῇ ἀμωμήτῳ
πίστει ἡμῶν τινες ἐν νηπιότητι βαπτισθέντες παρὰ
Δονατιστῶν κατὰ προαίρεσιν τῶν γονέων αὐτῶν,
ὄντων καὶ τούτων Δονατιστῶν, καὶ ἤθελον προβιβα-
σθῆναι εἰς βαθμοὺς ἱερατικοὺς μετὰ τὸ δεχθῆναι.
Ὅτι δὲ ῥᾳδίως εἰς τοῦτο οὐ προσεδέχοντο, γέγονεν
ἐρώτησις, τί χρὴ γενέσθαι ἐπὶ τούτοις. Καὶ ὁ μὲν
κανὼν οὗτος οὐδέν τι περὶ τοῦ ἐρωτηθέντος ἀπολο-
γεῖται. Οὔτε γάρ φησιν εἰ χρὴ τούτους μυρωθῆναι
ἢ βαπτισθῆναι, οὔτε ὁρίζει μὴ ἐμποδίζεσθαι τού-
τους ἀναχθῆναι εἰς ἐκκλησιαστικὸν βαθμὸν, ὥσπερ
οὐδὲ τοὐναντίον. Σὺ δὲ ἀνάγνωθι τὸν ζ' κανόνα τῆς
β' συνόδου, καὶ τὰ ἐν αὐτῷ, καὶ μάθῃς τί ὀφείλει
γίνεσθαι ἐπὶ τούτοις. Τούτων δὲ οὕτω λαλουμένων,
εἶπον οἱ ἐκ Μαυριτανίας ἐπίσκοποι ὅτι, εἰ καὶ μέχρι
τοῦ νῦν ὑπερετίθεντο ἐρωτῆσαι ἃ παρηγγέλθησαν,
διὰ τὸ ἐλπίζειν ἐλθεῖν τοποτηρητὰς ἀπὸ Νουμηδίας,
ἀλλ' ἐπεὶ πολὺς παρῆλθε καιρὸς καὶ οἱ προσδοκώ-
μενοι οὐ κατέλαβον, οὐ δεῖ καὶ ἔτι ὑπερτίθεσθαι τὴν
ἐρώτησιν. Διὸ καὶ εἶπον μὴ χρῆναι προσφέρεσθαι τὰ
ἅγια παρὰ ἱερέων, μετὰ τὸ γεύσασθαι τροφῆς, ἀλλ'
ὑπὸ νηστικῶν· ὅτι, φασὶν, ἐβεβαιώθη τοῦτο καὶ
παρὰ τῶν ἐν Νικαίᾳ Πατέρων ἐν τῷ περὶ τῆς πί-
στεως τρακτάτῳ, ἤγουν ἐν τῇ κατεξετάσει τῆς
πίστεως (τρακτᾶτον γάρ ἐστι κατὰ Λατίνους ἡ δο-
κιμασία.). Ἐν δὲ τοῖς κανόσι τῆς ἐν Νικαίᾳ πρώτης
D συνόδου οὐδὲν περὶ τοιαύτης εὕρηται ὑποθέ-
σεως.

ΖΩΝΑΡ. Οἱ ἐξ αἱρέσεων προσιόντες τῇ ὀρθοδόξῳ
πίστει οἱ μὲν λιβέλλους ἀπαιτοῦνται, ἐκδόσεις ἐγ-
γράφους δηλαδὴ στηλιτευούσας τὰς αἱρέσεις αὐτῶν·
λίβελλος γὰρ Ῥωμαιστὶ ἔκδοσίς ἐστι· καὶ ἀναθεμα-
τίζοντες αὐτὰς, χρίονται τῷ ἁγίῳ μύρῳ· οἱ δὲ βα-
πτίζονται, ὡς περὶ τούτων διατάττεται ὁ ζ' κανὼν
τῆς δευτέρας οἰκουμενικῆς συνόδου. Οἱ οὖν τῆς
συνόδου ταύτης Πατέρες, ἀμφιβάλλοντες, ὡς ἔοικε,
περὶ τῶν παίδων τῶν Δονατιστῶν προσερχομένων
τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ, εἴτε βαπτισθῆναι αὐτοὺς
χρὴ, εἴτε μόνον ἁγίῳ μύρῳ χρισθῆναι, συνέθεντο
ἐρωτῆσαι τοὺς συνεπισκόπους αὐτῶν, ἵνα, φασὶ,
μὴ ὅπερ οὐκ ἐξ οἰκείου θελήματος ἐποίησαν, ἀλλ'

Digitized by Google

ἐκ πλάνης τῶν γονέων αὐτῶν γέγονεν, ἤγουν τὸ βαπτισθῆναι ὑπὸ Δονατιστῶν, ἐμπόδιον αὐτοῖς γένηται ἐπιστρέφουσι πρὸς τὴν ὀρθόδοξον πίστιν, εἰς τὸ προκόψαι εἰς ὑπουργίαν τοῦ θυσιαστηρίου, τουτέστιν εἰς τὸ προβιβασθῆναι εἰς βαθμοὺς ἱερατικούς. Ἐκ Νουμηδίας ἤλπιζον οἱ τῆς συνόδου ταύτης ἐλθεῖν τοποτηρητὰς, διὸ καὶ ὑπερετίθεντο τὰς ζητήσεις τὰς περὶ ὧν συνήχθησαν. Ὅτι δὲ καιροῦ παραρρύεντος οὐδεὶς ἐκεῖθεν ἀπήντησεν, οἱ εἰρημένοι ἐπίσκοποι εἶπον μὴ δεῖν ἔτι ὑπερθέσθαι. Προέθεντο οὖν τὸ περὶ τοῦ μὴ χρῆναι προσφέρεσθαι τὰ ἅγια μετὰ τὸ ἄριστον, ἤγουν μὴ ὑπὸ βεβρωκότων ἱερέων προσκομιδὴν γίνεσθαι, ἀλλ' ὑπὸ νηστικῶν. Τοῦτο δὲ, φασὶ, καὶ ἐν τῷ περὶ τῆς πίστεως τρακτάτῳ τῆς ἐν Νικαίᾳ συνόδου ἠκούσαμεν, ὅτι καὶ τότε ἐβεβαιώθη. Ἡ λέξις δὲ τοῦ τρακτάτου Ῥωμαϊκή ἐστι, καὶ ἐξελληνιζομένη δηλοῖ σκοπὸν, βούλευμα. Ἐν δὲ τοῖς κανόσι τῆς ἐν Νικαίᾳ πρώτης συνόδου οὐδὲν περὶ τῆς τοιαύτης εὕρηται ὑποθέσεως.

ΑΡΙΣΤ. « Τοῖς ἐν νηπιότητι παρὰ Δονατιστῶν « βαπτισθεῖσιν ἐπιστρέφουσι κατ' οὐδὲν τοῦτο « προστήσεται· καὶ τὰ ἅγια, ὡς ἄξιον, ἀπὸ νη- « στικῶν μόνων προσενεχθήσεται. »

Δονατισταί εἰσιν οἱ ἀπὸ Δονάτου τινὸς ἐν τῇ Ἀφρικῇ ἐναρξάμενοι. Οὗτος γὰρ παραδέδωκεν αὐτοῖς ὅστοῦν τι ἐπὶ τῆς χειρὸς αὐτῶν κρατεῖν, ὁπηνίκα μετασχεῖν τῶν ἁγιασμάτων μέλλουσι, καὶ τοῦτο πρότερον ἀσπάζεσθαι, καὶ τηνικαῦτα μετέχειν αὐτῶν. Οἱ γοῦν παρ' αὐτῶν βαπτισθέντες ἐν νηπιότητι, καὶ ἐπιστρέφοντες, καὶ τὴν αἵρεσιν αὐτῶν ἀναθεματίζοντες, οὐκ ἐμποδισθήσονται ὑπὸ τῆς τῶν γονέων πλάνης εἰς ἱερατικὴν λειτουργίαν προκόπτειν· τὸ δὲ τὰ ἅγια μὴ μετὰ τὸ ἄριστον προσάγεσθαι, ἀλλὰ ἀπὸ νηστικῶν ταῦτα ἱερέων γίνεσθαι, καὶ ἐν τῷ τεσσαρακοστῷ πρώτῳ κανόνι ἐγράφη.

ΚΑΝΩΝ ΝΒ'.

« Περὶ ἀναβαπτισμάτων καὶ ἀναχειροτονιῶν ἢ με- « ταβάσεων ἐπισκόπων. Ἐκεῖνο δὲ ἀναφέρομεν « ἐνταλὲν ἡμῖν, τὸ καὶ ἐν τῇ συνόδῳ τῇ ἐν Κα- « πούῃ ὁρισθὲν, ὥστε μὴ ἐξεῖναι γίνεσθαι ἀνα- « βαπτίσεις ἢ ἀναχειροτονήσεις ἐπισκόπων. « Κρεσκώνιος οὖν τοῦ Ῥεκένσης ἀγροῦ ἐπίσκο- « πος, καταφρονήσας τοῦ ἰδίου λαοῦ, τῇ Βεκένης « ἐπάβη ἐκκλησίᾳ, καὶ ἕως τῆς σήμερον πολλά- « κις ὑπομνησθεὶς κατὰ τὸ ὁρισθὲν καταλιπεῖν « τὴν τοιαύτην ἐκκλησίαν, ἤτινι ἐπῆλθεν, οὐκ « εἴλετο. Περὶ τούτου δὲ τὰ προαγγελθέντα βέ- « βαια ἠκούσαμεν. καὶ αἰτοῦμεν κατὰ τὸ ἐντα- « λὲν ἡμῖν ἵνα καταξιώσητε δοῦναι παῤῥησίαν « ἐπ' ἀδείας ἡμῖν γενέσθαι, ὅτι αὕτη ἡ ἀνάγκη « παρασκευάζει τῷ ἄρχοντι τῆς χώρας κατ' « ἐκείνου προσελθεῖν, κατὰ τὰς διατάξεις τῶν « ἐνδοξοτάτων βασιλέων, ἵνα ὁ τῇ πράᾳ ὑπομνή- « σει τῆς ὑμετέρας ἁγιωσύνης πειθαρχῆσαι μὴ « θελήσας καὶ διορθώσασθαι τὸ ἀσυγχώρητον « αὐθεντίᾳ ἀρχοντικῇ παραχρῆμα κωλυθῇ. Αὐ- « ρήλιος ἐπίσκοπος εἶπε· Φυλαχθέντος τοῦ τύπου « τῆς καταστάσεως, μὴ κριθῇ τῆς συνόδου « ὑπάρχων, ἐὰν, ἐπιεικῶς αἰτηθεὶς παρὰ τῆς

sponte, sed parentum errore occecatum est, quia nimirum a Donatistis sint baptizati, **574** orthodoxam fidem amplectentibus ad altaris ministerium progrediendi, hoc est, sacros ordines adipiscendi, impedimentum afferat. Ex Numidia vicarios antistitum venturos esse synodi Patres speraverant, quæstionibus idcirco, quarum tractandarum causa convenerant, hucusque dilatis. Cum vero longo temporis intervallo illi nusquam apparerent, commemorati episcopi satis jam exspectatum esse pronuntiarunt; ac de sanctis a prandio non offerendis, hoc est, de oblatione non ab iis qui cibum sumpsissent, sed a jejunis sacerdotibus peragenda, proposuerunt. Quod se etiam in Nicæna synodo confirmatum, in eo qui de fide est tractatu, audisse commemorant. Tractatus vero Latina vox est, scopum consiliumve significans. Verum in canonibus primæ Nicænæ synodi nihil de hac re invenitur.

ARIST. « Iis qui in infantia à Donatistis sunt ba- « ptizati conversis, istud nihilo erit impedimento. « Et sancta, ut par est, à jejunis solis offeren- « tur. »

Donatistæ sunt, qui a Donato quodam in Africa originem duxerunt. Hic enim tradidit eis os quoddam in manu sua tenere, quando sacramenta participaturi sunt, et illud primum salutare, et tunc eorum participes esse. Qui itaque in infantia ab eis baptizati fuerunt, et convertuntur, et hæresin eorum anathematizant, non impedientur a parentum errore ad sacerdotale ministerium promoveri. Illud autem quod sancta post prandium non sunt offerenda, sed a jejunis sacerdotibus celebranda et in quadrage imo primo canone scriptum est.

CANON LII.

« De rebaptizationibus et reordinationibus vel « translationibus episcoporum. Porro illud quo- « que nobis mandatum referimus, quod in synodo « Capuæ decretum est, ut non liceat fieri reba- « ptizationes vel episcoporum reordinationes. « Crescentius itaque Recensis agri episcopus, ne- « glecto proprio populo, Becenes Ecclesiam in- « vasit : et in hodiernum usque diem sæpe, sicut « definitum est, eam ecclesiam, quam invasit, « relinquere admonitus, noluit. De eo autem, « quæ prius renuntiata sunt, firma audivimus, « et petimus, secundum id quod nobis mandatum « est, ut dignemini nobis dare facultatem, ut « liceat, quia ita urget necessitas, ad præsidem « regionis adversus illum accedere, secundum « clarissimorum imperatorum constitutiones : ut « qui benignæ vestræ sanctitatis admonitioni pa- « rere nolverit, et in quod non est concedendum « corrigere, sæcularis magistratus auctoritate sta- « tim prohibeatur. Aurelius episcopus dixit : Ser- « vata constitutionis forma, non judicetur esse « synodi, si a vestra dilectione valde rogatus ut « discederet, recusavit : quoniam ex proprio con-

Digitized by Google

« temptu et pervicacia ad sæcularis magistratus A
« potestatem redactus est. Honoratus et Urbanus
« episcopi dixerunt; Hoc itaque placet omnibus?
« Ab omnibus episcopis dictum est; Justum est,
« placet. »

BALS. Dicunt Patres Capuæ factam esse synodum, et in ea statutum esse ne rebaptizarentur, qui ab orthodoxis baptizati fuerant, vel reordinarentur, qui ab episcopis orthodoxis ordinati fuerant: et consequenter iis. quæ in ea synodo constituta sunt, quæ a me quidem ignoratur (neque enim cum topicis synodis connumeratur), dixerunt ipsi Mauritaniæ Sitifensis legati, quod quia hæc sunt prohibita, debent etiam corrigi quæ ab episcopis ab hac in aliam ecclesiam fiunt transitiones, eo quod hoc B reputetur, veluti rebaptizatio et reordinatio. **575** Et factum statim proposuerunt, quod Cresconius episcopus proprium populum contempsit, et aliam ecclesiam invasit. Et propterea sæpe admonitus, ut alienam ecclesiam, quam invasit præter canones, relinqueret, et suam retineret; non est hoc facere persuasus. Quia ergo hoc firmum et verum est, petunt, secundum eis datum mandatum, ut regionis præsidem adeundi suæ synodi concedatur potestas: et per eum cogatur Cresconius discedere ab ecclesia, quæ ad eum non pertinet; quia et imperatoris constitutiones sive leges hoc decernunt. Dixit autem ad hæc Aurelius: Si servetur forma ecclesiasticæ constitutionis, ne judicetur esse synodi Cresconius, sed ut laicus tradatur, sæculari potestati: C nec est quod id sibi fieri queratur. Ipse enim seipsum, per suam pervicaciam et synodalium præceptorum contemptum, in sæcularem potestatem tradidit. Et in his quidem consistit canon. Forma autem constitutionis, quam servandam dixit Aurelius, est, ut secundum canones interpelletur qui alienam ecclesiam non canonice arripuit, et post denuntiationes seu edicta deponatur, vel una tantum, vel utrisque partibus præsentibus, propter inobedientiam. Neque enim fas est sacratos homines sæculari magistratui puniendos tradi, nisi prius depositi fuerint. Ut autem qui sunt sacrati, sæcularibus magistratibus, post depositionem tradantur, fit, non solum quando synodus non facile potest D suam exsequi sententiam; sed etiam quando magnum est peccatum. Et una cum ecclesiastica pœna sæcularis quoque magistratus animadversionem consequi oportet. Forte enim inventus est quispiam sacratus, imperatoris insidias parasse, et depositus est: is post depositionem tradetur sæculari potestati, ut quæstione habita dicat conscios. Hæc autem ita fiunt, secundum canones 36 et 37, tit. 1, lib. III Basil. quæ sunt pars 123 Just. novellæ, et tractant presbyteros et diaconos, in causa criminali falsum testimonium ferentes, non solum deponi, sed etiam pœnis legitimis subjici, et clericos qui pro criminali causa condemnantur, ab episcopo gradu moveri; a sæculari autem magistratu legiti-

« ὁμετέρας ἀγάπης, ἀποστῆναι παρητήσατο·
« ἐπειδὴ ἐκ τῆς οἰκείας καταφρονήσεως καὶ μο-
« νοτονίας περιῆλθεν εἰς ἀρχοντικὴν ἐξουσίαν.
« Ὀνωράτος καὶ Οὐρβανὸς οἱ ἐπίσκοποι εἶπον·
« Τοῦτο οὖν πᾶσιν ἀρέσκει; Ἀπὸ πάντων τῶν
« ἐπισκόπων ἐλέχθη· Δίκαιόν ἐστιν, ἀρέσκει. »

ΒΑΛΣ. Ἐν Καπούῃ φασὶν οἱ Πατέρες γενέσθαι σύνοδον, καὶ ἐν ἐκείνῃ ὁρισθῆναι τὸ μὴ ἀναβαπτίζεσθαι τοὺς παρὰ ὀρθοδόξων βαπτισθέντας, ἢ ἀναχειροτονεῖσθαι τοὺς παρὰ ἐπισκόπων ὀρθοδόξων χειροτονηθέντας· καὶ ἀκολούθως τοῖς ὁρισθεῖσιν ἐν τῇ τοιαύτῃ συνόδῳ, τῇ τέως ἐμοὶ ἀγνοουμένῃ (οὐδὲ γὰρ συναριθμεῖται ταῖς τοπικαῖς συνόδοις), εἶπον οἱ αὐτοὶ τοποτηρηταὶ τῆς Μαυριτανίας Σιτιφάνσης ὡς, ἐπεὶ ταῦτα κεκώλυνται, ὀφείλουσι διορθωθῆναι καὶ αἱ παρὰ ἐπισκόπων γινόμεναι μεταπτώσεις ἀπὸ ταύτης τῆς ἐκκλησίας εἰς ἑτέραν, διὰ τὸ λογίζεσθαι καὶ τοῦτο ὡσανεὶ ἀναβαπτισμὸν ἢ ἀναχειροτόνησιν. Καὶ αὐτίκα προέθεντο φάκτον, ὅτι Κρεσκώνιος ἐπίσκοπος κατεφρόνησε τοῦ οἰκείου λαοῦ, καὶ ἐπέβη ἑτέρας ἐκκλησίας. Διά τοι τοῦτο παρεγγυηθεὶς καταλιπεῖν τὴν ἀλλοτρίαν ἐκκλησίαν, ἧς ἐπέβη παρὰ κανόνα, καὶ ἀνθέξασθαι τῆς οἰκείας, οὐκ ἐπείσθη τοῦτο ποιῆσαι. Ὅτι οὖν τοῦτο βέβαιόν ἐστι καὶ ἀληθές, ζητοῦσι, κατὰ τὴν πρὸς αὐτοὺς ἐντολήν, ἵνα δοθῇ τῇ κατ' αὐτοὺς συνόδῳ ἄδεια προστεθεῖν τῷ κατὰ χώραν ἄρχοντι· καὶ δι' αὐτοῦ καταναγκασθῆναι τὸν Κρεσκώνιον ἀποστῆναι τῆς μὴ ἀνηκούσης αὐτῷ ἐκκλησίας· ὅτι καὶ αἱ διατάξεις τῶν βασιλέων ἤτοι οἱ νόμοι τοῦτο διορίζονται. Εἶπε δὲ πρὸς ταῦτα ὁ Αὐρήλιος· Ἐὰν ἐφυλάχθη ὁ τύπος τῆς ἐκκλησιαστικῆς καταστάσεως, μὴ κριθῇ τῆς συνόδου ὑπάρχων ὁ Κρεσκώνιος, ἀλλ' ὡς λαϊκὸς παραδοθήτω τῇ ἀρχοντικῇ ἐξουσίᾳ· καὶ μὴ μεμφέσθω τὸ γινόμενον εἰς αὐτόν. Αὐτὸς γὰρ ἑαυτὸν παρέδωκεν εἰς τὴν ἀρχοντικὴν ἐξουσίαν διὰ τὴν οἰκείαν μονοτονίαν καὶ καταφρόνησιν τῶν συνοδικῶν παραγγελιῶν. Καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις· ὁ τύπος δὲ τῆς καταστάσεως, ὃν ὁ Αὐρήλιος εἶπε φυλαχθῆναι, ἔστι τὸ κατὰ κανόνας ἐπιψωνηθῆναι τὸν ἀκανονίστως δραξάμενον τῆς ἀλλοτρίας ἐκκλησίας, καὶ μετὰ τὰς ἐπιφωνήσεις καθαιρεθέντα, ἢ διμερῶς ἢ μονομερῶς, διὰ τὴν ἀπείθειαν. Τοὺς ἱερωμένους γὰρ παραδίδοσθαι εἰς κόλασιν ἀρχοντικὴν οὐκ ἔξεστιν, εἰ μὴ πρότερον καθαιρεθῶσι. Τὸ δὲ παραδίδοσθαι τοῖς ἄρχουσιν τοὺς ἱερωμένους μετὰ καθαίρεσιν γίνεται οὐ μόνον, ὅταν ἡ σύνοδος οὐκ ἔχῃ εὐχέρειαν ποιῆσαι ἐκβιβασμὸν τῆς οἰκείας ἀποφάσεως, ἀλλὰ καὶ ὅταν μέγα ἐστὶ τὸ ἁμάρτημα, καὶ σὺν τῇ ἐκκλησιαστικῇ κολάσει χρεών ἐστιν ἐπακολουθῆσαι καὶ ἀρχοντικὴν τιμωρίαν. Τυχὸν γὰρ εὑρέθη τις ἱερωμένος ἐπίβουλος τοῦ βασιλέως καὶ καθηρέθη· ὁ τοιοῦτος μετὰ τὴν καθαίρεσιν παραδοθήσεται τῇ ἀρχοντικῇ ἐξουσίᾳ, ὡς ἂν μετὰ ἐτασμοῦ εἴπῃ τοὺς συνίστορας. Ταῦτα οὕτω γίνονται κατὰ τὸ λς' καὶ τὸ λζ' κεφάλ. τοῦ α' τίτλου τοῦ γ' βιβλίου τῶν Βασιλικῶν, μέρος ὄντος τῆς ρκγ' Ἰουστινιανείου νεαρᾶς, καὶ διαλαμβάνοντα πρεσβυτέρους καὶ διακόνους ὑπὲρ ἐγκληματικῆς αἰτίας ψευδομαρτυρήσαντας μὴ μόνον καθαιρεῖσθαι,

Digitized by Google

ἀλλὰ καὶ ταῖς νομίμοις ποιναῖς ὑποβάλλεσθαι, καὶ τοὺς καταδικαζομένους κληρικοὺς χάριν ἐγκληματικῆς αἰτίας ἀπογυμνοῦσθαι τοῦ βαθμοῦ παρὰ τοῦ ἐπισκόπου, ὑπὸ δὲ τοῦ ἄρχοντος ὑποβάλλεσθαι ταῖς νομίμοις ποιναῖς. Τοῦτο δὲ λέγε κρατεῖν, ἔνθα ἐξεφωνήθη. Ὁ γὰρ τὸν νόμον τοῦτον μεθέλκων καὶ εἰς ἐπισκόπους καταδικαζομένους ἴσως χάριν ἐγκληματικῆς αἰτιάσεως, καὶ θέλων καὶ τούτους μετὰ καθαίρεσιν τῷ ἄρχοντι παραδίδοσθαι, μάταιος ἂν εἴη καὶ βλάσφημος. Διὸ καὶ τὸ παρὰ τοῦ κανόνος διοριζόμενον χάριν τοῦ ἐπισκόπου ὀφείλεις ἐκλαμβάνεσθαι εἰς τὸ συνοδικῇ διαγνώσει καὶ μόνῃ. Περὶ δὲ ἀναβαπτισμοῦ καὶ κανόνα καὶ τὸν ξη'.

A mis pœnis subjici. Dic autem hoc servari in eo, in quo expressum est. Qui enim hanc legem trahit etiam ad episcopos, qui forte in causa criminali condemnantur, et vult etiam eos post depositionem sæculari potestati tradi; is vanus fuerit et blasphemus. Et ideo quod à canone de episcopo decernitur debes accipere, ut cogatur episcopus ea sola sequi, quæ synodaliter illi præcipiuntur. De rebaptizatione autem et reordinatione lege apostolicos canones 47 et 68.

ΖΩΝΑΡ. Μὴ ἀναβαπτίζειν εἰ μὴ τὸν παρὰ ἀσεβῶν βαπτισθέντα καὶ τοῖς ἱεροῖς ἀποστόλοις ἐν μζ' κανόνι διατέτακται, καὶ ἐν ξη' κανόνι μὴ δέχεσθαί τινα διωτέραν χειροτονίαν τοῖς αὐτοῖς ὥρισται. Τούτοις οὖν τοῖς κανόσιν ἑπόμενοι καὶ οἱ Πατέρες οὗτοι τὰ αὐτὰ διετάξαντο, τουτέστι μηδένα ἀναβαπτίζεσθαι ὀρθῶς ἐξ ἀρχῆς βαπτισθέντα. Εἰ δὲ παρὰ αἱρετικῶν ἐβαπτίσθη τις ἀλλόκοτον βάπτισμα, ἐκεῖνον βαπτίζεσθαι δεῖ. Οὐ γὰρ ἀναβάπτισις τοῦτο, ὅτι οὐδὲ ὁ ἐβαπτίσθη, βάπτισμα λογίσεται, ἀλλὰ μολυσμός. Ἀλλὰ μηδὲ ἀναχειροτονήσεις γίνεσθαι, μηδὲ μετοκινήσεις ἐπισκόπων, ὥστε ἐᾷν τινα τὴν οἰκείαν ἐπισκοπὴν καὶ μεταπίπτειν εἰς ἄλλην. Καὶ αὐτίκα καὶ τοιαύτην ὑπόθεσιν προίθεντο, τὸν δεῖνα λέγοντες καταφρονῆσαι τοῦ ἰδίου λαοῦ, καὶ ἑτέρας ἐκκλησίας ἐπιβῆναι πολλάκις τε περὶ τούτου ὑπομνησθῆναι ἐκεῖνον, καὶ μὴ πεισθῆναι ἀποστῆναι τῆς ἐκκλησίας, ἧς οὐ κατὰ κανόνας ἐπέβη. Καὶ λοιπὸν, φασὶ, διὰ τὴν ἀπείθειαν ἐκείνου ἀνάγκη τῷ τῆς χώρας ἄρχοντι προσελθεῖν, ἵνα ὁ μετὰ πραότητος ὑπομνησθεὶς, καὶ μὴ πεισθεὶς, ἐξουσίᾳ ὀρχοντικῇ ἐξελαθῇ. Πρὸς ταῦτα ὁ Αὐρήλιος εἶπε· Φυλαχθέντος τοῦ τύπου τῆς καταστάσεως, μὴ κριθῇ τῆς συνόδου ὑπάρχων. Τοὺς ἱερωμένους γὰρ παραδίδοσθαι εἰς κόλασιν ἄρχοντι, εἰ μὴ πρότερον καθαιρεθῶσιν, οὐκ ἔξεστι. Εἰ γὰρ διά τι μέγα ἁμάρτημα κολάσεώς ἐστιν ἱερωμένος τις ἄξιος, πρότερον γυμνοῦται τῆς ἱερατικῆς ἀξίας, καὶ οὕτω λαμβάνει αὐτὸν ὁ ἄρχων ἐπὶ τιμωρίᾳ. Τὸ γοῦν φυλαχθέντος τοῦ τύπου τῆς καταστάσεως τοῦτό ἐστι, τὸ εἰ ἐφυλάχθη ὁ τύπος τῆς καταστάσεως, ἤγουν εἰ ὑπεμνήσθη ἐκεῖνος κατὰ τοὺς κανόνας, καὶ ἠπείθησε, μὴ κριθῇ τῆς συνόδου ὑπάρχων, ἀντὶ τοῦ μὴ λογισθῇ τῆς μοίρας τῶν ἐπισκόπων ὤν, ἀλλ' ὡς ἤδη ἀποῤῥίφεις. καὶ ἐξωσθείς, τοῦ καταλόγου τοῦ ἱερατικοῦ, ἀρχοντικῇ ἐξουσίᾳ παραδοθήτω. Τοῦτο δὲ, τὸ παραδοθῆναι τῷ ἄρχοντι, ἐπῆλθεν αὐτῷ ἐκ τῆς μονοτονίας αὐτοῦ, ἤτοι τῆς αὐτογνωμοσύνης, τῆς ἀπειθείας, δι' ἣν κατεφρόνησε τῆς τῶν ἐπισκόπων ἐπιεικείας.

ZONAR. Ne quis iterum baptizetur, nisi qui ab impiis antea baptizatus fuerit, sanctorum quoque apostolorum canone 47 cautum est: utique ut ne quis secundo iisdem ordinibus initietur, canone 68 iidem sanxere. Horum igitur canonum auctoritatem secuti hujus quoque synodi Patres, eadem decrevere; Ne quis videlicet baptismum repetat, qui ab initio rite fuerit baptizatus. Quod si quis ab hæreticis absurdo aliquo et peregrino baptismi genere initiatus fuit, illum baptizari oportet. Neque enim hic secundo baptizatur, cum ablutio illa prior inquinamentum, potius quam baptismus, fuisse judicetur. Ne cuiquam præterea iterum iidem ordines conferantur, neve episcoporum translationes fiant, ut scilicet eo quem obtinet relicto, in alium episcopatum quispiam episcopus transiliat. Quo loco deinceps hujusmodi quoque narrationem subnectunt. Quemdam, aiunt, neglecta populi sui cura alias ecclesias invasisse; sæpe vero illum hac de re admonitum fuisse, neque unquam, ut eam ecclesiam relinqueret, quam contra canones occupaverat, adduci potuisse. Reliquum est ergo, inquiunt, ac propter hominis pervicaciam necessario faciendum, **576** ut magistratum ejus regionis adeamus, ut qui benigna admonitione persuaderi non potuit, per magistratum de ea, quam occupavit sede, pellatur. Ad hæc vero Aurelius dixit: Servata constitutionis forma, ille synodo motus esse judicetur. Sacris namque initiatos profano magistratui puniendos, nisi prius depositi fuerint, tradi haud licet. Nam si quis sacratus, ob nefarium scelus admissum pœna dignus sit, sacra dignitate prius spoliatur, tum de illo magistratus supplicium sumit. Quod ergo ait, servata constitutionis forma, ita est accipiendum, scilicet si constitutionis formula servata est, si nimirum ille ex canonum præscripto admonitus est, nec paruit, ne synodi esse censeatur, hoc est, ne habeatur amplius in episcoporum numero, sed velut ejectus, et ex catalogo sacri ordinis expunctus, magistratus profani potestati dedatur. Hoc autem, quod scilicet magistratui mancipatus sit, pervicaciæ suæ, hoc est, contumaciæ et inobedientiæ, ex qua episcoporum facilitatem neglexit, acceptum feret.

ΑΡΙΣΤ. « Ἀναβαπτίσεις, καὶ ἀναχειροτονήσεις, καὶ « μετακινήσεις ἐπισκόπων οὐ γίνονται. Κρεσκώ- « νιος οὖν, τοῦ ἰδίου λαοῦ ἀποστὰς, καὶ τῆς « Κενεοῦ ἐκκλησίας ἐπιβὰς, ἐπεὶ ἐκκλησιαστικῶς

ARIST. « Rebaptizationes, et reordinationes, et « translationes episcoporum non fiunt. Cresco- « nius itaque qui proprium populum dereliquit, « et Ceneensem Ecclesiam invasit quandoquidem

Digitized by Google

« ecclesiastice admonitus non mutatus est, au- A « ctoritate judiciaria prohibeatur. »

Qui ab orthodoxis baptizatur, aut ordinatur, secundum baptismum aut secundam ordinationem non recipit. Sed et illud, ab una civitate ad civitatem aliam transferri episcopum, et præsens canon, et alii non pauci diversarum synodorum prohibent. Hic itaque Cresconius episcopus, suam relinquens Ecclesiam aut parœciam, et ad Cenensem transiliens Ecclesiam, et sæpius fraterne admonitus a confratribus et comministris suis eam relinquere Ecclesiam, et non persuasus, effecit ut et inviti regionis magistratum adirent, ab eoque auctoritate judiciaria pelleretur.

« καταγγελλόμενος οὐ μεθίσταται, ἀρχοντικῶς « κεκωλύσθω. »

Ὁ παρὰ ὀρθοδόξων βαπτισθεὶς ἢ χειροτονηθεὶς δεύτερον βάπτισμα ἢ δευτέραν χειροτονίαν οὐ δέχεται. Ἀλλὰ καὶ τὸ ἀπὸ πόλεως ἐπίσκοπον εἰς ἑτέραν πόλιν μεθίστασθαι καὶ ὁ παρὼν κανών, καὶ ἕτεροι οὐκ ὀλίγοι διαφόρων συνόδων κωλύουσιν. Ὁ γοῦν Κρεσκώνιος οὗτος ἐπίσκοπος, τὴν ἰδίαν καταλιπὼν ἐκκλησίαν ἢ παροικίαν, καὶ τῆς Κενεοῦ ἐπιβὰς ἐκκλησίας, καὶ πολλάκις ἀδελφικῶς ὑπομνησθεὶς παρὰ τῶν συναδέλφων καὶ συλλειτουργῶν αὐτοῦ τὴν τοιαύτην καταλιπεῖν ἐκκλησίαν, καὶ μὴ πεισθείς, παρεσκεύασε καὶ ἄκοντας αὐτοὺς τῷ κατὰ χώραν ἄρχοντι προσελθεῖν, καὶ ὑπ' ἐκείνου ἐξουσιαστικῶς κωλυθῆναι.

CANON LIII.

« Quot episcopi episcopum ordinare debent. Ho- « noratus et Urbanus episcopi dixerunt; Illud « quoque nobis mandatum est. Quia ex vicinis « duo fratres nostri Numidiæ episcopi sacerdo- « tem ordinare ausi sunt, nonnisi a duodecim « fieri debere ordinationem censeatis. Aurelius « episcopus dixit; Antiqua forma servabitur, ut « non pauciores quam tres constituti ad episcopi « ordinationem sufficiant; eo quod Tripoli forte « et Arzuæ barbaræ scilicet gentes prope sitæ « sunt. Tripoli autem quinque, lique soli sunt, « ut scitis, episcopi: et fieri potest ut sæpe ex « eo numero duo aliqua necessitate detineantur. « Est enim difficile, ut ex quovis numero possint C « omnes adesse; et hoc non debet impedimento « esse utilitati Ecclesiæ. Nam et in hac Ecclesia, « ad quam vestra sanctitas convenire dignata « est, frequentius, et fere die dominico, qui or- « dinantur, habemus. Nunquid ergo frequenter « possumus duodecim vel decem, vel non multo « pauciores convocare episcopos? Sed duos pro- « pinquos conjungere est meæ parvitati facile. « Quamobrem vestra mecum videt charitas hoc « non posse servari. »

ΚΑΝΩΝ ΝΓ'.

« Πόσοι ἐπίσκοποι ἐπίσκοπον χειροτονεῖν ὀφείλουσιν. « Ὀνωράτος καὶ Οὐρβανὸς ἐπίσκοποι εἶπον· « Κἀκεῖνο ἡμῖν ἐνετάλθη· ἐπειδὴ ἐκ τοῦ πλησίον « ἀδελφοὶ ἡμῶν δύο ἐπίσκοποι τῆς Νουμηδίας « χειροτονῆσαι ἐτόλμησαν ἱερέα, κρίνατε μὴ « γενέσθαι χειροτονίας ἐπισκόπων εἰ μὴ ὑπὸ « δώδεκα. Αὐρήλιος ἐπίσκοπος εἶπεν· Ὁ ἀρχαῖος « τύπος φυλαχθήσεται, ἵνα μὴ ἧττονες τριῶν τῶν « ὁρισθέντων εἰς χειροτονίαν ἐπισκόπων ἀρκέσω- « σιν· διότι ἐν Τριπόλει τυχὸν καὶ ἐν Ἀρζοΐῃ « δῆλον παρέγκεινται βάρβαρα ἔθνη. Ἐν Τριπό- « λει δὲ πέντε, καὶ μόνοι εἰσὶν, ὡς γινώσκετε, « ἐπίσκοποι· καὶ δυνατὸν ἐξ αὐτοῦ πολλάκις τοῦ « ἀριθμοῦ τοὺς δύο ἀνάγκῃ τινὶ κατέχεσθαι. Δυσ- « χερὲς γάρ ἐστιν ἐξ οἱουδήποτε ἀριθμοῦ πάντας « δύνασθαι ἀπαντῆσαι, καὶ μὴ ὀφείλει τοῦτο « αὐτὸ παρεμποδὼν εἶναι τῷ χρησίμῳ τῆς ἐκκλη- « σίας. Καὶ γὰρ εἰς ταύτην τὴν ἐκκλησίαν, εἰς « ἣν κατηξίωσεν ἡ ὑμετέρα συνελθεῖν ἁγιωσύνη, « συχνῶς καὶ σχεδὸν κατὰ Κυριακὴν χειροτονου- « μένους ἔχομεν. Μὴ ἄρα δύναμαι συνεχῶς δώδεκα « ἢ δέκα ἢ οὐχὶ πολὺ ἐλάττου; συγκαλεῖν ἐπισκό- « πους. Δύο δὲ γείτονας προσεύξαι εὐχερές ἐστι « τῇ ἐμῇ βραχύτητι. Διὸ ὁρᾷ σὺν ἐμοὶ ἡ ὑμετέρα « ἀγάπη τοῦτο αὐτὸ μὴ δύνασθαι παραφυλα- « χθῆναι. »

BALS. Duo episcopi in Numidia episcopum ordinarunt. Sacerdotem enim pro episcopo hic debemus intelligere. Quoniam sacerdos vel ab uno solo episcopo ordinatur; ut vult 2 can. S. Apost. Petierunt ergo Honoratus et Urbanus episcopi, sicut illis mandatum fuerat, ut non amplius a duobus episcopis ordinetur episcopus, sed a duodecim: et respondit Aurelius, debere servari **577** antiquam formam sive canonem, et sufficere ad episcopi ordinationem tres episcopos, quia sæpe multos convenire difficile est; et ne hoc sit impedimento utilitati Ecclesiæ, episcoporum scilicet ordinationi, episcopus debet vel a tribus solis ordinari episcopis, scilicet a metropolitano et ab aliis duobus. Sic enim erit facilis episcoporum ordinatio. Nota ergo ex præsenti canone, quod non necessario a tribus provincialibus episcopis ordinatur episcopus; sed a D

ΒΑΛΣ. Δύο ἐπίσκοποι ἐχειροτόνησαν εἰς Νουμηδίαν ἐπίσκοπον· τὸν γὰρ ἱερέα ἐνταῦθα εἰς ἐπίσκοπον ὑπολητέον. Διότι ἱερεὺς καὶ παρὰ μόνου ἑνὸς χειροτονεῖται ἐπισκόπου, κατὰ τὸν β' κανόνα τῶν ἁγίων ἀποστόλων. Ἐζήτησαν οὖν Ὀνωράτος καὶ Οὐρβανὸς οἱ ἐπίσκοποι, καθὼς ἐνετάλθησαν, μηκέτι ὑπὸ δύο ἐπισκόπων χειροτονεῖσθαι ἐπίσκοπον, ἀλλὰ ὑπὸ δώδεκα· καὶ ἀπελογήσατο ὁ Αὐρήλιος ὀφείλειν φυλάττεσθαι τὸν ἀρχαῖον τύπον ἤτοι τὸν κανόνα, καὶ ἀρκεῖν εἰς ἐπισκόπου χειροτονίαν ἐπισκόπους τρεῖς, ὅτι πολλάκις δυσχερές ἐστι πολλοὺς συνελθεῖν· καὶ ἵνα μὴ γένηται τοῦτο ἐμποδὼν τῷ χρησίμῳ τῆς ἐκκλησίας, ἤγουν τῇ χειροτονίᾳ τῶν ἐπισκόπων, ὀφείλει παρὰ τριῶν καὶ μόνων ἐπισκόπων χειροτονεῖσθαι ἐπίσκοπος, ἤγουν παρὰ μητροπολίτου καὶ παρὰ ἑτέρων δύο. Οὕτω γὰρ εὐχερὲς ἔσται ἡ τῶν ἐπισκόπων χειροτονία. Σημείωσαι οὖν ἀπὸ τοῦ

Digitized by Google

παρόντος κανόνος ὅτι οὐκ ἐξ ἀνάγκης παρὰ τριῶν ἐπισκόπων ἐπαρχιωτῶν χειροτονεῖται ἐπίσκοπος, ἀλλὰ παρὰ τοῦ μητροπολίτου καὶ ἑτέρων δύο, κἂν μὴ ὦσιν οὗτοι ἐπαρχιῶται. Ὁ δὲ μητροπολίτης Ἐφέσου ἐκεῖνος κυρὸς Χριστοφόρος, Εἰσκαλόνην χειροτονήσας ἐπίσκοπον κατὰ ταύτην βασιλεύουσαν τῶν πόλεων χωρὶς παρουσίας οἱουδήτινος ἐπαρχιώτου, ἠτιάθη παραλόγως, ὡς ἐμοὶ δοκεῖ. Εἶπον γάρ τινες ὀφείλειν τὸν μητροπολίτην μετὰ ἐπαρχιωτῶν τὸ ἐλάχιστον δύο τὰς χειροτονίας ποιεῖν τῶν ἐπισκόπων, ὥσπερ καὶ τὰς ψήφους.

A metropolitano et duobus aliis, etiamsi non sint ipsi provinciales. Ille autem Ephesi metropolitanus dominus Christophorus, qui Iscalonem episcopum ordinavit in hac regina urbium, absque præsentia cujusvis provincialis, præter rationem, ut mihi videtur, accusatus fuit. Dicebant enim nonnulli, debere metropolitanum, cum provincialibus ad minus duobus, episcoporum ordinationes facere, sicut et electiones.

ΖΩΝΑΡ. Δύο ἐπισκόπους φασὶ χειροτονῆσαι ἱερέα· ἱερέα δὲ τὸν ἐπίσκοπον λέγει· πρεσβύτερον γὰρ καὶ εἷς ἐπίσκοπος χειροτονεῖ, κατὰ τὸν δεύτερον κανόνα τῶν ἁγίων ἀποστόλων· καὶ ἀξιοῦσιν ὁρισθῆναι ὑπὸ δώδεκα χειροτονεῖσθαι ἐπίσκοπον. Αὐρήλιος δὲ τὸν ἀρχαῖον τύπον δεῖν φυλάττεσθαι ἀπεκρίθη, τύπον τὸν κανόνα λέγων, καὶ τρεῖς ἐπισκόπους εἰς ἐπισκόπου χειροτονίαν ἀρκεῖν ἀπεφήνατο. Ἐπήγαγε δὲ καὶ αἰτίας, Ἐν Ἀρζουΐῃ φάμενος, παράκειται βάρβαρα ἔθνη, ὥστε διὰ τοῦτο δυσχέρειαν εἶναι συνέρχεσθαι τοὺς ἐπισκόπους· ἐν Τριπόλει δὲ πέντε εἰσὶν ἐπίσκοποι· Τρίπολιν, τὴν ἐν Ἀφρικῇ λέγων, καὶ συμβαίνει τινὰς τῶν πέντε ὑπό τινος ἀνάγκης κωλύεσθαι συνελθεῖν. Τοῦτο οὖν, φησὶν, οὐκ ὀφείλει ἐμπόδιον εἶναι τῷ χρησίμῳ τῆς Ἐκκλησίας, τουτέστι τῇ τῶν ἐπισκόπων χειροτονίᾳ. Χρήσιμον γὰρ τῇ Ἐκκλησίᾳ, ἤτοι τοῖς πιστοῖς, ἡ τῶν ἐπισκόπων χειροτονία, ἀντὶ τοῦ χρειώδης ἀναγκαία. Τοῦτο οὖν τὸ ὑπὸ πολλῶν χειροτονεῖσθαι ἐπίσκοπον, ὁρᾶτε, φησὶν, ὅτι οὐ δύναται φυλαχθῆναι.

ZONAR. Duo episcopi, inquiunt, sacerdotem quemdam creavere (sacerdotis vero nomine episcopus intelligitur; nam presbyterum vel unus episcopus creat, ex sanctorum apostolorum canone 2) atque, ut duodecim in episcopo consecrando adhibeantur, decerni postulant. Aurelius vero antiquam formam, canonem videlicet antiquum servandum esse respondit, ac tres episcopos uni consecrando sufficere pronuntiavit. Causamque deinde subjunxit, Arzuæ, dicens, barbaræ gentes adjacent, ut propterea episcopos convenire difficile sit: Tripoli autem, quinque soli sunt episcopi (Tripolim, eam quæ in Africa est, intelligit), ac ex quinque illis unum aut alterum necessario impedimento detineri facile est. Hoc igitur, inquit, ecclesiasticæ utilitati, creationi nempe episcoporum, obstare non debet. Utile enim est Ecclesiæ, hoc est, fidelibus, episcopos constitui, id est, commodum necessarium est. Quamobrem hoc, inquit, ut in episcopi consecratione plures episcopi adhibeantur, servari non posse, vos ipsi facile animadvertitis.

ΑΡΙΣΤ. « Μὴ ἐλάττους τριῶν ἐπισκόπων εἰς χειροτονίαν ἐπισκόπου ἀρκείτωσαν. »

ARIST. « Tribus pauciores episcopis ad episcopi « ordinationem haud sufficiunt. »

Πάντες μὲν, εἰ δυνατὸν, οἱ τῆς ἐπαρχίας ἐπίσκοποι ὀφείλουσι μετὰ γνώμης τοῦ μητροπολίτου συνέρχεσθαι, καὶ τοὺς ἐπισκόπους ψηφίζεσθαι· εἰ δὲ μὴ δυνατὸν πάντας συνελθεῖν διά τινα ἀνάγκην, κἂν τρεῖς τὸ ἐλάχιστον δεῖ παρεῖναι, συμψήφων γινομένων καὶ τῶν ἀπόντων διὰ γραμμάτων.

Omnes quidem, si fieri potest, provinciæ episcopi metropolitanæ sententia convenire debent, et episcopos ordinare. Si impossibile autem fuerit omnes convenire, propter aliquam necessitatem, saltem tres minimum adesse oportet, etiam absentibus per litteras consensum suum præbentibus.

ΚΑΝΩΝ ΝΔ'.

« Πόσοι ἐπίσκοποι προστεθῆναι ὀφείλουσι τῷ ἀριθμῷ τῶν χειροτονούντων, ἐὰν περὶ τοῦ μέλλοντος χειροτονεῖσθαι ἐπισκόπου ἀντιλογία γένηται. « Ἐκεῖνο δὲ ὁρίσαι δεῖ, ὥστε, ἐάν ποτε πρὸς ἐπιλογὴν ἐπισκόπου συνέλθωμεν, καὶ ἀναφυῇ τις ἀντιλογία, ἐπειδὴ τὰ τοιαῦτα παρ' ἡμῖν ἐτράκταῖσθησαν, τολμηρὸν εἶναι λοιπὸν τρεῖς μόνους πρὸς τὸ καθᾶραι τὸν χειροτονηθησόμενον εὑρεθῆναι· ἀλλὰ τῷ προλεχθέντι ἀριθμῷ προστεθῇ εἷς καὶ δύο ἐπὶ αὐτοῦ τοῦ λαοῦ, οὗ μέλλει χειροτονεῖσθαι, ἐξετασθῶσι πρῶτον τὰ πρόσωπα τῶν ἀντιλεγόντων· εἰς ὕστερον γὰρ καὶ τὰ προτεθειμένα συζευχθῶσι, καὶ ὅτε καθαρὸς φανείη ἐπὶ δημοσίας προσόψεως, εἶθ' οὕτω χειροτονηθείη. Ἐὰν οὖν τοῦτο ἀποκαταδέχηται ἡ ὑμετέρα ἁγιωσύνη, τῇ ὁμονοητικῇ ἀποκρίσει τοῦ ὑμετέρου ἀξιώματος βεβαιωθείη. Ἀπὸ πάντων τῶν « ἐπισκόπων ἐλέχθη· Πάνυ ἀρέσκει. »

CANON LIV.

« Quot episcopi adjici debeant numero eorum qui « ordinant, si de ordinando episcopo fuerit con- « tradictio. Illud autem definire oportet, ut si « ad episcopi electionem quandoque conveneri- « mus, et oborta fuerit aliqua contradictio, post- « quam ea a nobis tractata fuerint esse deinceps « nimis audax inceptum, tres solos ad eum de- « ponendum, qui ordinandus est, inveniri: sed « prædicto numero adjiciantur unus, vel duo, et « in eodem populo, cujus est ordinandus, exami- « nentur primum personæ eorum qui contradi- « cunt; postea autem et quæ sunt proposita con- « jungantur; et quando in aspectu populi purus « et innocens apparuerit, deinde sic ordinetur. Si « hoc ergo admittat vestra sanctitas, concordi « vestræ dignitatis responsione stabiliatur. Ab « omnibus episcopis dictum est: Valde placet.

Digitized by Google

BALS. Rursus quoque Aurelius dixit : Si convenerimus ad electionem episcopi, et exortus forte fuerit quispiam qui dicat, non debere eum, qui electus est, ordinari propter aliqua crimina (hoc enim sæpe tractatum vel factum est), audax est inceptum, **578** tres episcopos, qui scilicet elegerunt secundum canones, examinare ea quæ dicuntur, et eum qui est ordinandus, a criminibus, quæ objiciuntur, purum pronuntiare, vel eum contra condemnare : sed oportet unum vel duos alios episcopos accersere, et præsente populo, in quo electus est ordinandus, examinare primum personas eorum qui contradicunt, an possint accusare (non enim omnes ad accusationem admittuntur; sed ii quos secundæ synodi canon sextus comprehendit, et præsentis synodi centesimus vicesimus octavus, et centesimus vicesimus nonus, et centesimus tricesimus) : et quando eos ad accusandum admittendos visum fuerit, tunc proposita quoque crimina conjungantur, id est, in examinationem deducantur ; et quando in populi conspectu purus visus fuerit, id est, in manifesta examinatione, tunc ipsum ordinari oportet. Dixerunt itaque cæteri episcopi : Hæc valde placent. Atqui in his quidem consistit canon. Tu autem dic contradictionem hic fieri adversus eum qui electus est, si non sit sacerdos, sed diaconus vel laicus. Sacerdotem enim non judicant quinque episcopi, sed septem. Eta hoc ita dixeris, non contradices canone 12 præsentis synodi. Lege præsentis operis tit. 9, cap. 1, et tit. 1, cap. 8, et quod extra ipsum situm est cap. 8, tit. 1, lib. III Basilic. quod est novella Justiniani 137, et dic, magis secundum illud fieri examinationes eorum qui contradicunt in ordinatione episcoporum, presbyterorum, diaconorum, clericorum et præfectorum monasteriorum. Quid vero, si quis non opponat eum qui ordinandus est, sed crimina objicit alicui, qui injuste fortasse est depositus, et petit restitutionem, idemne fiet? *Solutio.* Cum Nicolaus Musalon, qui Amyclinus episcopus dictus est, vi magistratus archiepiscopatum renuntiasset, et a magna synodo restitutionem peteret, adfuerunt quidam, qui dicebant eum non debere restitui, causas etiam adversus eum criminales proferentes, quas ab eo e ante et post renuntiationem commissas fuisse dictum est, quæ eum esse antistitem prohibeant. Hoc ergo multum fuit agitatum. Alii enim asseverabant, non debere fieri restitutionem, antequam, quæ objiciebantur, crimina essent examinata ; præsenti quoque canone utentes, et præterea cap. 8, tit. 1, lib. III Basilic. et restitutionem ad episcopatum ordinationi, quæ nunc primum fit comparantes. Alii vero contendebant, hæc non habere locum in restitutione ; et volebant restitutionem prius fieri, deinde sic de criminibus quæri ; quoniam, inquiunt, hoc quoque in civilibus fit controversiis : eorum enim, quæ ablata sunt, restitutio nulla ratione nec modo impeditur, quemadmodum hoc quoque legibus placet. Alii vero asserebant ea quidem, quæ post renuntiationem facta esse dicuntur, impe-

ΒΑΛΣ. Καὶ πάλιν ὁ Αὐρήλιος εἶπεν· Ἐὰν συνέλθωμεν εἰς ἐπιλογὴν ἐπισκόπων, καὶ ἴσως ἀναφανῇ τις λέγων μὴ ὀφείλειν τὸν ψηφισθέντα χειροτονηθῆναι διά τινα αἰτιάματα (τοῦτο γὰρ πολλάκις ἐτρακταίσθη ἤτοι γέγονε) τολμηρόν ἐστι τρεῖς ἐπισκόπους, τοὺς ψηφισαμένους δηλαδὴ κατὰ τοὺς κανόνας, ἐξετάσαι τὰ λεγόμενα, καὶ καθαρὸν ἀποφῆναι ἀπὸ τῶν αἰτιαμάτων τὸν μέλλοντα χειροτονηθῆναι, ἢ τοὐναντίον καταδικάσαι αὐτόν· ἀλλὰ δεῖ προσκαλεῖσθαι ἕνα ἢ δύο ἐπισκόπους ἑτέρους, καὶ παρόντος τοῦ λαοῦ ἐφ' ὧν μέλλει χειροτονηθῆναι ὁ ψηφισθείς, ἐξετάζεσθαι πρῶτον τὰ πρόσωπα τῶν ἀντιλεγόντων, εἰ κατηγορεῖν δύνανται (οὐ γὰρ πάντες εἰς κατηγορίαν προσδέχονται, ἀλλ' οὓς ὁ τῆς δευτέρας συνόδου ς' κανὼν περιέχει, καὶ τῆς παρούσης συνόδου ὁ ρκη' κανών, ὁ ρκθ' καὶ ὁ ρλ')· καὶ ὅτε φανῶσιν ἐκεῖνοι δεκτοὶ πρὸς κατηγορίαν, τότε καὶ τὰ προτεθειμένα αἰτιάματα συζευχθῶσιν, ἀντὶ τοῦ συνεισαχθῶσι τῇ ἐξετάσει, καὶ ὅτε καθαρὸς φανείη ἐπὶ δημοσίᾳ προσόψεως, τουτέστιν ἐπὶ φανερᾷ ἐξετάσεως, τότε χειροτονεῖσθαι αὐτόν. Εἶπον οὖν οἱ ἕτεροι· Πάνυ ταῦτα ἀρέσκει. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις· σὺ δὲ εἰπὲ τὴν ἀντιλογίαν γενέσθαι ἐνταῦθα κατὰ τοῦ ψηφισθέντος, μὴ ὄντος ἱερέως, ἀλλὰ διακόνου ἢ λαϊκοῦ. Τὸν ἱερέα γὰρ οὐ δικάζουσι πέντε ἐπίσκοποι, ἀλλὰ ἑπτά. Καὶ εἰ τοῦτο οὕτως εἴπῃς, οὐκ ἐναντιωθήσῃ τῷ ιβ' κανόνι τῆς παρούσης συνόδου. Ἀνάγνωθι τοῦ παρόντος συντάγματος τίτλου θ' κεφάλαιον α' καὶ τίτλου α' κεφάλαιον η', καὶ τὸ ἔξωθεν αὐτοῦ καταστρωθὲν η' κεφάλαιον τοῦ α' τίτλου τοῦ γ' βιβλίου τῶν Βασιλικῶν, ὅπερ ἐστὶ Νεαρὰ Ἰουστινιάνειος ρλζ', καὶ λέγε μᾶλλον κατὰ τοῦτο γίνεσθαι τὰς ἐξετάσεις τῶν ἀντιλεγόντων ἐπὶ χειροτονίᾳ ἐπισκόπων, πρεσβυτέρων, διακόνων, κληρικῶν καὶ ἡγουμένων. Τί δὲ, εἰ μὴ ἀντιλέγει τις κατά τινος μέλλοντος χειροτονηθῆναι, ἀλλὰ προσφέρει αἰτιάματα κατά τινος καθαιρεθέντος ἴσως ἀνευλόγως, καὶ ζητοῦντος ἀποκατάστασιν, τὸ αὐτὸ γενήσεται; Λύσις. Τοῦ χρηματίσαντος ἐπισκόπου Ἀμυκλῶν Νικολάου κατὰ βίαν πρακτορικὴν παραιτησαμένου τὴν ἀρχιερωσύνην, καὶ παρὰ τῇ μεγάλῃ συνόδῳ ζητοῦντος ἀποκατάστασιν, παρέστησάν τινες λέγοντες μὴ ὀφείλειν αὐτὸν ἀποκατασταθῆναι, προτιθέμενοι καὶ ἐγκληματικὰ αἰτιάματα, λεγόμενα γενέσθαι παρὰ τούτου πρὸ τῆς παραιτήσεως καὶ μετὰ τὴν παραίτησιν, καὶ κωλύοντα αὐτὸν ἀρχιερατεύειν. Ἐγένετο οὖν λόγος πολὺς περὶ τούτου. Οἱ μὲν γὰρ διετείνοντο μὴ ὀφείλειν γενέσθαι τὴν ἀποκατάστασιν πρὸ τοῦ ἐξετασθῆναι τὰ εἰσαγόμενα αἰτιάματα, χρώμενοι καὶ τῷ παρόντι κανόνι· πρὸς δὲ καὶ τῷ ιγ' κεφ. τοῦ α τίτλου τοῦ γ' βιβλίου τῶν Βασιλικῶν, καὶ παραλληλίζοντες τὴν εἰς τὴν ἀρχιερωσύνην ἀποκατάστασιν τῇ νῦν πρῶτον γινομένῃ χειροτονίᾳ· οἱ δὲ ἀπεμάχοντο μὴ ἔχειν χώραν ταῦτα ἐπὶ τῆς ἀποκαταστάσεως καὶ ἤθελον πρότερον γενέσθαι τὴν ἀποκατάστασιν, εἶθ' οὕτως γυμνασθῆναι τὰ αἰτιάματα· ὅτι, φασὶ, τοῦτο γίνεται καὶ εἰς τὰς πραγματικὰς δίκας. Οὐδὲ γὰρ ἐμποδίζεται ἡ τῶν βιαίως ἀφαιρεθέντων ἀποκατάστασις ἀπό τινος λόγου ἢ τρόπου καθὼς,

Digitized by Google

τοῖς νόμοις τοῦτο δοκεῖ. Ἄλλοι δὲ διετείνοντο τὰ μὲν μετὰ παραίτησιν λεγόμενα γενέσθαι αἰτιάματα ἐμποδίζειν τὴν ἀποκατάστασιν· τὰ δὲ πρὸ τῆς παραιτήσεως μὴ ἐμποδίζειν. Ἔφασκε δὲ τῇ συνόδῳ πρότερον γυμνασθῆναι πάντα τὰ αἰτιάματα, καὶ οὕτως, εἰ δεήσει, γενέσθαι τὴν ἀποκατάστασιν. Εἶπε γὰρ ὡς μεγάλη διαφορά ἐστι τῶν πραγματικῶν ὑποθέσεων καὶ τῶν ἐγκληματικῶν. Τὰ μὲν γὰρ, ἤγουν τὰ πραγματικὰ δίκαια, πολλάκις μετατιθέμενα ἀπὸ τούτου εἰς τοῦτον, οὐ προκριματίζονται, οὐδὲ τὰ εἰς Θεὸν ἀφορῶντα λυμαίνουσι. Τοῦ δὲ ζητοῦντος ἀποκατάστασιν ἀναξίως ἀποκαθισταμένου, πρὸ τοῦ ἐξετασθῆναι δηλονότι τὰ κατ' αὐτοῦ εἰσαγόμενα αἰτιάματα, γενήσεται πρόκριμα μέγα τοῖς παραχωρήσασι μετὰ τὴν τῆς ἀληθείας ἐξέτασιν, ὡς ἀπεριμερίμνως τὸν ἀνάξιον δεξαμένοις εἰς ἱερουργίαν, δυναμένοις καὶ ταῦτα πρὸ τῆς ἀποκαταστάσεως τὴν ἀλήθειαν εὑρεῖν, καὶ μηδὲν τοιοῦτον ποιῆσαι. Εἰς κατασκευὴν δὲ τοῦτο ἐχρήσαντο καὶ τῷ δ' κανόνι τῆς ἐν Ἀντιοχείᾳ συνόδου, ἀλλὰ μὴν καὶ τῇ θ' πράξει, τῇ ι' καὶ ια', καὶ ιβ' τῶν πρακτικῶν τῆς δ' συνόδου. Ἐν γὰρ ταύταις τοῦ Ἴβα, ἐπισκόπου ὄντος Ἐδέσσης, ζητοῦντος ἀποκατάστασιν, ὡς καθαιρεθέντος μονομερῶς, ἀλλὰ μὴν καὶ τοῦ Βασιανοῦ ἐπισκόπου ὄντος Ἐφέσου, καὶ κατὰ βίαν παρὰ τῶν κληρικῶν αὐτοῦ ἐξωσθέντος, καὶ ζητοῦντος ὁμοίως ἀποκατάστασιν, εὑρηται ὡς προσεδέχθησαν οἱ λιβέλλους ἐγκληματικῶν αἰτιαμάτων κατὰ τούτων δόντες, λεγομένων γενέσθαι πρὸ τοῦ μετακινηθῆναι τούτους, καὶ μετὰ ταῦτα· καὶ οὐκ εἰσηκούσθησαν οἱ ζητοῦντες πρότερον ἀποκαταστῆναι καὶ οὕτω δικάσασθαι, ἀλλ' ἐτηρήθησαν πρῶτον τὰ αἰτιάματα, καὶ μετὰ ταῦτα τὰ περὶ τῆς ἀποκαταστάσεως.

ΖΩΝΑΡ. Τὸ τὰ πλήθη τῶν πόλεων προχειρίζεσθαι ἀρχιερεῖς ἑαυτοῖς, οὓς ἠβούλοντο, ἐκωλύθη. Τέως δὲ πάλιν τοῖς ἔχουσιν ἐξουσίαν χειροτονεῖν προσιόντες, ἤτουν τινὰς ἐξ ὀνόματος, ὡς ἔστι δῆλον ἐκ τοῦ νε' κανόνος τῆς παρούσης συνόδου, καὶ ἐσκοποῦντο οἱ ζητούμενοι, καὶ εἰ ἔδοξαν ἄξιοι, ἐχειροτονοῦντο. Φασὶ δὲ καὶ διάφοροι κανόνες παρὰ τριῶν ἐπισκόπων ψηφίζεσθαι ἐπίσκοπον. Ἐὰν οὖν συνέλθωμεν, φησὶν ὁ Αὐρήλιος, εἰς ἐπιλογὴν ἐπισκόπου, καὶ ἴσως ἀντιλέγωσί τινες οὐχὶ τῶν ἐπισκόπων, ἀλλ' ἕτεροι, αἰτιάματα εἰσάγοντες κατ' αὐτοῦ, τολμηρόν ἐστι τρεῖς ἐπισκόπους, τοὺς ψηφιζομένους δηλαδὴ, κατὰ τοὺς κανόνας ἐξετάσαι τὰ λεγόμενα κατὰ τοῦ ψηφιζομένου, καὶ καθᾶραι τὸν αἰτιώμενον, ἀντὶ τοῦ καθαρὸν ἀποφῆναι τῶν κατ' αὐτοῦ προτιθεμένων αἰτιαμάτων· ἀλλὰ δεῖ προσκαλεῖσθαι ἕνα ἢ δύο ἐπισκόπους ἑτέρους, καὶ παρόντος τοῦ λαοῦ, ἐφ' ὃν μέλλει χειροτονεῖσθαι, ἐξετάζεσθαι πρῶτον τὰ πρόσωπα τῶν ἀντιλεγόντων, εἰ κατηγορεῖν δύνανται. Οὐ γὰρ πάντες εἰς κατηγορίαν ἱερέων προσδέχονται, ἀλλ' οὓς ὁ τῆς δευτέρας συνόδου ἕκτος κανὼν περιέχει, καὶ ὁ ρκη', καὶ ρκθ', καὶ ὁ ρλ' τῆς παρούσης συνόδου φησί. Καὶ ὅτε φανῶσιν ἐκεῖνοι πρὸς κατηγορίαν δεκτοί, τότε καὶ τὰ προτιθέμενα αἰτιάματα συζευχθῶσιν, ἀντὶ τοῦ συνεισαχθῶσι τῇ ἐξετάσει· καὶ ὅτε καθαροὶ φανῶσιν ἐπὶ δημοσίᾳ προσώπου, τουτέστιν ἐπὶ φανερᾷ ἐξετάσεως, τότε χειροτονεῖσθαι. Οἱ ἐπίσκοποι εἶπον· ἱκανῶς ἀρέσκει.

A dire restitutionem : quæ vero ante renuntiationem, non impedire. Synodo autem placuit omnia prius, quæ objiciebantur, crimina excuti, et sic, si oportuerit, fieri restitutionem. Dixit enim, magnam esse differentiam civilium et criminalium causarum. Illa enim, sive civilia jura, sæpe ab hoc in illum translata, nullum præjudicium afferunt, nec iis quæ ad Deum spectant incommodum important. Sed si is, qui petit restitutionem, indigne restituatur, antequam scilicet, quæ adversus eum intenduntur, crimina examinata fuerint; post veritatis examinationem fiet magnum præjudicium iis, qui inconsiderate permiserunt eum, qui est indignus, ad sacra celebranda admitti, idque cum possint ante restitutionem veritatem invenire, et nihil tale facere.

B Ad ejus autem confirmationem quarto quoque Antiochenæ synodi canone usi sunt : quin etiam nona actione, decima, undecima, duodecima Actorum quartæ syn. In iis enim, cum Ibas, qui erat Adessæ episcopus, restitutionem peteret, ut qui una tantum parte præsente esset depositus : quin etiam Bassianus, **579** qui erat episcopus, Ephesi, et vi a suis clericis erat extrusus, et similiter petebat restitui; inventum est, quod admissi sunt, qui criminalium causarum libellos adversus eos dederunt, quæ quidem facta esse dicebantur, et antequam moverentur et postea : nec auditi sunt, dum vellent prius restitui, et sic judicio contendere, sed criminationes quidem prius examinatæ fuere, et postea quæ ad restitutionem pertinebant.

C ZONAR. Urbanæ multitudini, ne sibi pro arbitrio quos vellet episcopos eligeret, jam antea interdictum fuit. Rursum illa decursu temporis ad eos confluens, penes quos erat eligendi facultas nominatim aliquos deposcebat, ut ex hujus synodi canone 55 intelligere facile est. Qui quidem, examinata ipsorum vivendi ratione, si digni judicati essent, episcopi renuntiabantur. De episcopo præterea a tribus episcopis eligendo complurium canonum decreta exstant. Si ergo, inquit Aurelius, ad episcopum eligendum convenerimus, adversentur porro aliqui forte, non episcopi quidem illi, sed alii quicunque, contra ipsum criminis aliquid afferentes, tres eos episcopos, qui ad eligendum videlicet convocati sunt, ex præscripto canonum ea quæ renuntiato episcopo objiciuntur indagare,

D reumque purgare, hoc est, in omnibus quæ contra afferuntur a culpa immunem pronuntiare, audacis inepti fuerit : verum unus aut alter præterea episcopus advocandus, ac in populi cui ille præficiendus est conspectu, de personis accusatorum imprimis, an eis accusare liceat, cognoscendum. Nec enim qui sacerdotium nomen deferre velint, omnes audiuntur; sed ii tantum, qui secundæ synodi sexto canone, et hujus synodi 128 et 129 et 130, continentur. Ac si quidem ad accusandum admitti posse illi videantur, tunc etiam proposita crimina conjungantur, hoc est, simul omnia disquisitioni subjiciantur,

Digitized by Google

tum si reus in populi conspectu, id est, in aperta illa disquisitione se innoxium probaverit, ita demum ad episcopatus dignitatem evehi liceat. Hanc sibi sententiam omnes episcopi vehementer placere responderunt.

ARIST. « Episcopo a tribus episcopis electo, si « controversia de eo moveatur, alii duo adjungantur; et sic, quæ ad eum spectant ab iis « examinentur: et si purus apparuerit, ordinetur. »

A ΑΡΙΣΤ. « Ἐπισκόπου ὑπὸ τριῶν ἐπισκόπων ψηφιζομένου, εἰ ἀντιλογία γένηται περὶ αὐτοῦ, « ἕτεροι δύο προσζευχθήτωσαν· καὶ οὕτω τὰ « κατ' αὐτὸν ὑπ' αὐτῶν ἐξετασθήτω· καὶ εἰ φα« νείη καθαρὸς, χειροτονείσθω. »

CANON LV.

« Ut ab Ecclesia Carthaginensi dies Paschæ nuntietur. Honoratus et Urbanus episcopi dixerunt: « Quia omnia quæ sunt in nostro commonitorio « conjungere oportet, adjicimus præterea quod « nobis mandatum est de die Paschæ, ut sicut « est consuetum, semper ab Ecclesia Carthagi« niensi præparemur, et non in angusto temporis « intervallo. Aurelius episcopus dixit: Si videatur « vestræ sanctitati, quia meminimus nos jam diu « esse professos, singulis annis convenire ad B « quærendum; quando in unum convenerimus, « tunc evulgabitur sancti Paschæ dies per legatos, « qui in synodo invenientur. Honoratus et Ur« banus episcopi dixerunt: Nunc per præsentem « conventum petimus, ut nostras provincias lit« teris informare dignemini. Aurelius episcopus « dixit; Necesse est ita fieri.

ΚΑΝΩΝ ΝΕ'.

« Ὥστε ἀπὸ τῆς ἐκκλησίας Καρχηδόνος ἀγγέλλε« σθαι τὴν ἡμέραν τοῦ Πάσχα. Ὀνωράτος καὶ Οὐρ« βανὸς οἱ ἐπίσκοποι εἶπον· Ἐπειδὴ τὰ ἐν τῷ « Κομμονιτορίῳ ἡμῶν πάντα δεῖ συζεῦξαι, προσ« τίθεμεν ἔτι μὲν ἐνταλθὲν ἡμῖν περὶ τῆς ἡμέ« ρας τοῦ Πάσχα, ἵνα κατὰ τὸ εἰωθὸς ἀπὸ τῆς « Ἐκκλησίας Καρχηδόνος ἀεὶ παρασκευαζώμεθα, « καὶ μὴ ἐν στενῷ τοῦ χρόνου διαστήματι. Αὐρή« λιος ἐπίσκοπος εἶπεν· Ἐὰν δοκῇ τῇ ἁγιωσύνῃ « ὑμῶν, ἐπειδὴ μεμνήμεθα ἤδη ἐκ πολλοῦ ἡμᾶς « ἐπαγγειλαμένους, ὥστε ἐν ἑκάστοις ἐνιαυτοῖς « συνέρχεσθαι πρὸς τὸ συζητεῖν, ὅταν εἰς ἓν συν« έλθωμεν, τότε διαδοθήσεται τοῦ ἁγίου Πάσχα « ἡ ἡμέρα διὰ τῶν εὑρεθησομένων ἐν τῇ συνόδῳ « τοποτηρητῶν. Ὀνωράτος καὶ Οὐρβανὸς ἐπίσκο« ποι εἶπον· Νῦν διὰ τῆς παρούσης συνελεύσεως « αἰτοῦμεν, ἵνα γράμμασι τυπῶσαι τὰς ἡμετέρας « ἐπαρχίας καταξιώσητε. Αὐρήλιος ἐπίσκοπος « εἶπεν· Ἀναγκαῖόν ἐστιν οὕτω γενέσθαι. »

BALS. Cum Honoratus et Urbanus petivissent, ut cognosceretur dies Paschæ ex Ecclesia Carthaginensi, ut cognitione longo ante tempore data ad eam præpararentur; respondit Aurelius quod quia constitutum est, ut singulis annis fiat synodus, hoc quoque fiet. Similiter cum iidem petivissent, ut eorum quoque informarentur provinciæ, hoc quoque fieri statutum est

ΒΑΛΣ. Τοῦ Ὀνωράτου καὶ τοῦ Οὐρβανοῦ ζητησάντων γνωσθῆναι τὴν ἡμέραν τοῦ Πάσχα αὐτοῖς ἀπὸ τῆς Ἐκκλησίας Καρχηδόνος, ὡς ἂν, εἰδήσεως διδομένης πρὸ καιροῦ πλείονος, παρασκευάζωνται πρὸς ταύτην, ἀπεκρίθη ὁ Αὐρήλιος ὅτι, ἐπεὶ καθ' C ἕκαστον ἐνιαυτὸν τετύπωται σύνοδον γίνεσθαι καὶ τοῦτο. Ὡσαύτως ζητησάντων τῶν αὐτῶν τυπωθῆναι καὶ τὰς τούτων ἐπαρχίας, ὡρίσθη γενέσθαι καὶ τοῦτο.

ZONAR. Plura illi in mandatis habebant, de quibus in synodo verba facere jussi fuerant. Quoniam igitur, inquiunt, omnia conjungenda sunt, hoc est, superioribus annectenda, quæ in Commonitorio nobis tradita sunt conscripta, illud quoque nostro hypomnemati adjungimus de die Paschæ, ut ea scilicet nobis ab Ecclesia Carthaginensi declaretur, quo nos ad eam celebrandam multo ante compatemus, neque in angustias temporum deductis, tum demum ea nobis indicetur. Ad quæ Aurelius: Quoniam, inquit, synodum quot annis haberi constitutum est, synodi tempore Paschæ quaque dies proferetur. Quod vero dicti episcopi postulabant, id erat, ut tunc temporis, in provinciæ suæ conventu Paschæ dies definiretur. Verum id factum fuerit, necne, hoc canone nusquam explicatur.

ZΩΝΑΡ. Περὶ διαφορων ὑποθέσεων ἐνετάλθησαν οὗτοι εἰπεῖν ἐν τῇ συνόδῳ, καὶ φασιν ὅτι, ἐπειδὴ πάντα δεῖ συζεῦξαι, ἤγουν συνάψαι τοῖς προλαβοῦσι, τοῖς ἐν τῷ Κομμονιτορίῳ ἡμῶν, τοῖς ἐν τῷ ἐνταλτηρίῳ ἡμῶν προστίθεμεν περὶ τῆς ἡμέρας τοῦ Πάσχ, ἵνα δήλη ἡμῖν γένηται ἀπὸ τῆς Ἐκκλησίας Καρχηδόνος, καὶ παρασκευαζώμεθα πρὸς αὐτὴν πρὸ πολλοῦ, καὶ μὴ ἐν στενῷ διαστήματι χρόνου μηνύηται ἡμῖν. Πρὸς ὃ ὁ Αὐρήλιος ἀπεκρίθη ὅτι, ἐπεὶ καθ' ἕκαστον ἐνιαυτὸν τετύπωται σύνοδον γίνεσθαι, ἐν D τῷ καιρῷ τῆς συνόδου γνωρισθήσεται καὶ ἡ τοῦ Πάσχα ἡμέρα. Οἱ δὲ εἰρημένοι ἐπίσκοποι ἠξίωσαν ἐν τῇ συνελεύσει τῆς ἐπαρχίας αὐτῶν τοῦ τότε καιροῦ τυπωθῆναι τὰς ἡμέρας τοῦ Πάσχα. Εἴτε δὲ ἐτυπώθησαν, εἴτε μὴ, ὁ κανὼν οὐ περιέχει.

ARIST. « In synodo anniversaria celebritatis Paschalis dies ab Ecclesia Carthaginensi renuntie« tur. »

ΑΡΙΣΤ. « Ἐν τῇ κατ' ἔτος συνόδῳ ἀγγελλέσθω ἡ « ἡμέρα τοῦ Πάσχα παρὰ τῆς ἐν Καρχηδόνι « Ἐκκλησίας.

Quod in synodo quotanis habita in Ecclesia Carthaginensi dies Paschæ significandus est, et in canone 34 decretum fuit.

Τὸ ἐν τῇ κατ' ἔτος γινομένῃ συνόδῳ εἰς τὴν ἐν Καρχηδόνι Ἐκκλησίαν τὴν ἡμέραν τοῦ Πάσχα γνωρίζεσθαι καὶ ἐν τῷ λδ' κανόνι ὡρίσθη.

Digitized by Google

ΚΑΝΩΝ ΝΖ'.

« Περὶ τοῦ τὰς ἐπαρχίας ἐπισκέπτεσθαι. Ὀνωράτος « καὶ Οὐρβανὸς ἐπίσκοποι εἶπον· Κἀκεῖνο ἡμῖν « διὰ λόγου ἐντέταλται, ὥστε καὶ ἡμᾶς καταξιῶσαι τὸ ὁρισθὲν ὑπὸ τῆς ἐν Ἱππῶνι συνόδου ὀφείλειν ἑκάστην ἐπαρχίαν ἐν τῷ καιρῷ τῆς συνόδου ἐπισκέπτεσθαι, καὶ ὅτι ἐν τούτῳ καὶ « τῷ ἄλλῳ ἐνιαυτῷ ὑπερέθεσθε κατὰ τάξιν « ἐπισκέπτεσθαι τὴν Μαυριτανίαν. Αὐρήλιος « ἐπίσκοπος εἶπε· Τότε περὶ τῆς τῶν Μαυριτανῶν « χώρας οὐδὲν ὡρίσαμεν, διὰ τὸ εἰς τὰ τέλη τῆς « Ἀφρικῆς κεῖσθαι αὐτὴν, καὶ ὅτι τῷ βαρβαρικῷ παράκεινται. Ὁ δὲ Θεὸς παράσχοι ἐκ περιουσίας δύνασθαι ἡμᾶς καὶ μὴ ἐπαγγειλαμένους τοῦτο ποιεῖν, καὶ παραγίνεσθαι εἰς τὴν « χώραν ὑμῶν. Ὀφείλετε γὰρ ἐννοεῖν, ἀδελφοί, « ὅτι, ἐὰν λογισμὸς ἀπαιτῇ τοῦτο, περὶ ἑαυτῶν « διεξελθεῖν ἠδύναντο καὶ οἱ Τριπολιτανοὶ καὶ οἱ « Ἀρζουϊανοὶ ἀδελφοί. »

A

CANON LVI.

« De visitandis provinciis. Honoratus et Urbanus « episcopi dixerunt : Illud quoque nobis verbis « mandatum est, ut dignemini (quod a synodo « Hipponensi definitum est, debere scilicet unamquamque provinciam tempore synodi visitari, « et quia hoc et alio anno distulistis) ordine visitare Mauritaniam. Aurelius episcopus dixit : « Tunc de Mauritanorum regione nihil definivimus, quod ea sita sit in finibus Africæ, et quod « barbarico sint vicini. Deus autem largiatur, ut « abunde etiam non polliciti hoc agamus, et adsimus in vestra regione. Debetis enim cogitare, « fratres, quod si ratio hoc postularet, Tripolitani quoque et Arzuiani fratres pro seipsis id « exigere possent. »

B

ΒΑΛΣ. Οἱ αὐτοὶ ἐπίσκοποι ἐζήτησαν ἐπισκέπτεσθαι καὶ τὴν Μαυριτανίαν, ὡς τούτου μὴ γενομένου πρὸ χρόνων δύο. Πρὸς ὃ ἀπελογήσατο ὁ Αὐρήλιος, ὡς οὐκ ἂν οὐ γέγονε τοῦτο, διὰ τὸ εἰς τὰ τέλη τῆς Ἀφρικῆς πλησίον τῶν βαρβάρων παρακεῖσθαι τὴν Μαυριτανίαν· ἀλλὰ Θεοῦ διδόντος ἐκ περιουσίας τοῦτο γενήσεται, ἤτοι καὶ πλέον τῶν ἐπαγγελθέντων. Εἰ γὰρ δυνατὸν ἦν τοῦτο, ἐξ ἀνάγκης καὶ οἱ Τριπολιτανοὶ καὶ Ἀρζουϊανοὶ ἂν ἐξήτησαν τοῦτο.

BALS. Iidem episcopi petiverunt, ut visitaretur quoque Mauritania, quod duobus ante annis non fuit factum. Ad quod respondit Aurelius, quod hoc factum non est, quia in finibus Africæ prope barbaros sita est Mauritania : sed si Deus concesserit ex abundanti fiet, seu et plusquam promissum fuerit. Si hoc enim fieri posset, necessario etiam Tripolitani et Arzuiani id petivissent.

ΖΩΝΑΡ. Τὰ μὲν ἄλλα ἐγγράφως τοῖς ἐρωτῶσι τούτοις ἐπισκόποις ἐνετάλθησαν· τοῦτο δὲ ἀγράφως, τὸ δὲ ἦν τὸ ἐτησίως ἐν τῷ καιρῷ τῆς συνόδου ἐπισκέπτεσθαι ἑκάστην ἐπαρχίαν, ἤγουν ἀπιέναι καὶ συζητεῖν περὶ τῶν ἐν αὐτοῖς φυομένων ἀμφιβολιῶν, καὶ οἰκονομεῖν ταύτας· καὶ ὅτι ἐν δυσὶν ἐνιαυτοῖς οὐκ ἐπεσκέψαντο τὴν Μαυριτανίαν. Πρὸς ἃ ἀπεκρίθη Αὐρήλιος Ὅτι ἡ Μαυριτανία εἰς τὰ τέλη κεῖται τῆς Ἀφρικῆς, καὶ τοῖς βαρβαρικοῖς παράκειται, διὸ οὐδὲν ὡρίσθη περὶ αὐτῆς. Δοίη δὲ ὁ Θεὸς ἐκ περιουσίας, ἤγουν ἐκ τοῦ πλείονος, δύνασθαι ἡμᾶς τοῦτο ποιεῖν (πλεῖον δὲ λέγει τὸ πόιεῖν καὶ ὅσα οὐκ ἐπηγγείλαντο), καὶ παραγίνεσθαι εἰς τὴν χώραν ὑμῶν. Ἐννοήσατε γὰρ, φησὶν, ὅτι ἐὰν λογίσηταί τις τοῦτο δυνατὸν εἶναι, τὸ παρουσιάζειν εἰς Μαυριτανίαν παρακειμένην βαρβάροις, ἠδύναντο καὶ οἱ Τριπολιτανοὶ καὶ Ἀρζουϊτανοὶ ἀδελφοὶ τοῦτο ἡμᾶς ἀπαιτεῖν.

C

D

ZONAR. Alia quidem hisce episcopis, de quibus synodum rogarent, in scriptis tradita fuerant : hoc vero sine scriptis, ut provinciæ cujusque status synodi tempore singulis annis inspiceretur, hoc est, abirent, ac exorientes in unaquaque controversias, quæstione de iis habita, componerent; idque in Mauritania biennii spatio jam intermissum fuisse. Ad quæ sic Aurelius : Mauritaniam in Africæ finibus sitam esse, barbaricisque conterminam, ac de illa propterea nihil constitutum. Utinam vero hoc quoque nobis ex abundanti sive ex accessione (accessionem appellans, cum ea, quæ nemo pollicitus est, reipsa exhibentur) præstare, atque in vestram regionem venire liceat. Cogitate enim, inquit, quod si quis existimaret in Mauritania barbaris adjacente libere versandi facultatem esse, id a nobis Tripolitani quoque fratres ac Arzuiani postulare possent.

ΑΡΙΣΤ. « Καθ' ἃ καὶ ἡ ἐν Ἱππῶνι σύνοδος ὥρισεν, ἐν τῇ κατ' ἔτος συνόδῳ ἑκάστη ἐπαρχία « ἐπισκεπτέσθω. »

« ARIST. Quemadmodum et synodus Hipponensis « decrevit, in synodo quotannis celebrata unaquæque provincia visitetur. »

Ἐν τῇ συνόδῳ τῇ μελλούσῃ κατ' ἐνιαυτὸν γίνεσθαι ἐν Καρχηδόνι ὥρισαν οἱ Πατέρες, τοῖς ὁρισθεῖσι τῇ ἐν Ἱππῶνι συνόδῳ ἐπακολουθοῦντες, τὰ ἐν ταῖς Ἐκκλησίαις ἑκάστης ἐπαρχίας πεπραγμένα ἐπιτηρεῖν τε καὶ ἐπισκέπτεσθαι· καὶ εἴ τι μὴ καλῶς ἐπράχθη, διορθοῦσθαι, καὶ τὰ μὴ λυθέντα τῶν προτεθέντων κανονικῶν ζητημάτων, ἀλλ' ἴσως παρεληθέντα διὰ τὸ δυσχερές, ἢ καὶ ἀμφίβολα μένοντα, διαλύειν, καὶ πρὸς σαφήνειαν ἄγειν.

In synodo Carthagine quotannis habenda Patres ea, quæ in synodo Hipponensi decreta fuerunt, sequentes **581** decreverunt ea, quæ in cujusque provinciæ ecclesiis facta sunt, et observare et visitare : et si quid non recte factum fuerit, emendare, et e propositis quæstionibus canonicis eas, quæ non solvuntur, sed propter difficultatem fortasse transmittuntur, aut etiam dubiæ manent, solvere, et perspicuitate donare.

Digitized by Google

CANON LVII.

« Ut diœceses, nisi propril episcopi consensu, alius « episcopus non suscipiat. Epigonius episcopus « dixit: In multis synodis constitutum est sacer- « dotali consessu, ut populi, qui in parœciis ab « episcopis continentur, qui nunquam proprium « episcopum habuerunt, nisi ex consensu epi- « scopi, a quo a principio tenentur, proprios « directores, id est episcopos, non accipiant: « quoniam scilicet quidam, tyrannidem quam- « dam assecuti, fratrum communionem aver- « santur; porro et quando viles abjectique eva- « serint, rursus quadam velut antiqua tyrannide « sibi dominia vendicant. Multi autem etiam ex « presbyteris, inflati et stulti, cervices adversus « episcopos erigunt, multitudinem conviviis et « maligais consiliis instigantes, ut inordinata « benevolentia eos sibi directores constituant. « Hoc autem insigniter optandum a vestra be- « nevolentia obtinemus, fidelissime frater Au- « reli, quod sæpe ejusmodi eorum appetitiones « non admittens prohibuisti. Propter malignas « autem eorum cogitationes et improbe consentien- « tia consilia hoc dico, non debere proprium in- « stitutorem populum accipere, qui in ea quæ « dicitur parœcia, antiquo episcopo subjectus « nequaquam proprium episcopum habuit. Et « ideo si quod dico universæ sanctissimæ synodo « placet, confirmetur. Aurelius episcopus dixit: « Fratris et coepiscopi nostri prosecutioni non « resisto; sed hoc me et fecisse et facturum « profiteor, scilicet apud eos qui consentiunt, « non solum Carthaginensi Ecclesiæ, sed etiam « universo sacerdotali consortio. Sunt enim « plurimi, qui cum propriis populis conspirant; « quos quidem, ut dictum est, seducunt, aures « eorum titillantes, et homines vitæ desperatæ « damnatæque adulationibus ad se allicientes; « potius autem inflati, et ab hoc consortio se- « ipsos separantes: qui quidem proprio populo « innitentes, sæpe evocati, ut veniant ad syno- « dum, recusant, ut qui timeant ne absurda « eorum facta manifestentur. Dico ergo, si vi- « detur, omnibus modis cum eis contendere « debemus, ut non solum iis non serventur « ejusmodi diœceses, sed nec propriæ Ecclesiæ « quæ male ad ipsos pervenerunt; et ut authen- « tice publice ejiciantur, et ab ipsa primatum « cathedra moveantur. Oportet enim eos, qui « universis fratribus et toti synodo agglutinan- « tur, non solum propriam cathedram juste ob- « tinere, sed etiam ejusmodi diœceses possidere: « eos autem, qui videntur sua esse multitudine « contenti, et fraternam dilectionem contem- « nunt, non solum diœceses amittere; sed « etiam, ut dixi, propriis locis sæculari potestate « privari, ut rebelles. Honoratus et Urbanus « episcopi dixerunt: Maxima providentia vestræ « sanctitatis omnium mentibus insedit; et existi-

A

B

C

D

KANΩN NZ'.

« Ὥστε τὰς διοικήσεις, εἰ μὴ κατὰ συναίνεσιν τοῦ « ἰδίου ἐπισκόπου, ἐπίσκοπον ἕτερον μὴ δέχεσθαι. « Ἐπιγόνιος ἐπίσκοπος εἶπεν· Ἐν πολλαῖς συν- « ὁδοις ὥρισται συνεδρίῳ ἱερατικῷ, ἵνα τὰ « πλήθη τὰ ἐν ταῖς παροικίαις ἀπὸ τῶν ἐπισκό- « πων κατεχόμενα, τὰ ἴδιον ἐπίσκοπον μηδέποτε « ἐσχηκότα εἰ μὴ κατὰ συναίνεσιν τοῦ ἐπισκόπου, « παρ' οὗ ἐξαρχῆς κατέχονται, μὴ λαμβάνοιεν « ἰθυντὰς ἰδίους, τοῦτ' ἔστιν ἐπισκόπους· ἐπειδή « τινες δηλαδὴ, τυραννίδος τινὸς ἐπιτευχηκότες, « τὴν τῶν ἀδελφῶν κοινωνίαν ἀποστρέφονται· « καὶ ὅταν δὲ ἀποφαυλισθῶσιν, ὡς ἂν εἴ τινι « παλαιᾷ τυραννίδι δεσποτείας ἑαυτοῖς ἐκδικοῦσιν. « Πολλοὶ δὲ καὶ ἐκ τῶν πρεσβυτέρων, φυσιούμε- « νοι καὶ μωροὶ, τοὺς αὐχένας ἐπανιστῶσι κατὰ « τῶν οἰκείων ἐπισκόπων, τὸ πλῆθος συμποσίοις « καὶ κακοβελέσι συμβουλίαις διεγείροντες, ὡς « ἄτακτοι εὐνοίᾳ τούτους ἑαυτοὺς ἰθυντὰς καθ- « ιστάνειν. Τοῦτο δὲ ἐπισήμως εὐκταῖον παρὰ « τῆς ὑμετέρας κατέχομεν διανοίας, πιστότατε « ἀδελφὲ Αὐρήλιε, ὅτι πολλάκις τὰς τοιαύτας « ὁρμὰς μὴ προσδεχόμενος ἐκώλυσας. Διὰ δὲ τὰς « τῶν τοιούτων κακοβελεῖς ἐννοίας, καὶ τὰ φαύ- « λως συμφωνούμενα βουλεύματα, τοῦτο λέγω, « μὴ ὀφείλειν καθηγητὴν ἴδιον δέξασθαι τὸ « πλῆθος, τὸ ἐν τῇ λεγομένῃ παροικίᾳ ὑποκείμε- « νον ἀρχαίῳ ἐπισκόπῳ, καὶ μηδέποτε ἴδιον « ἐπίσκοπον ἐσχηκός. Διὸ, ἐὰν συμπάσῃ τῇ ἁγιω- « τάτῃ συνόδῳ ἀρέσκῃ τὸ παρ' ἐμοῦ, βεβαιωθή- « τω. Αὐρήλιος ἐπίσκοπος εἶπε· Τοῦ ἀδελφοῦ καὶ « συνεπισκόπου ἡμῶν τῇ ἐξακολουθήσει οὐκ « ἀνθίσταμαι· ἀλλὰ τοῦτο ἐμὲ καὶ πεποιηκότα « καὶ ποιήσαντα ὁμολογῶ, δηλαδὴ περὶ τοὺς « ὁμονοοῦντας, οὐ μόνον τῇ ἐν Καρχηδόνι Ἐκ- « κλησίᾳ, ἀλλὰ καὶ πάσῃ τῇ ἱερατικῇ συγκλη- « ρώσει. Εἰσὶ γὰρ πλεῖστοι συμπνέοντες τοῖς « οἰκείοις πλήθεσιν· ἅτινα, ὡς λέλεκται, ἁπλ- « ῶσι, κνήθοντες τὰς ἀκοὰς αὐτῶν, καὶ κολα- « κεύοντες πρὸς ἑαυτοὺς ἀνθρώπους κατεγνω- « σμένου βίου· μᾶλλον δὲ φυσιούμενοι καὶ ἐκ « τῆς συγκληρώσεως ταύτης ἑαυτοὺς χωρίζον- « τες· οἵτινες τῷ ἰδίῳ πλήθει ἐπερειδόμενοι, « πολλάκις συγκληθέντες ἐλθεῖν εἰς σύνοδον παρ- « αιτοῦνται, ὡς φοβούμενοι μήπως τὰ τούτων « ἀτοπήματα φανερωθῶσιν. Λέγω οὖν, ἐὰν δοκῇ, « ὀφείλομεν παντὶ τρόπῳ ἀγωνίσασθαι τούτοις, « μὴ μόνον τὰς τοιαύτας διοικήσεις μὴ φυλάτ- « τεσθαι, ἀλλὰ μηδὲ τὰς ἰδίας Ἐκκλησίας τὰς « κακῶς εἰς αὐτοὺς περιελθούσας, καὶ ἵνα αὐ- « θεντικῶς δημοσίᾳ ἐκβάλλωνται, καὶ αὐτῇ τῶν « πρωτευόντων καθέδρᾳ ἀποκινῶνται. Χρὴ γὰρ « τοὺς σύμπασι τοῖς ἀδελφοῖς καὶ ὅλῃ τῇ συνόδῳ « προσκολλωμένους μὴ μόνον τὴν οἰκείαν κατ- « έχειν δικαίως καθέδραν, ἀλλ' ἔτι μὴν τὰς « τοιαύτας διοικήσεις κεκτῆσθαι· τοὺς δὲ δο- « κοῦντας τοῖς ἰδίοις ὄχλοις ἀρκεῖσθαι, καὶ τῆς « ἀδελφικῆς ἀγάπης καταφρονοῦντας, μὴ μόνον « τὰς διοικήσεις ἀπολλύειν, ἀλλ' ἔτι μὴν, ὡς

Digitized by Google

« εἶπον, καὶ τῶν ἰδίων τόπων ἀρχοντικῇ στερεῖ A
« σθαι, ὡς ἀντάρτας, δυναστείᾳ. Ὠνωράτος
« καὶ Οὐρβανὸς ἐπίσκοποι εἶπον· Ἡ μεγίστη
« πρόνοια τῆς ὑμετέρας ἁγιωσύνης ταῖς πάντων
« διανοίαις ἐνεκαθέσθη, καὶ λογιζόμεθα ὀφείλειν
« τῇ πάντων ἀποκρίσει βεβαιωθῆναι τὴν ὑμετέραν
« ἐξακολούθησιν. Σύμπαντες οἱ ἐπίσκοποι εἶπον·
« Ἀρέσκει, ἀρέσκει. »

mamus debere omnium responsione vestram
confirmari prosecutionem. Omnes episcopi
dixerunt : Placet, placet. »

ΒΑΛΣ. καὶ ΖΩΝΑΡ. Καὶ ὁ ς' κανὼν τῆς ἐν Σαρδικῇ συνόδου διορίζεται μήτε ἐν πόλει βραχείᾳ μήτε ἐν κώμῃ καθίστασθαι ἐπίσκοπον. Καὶ ὁ κανὼν δὲ οὗτος ἐν ταῖς παροικίαις φησὶ, ταῖς παρ' ἐπισκόπων κατεχομέναις, γίνεσθαι ἐπίσκοπον, εἰ μὴ κατὰ γνώμην τοῦ ἐπισκόπου, ᾧ ἐξ ἀρχῆς διέφερεν ἡ παροικία. Ἰθυντὰς δὲ καλεῖ τοὺς ἐπισκόπους, ὡς ἰθύνοντας τὸν λαὸν καὶ κατευθύνοντας πρὸς τὴν ὀρθὴν πορείαν τῆς πίστεως καὶ τῆς ἀρετῆς. Τοῦτο δὲ λέγουσιν, ἐπειδή τινες τυραννίδος ἐπιτετυχηκότες, ἦγουν δυναστείας τινὸς, τὴν τῶν ἀδελφῶν, τῶν ἐπισκόπων δηλαδὴ, κοινωνίαν ἀποστρέφονται· καὶ ὅταν ἀποφαυλισθῶσιν, ἀντὶ τοῦ ἀποδοκιμασθῶσι καὶ φανερὸι γένωνται τὴν κακίαν, τότε ἑαυτοῖς ἐκδικοῦσι δεσποτείας, ὡς τάχα δίκαιον ἔχοντες ἐκ παλαιᾶς συνηθείας. Τὴν δυναστείαν δὲ ὠνόμασε τυραννίδα διὰ τὸ βίαιον. Πολλοὶ δὲ καὶ τῶν πρεσβυτέρων κενοδοξοῦντες, ἐπαιρόμενοι ἐκ μωρίας, κατεπαίρονται καὶ κατεξανίστανται τῶν οἰκείων ἐπισκόπων, διεγείροντες τὰ πλήθη, ἀντὶ τοῦ ἐρεθίζοντες, συμποσίοις καὶ κακοθελέσι συμβουλίαις, ἰθυντὰς ἤτοι ἐπισκόπους ἑαυτοῖς τούτους καθιστᾷν, ὡς τάχα τοῦτο δι' εὔνοιαν τὴν πρὸς αὐτοὺς ποιοῦντες, ἥτις εὔνοια ἄτακτός ἐστιν. Οὐ γὰρ εὐτάκτως οὐδὲ κανονικῶς γίνεται. Τοῦτο δὲ, φησὶν, ἐπισήμως κατέχομεν, ἀντὶ τοῦ γνωρίμως καὶ φανερῶς κατέχομεν ἐν τῇ ἡμῶν διανοίᾳ εὔκταῖον, ἦγουν εὐχῆς ἄξιον, ὥστε οὕτω γίνεσθαι. Ποῖον δὴ τοῦτο; Ὅτι πολλάκις τοιαύτας ὁρμὰς ἐκώλυσας μὴ προσδεχόμενος ταύτας. Διὰ δέ τινων κακοθέλειαν καὶ τὰς φαύλας συμβουλὰς καὶ συμφωνίας κυρωθήτω μὴ δέχεσθαι ἴδιον καθηγητὴν, ἦγουν ἐπίσκοπον, τοὺς ἐν παροικίᾳ ὄντας, ἥτις ἀρχαίῳ ἐπισκόπῳ ὑπόκειται, καὶ οὐδέποτε ἴδιον ἐπίσκοπον ἔσχεν. Εἰπόντος δὲ τοῦ Ἐπιγονίου τὰ προειρημένα, ὁ Αὐρήλιος ἀπεκρίθη· Τοῦτο, τὸ εἰσαχθὲν δηλαδὴ, καὶ πεποίηκα καὶ ποιεῖν ὁμολογῶ. Εἰσὶ γὰρ πολλοὶ ὁμονοοῦντες τοῖς οἰκείοις πλήθεσιν, ἐξ ὧν ὥρμηνται δηλονότι· ἡ δὲ ὁμόνοια αὐτῶν ἀπάτη ἐστί. Κνήθοντες τὰς ἀκοὰς αὐτῶν καὶ κολακεύοντες, ἀντὶ τοῦ λόγοις ἀπατηλοῖς τὰς ἀκοὰς αὐτῶν ἡδύνοντες καὶ γαργαλίζοντες (τοῦτο δὲ ἐκ μεταφορᾶς τῶν ζώων εἴληπται· τὰ γὰρ ζῶα καταψώμενα καὶ κνηθόμενα χερσὶν ἀνθρώπων γαργαλίζονται καὶ ἡμεροῦνται καὶ χειροήθη γίνονται), διὰ τῆς κολακείας πρὸς ἑαυτοὺς ὑποσύροντες ἀνθρώπους κατεγνωσμένου βίου, μᾶλλον δὲ φυσιούμενοι, καὶ ἐκ τῆς συγκληρώσεως ταύτης, ἦγουν τῆς τῶν ἐπισκόπων ὁμηγύρεως, ἑαυτοὺς χωρίζοντες, οἵτινες θαῤῥοῦντες τῷ οἰκείῳ πλήθει, καὶ αὐτῷ ἐπιστηρίζομενοι καὶ δυναμούμενοι ἐν ᾧ κατέστησαν ἐπίσκοποι, παραιτοῦν-

BALS. et ZONAR. Sextus quoque canon synodi Sardicensis decernit, neque in parva civitate, neque in pago, episcopum esse constituendum. Porro hic quoque canon dicit, in parœciis, quæ ab episcopis **582** tenentur, non debere fieri episcopum, nisi ex mente episcopi, ad quem ab initio pertinebat parœcia. Directores autem appellat episcopos, ut qui populum dirigant, et ad veram fidei viam virtutisque deducant. Hoc autem dicunt, quod nonnulli tyrannidem seu potentiam aliquam assecuti, fratrum, episcoporum scilicet, communionem aversantur : et quando viles abjectique evaserint, sive reprobati fuerint, et eorum manifesta fuerit improbitas, tunc sibi dominium vendicant, ut ex antiqua forte consuetudine aliquod jus habentes. potentiam porro tyrannidem nominarunt propter violentiam. Multi autem presbyteri inani gloria incitati, et stultitia elati, adversus proprios episcopos excitantur et insurgunt, populos commovente sive instigantes conviviis et improbis consiliis, ut eos directores, id est episcopos, sibi constituant, tanquam hoc forte propter benevolentiam in eos facientes, quæ est inordinata benevolentia : neque enim ordinate, neque canonice fit. Hoc autem, inquit, insigniter obtinemus, id est, liquido et aperte obtinemus, in nostra mente optandum, seu opinione dignum, ut sic fiat. Cujusmodi autem est hoc? Quod sæpe ejusmodi appetitiones prohibuisti, eas non admittens. Propter aliquorum autem improbitatem malaque consilia et conventa confirmetur, non admitti proprium institutorem, seu episcopum, ab iis qui sunt in parœcia antiquo episcopo subjecta, et quæ proprium episcopum nunquam habuit. Cum dixisset autem Epigonius ea quæ prius dicta sunt, Aurelius respondit : Hoc videlicet introductum, et feci et me facere profiteor. Sunt enim multi qui propriis populis consentiunt, a quibus scilicet sunt incitati : eorum autem consensus fraus est. Titillantes aures eorum et adulantes, hoc est, verbis fallacibus aures eorum demulcentes et delectantes (id autem per metaphoram ab animalibus sumptum est, animalia enim hominum manibus confricta ac titillata delectantur et mansuescunt et tractabilia fiunt), per adulationem homines vitæ condemnatæ ad se attrahentes, vel potius inflati, et ab hoc cleri consortio seu episcoporum conventu seipsos segregantes : qui quidem proprio populo confidentes, ipsique innitentes et confirmati, in quo scilicet constituti sunt episcopi, ad synodum venire recusant, licet sæpe vocati. Quare autem venire recusant? Quia timent

Digitized by Google

ne absurda sua facta convincantur. Debemus ergo, inquit, si videatur, omnibus modis contendere, ut non solum, quæ sic male sunt administrata, non servent, et studere ne deinceps fiant; sed et Ecclesias, quæ ad eos male devenerunt, ab illis auferre; et ut cum potestate aperte ejiciantur, et per primatum cathedras, seu patriarcharum, vel metropolitanorum, abigantur. Per primatum autem cathedram, episcopalem potentiam significat. Æquum enim est, inquit, ut qui fratribus adhærent, qui scilicet universæ synodo consentiunt, non solum proprias sedes habeant, sed etiam ejusmodi diœceses possideant : ii autem, qui concordiam et fraternam charitatem negligunt, ut qui proprios populos sibi sufficere existimant, a quibus electi sunt ad episcopatum, non solum diœceses, in quibus fuerunt episcopi, perdant; sed etiam propriis locis priventur, si proprios ibi ullos habeant, sæculari potestate ab eis, ut rebelles exturbati, seu ut qui manus contra erigunt, et canonibus et episcopis adversantur. Ad hæc nonnulli quidam dixerunt, quod ipsa providentia omnium mentibus insedit, id est, placuit, acquievit : sedere enim quietem efficit. Synodus autem dixit : Placet.

Πρὸς ταῦτα τινὲς μὲν εἶπον ὅτι ἡ πρόνοια αὕτη ταῖς ἐναντίαις αὐθη· ἀνάπαυσιν γὰρ τὸ καθῆσθαι ποιεῖ. Ἡ δὲ σύνοδος εἶπεν· Ἀρέσκει.

583 ARIST. « Qui vocationem a synodo factam « aversatur, et multitudini suæ confisus fraternam « despicit amicitiam : suis etiam per auctoritatem imperatoriam privabitur. »

Qui aliena appetit, et eorum, quæ ad ipsum pertinent, amissioni subjicietur. Si qui itaque ex episcopis aut presbyteris ad se parœciæ alicujus populum attrahentes, eique fraude et adulatione persuadentes se præceptores ejus et directores, hoc est, episcopos constitui, et recedere ab episcopo, cui ista parœcia antea subjecta fuit; et ad synodum vocati, ad rationes reddendas de iis, quibus propter istam causam accusantur, advenire nolunt, ut fraternam contemptui habentes amicitiam, et multitudini confidentes : per auctoritatem imperialem etiam suis privabuntur Ecclesiis.

CANON LVIII.

« Quod alieni clerici ab aliis episcopis nullo modo « suscipiantur. Epigonius episcopus dixit : Hoc « in multis synodis constitutum, nunc etiam « adhuc a vestra prudentia confirmatum est, « beatissimi fratres, ut nullus episcopus alienum « sibi clericum vendicet, præter sententiam « prioris ejus episcopi. Refero autem Julianum « ingrate in tot per meam parvitatem in eum « congesta Dei beneficia se gessisse, et tam « temere et confidenter versatum esse, ut qui a « tenera ætate a me baptizatus est, propter « multam inopiam mihi ab ipso commendatus, et « multis annis a me nutritus et auctus, qui, ut « dixi, in ecclesia mea mediocritatis meæ manu « baptizatus est, et in Mapalitanorum parœcia

A ται ἐλθεῖν εἰς σύνοδον, καίτοι κληθέντες πολλάκις. Διὰ τί δὲ παριτοῦνται ἐλθεῖν; Ὅτι φοβοῦνται μὴ ἐλεγχθῶσι τὰ ἀτοπήματα αὐτῶν. Ὀφείλομεν οὖν, φησὶν, ἐὰν πᾶσι δοκῇ, πάντα τρόπον ἀγωνίσασθαι μὴ μόνον τὰ οὕτω κακῶς διοικηθέντα μὴ φυλάξαι, σπουδάσαι δὲ μηκέτι γίνεσθαι τοῦ λοιποῦ, ἀλλὰ καὶ τὰς ἐκκλησίας, τὰς κακῶς περιελθούσας αὐτοῖς, ἀφελέσθαι ἐξ αὐτῶν, καὶ ἵνα μετὰ ἐξουσίας φανερῶς ἐκβάλλωνται, καὶ διὰ τῆς τῶν πρωτευόντων καθέδρας ἤτοι τῶν πατριαρχῶν ἢ τῶν μητροπολιτῶν ἐκδιώκωνται. Διὰ δὲ τῆς καθέδρας τῶν πρωτευόντων τὴν ἀρχιερατικὴν ἐξουσίαν ἐνέφηνεν. Ἐνδέχεται γὰρ, φησὶ, τοὺς προσκολλωμένους τοῖς ἀδελφοῖς, τοὺς ὁμόφρονας δηλαδὴ πάσῃ τῇ συνόδῳ, μὴ μόνον τοὺς οἰκείους θρόνους ἔχειν, ἀλλὰ καὶ τὰς τοιαύτας B διοικήσεις κεκτῆσθαι· τοὺς δὲ καταφρονοῦντας τῆς ὁμονοίας καὶ τῆς ἀδελφικῆς ἀγάπης, ὡς δοκοῦντας ὀρκεῖσθαι τοῖς ἰδίοις ὄχλοις, παρ' ὧν ἐπελέγησαν εἰς ἐπισκοπὴν, μὴ μόνον τὰς διοικήσεις, ἐν αἷς γεγόνασιν ἐπίσκοποι, ἀπολύειν, ἀλλὰ καὶ τῶν ἰδίων τόπων στερεῖσθαι, εἴ τινας εἶχον οἰκείους ἐκεῖθεν ὄντες, ἐκδιωκομένους ἐξ αὐτῶν ἀρχοντικῇ δυναστείᾳ ὡς ἀντάρτας, ἤτοι ὡς ἀνταίροντας χεῖρας καὶ ἐναντιουμένους τοῖς κανόσι καὶ τοῖς ἐπισκόποις. πάντων διανοίαις ἐνεκαθέσθη, ἀντὶ τοῦ ἥρεσεν, ἀν-

ΑΡΙΣΤ. « Ὁ τὴν παρὰ τῆς συνόδου κλῆσιν παραι- « τούμενος, καὶ τῷ θαρρεῖν τῷ ἰδίῳ πλήθει τῆς « ἀδελφικῆς ἀγάπης καταφρονῶν, καὶ τῶν ἰδίων « ἀρχοντικῇ δυναστείᾳ στερηθήσεται. C

Ὁ τῶν ἀλλοτρίων ἐφιέμενος καὶ τῶν ἀνηκόντων αὐτῷ ἐκπτώσιν ὑποστήσεται. Εἴ τινες οὖν τῶν ἐπισκόπων ἢ καὶ τῶν πρεσβυτέρων, εἰς ἑαυτοὺς ἐφελκύσαντες λαὸν παροικίας τινὸς, καὶ παραπείσαντες αὐτὸν ἀπάτῃ καὶ κολακείᾳ διδάσκαλοι αὐτοῦ καὶ καθηγηταὶ καταστῆναι, τοῦτ' ἔστιν ἐπίσκοποι, καὶ ἀποστῆναι ἐπισκόπου, ᾧτινι ἡ τοιαύτη παροικία ὑπέκειτο πρότερον· καὶ καλούμενοι εἰς τὴν σύνοδον ἐπὶ τὸ ἀπολογήσασθαι περὶ ὧν ἐπεγκαλοῦνται ἕνεκεν ταύτης ὑποθέσεως, οὐ θελήσουσι παρουσιάσαι, ὡς τῆς ἀδελφικῆς ἀγάπης καταφρονοῦντες, καὶ τῷ πλήθει θαῤῥοῦντες, καὶ τῶν ἰδίων ἐκκλησιῶν στερηθήσονται διὰ ἀρχοντικῆς ἐξουσίας.

ΚΑΝΩΝ ΝΗ'.

D « Περὶ τοῦ ἀλλοτρίους κληρικοὺς μηδαμῶς παρ' « ἑτέρων ὑποδέχεσθαι ἐπισκόπων. Ἐπιγόνιος ἐπί- « σκοπος εἶπεν· Ἐν πολλαῖς συνόδοις τοῦτο ὁρισθὲν, « καὶ νῦν ἔτι μὴν ἐκ τῆς ὑμετέρας ἐβεβαιώθη « συνέσεως, μακαριώτατοι ἀδελφοὶ, ὥστε μηδένα « ἐπίσκοπον ἰδιοποιεῖσθαι ἀλλότριον κληρικὸν παρὰ « τὴν κρίσιν τοῦ προτέρου αὐτοῦ ἐπισκόπου. « Ἀναφέρω δὲ Ἰουλιανὸν ἀχαρίστως ἐνεχθέντα « περὶ τὰς διὰ τῆς ἐμῆς βραχύτητος εἰς αὐτὸν « σωρευθείσας τοσαύτας τοῦ Θεοῦ εὐεργεσίας, καὶ « οὕτω προπετῶς καὶ τολμηρῶς διαγενόμενον, « ὥστε τὸν ἀπὸ νηπίας ἡλικίας ὑπ' ἐμοῦ βαπτι- « σθέντα, τὸν καὶ διὰ πολλὴν ἔνδειαν ἐξ αὐτοῦ πα- « ρατεθέντα μοι, καὶ ἐπὶ πολλὰ ἐξ ἐμοῦ τραφέντα « καὶ αὐξηθέντα, τὸν, ὡς εἶπον, ἐν τῇ ἐμῇ ἐκ-

Digitized by Google

« κλησίᾳ τῇ χειρὶ τῆς ἐμῆς μετριότητος βαπτι- A
« σθέντ᾽, καὶ δεικνύμενον ἐν τῇ τῶν Μαπαλιτῶν
« παροικίᾳ ἀναγνώστην γενόμενον, καὶ ἐπὶ δύο
« ἔτη ἐκεῖσε ἀναγινώσκοντα· τοῦτον οὐκ οἶδα ποίᾳ
« καταφρονήσει τῆς ἐμῆς μετριότητος ἁφαρπάσαι
« τὲν αὐτὸν Ἰουλιανὸν, καὶ λέγειν πολίτην τοῦ
« διαφέροντος αὐτῷ Βαζαριτάνου τόπου, καὶ παρὰ
« τὴν ἐμὴν γνώμην τούτῳ κεχρῆσθαι. Καὶ γὰρ
« διάκονον τοῦτον ἐχειροτόνησεν. Τοῦτο εἰ ἔξεστιν,
« γνωσθῇ ὑμῖν ἡ τοιαύτη ἄδεια, μακαριώτατοι
« ἀδελφοί· εἰ δὲ μή γε, τὸ οὕτως ἀναιδὲς κωλυθῇ,
« ἵνα μὴ ὁ λεχθεὶς Ἰουλιανὸς ἐπικοινωνῇ ἀλλο-
« τρίοις. Νουμήδιος ἐπίσκοπος εἶπεν· Ἐὰν μὴ
« ἐρωτηθείσης μηδὲ αἰτηθείσης τῆς σῆς ἁξίας
« φανείη τοῦτο πράξας Ἰουλιανὸς, κρίνομεν πάν- B
« τες ἀδίκως γενόμενον καὶ μὴ ἀξίως. Διὸ εἰ μὴ
« ὁ αὐτὸς Ἰουλιανὸς διορθώσηται τὴν οἰκείαν
« πλάνην, καὶ μετὰ ἀποθεραπεύσεως τῷ ὑμετέρῳ
« λαῷ τὸν αὐτὸν ἀποκαταστήσῃ κληρικὸν, ὃν ἐτόλ-
« μησε χειροτονῆσαι, κατὰ τὸ ὁρισθὲν τῇ συνόδῳ
« μὴ πράττων, καὶ χωρισθεὶς ἀφ᾽ ἡμῶν, τῆς οἰ-
« κείας μονοτονίας ἀπενέγκοι τὴν κρίσιν. Ἐπιγό-
« νιος ἐπίσκοπος εἶπεν· Ὁ κατὰ τὴν κῆραν πατὴρ,
« καὶ αὐτῇ τῇ προκοπῇ ἀρχαιότατος, ἐπαινετὸς
« ἀνὴρ, ὁ ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν Βίκτωρ
« τὴν αἴτησιν ταύτην γενικὴν βούλεται ἐπὶ πᾶσιν
« ἐκπεπλεσθῆναι. »

« publice lector factus est, et duobus jam annis
« illic legit : eum, nescio quonam meæ media-
« critatis contemptu, surripuit ipse Julianus, et
« dicit eum esse civem loci Basaritani ad eum
« pertinentis, eoque præter meam sententiam
« usus est. Eum enim diaconum ordinavit. Hoc
« si licet, a vobis decernatur ejusmodi facultas,
« beatissimi fratres. Sin minus, quod adeo im-
« pudens est prohibeatur, ne dictus Julianus
« aliena participet. Numidius episcopus dixit :
« Si non consulta nec rogata tua dignitate hoc
« fecisse Julianum appareat, judicamus omnes
« id injuste indigneque factum esse. Quare nisi
« ipse Julianus proprium errorem correxerit, et
« cum satisfactione vestro populo eumdem cle-
« ricum, quem ausus est ordinare, restituerit,
« convenienter ei quod synodo constitutum est
« non faciens, et a nobis separatus, suæ pervi-
« caciæ judicium referret. Epigonius episcopus
« dixit : Qui ætate pater est, et ipso profectu
« antiquissimus, laudabilis vir, frater et noster
« in sacris comminister Victor generalem hanc
« petitionem vult in omnibus effici. »

ΒΑΛΣ. Ὁ ἐπίσκοπος Ἐπιγόνιος ἐδέξατο νεανίσκον τινὰ πένητα ἐξ ἀποστολῆς τινος ἐπισκόπου Ἰουλιανοῦ καλουμένου ὄντα ἀπὸ τόπου λεγομένου Βαζαριτανοῦ, C καὶ ὑποκειμένου τῇ ἐνορίᾳ αὐτοῦ τοῦ Ἰουλιανοῦ· καὶ ἐβάπτισεν αὐτὸν, καὶ ἀνέθρεψε, καὶ ἀναγνώστην ἐχειροτόνησεν εἰς τὴν ὑπ᾽ αὐτὸν παροικίαν τῶν Μαπαλιτῶν. Ὅτι δὲ μετὰ δύο ἔτη τῆς κληρώσεως τούτου ἥρπασεν αὐτὸν ὁ Ἰουλιανὸς, καὶ παρὰ γνώμην τοῦ Ἐπιγονίου διάκονον ἐχειροτόνησεν, ἀνήνεγκε τοῦτο αὐτὸ ὁ Ἐπιγόνιος τῇ συνόδῳ· καὶ εἶπεν ὅτι καὶ ἄλλαι σύνοδοι ὥρισαν μὴ δέχεσθαι ἐπίσκοπον ἀλλότριον κληρικὸν παρὰ γνώμην τοῦ κληρώσαντος αὐτὸν ἐπισκόπου. Ἀλλὰ καὶ νῦν παρ᾽ ὑμῶν ἐβεβαιώθη τοῦτο αὐτό. Ἀναφέρω οὖν τὴν γενομένην πρὸς ἐμὲ καταφρόνησιν παρὰ τοῦ Ἰουλιανοῦ τοῦ εὐεργετηθέντος ὑπ᾽ ἐμοῦ, καὶ ζητῶ διορθωθῆναι τὸ παρὰ τούτου τολμηθέν. Εἶπεν οὖν ὁ Νουμήδιος ὅτι, Ἐὰν σοῦ μὴ παραχωρήσαντος ὁ Ἰουλιανὸς ἔπραξε τοῦτο, ἄδικόν ἐστι· καὶ εἰ μὴ διορθώσεται τὴν οἰκείαν πλάνην, καὶ ἀποκαταστήσει τὸν κληρικὸν, χωρισθήσεται ἀφ᾽ ἡμῶν, καὶ ὑποστήσεται τὴν κατάκρισιν ἐκ τῆς ἰδίας μονοτονίας, ἤγουν ἀναισχυντίας. Ὁ δὲ Ἐπιγόνιος, ἔφησεν ὅτι Ὁ κατὰ τὴν ἡλικίαν καὶ τὸ γῆρας πατὴρ καὶ τῇ προκοπῇ τοῦ χρόνου ἀρχαιότατος Βίκτωρ βούλεται γενικὴν γενέσθαι τὴν αἴτησιν ταύτην, ἤγουν μὴ κατὰ μόνου τοῦ Ἰουλιανοῦ τοῦτο ἐκφωνηθῆναι, ἀλλὰ κατὰ πάντων κοινῶς τῶν ἀλλοτρίους κληρικοὺς σφετεριζομένων. Καὶ ὁ μὲν παρὼν κανὼν χωρίζεσθαι φησὶ τὸν Ἰουλιανὸν ἀπὸ τῆς ἀδελφότητος, καὶ μονοτονίας ἀποίσεσθαι κατάκρισιν· σὺ δὲ ἀνάγνωθι τὸ κς᾽ κεφάλαιον τοῦ α᾽ τίτλου τοῦ παρόντος συντάγματος, καὶ τοὺς ἐν αὐτῷ κανόνας· ἐξαιρέτως

BALS. Episcopus Epigonius pauperem quemdam adolescentulum, ab episcopo Juliano missum, suscepit, qui erat ex loco Bazaritano dicto, et regioni ipsius Juliani subjecto : et ipsum baptizavit, et educavit, et lectorem ordinavit in parœcia Mapalitanorum, quæ ei suberat. Quia autem post duos ejus creationis annos eum rapuit Julianus, et præter Epigonii mentem diaconum ordinavit, hoc Epigonius ad synodum retulit : et dixit, quod aliæ quoque synodi decreverunt, ut episcopus alienum clericum non admittat præter mentem episcopi, qui eum clericum effecit, sed etiam hoc ipsum quoque nunc a vobis confirmatum est. Refero ergo contemptum in me factum **584** a Juliano, qui a me beneficio affectus est, et quæro ut audax ejus inceptum corrigatur. Dixit ergo Numidius : Quod si te non permittente fecit hoc Julianus, injustum est : et si proprium errorem non corrigat, et clericum restituat, a nobis separabitur, et ex sua obstinatione seu impudentia condemnationem suscipiet. Epigonius autem dixit, quod, qui ætate pater est et temporis progressu antiquissimus, Victor vult hanc fieri generalem petitionem, scilicet ut hoc non adversus solum Julianum dicatur, sed communiter adversus omnes, qui alienos sibi clericos vindicat. Ac præsens quidem canon dicit Julianum a fraternitate separandum, et obstinationis condemnationem relaturum. Tu autem lege vicesimum sextum caput primi tituli præsentis operis, et canones qui in ipso sunt ; præcipue autem canones synodi in Trullo. Scias autem, quod multum sæpe agitatum est in Constantinopolitanorum Ecclesiæ synodo, an divini canones,

Digitized by Google

qui statuunt non suscipere debere episcopos aliarum regionum clericos, exaudiantur etiam in laicos : et prohibeatur fortasse Athyræ episcopus aliquem ordinare laicum, qui sit ex regione Sylembriæ episcopi, et ejus canoni pœnisque subjectus sit, et pro uno ex ejus ovili habeatur. Dicebant enim nonnulli, quod ex præsenti canone, qui dixisse Epigonium se a Juliano missum suscepisse laicum, ejus civem, et eum in sua diœcesi clericum ordinasse disserit, et ex eo quod hoc prætextu uteretur Julianus, eum a se jure fuisse ordinatum diaconum, ut qui a sua Bazaritanorum regione excesserit, ostenditur ; quod nec alterius regionis laicum potest episcopus ordinare præter episcopi, qui eum obtinet, sententiam. Tanquam enim prohibita esset, ab Epigonio facta ordinatio ejus, qui ab illo educatus fuerat, quod esset ipse alterius regionis, adjecit Epigonius, se Juliani voluntate eum accepisse, de quo agebatur, et propterea nec existimari debere eum esse illius diœcesis : et disceptabant eum recte a Juliano fuisse ordinatum diaconum, ut qui ex ejus diœcesi esset, ejusque civis reputaretur, et nec ad Epigonium reversus esset, nisi Julianus eum prius a sua regione abalienasset, externumque fecisset, et ad Epigonium misisset. Et hæc quidem hi recte, ut et mihi videtur, dicebant. Tu autem memoria tene synodalem declarationem sanctissimi patriarchæ domini Michaelis, philosophorum summi, quæ hæc ad verbum continet : Mense novembri, die primo, indictione quarta, præsidente sanctissimo domino Michaele in Alexiacis catechumaniis, cum magna ejus sanctitate una assidentibus sanctissimis antistitibus, Stephano Cæsareæ, Nicolao Ephesi, Michaele Heracleæ, Joanne Cyzici, Leone Amaseæ, Niceta Melitenes, Basilio Neocæsareæ, Luca Mocesorum, Joanne Cretæ, Leone Adrianopolis, Constantino Euchaitorum, Georgio Alaniæ, Theodoro Methymnes, Joanne Bizyes et Romano Apro, præsentibus etiam Dei amantissimis dominicis magistratibus : Patrum terminos non transgredi, quos ii pulchre et cum ea qua per est disquisitione ab initio posuerunt; sed nec fossas nec vallum transilire, qui externa a suis juribus dividit, decretum est ecclesiasticum et lex divina multis ante sæculis statuta. Oportebat ergo hoc non ignorare eos, qui Ecclesiis, quæ sitæ sunt, ubique præsunt, et synodalia decreta legumque constitutiones se servaturos profitentur, et debent in eis permanere, et propria quidem jura retinere, ab alienis autem abstinere. Sed nescio quanam ratione quidam sanctissimi antistites, **585** qui etiam proxime hanc urbem imperialem sedes episcopales sortiti sunt, diaconorum et sacerdotum suis diœcesibus non subjectorum ordinationes citra ullam observationem facere deprehensi sunt : qui etiam de hoc a sanctissimo patriarcha domino Luca decessore nostro admoniti, et in mandatis habentes, ut hæc contra canonas facere desinerent, extra, inquam, suæ regionis

δὲ τοὺς κανόνας τῆς ἐν Τρούλλῳ συνόδου. Γίνωσκε δὲ ὅτι λόγος ἐγένετο πολλάκις πολὺς παρὰ τῇ συνόδῳ τῆς τῶν Κωνσταντινουπολιτῶν Ἐκκλησίας, εἰ τὰ τῶν θείων κανόνων, τῶν διοριζομένων μὴ δέχεσθαί τινας ἐπισκόπους ἀλλοτρίων ἐνοριῶν κληρικοὺς, ἐξακούονται καὶ εἰς λαϊκούς· καὶ κωλύεται τυχὸν ὁ ἐπίσκοπος Ἀθύρα χειροτονῆσαι λαϊκόν τινα ἀπὸ τῆς ἐνορίας ὄντα τοῦ Σηλυμβρίας, καὶ ὑποκείμενον τῷ κανόνι καὶ τοῖς ἐπιτιμίοις αὐτοῦ, καὶ λογιζόμενον ἕνα τῶν τοῦ ποιμνίου αὐτοῦ. Εἶπον γάρ τινες ὡς ἀπὸ τοῦ παρόντος κανόνος, διαλαμβάνοντος εἰπεῖν τὸν Ἐπιγόνιον ἐξ ἀποστολῆς τοῦ Ἰουλιανοῦ παραλαβεῖν τὸν λαϊκὸν πολίτην ὄντα τούτου, καὶ χειροτονῆσαι αὐτὸν εἰς οἰκείαν ἐνορίαν κληρικὸν, καὶ ἀπὸ τοῦ προφασίζεσθαι τὸν Ἰουλιανὸν εὐλόγως ὑπ' αὐτοῦ τοῦτον χειροτονηθῆναι διάκονον, ὡς ὡρμημένον ἀπὸ τῆς ἐνορίας αὐτοῦ τῆς τῶν Βαζαριτανῶν παρίστατο· ὅτι οὐδὲ λαϊκὸν ἑτέρας ἐνορίας δύναται ἐπίσκοπος χειροτονῆσαι παρὰ γνώμην τοῦ ἔχοντος τοῦτον ἐπισκόπου. Ὡς γὰρ οὔσης κεκωλυμένης τῆς παρὰ τοῦ Ἐπιγονίου γενομένης χειροτονίας εἰς τὸν ὑπ' ἐκείνου ἀνατραφέντα, διὰ τὸ εἶναι αὐτὸν ἀλλοτρίας ἐνορίας, προέθετο ὁ Ἐπιγόνιος κατὰ γνώμην τοῦ Ἰουλιανοῦ παραλαβεῖν τὸν περὶ οὗ ὁ λόγος, καὶ διὰ τοῦτο μηδὲ λογίζεσθαι τῆς ἐνορίας ἐκείνου εἶναι τοῦτον. Καὶ ἐδικαιολογοῦντο καλῶς παρὰ τοῦ Ἰουλιανοῦ χειροτονηθῆναι τὸν τοιοῦτον διάκονον, ὡς ἀπὸ τῆς ἐνορίας ὄντα αὐτοῦ, καὶ πολίτην τούτου λογιζόμενον, καὶ οὐδὲ πρὸς τὸν Ἐπιγόνιον ἀντεστράφη, εἰ μὴ προέφθασεν ἀπὸ τῆς ἐνορίας αὐτοῦ τοῦτον ἀποξενῶσαι, καὶ ἀποστεῖλαι πρὸς τὸν Ἐπιγόνιον. Καὶ αὐτοὶ μὲν εἶπον ταῦτα καλῶς, ὡς καὶ ἐμοὶ δοκεῖ. Σὺ δὲ ἔχε ἐπὶ μνήμης τὴν συνοδικὴν σημείωσιν τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Μιχαὴλ τοῦ γεγονότος ὑπάτου τῶν φιλοσόφων, τάδε πρὸς ἔπος διαλαμβάνουσαν· Μηνὶ Νοεμβρίῳ ἡμέρᾳ πρώτῃ ἰνδικτιῶνος δ', προκαθημένου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Μιχαὴλ ἐν τοῖς Ἀλεξιακοῖς κατηχουμενείοις, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων, Στεφάνου Καισαρείας, Νικολάου Ἐφέσου, Μιχαὴλ Ἡρακλείας, Ἰωάννου Κυζίκου, Λέοντος Ἀμασείας, Νικήτα Μελιτηνῆς, Βασιλείου Νεοκαισαρείας, Λουκᾶ Μουκησῶν, Ἰωάννου Κρήτης, Λέοντος Ἀδριανουπόλεως, Κωνσταντίνου Εὐχαΐτων, Γεωργίου Ἀλανείας, Θεοδώρου Μεθύμνης, Ἰωάννου Βιζύης, καὶ Ῥωμανοῦ Ἄπρω, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων· ὅρια Πατέρων μὴ ὑπερβαίνειν, ἃ καλῶς οὗτοι καὶ μετὰ δεούσης δοκιμασίας ἀρχῆθεν ἐξέθεντο· ἀλλὰ μηδὲ ὑπὲρ τὰ ἐσκαμμένα καθάλλεσθαι, καὶ θριγγίον ὑπερπηδᾶν, διαιρετικὸν ὀθνείων τε καὶ οἰκείων δικαίων, ἐκκλησιαστικὸν δόγμα καὶ νόμος θεῖος ἀνέκαθεν κείμενος. Ἔδει μὲν οὖν τοῦτο μὴ ἀγνοεῖν τοὺς τῶν ἁπανταχοῦ διακειμένων προϊσταμένους ἐκκλησιῶν, καὶ τὸ ἐπάγγελμα ἔχοντας συντηρῆσιν θεσπισμάτων κανονικῶν καὶ νομικῶν διαταγμάτων· καὶ μέντοι καὶ ἐμμένειν τούτοις ὀφείλοντας, καὶ τῶν οἰκείων μὲν δικαίων ἀντέχεσθαι, τῶν δὲ ἀλλοτρίων ἀπέχεσθαι. Ἀλλ' οὐκ οἶδ' ὅτι παθόντες τινὲς τῶν ἱερωτάτων ἀρχιερέων, οἳ καὶ

Digitized by Google

« obtineat, ad quem fuerat ordinatus. Quoniam ergo omnia esse tractata existimo, si omnia « rationi vestræ congruant, ea vestra sententia « confirmate. Omnes episcopi dixerunt ; Nobis « omnibus hæc placuerunt, et nostra subscri- « ptione confirmamus. Et subscripserunt, **592** « Aurelius Ecclesiæ Carthaginiensis episcopus « præsenti decreto consensi,, et lecto subscripsi : « similiter et reliqui episcopi subscripserunt. »

« ὥστε τὸν κατὰ τὴν συγχώρησιν τοῦ πρότερου ἐπι- « σκόπου ἐν τῇ διοικήσει προχειρισθέντα ἐπίσκο- « πον μόνον αὐτὸν κατέχειν τὸν λαὸν, εἰς ὃν ἐχει- « ροτονήθη. Ἐπειδὴ οὖν πάντα νομίζω εἶναι τε- « τρακταῖσμένα, ἐὰν πάντα στοιχῇ τῷ λογισμῷ « ὑμῶν, ταῦτα βεβαιώσατε τῇ ὑμετέρᾳ ἐκφωνήσει. Πάντες οἱ ἐπίσκοποι εἶπον· Πᾶσιν ἡμῖν « ταῦτα ἤρεσεν, καὶ τῇ ἡμετέρᾳ ὑπογραφῇ ταῦτα « βεβαιοῦμεν. Καὶ ὑπέγραψαν· Αὐρήλιος ἐπίσκο- « πος τῆς Ἐκκλησίας Καρχηδόνος τῷ παρόντι διατάξει συνήνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα· ὁμοίως « καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν. »

A

BALS. In aliquas, ut est verisimile, parœcias, quæ non habebant antistites, electi sunt episcopi voluntate episcoporum qui eas habebant : utpote quæ essent fortasse populosæ, et proprio episcopo opus haberent. Sed cum ii, qui ad eas ordinati fuerant, his, quæ illis obtigerant, non contenti essent, sed etiam aliena sibi jura vindicarent, dixerunt Honoratus et Urbanus episcopi, quod quoniam cautum est episcopos non aliter in parœcis eligi, nisi voluntate eorum, qui illas habent ab initio, hoc quoque ita factum est in regione ipsorum. Quia autem, qui sunt ordinati, alias quoque parœcias sua sponte sibi vindicant, debent ea quidem, quæ improbe vindicarunt, corrigi : quæ autem non canonice sunt vindicaturi, prohiberi. Ad hæc ergo Epigonius dixit quod a divinis canonibus unicuique episcopo parœciarum regiones limitesque attributi sunt et ex ipsarum parœciarum possessione nihil potest decerpi seu auferri ab aliquo. Sed nec ipsi paroeciæ habitatores possunt sibi sua sponte episcopum constituere, nisi voluntate episcopi qui habet potestatem in parœcia. Si autem ille quoque hoc permiserit, non debet is, qui ordinatus est, propter jus hujus parœciæ se ad aliarum quoque parœciarum administrationem extendere. Sola enim quæ honorata est parœcia, erit sub eo qui est ordinatus : reliquæ autem erunt sub capite a quo ablatio facta est. Dixit ergo post hæc Aurelius, eorum fraternitatis esse admittendam sententiam. Et ipse eadem quoque statuit : et propterea petivit, ut quæ constituta erant, subscriberentur, quod etiam factum est. Et hæc quidem ita : Tu autem scias, quod episcoporum quidem regiones immotas manere, ut canonicum servatur : fieri autem episcopatus de novo in parœciis, quæ sunt aliis episcopis subjectæ, sine regio mandato non permittitur, etiamsi millies consenserit qui eam habet episcopus. Synodice enim constitutum est, ut nec ipsa magna synodus sine jussu regio possit novum constituere episcopatum. Et de eo in alios canones scriptum est.

B

C

D

ZONAR. Definitum est, inquiunt, ne in parœciis, regionibus videlicet parvis episcopo subjectis, episcopus quispiam, nisi eo, qui præst, episcopo consentiente, statuatur. Quod si aliquem, cum ea nimirum approbatione creari contingat, ejus parœciæ finibus populoque contentus degat, neque alias sibi arroget seu vindicet, ac velut ad ipsum spe-

ΒΑΛΣ. Εἰς τινας παροικίας, ὡς ἔοικε, μὴ ἐχούσας ἀρχιερεῖς, ἐψηφίσθησαν ἐπίσκοποι κατὰ γνώμην τῶν ἐχόντων αὐτὰς ἐπισκόπων, ὡς γενομένας τυχὸν πολυανθρώπους, καὶ δεομένας ἰδικοῦ ἐπισκόπου. Μὴ ἀρκουμένων δὲ τῶν εἰς ταύτας χειροτονηθέντων ἐπὶ ταῖς λαχούσαις αὐτοὺς, ἀλλὰ σφετεριζομένων καὶ ἀλλότρια δίκαια, εἶπον Ὀνωράτος καὶ Οὐρβανὸς οἱ ἐπίσκοποι ὡς, ἐπεὶ κεκανόνισται μὴ ἄλλως ψηφίζεσθαι ἐπισκόπους εἰς παροικίας, εἰ μὴ κατὰ θέλησιν τῶν ἐχόντων ἀρχῆθεν αὐτὰς ἐπισκόπων, γέγονε τοῦτο οὕτω καὶ εἰς τὴν χώραν αὐτῶν. Ὅτι δὲ οἱ χειροτονηθέντες καὶ ἄλλας παροικίας διεκδικοῦσιν αὐθαιρέτως, ὀφείλουσι τὰ μὲν καινῶς ἐκδικηθέντα διορθωθῆναι· τὰ δὲ μέλλοντα ἀκανονίστως ἐκδικεῖσθαι κωλυθῆναι. Ἔφησε γοῦν πρὸς ταῦτα ὁ Ἐπιγόνιος ὅτι Ἀπὸ θείων κανόνων ἑκάστῳ ἐπισκόπῳ ἐνορίαι παροικιῶν ἀπενεμήθησαν, καὶ ἀπὸ τῆς συγκτησίας, ἤγουν ἀπὸ τῆς παροικίας αὐτῶν, οὐδὲν δύναται ἀποδρεφθῆναι ἤτοι ἐκκοπῆναι παρά τινος. Ἀλλ' οὐδὲ αὐτοὶ οἱ οἰκήτορες τῆς παροικίας δύνανται αὐτοθελῶς ἐπίσκοπον ἑαυτοῖς καθιστᾶν, εἰ μὴ κατὰ θέλησιν τοῦ ἐξουσιάζοντος τῆς παροικίας ἐπισκόπου. Ἐὰν δὲ καὶ οὗτος παραχωρήσῃ τοῦτο οὐκ ὀφείλει ὁ χειροτονηθεὶς δικαίῳ ταύτης τῆς παροικίας παραμβάλλειν ἑαυτὸν καὶ εἰς ἄλλων παροικιῶν διοικήσεις. Ἡ γὰρ τιμηθεῖσα μόνη παροικία ἐσεῖται ὑπὸ τὸν χειροτονηθέντα· αἱ λοιπαὶ δὲ ἔσονται ὑπὸ τὴν κεφαλὴν ἐξ ἧς ἡ ἀφαίρεσις γέγονεν. Εἶπεν οὖν ἐπὶ τούτοις ὁ Αὐρήλιος ἀποδεκτέαν εἶναι καὶ αὐτῷ τὴν γνώμην τῆς ἀδελφότητος. Καὶ ὥρισε καὶ αὐτὸς τὰ αὐτὰ, καὶ διὰ τοῦτο ἐζήτησεν ὑπογραφῆναι τὰ τυπωθέντα, ὃ καὶ γέγονε. Καὶ ταῦτα μὲν οὕτω· σὺ δὲ γίνωσκε ὅτι τὸ μὲν φυλάττεσθαι τὰς ἐνορίας τῶν ἐπισκόπων ἀπαρασαλεύτους ὡς κανονικὸν συντηρεῖται· τὸ δὲ γίνεσθαι ἐκ νέου ἐπισκοπὰς εἰς παροικίας ὑποκειμένας ἑτέροις ἐπισκόποις χωρὶς βασιλικῆς προστάξεως οὐ παραχωρεῖται, κἂν μυριάκις συναινέσῃ ὁ ἔχων ταύτην ἐπίσκοπος. Διεγνώσθη δὲ συνοδικῶς μηδὲ αὐτὴν τὴν μεγάλην σύνοδον χωρὶς προστάξεως βασιλικῆς δύνασθαι καινίζειν ἐπισκοπήν. Καὶ προεγράφη τι περὶ τούτου εἰς ἑτέρους κανόνας.

ΖΩΝΑΡ. Ὥρισθη, φασὶν, ἐν ταῖς παροικίαις, ἤγουν ταῖς μικραῖς ἐνορίαις ταῖς ὑποκειμέναις ἐπισκόποις, μὴ γίνεσθαι ἐπισκόπους, εἰ μὴ γνώμῃ τῶν ἐχόντων αὐτὰς ἐπισκόπων. Εἰ δέ ποτε γένωνται, κατ' εὐδοκίαν δηλονότι τῶν ἐπισκόπων, ἐκείνας μόνας ἀρκεῖσθαι ταῖς παροικίαις καὶ τοῖς ἐν αὐταῖς λαοῖς, καὶ μὴ ἑτέρας ἐκδικεῖν, ἤγουν οἰκεῖν οὔσθαι, ἢ

Digitized by Google

ζητεῖν, ὡς ἀνηκούσας αὐτοῖς. Ἡ γὰρ Ἀρζύα μετὰ παραχώρησιν τοῦ ἐπισκόπου ἀξιωθεῖσα τιμῆς ἐπισκοπικῆς, ἐκείνη μόνη ταύτην ὀφείλει ἔχειν, ἑτέρα δὲ ἀκεραιωθείη, ἤγουν μὴ ἀποσπασθείη, μὴ ἀποτμηθείη εἰς τὸ ἴδιον κτήσασθαι ἐπίσκοπον, εἰ μὴ συναινέσει τοῦ ἐξουσιάζοντος αὐτῆς ἐπισκόπου. Πρὸς ταῦτα ὁ Αὐρήλιος, παρασκευάζων συναινέσαι πάντας τοὺς τῆς συνόδου, ἐπήγαγεν ὅτι Οὐκ ἀμφιβάλλω πᾶσιν ἀρέσκειν ταῦτα. Καὶ ἐπειδὴ πάντα νομίζω εἶναι τετρακταϊσμένα, ἀντὶ τοῦ ἐσκοπημένα, δεδοκιμασμένα, ἐξητασμένα, πάντως βεβαιώσατε ταῦτα τῇ ὑμετέρᾳ ἐκφωνήσει. Πάντες εἶπον· Ἤρεσεν ἡμῖν πᾶσι ταῦτα καὶ τῇ ἡμετέρᾳ ὑπογραφῇ αὐτὰ βεβαιοῦμεν.

ΑΡΙΣΤ. « Διοίκησις ἐὰν κατὰ γνώμην τοῦ τὴν « ἐξουσίαν ἔχοντος ἐπιτραπῇ ἴδιον σχεῖν ἐπίσκοπον « εἰς τὰς λοιπὰς διοικήσεις ὁ τοιοῦτος μὴ ἐπιβά- « λέσθω. »

Ὥρισται παρὰ γνώμην τοῦ πρωτεύοντος ἐν ἑκάστῃ ἐπαρχίᾳ, μή τινα τῶν ἐπισκόπων γίνεσθαι· ἀλλὰ μηδὲ ἐν κώμῃ τινὶ, ἢ καὶ βραχείᾳ πόλει, ἐν ᾗ καὶ εἷς πρεσβύτερος ἐπαρκεῖ ἐπίσκοπον καθίστασθαι, εἰ μὴ πληθυνθεῖσαι ἴσως αὗται ἄξιαι κριθῶσιν ὀνομασθῆναι ἐπισκοπαί. Εἰ γοῦν εἰς παροικίαν τινὰ, ἐν ᾗ τὸ πρὶν οὐκ ἦν ἐπίσκοπος, κατὰ γνώμην τοῦ τὴν ἐξουσίαν ἐν αὐτῇ ἔχοντος ἐπισκόπου ἐπίσκοπον γενέσθαι ἐπιτραπῇ, τὸν λαὸν μόνον, εἰς ὃν ἐχειροτονήθη, κατέχειν ὀφείλει, μὴ μέντοι γε καὶ ἑτέραν διακεκρίσθαι παροικίαν.

« Ἐν ταύτῃ τῇ συνόδῳ ὡρίσθη, ἵνα ἐπίσκοπος χωρὶς « ἀπολυτικῆς μὴ πλεύσῃ. Ἐπὶ Καισαρίου καὶ « Ἀττικοῦ, τῶν λαμπροτάτων ὑπάτων, τῇ πρὸ « ἓξ καλανδῶν Ἰουλίων ἐν Καρχηδόνι ἤρεσε μη- « δένα τῶν ἐπισκόπων πλέειν χωρὶς ἀπολυτικῆς « τοῦ πρωτεύοντος. Τὰ πεπραγμένα ὁ ζητῶν ἐν « τοῖς αὐθεντικοῖς εὑρήσει. »

ΖΩΝΑΡ. Ἀπολυτικὴν λέγει τὴν εἰρηνικὴν ἐπιστολήν· πρωτεύοντα δὲ τὸν πατριάρχην ἢ τὸν μητροπολίτην τῆς διοικήσεως· πλέειν δὲ τὸ διαποντίως ἀποδημεῖν. »

« Ἐκ τῆς συνόδου ταύτης τοποτηρηταὶ πρὸς βασι- « λέας ὑπογεγραμμένοι ἐπίσκοποι ἀποστέλλονται. « Μετὰ τὴν ὑπατείαν τῶν ἐνδοξοτάτων βασιλέων « Ὀνωρίου Αὐγούστου τῷ τετάρτῳ, καὶ Εὐτυ- « χιανοῦ τοῦ λαμπροτάτου τῇ πρὸ πέντε καλαν- « δῶν Μαΐου ἐν Καρχηδόνι εἰς τὸ σήκρητον τῆς « Ῥεστιτούτης ἐκκλησίας. »

Πρᾶξις τρίτη.

« Ἐν ταύτῃ τῇ συνόδῳ τοποτηρησίαν ἀνεδέξαντο « Ἐπιγόνιος καὶ Βικεντιανὸς οἱ ἐπίσκοποι· ἵνα « νόμου ἀξιωθῶσιν παρὰ τῶν ἐνδοξοτάτων βασι- « λέων περὶ τῶν καταφευγόντων εἰς ἐκκλησίαν, « καὶ οἱαισδήποτε ἐγκεκυλισμένων εὐθύναις, « ὥστε μηδένα τολμᾷν αὐτοὺς ἀποσπᾷν. Ἐν ταύτῃ « τῇ συνόδῳ πρεσβεία ἀποστέλλεται πρὸς τοὺς « Ῥώμης καὶ Μεδιολάνου ἐπισκόπους περὶ τῶν « νηπίων τῶν παρὰ τοῖς αἱρετικοῖς βαπτισθέν- « των· καὶ πρὸς τὸν βασιλέα δὲ περὶ τοῦ τὰ « ἐγκαταλείμματα τῶν εἰδώλων ἀφαιρεθῆναι, καὶ « περὶ ἄλλων δὲ πλείστων πραγμάτων. »

A ctantes invadat. Arzua enim, quæ ex episcopi facultate digna episcopatus honore habita est, sola eum obtinere debet, non alia quoque decerpi, seu distrahi ac divelli, ut proprium habeat episcopum, nisi eo qui illic præsidet episcopo comprobante. Ad hæc Aurelius, ut eorum animos qui in synodo aderant, ad assentiendum idonee compararet, Non dubito, ait, quin hæc omnibus probentur, et quia pertractata satis, hoc est, meditata, examinata, probata, omnia esse arbitror, ea vos quoque vestra sententia confirmate. Tum reliqui, Et nobis hæc placent, et nostra omnium subscriptione firmabimus.

ARIST. « Dicœcesis si ejus qui potestatem habet sen- « tentia proprium habere episcopum permittatur, B « reliquas ille dicœceses ne invadat. »

Decretum est, præter primatis sententiam in unaquaque provincia, neminem episcoporum fieri. Sed **593** nec in vico aliquo aut parva civitate, in qua et unus presbyter sufficiat, constitui episcopum; nisi forte illæ populo abundantes dignæ judicentur, quæ nominentur episcopatus. Si itaque in parœcia aliqua, in qua antea non fuit episcopus, per episcopi in eo potestatem habentis sententiam episcopus fieri permittatur, populum solum, in quem ordinatus fuit, retinere debet, non autem et aliam vindicare parœciam.

« In hac synodo constitutuma est, ut episcopus sine « dimissoriis litteris non naviget. Sub Cæsa- « rio et Attico, illustrissimis consulibus, sexto C « calendas Julias, Carthagini placuit, ut nullus « episcopus sine primatis dimissoriis epistolis na- « viget. Qui acta quærit, in authenticis inve- « niet. »

ZONAR. Dimissoriæ nomine pacificam epistolam, primatis vero appellatione patriarcham aut metropolitanum intelligit. Navigare porro est maritimo itinere in alias oras peregrinari.

« Ex hac synodo legati ad imperatores, subscripti « episcopi mittuntur. Post consulatum gloriosis- « simorum imperatorum, Honorii Augusti quarti « et Eutychiani V. C. quinto calendas Malas Car- « thagine in secreto Restitutæ ecclesiæ. » D

Actio tertia.

« In hac synodo legationem susceperunt Epigonius « et Vincentianus episcopi ut legem ferre di- « gnentur gloriosissimi imperatores de iis, qui « ad ecclesiam confugerunt, et quibuscunque cri- « minibus involuti tenentur, ut nemo possit eos « avellere. In hac synodo legatio mittitur ad Ro- « manum et Mediolanensem episcopos de in fan- « tibus qui ab hæreticis baptizati sunt : quin « etiam ad imperatorem, ut idolorum reliquiæ « auferantur et de plurimis aliis rebus. »

Digitized by Google

« Post consulatum Flavii Stilichonis illustrissimi, A « decimo sexto calendas Julias Carthagine in secreto Restitutæ ecclesiæ, præsidens simul cum « suis coepiscopis, assistentibus diaconis, Aurelius episcopus dixit : Ecclesiarum Dei, quæ in « tota Afrorum regione sitæ sunt, necessitates una « mecum perfecte scit vestra dilectio, sanctissimi « fratres : et quia Dominus præstitit, ut saltem ex « parte congregata sit præsentia sancti vestri conventus, mihi opportunum videtur easdem, ut dictum est, necessitates in medium afferre, quas « propria sollicitudine investigare potui ; quas quidem quando vestra confirmabit sinceritas, consequens erit, ut unum sacerdotum ex nostro « numero declaremus, qui Dei auxilio debet propter vestras preces easdem necessitates susci- B « pere, et fortiter peragendo deferre in transmarinas Italiæ partes ; qui hanc necessitatem, « laborem et inopiam possit sanctissimis et sacrorum comministris fratribus nostris ostendere ; « partim quidem venerando sancto apostolicæ « cathedræ episcopo Anastasio ; partim autem et « sanctissimo fratri Venerio sacerdoti ecclesiæ « Mediolanensis. Ab iis enim thronis prohibitum « fuerat, quod communi periculo magnopere « providendum, quia tanta est clericorum inopia, « et multæ ecclesiæ adeo sunt desertæ, ut nullus « possit diaconus vel illitteratus invenirl. De reliquis autem superioribus ordinibus et gradibus « tacendum esse existimo. Nam cum, ut dixi, C « diaconi ministerium non facile inveniatur, de « superioribus honoribus multo est apertius. Et « quotidianas diversorum et fere emorientium « populorum lamentationes deinceps non sufferi- « mus : quibus nisi auxilium ferre velimus, « 594 gravissimum et inexcusabile propter perditas animas delictum nos apud Deum excipit. »

« Μετὰ τὴν ὑπατείαν Φλαβίου Στελίχωνος τοῦ « λαμπροτάτου, τῇ πρὸ δεκαὲξ καλανδῶν Ἰουλίων « ἐν Καρχηδόνι εἰς τὸ σήκρητον τῆς Ῥεστιτούτης « ἐκκλησίας προκαθίσας ἅμα τοῖς συνεπισκόποις « αὐτοῦ, παρεστώτων τῶν διακόνων, Αὐρήλιος « ἐπίσκοπος εἶπεν· Τῶν ἐκκλησιῶν τοῦ Θεοῦ, « τῶν ἀνὰ πᾶσαν τὴν τῶν Ἄφρων χώραν καθιδρυ- « μένων, τὰς ἀνάγκας ἀκριβῶς ἅμα ἐμοὶ ἐπίστα- « ται ἡ ὑμετέρα ἀγάπη, ἁγιώτατοι ἀδελφοί · καὶ « ἐπειδὴ τοῦ Κυρίου παρέχοντος κἂν ἐν μέρει « συνήχθη ἡ παρουσία τῆς ὁσίας ὑμῶν συνελεύ- « σεως, δοκεῖ μοι εἰς μέσον παρακομίσαι τὰς αὐ- « τὰς, ὡς εἴρηται, ἀνάγκας, ἅσπερ οἰκείᾳ φρον- « τίδι ἠδυνήθην ἀνιχνεῦσαι· ἅστινας ἡνίκα ἐπικυ- « ρώσῃ ἡ ὑμετέρα εἰλικρινότης, ἀκόλουθον ἔσται « ἀποδείξασθαι ἕνα ἱερέα ἐκ τοῦ ἡμετέρου ἀριθ- « μοῦ, τὸν ὀφείλοντα τῇ τοῦ Κυρίου βοηθείᾳ διὰ « τῶν εὐχῶν ὑμῶν ταύτας αὐτὰς ἀνάγκας ἀναδέ- « ξασθαι, καὶ ἀνδρείως ἐξανυστέας ἀποκομίσαι « πρὸς τὰ πραγματικὰ τῆς Ἰταλίας μέρη ὅστις « δυνηθῇ αὐτήν τε τὴν ἀνάγκην καὶ τὸν πόνον « καὶ τὴν ἔνδειαν ὑμῶν παραστῆσαι τοῖς ἁγιωτά- « τοις ἀδελφοῖς καὶ συλλειτουργοῖς ἡμῶν · τοῦτο « μὲν Ἀναστασίῳ τῷ προσκυνητῷ ἁγίῳ τῆς « ἀποστολικῆς καθέδρας ἐπισκόπῳ · τοῦτο δὲ « ἔτι μὴν καὶ τῷ ἁγιωτάτῳ ἀδελφῷ Βενερίῳ τῷ « ἱερεῖ τῆς Μεδιολάνων ἐκκλησίας. Ἐκ τούτων « γὰρ τῶν θρόνων ἐκωλύθη, ὅπερ ἐπιγνόλειν ἐν « κοινῷ κινδύνῳ μεγάλως ὀφείλειν προνοηθῆναι· « ὅτι τοσαύτη ἐστὶ κληρικῶν ἔνδεια, καὶ πολλαὶ « ἐκκλησίαι οὕτως ὑπάρχουσιν ἔρημοι, ὡς μηδένα « διάκονον κἂν ἀγράμματον ἔχειν εὑρίσκεσθαι. « Περὶ δὲ τῶν λοιπῶν ἀνωτέρων βαθμῶν καὶ τά- « ξεων σιωπητέον ὑπολαμβάνω. Ἐπειδή, ὡς « εἶπον, ἐὰν ἡ τοῦ διακόνου ὑπουργία οὐκ εὐχε- « ρῶς εὑρίσκηται, πολλῷ πλέον περὶ τῶν ἀνω- « τέρων τιμῶν κατάδηλον ὑπάρχει. Καὶ τοὺς « καθημερινοὺς θρήνους τῶν διαφόρων καὶ σχε- « δὸν ἀποθνησκόντων λαῶν τοῦ λοιποῦ οὐχ ὑπο- « φέρομεν · οἷς εἰ μηδέποτε θελήσωμεν βοηθῆσαι, « βαρυτάτη καὶ ἀναπολόγητος αἰτία τῶν ἀπολ- « λυμένων ψυχῶν ἐκδέχεται ἡμᾶς παρὰ τῷ « Θεῷ. »

BALS. Præsenti scripto vult Aurelius certiorem fieri papam et Mediolanensem episcopum, quod Afrorum regiones sunt in magnas angustias adductæ, non solum sacerdotum et episcoporum, sed etiam ipsorum diaconorum ; et ut curent aliquam fieri dispensationem seu provisionem in Christianorum auxillum.

ΒΑΛΣ. Διὰ τῆς παρούσης γραφῆς ἀξιοῖ ὁ Αὐρή- D λιος δοθῆναι εἴδησιν τῷ πάπᾳ καὶ τῷ Μεδιολάνων, ὅτι στενοχωρίαν μεγάλην ἔχουσιν αἱ χῶραι τῶν Ἄφρων μὴ μόνον ἱερέων καὶ ἐπισκόπων, ἀλλὰ καὶ αὐτῶν τῶν διακόνων, καὶ φροντίσαι γενέσθαι οἰκονομίαν εἰς βοήθειαν τῶν Χριστιανῶν.

ZONAR. Quæ superiore oratiuncula continentur hæc sunt : Nostis, fratres, [inquit Aurelius] quibus malorum asperitatibus omnes Africanæ ecclesiæ conflictentur. Et quoniam si minus universi, plures certe ad synodum convenimus], quas ego quidem difficultates sollicitus investigavi, hoc est, multa cura ac diligentia adhibita conquisivi, eas hoc tempore in medium proferre constitui. Reliquum erit deinde, ut aliquem ex nostro numero delegatis, a

ΖΩΝΑΡ. Τοῦτο ἡ παροῦσα λέγει γραφή· ὅτι Ἐπί- στασθε, ἀδελφοί, τὰς ἀνάγκας, ἃς ἔχουσι πᾶσαι αἱ κατὰ τὴν Ἀφρικὴν ἐκκλησίαι. Καὶ ἐπεὶ συνήχθη εἰ καὶ μὴ πᾶσα ἡ σύνοδος, ἀλλά γε κἂν ἐν μέρει, δοκεῖ μοι προθεῖναι εἰς μέσον τὰς τοιαύτας ἀνάγκας, ἃς ἐφρόντισα καὶ ἀνίχνευσα, ἤγουν ἐπιμελῶς ἐζή- τησα. Ἀκόλουθον δὲ ἔσται, ἐπιλέξασθαι ἕνα ἐξ ἡμῶν, ὅστις ταύτας ἀποκομίσει πρὸς τὰ πέραν μέρη τῆς Ἰταλίας, ἤγουν ἀπαγγελεῖ τῷ πάπᾳ καὶ

Digitized by Google

τῷ Μεδιολάνων τὴν ἀνάγκην καὶ τὸν πόνον καὶ τὴν ἔνδειαν ἡμῶν, ὅτι τοσαύτη ἐστὶ κληρικῶν ἔνδεια, ὥστε πολλαὶ ἐκκλησίαι οὐδ' ἕνα διάκονον, κἂν ἀγράμματον, ἔχουσιν. Ἐὰν δὲ διάκονοι, φησὶν, οὐκ εὐχερῶς εὑρίσκωνται, σκοπητέον, εἰ οἱ ἀνώτεροι βαθμοὶ, ἤγουν πρεσβύτεροι καὶ ἐπίσκοποι, εὑρεθήσονται· ὅτι τοὺς θρήνους τοὺς καθημερινοὺς τῶν λαῶν, τῶν σχεδὸν ἐκ τῆς λύπης θνησκόντων, οὐ φέρομεν. Ἡ δὲ λύπη ἐκείνοις ἦν ὅτι ἐπισκόπους καὶ πρεσβυτέρους οὐκ εἶχον, οἷς, φησὶν, εἰ μὴ βοηθήσομεν, βαρυτάτη κόλασις ἐκδέχεται ἡμᾶς παρὰ τῷ Θεῷ ὑπὲρ τῶν ἀπολλυμένων ψυχῶν

A quo hæc in Italiam deferantur, seu p pæ et Mediolanensium episcopo nostræ difficultates, labor inopiaque significentur. Nempe tantam apud nos esse clericorum paucitatem, ut multæ ecclesiæ ne diaconum quidem, vel illitteratum, habeant. Quod si diaconis, inquit, inveniendis usque adeo laboratur, quid de superioribus ordinibus, sacerdotibus nimirum et episcopis futurum sit, cogitandum; neque vero quotidianas populorum querimonias, dolore pene tabescentium, quod episcoporum et sacerdotum ministeriis destituti sint, diutius a nobis perferri posse. Quos quidem, inquit, nisi adjuvare nitamur, acerbissima supplicia, ob animarum pereuntium jacturam, nos a Deo manere putandum est.

ΚΑΝΩΝ ΞΑ'.

« Ὥστε τοὺς μικροὺς παρὰ τοῖς Δονατισταῖς βα- B
« πτιζομένους, ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ κληρι-
« κοὺς χειροτονεῖσθαι. Διὸ, ἐπειδὴ ἐν τῇ ἀνωτέρᾳ
« συνόδῳ τὸ ὁρισθὲν μέμνηται ἅμα ἐμοὶ ἡ ὑμετέρα
« ὁμοψυχία, ὥστε τοὺς παρὰ τοῖς δονατισταῖς
« μικροὺς βαπτιζομένους μηδέπω δυναμένους
« γινώσκειν τῆς πλάνης αὐτῶν τὸν ὄλεθρον, μετὰ
« τὸ καίραν λογισμοῦ δεκτικὴν παραγενέσθαι,
« ἐπιγνωσθείσης τῆς ἀληθείας, τὴν φαυλότητα
« ἐκείνων βδελυττομένους πρὸς τὴν καθολικὴν
« τοῦ Θεοῦ Ἐκκλησίαν, τὴν ἀνὰ πάντα τὸν κόσμον
« διακεχυμένην, τάξει ἀρχαίᾳ διὰ τῆς ἐπιθέσεως
« τῶν χειρῶν ἀναδεχθῆναι, τοὺς τοιούτους ἐκ τοῦ
« τῆς πλάνης ὀνόματος μὴ ὀφείλειν ἐμποδίζεσθαι
« εἰς τάξιν κληρώσεως, ὁπόταν τὴν ἀληθινὴν Ἐκ- C
« κλησίαν ἰδίαν αὐτῶν ἐλογίσαντο τῇ πίστει
« προσερχόμενοι, καὶ ἐν αὐτῇ τῷ Χριστῷ πιστεύ-
« σαντες τῆς Τριάδος τὰ ἁγιάσματα ὑπεδέξαντο.
« Ἅτινα πάντα ἀληθῆ καὶ ἅγια καὶ θεῖα εἶναι
« δῆλόν ἐστι, καὶ ἐν τούτοις πᾶσαν τὴν τῆς ψυ-
« χῆς ἐλπίδα ὑπάρχειν. Κἂν εἰ τὰ μάλιστα οὖν
« καὶ ἡ τῶν αἱρετικῶν προληφθεῖσα τόλμα τῷ
« ὀνόματι τῆς ἀληθείας ἐναντιούμενά τινα παρα-
« διδόναι προπετεύεται, ταῦτα ἐπειδὴ ἁπλᾶ ἐστιν,
« ὡς διδάσκει ὁ ἅγιος Ἀπόστολος, λέγων, « Εἷς Θεὸς,
« μία πίστις, ἓν βάπτισμα. » Καὶ τὸ ὀφεῖλον
« προσάπαξ δίδοσθαι, ἐπαναληφθῆναι οὐκ ἔξεστιν,
« ἀναθεματιζομένου τοῦ τῆς πλάνης ὀνόματος·
« διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν ἀναδεχθῶσιν
« εἰς τὴν μίαν Ἐκκλησίαν, τὴν, ὡς εἴρηται, πε- D
» ριστερὰν καὶ μόνην μητέρα τῶν Χριστιανῶν, ἐν
« ᾗ πάντα τὰ ἁγιάσματα σωτηριωδῶς αἰώνια καὶ
« ζωτικὰ παραλαμβάνονται, ἅτινα τοῖς ἐπιμένου-
« σιν ἐν τῇ αἱρέσει μεγάλην τῆς καταδίκης τὴν
« τιμωρίαν πορίζουσιν, ἵνα ὅπερ ἦν αὐτοῖς ἐν τῇ
« ἀληθείᾳ πρὸς τὴν αἰώνιον ζωὴν ἀκολουθητέον
« φωτεινοτέρως, τοῦτο γένηται αὐταῖς ἐν τῇ
« πλάνῃ σκοτεινότερον καὶ πλέον καταδεδικασμέ-
« νον. Ὅπερ τινὲς ἔφυγον, καὶ τῆς Ἐκκλησίας
« τῆς καθολικῆς μητρὸς τὰ εὐθύτατα ἐπεγνωκότες,
« πάντα ἐκεῖνα τὰ ἅγια μυστήρια φίλτρῳ τῆς
« ἀληθείας ἐπίστευσαν καὶ ὑπεδέξαντο. Τοῖς

CANON LXI.

« Ut parvuli, qui a Donatistis baptizantur, in catho- B
« lica Ecclesia clerici ordinentur. Proinde quoniam
« in superiore synodo decretum esse una mecum
« vestra meminit concordia. ut parvuli, qui a Do-
« natistis baptizantur, erroris sui perniciem co-
« gnoscere non valentes, postquam ad ætatem
« rationis capacem pervenerint, agnita veritate,
« illorum improbitatem abhorrentes in universa-
« lem Dei Ecclesiam, quæ per universum mun-
« dum diffusa est, antiquo ordine, per manuum
« impositionem recipiantur, quominus hujusmodi
« in clericatus ordinem provehantur erroris no-
« mine impediri non debent: quando veram Ec-
« clesiam suam propriam existimarunt ad fidem
« accedentes, et in ipsa Christo credentes Trini- C
« tatis sacramenta susceperunt. Quæ quidem om-
« nia vera et sancta et divina esse clarum est, et
« in iis omnem spem animæ esse sitam. Et si
« maxime ergo etiam hæreticorum præcedens au-
« dacia ad quædam contraria sub nomine verita-
« tis tradenda prompta sit; ea quoniam sunt
« simplicia, ut docet sanctus Apostolus dicens:
« Unus Deus, una fides, unum baptisma; » et
» quod debet semel dari, non licet rursus recipi;
« anathematizato erroris nomine, per manus im-
« positionem in unam illam Ecclesiam suscipian-
« tur, quæ, ut dictum est, columba et sola mater
« Christianorum, in qua omnia sacramenta salu-
« tariter æterna et vivifica accipiuntur, quæ qui- D
« dem iis, qui manent in hæresi, magnam præ-
» bent condemnationis pœnam, ut quod erat
« ipsis in veritate ad vitam æternam clarius se-
« quendum, hoc sit eis in errore tenebricosius et
« magis condemnatum. Quæ quidem nonnulli vi-
« tarunt, et Ecclesiæ catholicæ matris agnita ve-
« ritate, omnia illa sancta mysteria a veritate
« illecti crediderunt et susceperunt. Iis quando
« bonæ vitæ probatio accesserit, non dubie et
« integre ad sacramentorum ministerium confir-
« mabuntur: et maxime in tanta rerum necessita-
« te nemo est qui hoc non concedat. 595 Si qui
« autem hujus dogmatis clerici cum multitudine

[a] Ephes. IV. 5.

Digitized by Google

« et eisdem honoribus ad nos venire desiderant, qui quidem propter honoris amorem ad vitam suadent, et ad salutem retinent : hoc utique « majore prædictorum fratrum sententiam ferentium intelligentia comprehendendum esse « existimo, ut sapientiore suo consilio nostræ « relationis rationem discernant, et nos confirmare dignentur ad id quod a nobis de ea re « statuendum est. Solum autem de iis, qui in « infantia baptizati sunt, satis habemus, ut, si « ipsis placet, sententiæ nostræ consentiant de « iis ordinandis. Omnia ergo, quæ superius apud « sanctissimos episcopos collegimus, facienda « esse æquum censet una mecum vestra veneranda « fraternitas. »

A

« τοιούτοις, ὅταν δοκιμὴ χρηστοῦ βίου προσέλθοι, « ἀναμφιβόλως καὶ ὁλοκλήρως πρὸς ὑπουργίαν τῶν « ἁγίων προσκυρωθήσεται· καὶ μάλιστα ἐν τῇ « τοσαύτῃ τῶν πραγμάτων ἀνάγκῃ οὐδείς ἐστιν ὁ « μὴ τοῦτο παρεχώρων. Εἰ δέ τινες τοῦ αὐτοῦ « δόγματος κληρικοὶ μετὰ τοῦ πλήθους καὶ τῶν « τιμῶν αὐτῶν πρὸς ἡμᾶς ἐλθεῖν ποθήσουσιν, « οἵτινες τῷ ἔρωτι τῆς τιμῆς συμβουλεύουσι « πρὸς ζωὴν καὶ κατέχουσι πρὸς σωτηρίαν, ἀλλὰ « τοῦτο καταληπτέον κρίνω τῇ μείζονι κατανοή- « σει ψηφισθησόμενον τῶν προλεχθέντων ἀδελφῶν, « ἵνα τῇ συνετωτέρᾳ αὐτῶν βουλῇ τῆς ἡμετέρας « ἀναφορᾶς τὸν λόγον διαγνῶσι, καὶ ἡμᾶς βεβαιώ- « σαι καταξιώσωσιν, εἰς τὸ ὀφεῖλον περὶ τούτου « τοῦ πράγματος παρ' ἡμῶν τυπωθῆναι. Μόνον δὲ

B

« περὶ τῶν ἐν νηπιότητι βαπτισθέντων ἀρκούμεθα, « ἵνα, εἰ ἀρέσκει αὐτοῖς, τῇ ἡμετέρᾳ συναινέσωσι « προαιρέσει περὶ τοῦ χειροτονεῖσθαι τούτους. « Πάντα τοίνυν, ἃ ἀνωτέρω συνηγάγομεν παρὰ « τοῖς ἁγιωτάτοις ἐπισκόποις, πρακτέα εἶναι « δικαιοῖ ἅμα ἐμοὶ ἡ ἔντιμος ὑμῶν ἀδελφότης. »

BALS. et ZONAR. Donatus quidam nomine fuit auctor hæresis, qui non alias divinorum esse mysteriorum participem docebat, nisi os in manum tenens hoc prius salutaret, et sic communicaret. Illius ergo hæresim sequentes nominabantur Donatistæ. De iis ergo, ut in canone 47 hujus synodi dictum est, visum est Patribus interrogare, an infantes eorum, qui baptizati fuerant a parentibus, qui erant ipsi Donatistæ, deinde a catholica Ecclesia suscepti sunt, ad ordinationem quoque in clero suscipiendi sint, an non? Hoc ergo rursus quoque introducit synodus, et fert sententiam, quod a Donatistis in infantia baptizati, ut qui tunc non potuerint erroris perniciem agnoscere; quando ad ætatem rationis, hoc est. prudentiæ capacem pervenerint, ut possint veritatem intelligere et illorum improbitatem odisse : si ad ecclesiam accesserint, ii per manuum impositionem suscipiantur ordine quodam et ex forma antiqua; et non impediantur quominus in clerum admittantur, Christo pure credentes, et sanctæ Trinitatis sacramenta seu dona divina suscipientes, quæ sunt corpus et sanguis unius sanctæ Trinitatis, et vera et sancta nobis a Servatore tradita, qui etiam a Patre ad nostram salutem missus est, sanctificata autem adventu sancti Spiritus. Sic enim censentur Trinitatis sacramenta. Quando ergo, inquiunt, crediderint, et sacramenta susceperint, si vita quoque ipsorum examinata bona inventa fuerit, clerici etiam fient. De hac ergo infantium causa et a papa et a Mediolanensium episcopo petiverunt, an eis ita videatur. Si qui autem, inquiunt, Donatistarum clerici, cum populo qui est apud ipsos, et iisdem honoribus seu gradibus, velint ad fidem orthodoxam accedere; qui quidem clerici volentes etiam apud orthodoxos in suo honore permanere, consulunt populo, qui eis subest, ea quæ ad vitam et salutem pertinent : quid eis faciendum est? Sed hoc, inquiunt, a dictis

C

ΒΑΛΣ. καὶ ΖΩΝΑΡ. Δονᾶτός τις τὸ ὄνομα αἱρέσεως γέγονεν ἀρχηγὸς μὴ ἄλλως τῶν θείων μυστηρίων μεταλαμβάνειν διδάξας εἰ μὴ ὀστοῦν κατέχων ἐν τῇ χειρὶ, τοῦτο πρότερον ἀσπάζοιτο, καὶ οὕτω μεταλαμβάνειν. Οἱ οὖν ἐκείνου αἱρεσιῶται Δονατισταὶ ὀνομάζονται. Περὶ τούτων οὖν, ὡς ἐν τῷ μζ' κανόνι τῆς συνόδου ταύτης εἴρηται, ἔδοξε τοῖς Πατράσιν ἐρωτῆσαι, εἰ τὰ νήπια αὐτῶν βαπτιζόμενα παρὰ τῶν γονέων αὐτῶν, Δονατιστῶν ὄντων, εἶτα προσερχόμενα τῇ καθολικῇ Ἐκκλησίᾳ, δεῖ προσδέχεσθαι καὶ ἐν κλήρῳ τάττειν, ἢ μή; Τοῦτο οὖν καὶ πάλιν ἡ σύνοδος εἰσάγει, καὶ δίδωσι γνώμην, ὥστε τοὺς παρὰ τοῖς Δονατισταῖς ἐν νηπιότητι βαπτιζομένους, ὡς μὴ δύνασθαι τότε γινώσκειν τῆς πλάνης τὸν ὄλεθρον, ὅτε εἰς ἡλικίαν ἔλθωσι δεκτικὴν λογισμοῦ, τουτέστι φρονήσεως, ὥστε δύνασθαι νοῆσαι τὴν ἀλήθειαν, καὶ μισῆσαι τὴν ἐκείνων φαυλότητα· ἐὰν τῇ Ἐκκλησίᾳ προσέλθωσιν, ἀναδέχεσθαι τούτους διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν κατά τινα τάξιν καὶ τύπον ἀρχαῖον, καὶ μὴ ἐμποδίζεσθαι εἰς τὸ κληρωθῆναι πιστεύσαντας καθαρῶς τῷ Χριστῷ, καὶ ὑποδεξαμένους τῆς ἁγίας Τριάδος τὰ ἁγιάσματα, ἤτοι τὰ δῶρα τὰ θεῖα, ἅτινα τὸ σῶμα καὶ αἷμά εἰσι τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος, καὶ ἀληθῆ καὶ ἁγιά εἰσι παραδοθέντα ἡμῖν παρὰ τοῦ Σωτῆρος, ὃς καὶ παρὰ τοῦ Πατρὸς ἀπεστάλη εἰς σωτηρίαν ἡμῶν, ἁγιαζόμενα δὲ τῇ ἐπιφοιτήσει τοῦ ἁγίου Πνεύματος. Οὕτω γὰρ τῆς Τριάδος λογίζονται ἁγιάσματα. Ὅταν οὖν, φασὶ, πιστεύσωσι καὶ τὰ ἅγια δέξωνται, ἐὰν καὶ ὁ βίος αὐτῶν δοκιμασθεὶς χρηστὸς εὑρεθῇ, καὶ κληρωθήσονται. Περὶ ταύτης οὖν ὑποθέσεως τῶν νηπίων ἐζήτησαν καὶ παρὰ τοῦ πάπα καὶ παρὰ τοῦ Μεδιολάνων μαθεῖν, εἰ ἀρέσκονται τῇ γνώμῃ αὐτῶν. Εἰ δέ τινες, φασὶ, κληρικοὶ τῶν Δονατιστῶν, μετὰ τοῦ παρ' αὐτοῖς λαοῦ καὶ τῶν τιμῶν αὐτῶν, ἤγουν τῶν βαθμῶν αὐτῶν, θελήσουσι μετελθεῖν πρὸς τὴν ὀρθόδοξον πίστιν, οἵτινες κληρικοὶ θέλοντες καὶ

D

Digitized by Google

παρὰ τοῖς ὀρθοδόξοις διαμένειν ἐν τῇ τιμῇ αὐτῶν, συμβουλεύουσι τῷ ὑπ' αὐτοὺς λαῷ πρὸς ζωὴν καὶ σωτηρίαν, τί ποιητέον ἐπ' αὐτοῖς; Ἀλλὰ τοῦτο, φασί, λυθήσεται παρὰ τῶν λεχθέντων ἀδελφῶν ὥστε καὶ ἡμᾶς βεβαιῶσαι, τί ὀφείλομεν περὶ τούτου ποιεῖν.

ΑΡΙΣΤ. « Διὰ τὴν ἔνδειαν οἱ τοῖς Δονατισταῖς « νήπιοι βαπτισθέντες, εἰ μεταμεληθέντες, καὶ « ἀναθέματι τὴν αἵρεσιν παραπέμψαντες, καὶ « ἄλλως ἐπάξιοί εἰσι, χειροτονείσθωσαν. »

Οὗτοι νήπιοι βαπτισθέντες παρὰ τῶν Δονατιστῶν, καὶ τῇ οἰκείᾳ γνώμῃ μηδὲν ἁμαρτήσαντες ἐὰν τὴν ἰδίαν αἵρεσιν ἀναθεματίσωσι, καὶ τῇ καθολικῇ προσέλθωσιν Ἐκκλησίᾳ, ἔχωσι δὲ καὶ βίον ἄμεμπτον, εἰς ἱερατικοὺς βαθμοὺς προβιβασθήσονται, διὰ τὸ ἐνδεῶς ἔχειν τὴν Ἀφρικὴν κληρικῶν.

ARIST. « Qui propter necessitatem parvuli a Donatistis sunt baptizati, si resipuerint, et hæresim « anathemati subjecerint, et alias digni fuerint, « ordinentur. »

Alii infantes a Donatistis baptizati, et sua voluntate nihil peccantes, si hæresim suam anathematizent, et ad catholicam accedant Ecclesiam, vitam autem et inculpatam agant, ad sacerdotales provehentur gradus, quia Africæ opus est clericis.

ΚΑΝΩΝ ΞΒ'.

« Περὶ τῶν ἐγκαταλειμμάτων τῶν εἰδώλων καὶ « ναῶν τῶν ὀφειλόντων ἐξαλειφθῆναι. Ὧν χάριν « αἰτῆσαι δεῖ τοὺς θρησκευτικωτάτους βασιλεῖς, « ὥστε τὰ ἐγκαταλείμματα τῶν εἰδώλων, τὰ κατὰ « πᾶσαν τὴν Ἀφρικὴν, κελεῦσαι παντελῶς ἀνα- « κοπῆναι (καὶ γὰρ ἐν πολλοῖς τόποις παραθα- « λασσίοις καὶ διαφόροις κτήσεσιν ἀκμάζει ἔτι « τῆς πλάνης ταύτης ἡ ἀδικία), ἵνα παραγγελθῶσι « καὶ αὐτὰ ἀπαλειφθῆναι, καὶ οἱ ναοὶ αὐτῶν, οἱ « ἐν τοῖς ἀγροῖς καὶ ἐν ἀποκεκρυμμένοις τόποις « χωρίς τινος εὐκοσμίας καθεστῶτες παντὶ τρόπῳ « κελευσθῶσι καταστραφῆναι. »

596 CANON LXII.

« De idolorum reliquiis, et templis quæ debent « deleri. Quamobrem a religiosissimis imperato- « ribus petendum est, ut idolorum reliquias, quæ « sunt in omni Africa, omnino exscindi jubeant « (in multis enim locis maritimis, et diversis « possessionibus, adhuc viget hujus erroris ini- « quitas), ut præcipiantur et ipsa aboleri, et tem- « pla ipsorum in agris et in occultis locis orna- « mentis spoliata omnibus modis jubeantur « everti. »

ΒΑΛΣ. Διὰ τοῦ παρόντος κανόνος ἀξιοῦσιν οἱ Πατέρες τοὺς βασιλεῖς καταστραφῆναι τὰ μετὰ τὸ κήρυγμα Εὐαγγελίου ἐναπομείναντα εἴδωλα.

BALS. Per præsentem canonem volunt Patres, ut reges evertant idola, quæ post Evangelii prædicationem remanserunt.

ΖΩΝΑΡ. Καὶ πλατυνθέντος τοῦ εὐαγγελικοῦ κηρύγματος ἔτι τὸ οὐραῖον ὁ δράκων ἐκίνει, κἂν ἡ κεφαλὴ συνεθλάσθη αὐτοῦ. Ἔτι γὰρ ἐν τισι τόποις περιελέλειπτο εἴδωλα, καὶ ναοὶ αὐτῶν περιῆσαν. Καὶ περὶ τούτων οὖν ἡ σύνοδος αὕτη βουλεύεται ἀναφορὰν γενέσθαι πρὸς τοὺς κρατοῦντας, ἵνα ὁρίσωσι πάντα τὰ εἴδωλα ἀφανισθῆναι, καὶ τοὺς ναοὺς αὐτῶν καταστραφῆναι χωρίς τινος εὐκοσμίας καθεστῶτας. Τοῦτο δὲ εἶπεν, οὐχὶ διαστέλλουσα, ὥστε τοὺς μὲν χωρὶς εὐκοσμίας ὄντας καθαιρεθῆναι, τοὺς δὲ κόσμον ἔτι ἔχοντας περισώζεσθαι, ἀλλὰ δεικνύουσα ὅτι ἤδη ἤρξαντο καθαιρεῖσθαι, ἀφαιρεθέντες ὃν περιέκειντο κόσμον, καὶ οἷον ἡμικατάλυτοι γεγονότες.

ZONAR. Quamvis promulgato in omnes partes Evangelio, adhuc tamen etiam eliso capite, caudam draco nefarius agitabat. Adhuc enim quibusdam in locis idola eorumque templa supererant. De his igitur ad eos, qui rerum tunc temporis potiebantur, synodus referri vult; ut idola omnia de medio tolli, ne ipsorum templa jam spoliata ornamentis omnibus everti jubeant. Hoc autem apposuit, non veluti discrimen aliquod statuens, quasi eas tantum, quæ ornatu carent deleri, reliquas autem servari velit; sed ut jam initium illorum ruinæ factum, ac ea spoliata omnibus ornamentis jam veluti semieversa esse declararet.

Guill. Beveregii notæ.

(30) *Περὶ τῶν ἐγκαταλειμμάτων.* In ms. Amerbachiano ad præsentem canonem hoc insuper σχόλιον habetur: Τί οὖν; τοὺς μετ' εὐκοσμίας οὐ καθαιρετέον; Ἐκ παντὸς ἐκριζωτέον· μηδὲν αὐτοῖς συμβαλλομένου πρὸς φειδὼ τοῦ κάλλους. Καὶ οὐ τούτους καταστρεπτέον μόνους, τοῦτο γὰρ πρόδηλον, ἀλλὰ καὶ τοὺς ἐν ἀγροῖς ὄντας, καὶ δομοῦντας λανθάνειν διὰ τὴν ἀπρέπειαν, καὶ αὐτοὺς καθαιρετέον. Οὐ γὰρ τῷ κάλλει φθονοῦντες τὰ Ἑλληνικὰ ἐδαφίζομεν, ἀλλ' ἁπλῶς τῆς πλάνης καὶ ἀπωλείας τὰ ὑπομνήματα ὀλοθρεύομεν. Quid itaque? [*Templa*] *cum ornamentis nonne tollenda sunt? omnino eradicanda: pulchritudine nihil conferente ut iis parceretur. Neque ista sola evertenda sunt; hoc enim manifestum est; sed et quæ in agris constituuntur, et propter deformitatem latere videntur, ista etiam diruenda sunt. Non enim ut pulchritudini invidentes Græcanica solo adæquamus, sed simpliciter errotis et perditionis monumenta destruimus.* Neque leges tantum ecclesiasticæ, sed et civiles omnia Ethnicorum templa dirui præcipiunt. *Si qua in agris templa sunt, sine turba et tumultu diruantur. His enim dejectis atque sublatis omnis superstitionis materia consumetur.* l. xvi, c. Th. de Paganis. Sic etiam divus Augustinus, *Porro sequenti anno, cum socium accepisset Honorius consulem Martium Theodorum, quando jam secundum illud oraculum dæmonum aut figmentum hominum, nulla esse debuit religio Christiana, quid per alias terrarum partes factum sit non fuit necesse perquirere. Interim quod scimus, in civitate notissima et eminentissima Carthagine Africæ Gaudentius et Jovias, comites imperatoris Honorii, quarto decimo calendas Aprilis falsorum deorum templa everterunt, et simulacra fregerunt.* Aug. *De civitate Dei*, l. xviii, c. 54.

Digitized by Google

ARIST. « Idolorum reliquiæ penitus aboleantur. »

Pietate prævalente, e fundamentis suis eradicanda sunt idolorum fana, et nullæ omnino erroris istorum reliquiæ conserventur.

CANON LXII.

« Ut clerici pro proprio ipsorum judicio non coganntur publice testimonium dicere. Præterea pertendum est, ut statuere dignentur, ut si qui in Ecclesia quamvis causam, jure apostolico, quod in ecclesiis situm est, agitare vulnerint, et clericorum decisio uni forte parti displicuerit, non licere in judicium ad testimonium dicendum vocare clericum illum, qui prius rem ipsam examinavit, vel examinationi interfuit : ut nec quis ad personam ecclesiasticam attinens in jus vocetur, ut ferat testimonium. »

BALS. Quidam clerici, cum causam ecclesiasticam jure apostolico egissent, hoc est, dicto apostolico consequenter, quod dicit : *Audet quis vestrum, habens negotium, sub iniquis judicio contendere, et non sub sanctis?* vel etiam, cum in ecclesiasticum judicium incidissent, a parte cui displicebat, ex iis qui judicaverant, ad judicem appellationis testimonii ferendi gratia trahebantur. Visum est ergo Patribus, de iis ad imperatores referre, ut ipsi statuerent, nihil esse ejusmodi in posterum faciendum, sed nec eum, qui genere vel aliquo alio modo ad aliquem ecclesiasticum attinet, in testimonium esse trahendum. Ac in his quidem consistit canon. Nos autem aliqui scripturi eramus de iis qui litigarunt, et de iis qui sunt clericis necessitudine conjuncti, quando trahi debent, et quando non. Quia autem hic canon non est decretum, sed consilium, ut imperatores ejus admoneantur, non est autem prolata definitio, multa prætermisimus. Hoc autem solum ex præsenti canone notavimus; quod judiciaria officia ecclesiasticorum magistratuum præsens quoque synodus agnovit, eo quod dicat clericos alicujus esse causæ judices.

597 ZONAR. Præterea ad imperatores referre constituunt, ut si qui in Ecclesia, hoc est, in clerum ascripti, litem quamlibet, aut controversiam, jure apostolico Ecclesiis imposito, hoc est, definito atque descripto, de judiciis nimirum apud Ecclesiam exercendis, persequi velint, (divinus namque apostolus Paulus ad Corinthios scribens : *Audet, inquit, aliquis vestrum, negotium habens, sub injusto judicio experiri et non sub sanctis*[a]? Proinde hoc apostolico jure ecclesiæ deberi, tanquam Apostoli decreto ita constitutum asserunt). Si igitur clerici, inquiunt, apud ecclesiam disceptent, ac decisio causæ, hoc est, sententia, per quam controversia deciditur, uni ex partibus minime probata fuerit, ne tamen alteri parti liceat eum, per quem

[a] I Cor. vi, 1.

ΑΡΙΣΤ. « Τὰ ἐγκαταλείμματα τῶν εἰδώλων τέλεον « ἀφανιζέσθωσαν. »

Τῆς εὐσεβείας ἐπικρατούσης, ἐκ θεμελίων αὐτῶν ἐκριζωτέον τὰ τῶν εἰδώλων τεμένη · καὶ μηδέν τι τῆς πλάνης αὐτῶν ἐγκατάλειμμα περισωζέσθω.

ΚΑΝΩΝ ΞΒ'.

« Περὶ τοῦ τοὺς κληρικοὺς χάριν διαγνώσεως τῆς « οἰκείας αὐτῶν κρίσεως μὴ ἀναγκάζεσθαι δημο« σίως μαρτυρεῖν. Δεῖ αἰτῆσαι ἔτι μήν, ἵνα ὁρί« σαι καταξιώσωσιν, ὥστε, ἐάν τινες ἐν Ἐκκλησίᾳ « οἱανδήποτε αἰτίαν ἀποστολικῷ δικαίῳ, τῷ ταῖς « ἐκκλησίαις ἐπικειμένῳ, γυμνάσαι θελήσωσι, « καὶ ἴσως ἡ τομὴ τῶν κληρικῶν τῷ ἑνὶ μέρει « ἀπαρέσοι, μὴ ἐξεῖναι πρὸς δικαστήριον εἰς « μαρτυρίαν προσκαλεῖσθαι τὸν κληρικὸν ἐκεῖνον, « τὸν πρότερον τὸ αὐτὸ πρᾶγμα σκοπήσαντα ἢ « καὶ σκοπουμένῳ παρατυχόντα · ἵνα μηδὲ προσ« ώπῳ τις ἐκκλησιαστικῷ προσήκων ἐναχθῇ περὶ « τοῦ ὀφείλειν μαρτυρεῖν. »

ΒΑΛΣ. Τινὲς κληρικοὶ δικάσαντες ὑπόθεσιν ἐκκλησιαστικὴν ἀποστολικῷ δικαίῳ, τουτέστιν ἀκολούθῳ τῷ ἀποστολικῷ ῥητῷ, τῷ φάσκοντι· *Τολμᾷ τις ὑμῶν πρᾶγμα ἔχων κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων;* ἢ καὶ παρατυχόντες ἐπὶ κρίσει ἐκκλησιαστικῇ, εἵλκοντο παρὰ τοῦ ἀπαρεσκομένου μέρους ἐκ τῶν δικασαμένων εἰς τὸν ἐκκλητάριον δικαστὴν χάριν μαρτυρίας. Ἔδοξεν οὖν τοῖς Πατράσιν, ἵνα τὰ περὶ τούτου ἀνενέγκωσι τοῖς βασιλεῦσιν, ἐφ' ᾧ ὁρίσαι αὐτοὺς μηδέν τι τοιοῦτον γενέσθαι ποτέ · ἀλλὰ μηδέ τινα προσήκοντα κατὰ γένος ἢ ἄλλως πως ἐκκλησιαστικῷ τινι ἕλκεσθαι εἰς μαρτυρίαν. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Ἡμεῖς δὲ ἐμέλλομεν γράψαι τινὰ περὶ τῶν δικασάντων καὶ περὶ τῶν προσῳκειωμένων τοῖς κληρικοῖς, πότε ὀφείλουσιν ἕλκεσθαι, καὶ πότε μή. Ὅτι δὲ οὐκ ἔστι θέσπισμα ὁ κανών, ἀλλὰ συμβουλὴ χάριν τοῦ ὑπομνησθῆναι περὶ τούτων τοὺς βασιλεῖς, ὁρισμὸς δὲ οὐκ ἐξηνέχθη, παρήκαμεν τὰ πολλά. Ἐσημειωσάμεθα δὲ ἀπὸ τοῦ παρόντος κανόνος τοῦτο μόνον, ὅτι τὰ δικαστικὰ ὀφφίκια τῶν ἐκκλησιαστικῶν ἀρχόντων καὶ ἡ παροῦσα σύνοδος ἐπιγίνωσκεν ἀπὸ τοῦ λέγειν κληρικοὺς διαιτῆσαι ὑποθέσει τινί.

ΖΩΝΑΡ. Ἔτι ἀναφορὰν βουλεύονται ποιῆσαι πρὸς τοὺς βασιλεῖς, ὥστε ἐάν τινες ἐν Ἐκκλησίᾳ, ἤγουν ἐν κλήρῳ ἐκκλησιαστικῷ τεταγμένοι, οἱανδήποτε αἰτίαν, ἤτοι δίκην, ὑπόθεσιν γυμνάσωσι ἀποστολικῷ δικαίῳ τῷ ταῖς Ἐκκλησίαις ἐπικειμένῳ, ἤτοι ὡρισμένῳ, διατεταγμένῳ, τουτέστι παρὰ τῇ Ἐκκλησίᾳ δικάσωνται. Ὁ γὰρ θεσπέσιος ἀπόστολος Παῦλος, Κορινθίοις γράφων, φησί · *Τολμᾷ τις ὑμῶν πρᾶγμα ἔχων κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων;* Τοῦτο οὖν ἀποστολικῷ δικαίῳ φησὶ προσήκειν ταῖς ἐκκλησίαις, ὡς τοῦ Ἀποστόλου τοῦτο διαταξαμένου. Ἐάν οὖν κληρικοί, φησὶ, δικασθῶσι παρὰ τῇ Ἐκκλησίᾳ, καὶ Ἀπαρέσῃ ἑνὶ μέρει, ἡ τομὴ τῶν δικαζομένων, ἤτοι ἡ τέμνουσα τὴν δίκην ἀπόφασις, ἵνα μὴ ἐξῇ τινι τῶν μερῶν ἕλκειν εἰς

Digitized by Google

τὸ τῆς ἐκκλήτου δικαστήριον πρὸς μαρτυρίαν τὸν δοκιμάσαντα πρότερόν τὴν ὑπόθεσιν, ἢ καὶ κρινομένης παρατυχόντα, καὶ ἵνα μηδέ τις προσήκων, τουτέστιν, ᾠκειωμένος ἐκ συγγενείας ἢ ἄλλως ἐκκλησιαστικῷ τινι, ἕλκηται εἰς μαρτυρίαν. Τινὲς γὰρ ἀπηριθμηνται καὶ τοῖς πολιτικοῖς νόμοις ἐξκουσσευόμενοι, ὥστε μὴ ἄκοντες μαρτυρεῖν, ὡς ἐν βιβλίῳ εὕρηται κα', τίτ. α', κεφαλαίοις διαφόροις.

ΑΡΙΣΤ. « Κληρικὸς, πρᾶγμα δικάσας, εἰ ἀπαρέσοι, μὴ καλείσθω περὶ αὐτοῦ πρὸς μαρτυρίαν εἰς δικαστήριον· καὶ ὅλως ἐκκλησιαστικὸν πρόσωπον μὴ ἐναγέσθω περὶ τοῦ ὀφείλειν μαρτυρεῖν. »

Ἐάν τινες παρά τινι τῶν κληρικῶν δικασθῆναι ᾐρετίσαντο, καὶ τὰ τῆς ὑποθέσεως ἀνεκάλυψαν, εἶτα ἐπὶ τῇ διαγνώσει αὐτοῦ ἀπηρέσθησαν, καὶ ἀπῆλθον εἰς τὸ πρόσφορον αὐτοῖς δικαστήριον· οὐ καλέσουσιν εἰς μαρτυρίαν τὸν δικάσαντα κληρικὸν, τὸ μὲν ὡς ἐξκουσσατευόμενον ἀπὸ τοῦ νόμου, καὶ μὴ ἀναγκαζόμενον ἀκουσίως μαρτυρεῖν· οἱ γὰρ εἰς ἱερὰν λειτουργίαν ἀπησχολημένοι ἄκοντες οὐ μαρτυροῦσι· τὸ δὲ, καὶ ὡς κωλυόμενον, ἐν ᾧ προσελήφθη πράγματι παρὰ τῶν μερῶν δικαστὴς, μαρτυρεῖν.

ΚΑΝΩΝ ΞΓ'.

« Περὶ τοῦ ἀφελέσθαι τὰ τῶν Ἑλλήνων συμπόσια. « Κἀκεῖνο ἔτι μὴν δεῖ αἰτῆσαι παρὰ τῶν Χριστιανῶν βασιλέων· ἐπειδὴ παρὰ τὰ θεῖα παραγγέλματα ἐν πολλοῖς τόποις συμπόσια οὕτως ἐκτελοῦνται, ἐκ τῆς ἐθνικῆς πλάνης προσενεχθέντα, ὡς καὶ Χριστιανοὺς τοῖς Ἕλλησι λάθρα προσάγεσθαι ἐπὶ τῇ τούτων τελετῇ· ἵνα κελεύσωσι τὰ τοιαυτα κωλυθῆναι καὶ ἐκ τῶν πόλεων καὶ ἐκ τῶν κτήσεων· μάλιστα ὅτι καὶ ἐν αὐτοῖς τοῖς γενεσίοις τῶν μακαρίων μαρτύρων ἀνά τινας πόλεις καὶ εἰς αὐτοὺς τοὺς ἱεροὺς τόπους τὰ τοιαῦτα πλημμελεῖν οὐχ ὑφορῶνται· ἐν αἷς ἡμέραις, ὅπερ καὶ λέγειν αἰσχύνη ἐστὶν, ὀρχήσεις μυσαρὰς εἰς τοὺς ἀγροὺς καὶ εἰς τὰς πλατείας ἐκτελοῦσιν, ὥστε τῇ τῶν οἰκοδεσποινῶν τιμῇ, καὶ ἄλλων ἀναριθμήτων γυναικῶν τῇ αἰδοῖ τῶν εὐλαβῶν εἰς τὴν ἁγίαν ἡμέραν παραγενομένων, λάγναις ὕβρεσιν ἐφορμᾷν· ὡς καὶ αὐτῆς τῆς ἁγίας πίστεως σχεδὸν φεύγεσθαι τὴν προσέλευσιν. »

ΒΑΛΣ. Ὥσπερ σήμερον ἐν μνήμαις ἁγίων οὐ μόνον κατὰ τὰς πόλεις, ἀλλὰ δὴ καὶ κατὰ τὰς ἔξω χώρας, γίνονται πανηγύρεις καὶ χοροστασίαι, καὶ ἄλλα τινὰ παίγνια, οὕτως, ὡς ἔοικεν, ἐτελοῦντο καὶ ἐκπαλαι· πλὴν ἐκεῖνα μυσαρὰ ἦσαν. Διό φασιν οἱ Πατέρες ὡς, ἐπεὶ ἐν πολλοῖς τόποις συμπόσια ἐπιτελοῦνται, ἀρχὴν ἐσχηκότα ἐκ τῆς Ἑλληνικῆς πλάνης, ὥστε ἐν αὐτοῖς συνάγεσθαι καὶ Χριστιανοὺς, καὶ συντελεῖν ταῦτα τοῖς Ἕλλησι, δέον ἐστὶν ὑπομνησθῆναι τοὺς βασιλεῖς, ἵνα κωλύσωσι ταῦτα καὶ μᾶλλον ὅτι πλημμελοῦνται καὶ εἰς ἱεροὺς τόπους. Συμβαίνει γὰρ οὐδὲ εἰς ἐκκλησίαν συνάγεσθαι τὰς εὐλαβεστέρας τῶν γυναικῶν διὰ τὰ ἀτάκτως καὶ ἀσχημόνως τηνικαῦτα γινόμενα, ὡς τῶν ταῦτα

A causa prius examinata est, vel qui re judicata adfuit, ad provocationis forum testimonii dicendi causa trahere; neque præterea quisquam ex cognatis, hoc est, ecclesiastico homini propinquitate aut alia ratione conjunctus, ad dandum testimonium cogatur. Nam et legum civilium decreto quidam enumerantur, quos invitos ad testimonium dicendum compelli non sinunt, ut in lib. XXI, tit. 1, diversis in capitibus inveniatur.

ARIST. « Clericus, qui causam judicavit, si displiceat, ad dandum de ea testimonium ad tribunal « ne vocetur: et ecclesiastica omnino persona « ad testimonium reddendum ne compellatur. »

Si qui a clericorum aliquo judicari elegerunt, B et causam suam indicarunt, postea in judicio ejus non acquieacunt, sed ad tribunal iis aptum accedunt: non vocabunt in testimonium clericum istum qui judicavit, et ut excusatum a lege, et non coactum invite testimonium dare (qui enim sacro vacant ministerio, inviti non testantur); et ut prohibitum in negotio, in quo a partibus acceptus erat judex, testimonium dicere.

CANON LXIII.

« Ut auferantur Græcorum convivia. Illud præter- « ea a Christianis imperatoribus petendum « est: quoniam præter divina mandata in multis « locis convivia sic peraguntur, ex gentili errore « inducta, ut etiam Christiani ad paganos clan- C « culum in eorum celebratione accedant: ut « hæc jubeant et ex urbibus et ex possessioni- « bus arceri; maxime, quia et in ipsis beato- « rum martyrum natalibus, in quibusdam urbibus « etiam in ipsis sacris locis, ejusmodi peccata « committere non reformidant; in quibus die- « bus, vel pudor est dicere, exsecrandas saltatio- « nes in agris et plateis peragunt, ut matrum « familias honorem, et aliarum innumerabilium « plarum mulierum, quæ sancto die adsunt, vere- « cundiam lascivis contumeliis aggrediantur: « adeo ut etiam ipsius sanctæ fidei propemodum « aufugiant accessum. »

D

BALS. Sicut hodie in sanctorum anniversariis celebritatibus, non solum in urbibus, sed etiam in vicis et pagis, fiunt hominum conventus choreæque ducuntur, et alia quædam ludicra: sic, ut est verisimile, olim quoque peragebantur; sed ea erant exsecranda. Et ideo dicunt Patres, quod quoniam multis in locis convivia peraguntur, quæ a Græco errore habuerunt principium ut in eis etiam convenirent Christiani, et eadem cum Græcis perageret: admonendi sunt imperatores ut ea prohibeant; et eo magis, quod etiam in sacra loca peccant. Evenit enim, ut nec religiosiores mulieres in ecclesiam conveniant, propter ea quæ turpiter et indecore fiunt: nempe cum ii, qui hæc audent, im-

Digitized by Google

pudenter **598** et lascive ejusmodi munera aggre- diantur. Atque in his quidem est scopus canonis. Tu autem scias, quod etiamsi hæc imperiale decretum non vetuit: tamen synodus, quæ in Trullo habita est, in eos, qui hæc audent, vehementer animadvertit.

ZONAR. In multis adhuc locis convivia celebrari, ducta ex Græcorum erroribus consuetudine synodi Patres affirmant; adeo ut Christiani quoque conveniant, ac simul cum paganis eadem celebrent. Quinimo, inquiunt, et anniversariis sanctorum martyrum celebritatibus quædam fiunt, quæ vel commemorari absque pudore non possunt: saltationes scilicet exsecrandæ, et alia quædam eousque, ut in mulieres honestas ad sanctorum delubra confluentes, illi sceleruin artifices lascive impetum faciant, ut illæ propterea ab accessu fidei necessario refugiant, hoc est, etiam ab ecclesia, propter intemperantis nequitiæ facinora, procul abesse cogantur. De his igitur imperatoria auctoritate tollendis cum ipso imperatore precibus agendum esse decernunt.

ARIST. « Convivia Græcanica, propter propriam « inverecundiam, et quod multos Christianorum « seducunt, in diebus etiam, quibus martyrum « commemorationes celebrantur, fieri cessent. »

Saltationes enim abominandas, et alia quæcumque indecora, quæ Græcanici sunt erroris, nec in sacris locis ubi martyrum commemorationes celebrantur, nec alibi fieri concedit canon: sed istiusmodi convivia perfecte cessare mandat, ut quæ multos Christianos seducunt, et ad perditionem eos redigunt.

CANON LXIV.

« Ne in Dominico, et in reliquis sanctorum festis, « spectacula ullo modo peragantur. Illud quoque « præterea petendum est, ut theatralium ludi- « crorum spectacula in Dominico et reliquis « Christianæ fidei diebus solemnibus prohibean- « tur; maxime, quia in sancti Paschæ octavæ « turbæ magis in hippodromum quam in ec- « clesiam conveniant: debere præfinitos ipsorum « dies transferri, quando ita eveniat, nec ullum « Christianum debere ad hæc spectacula cogi. »

BALS. In Dominicis, et in reliquis festis diebus, et in magnæ Paschæ hebdomada, fiebant equorum curricula, et reliqua spectacula. Cautum est ergo imperatoribus suaderi, ut hæc prohiberentur: et quæ his diebus fiebant, in alios dies transferrentur. Lege et synodi in Trullo canonem 66.

ZONAR. Illud etiam synodus postulavit, ne spectacula videlicet Dominicis, aut festis diebus, neve equestres ludi Paschatis hebdomada præbeantur, verum in aliud tempus transferantur, ne his occupati ludicris ab ecclesiis frequentandis homines Christiani desistant: tum ne fidelium aliquis in theatrali consessu adesse cogatur. Synodi quoque

A τολμώντων, ἀναιδῶς καὶ κατὰ λαγνείαν ἐφορμώντων κατὰ τῶν τοιούτων γυναικῶν. Καὶ ὁ μὲν σκοπὸς τοῦ κανόνος ἐν τούτοις. Σὺ δὲ γίνωσκε ὅτι, κἂν ταῦτα βασιλικὸς ὁρισμὸς οὐκ ἐκώλυσεν, ἀλλ' ὅμως ἡ ἐν τῷ Τρούλλῳ σύνοδος μεγάλως ἐκόλασε τοὺς τοιαῦτα τολμῶντας.

ΖΩΝΑΡ. Λέγουσιν οἱ τῆς συνόδου ὅτι ἔτι ἐν πολλοῖς τόποις ἐπιτελοῦνται συμπόσια, τὴν ἀρχὴν ἰσχηκότα ἐκ τῆς Ἑλληνικῆς πλάνης, ὥστε ἐν αὐτοῖς συνάγεσθαι καὶ Χριστιανοὺς, καὶ συντελεῖν ταῦτα τοῖς Ἕλλησι. Καὶ ἐν ταῖς μνήμαις δέ, φασὶ, τῶν ἁγίων μαρτύρων γίνονταί τινα, ἃ καὶ λέγειν αἰσχύνη ἐστὶν, ἤγουν ὀρχήσεις μυσαραὶ, καὶ ἄλλα τινὰ, ὥστε, σεμνῶν γυναικῶν ἀπερχομένων εἰς τὰς τῶν ἁγίων μνήμας, ὁρμᾷν κατ' αὐτῶν λάγνως τοὺς B τὰ μυσαρὰ ἐκεῖνα ποιοῦντας, ὡς ἀνάγκην εἶναι, διὰ ταῦτα φεύγεσθαι τὴν προσέλευσιν τῆς πίστεως, ἤγουν ἀναγκάζεσθαι μηδὲ εἰς ἐκκλησίαν συνάγεσθαι διὰ τὰ ἀτάκτως καὶ ἀσχημόνως γινόμενα. Ταῦτα τοίνυν κωλυσθῆναι ἐδέοντο παρὰ τῆς βασιλικῆς ἐξουσίας.

ΑΡΙΣΤ. « Τὰ Ἑλληνικὰ συμπόσια παύεσθω διὰ τὴν « οἰκείαν ἀσχημοσύνην, καὶ τὸ πολλοὺς ἀφέλκε- « σθαι Χριστιανῶν, καὶ ἐν ἡμέραις μνήμης μαρ- « τύρων γίνεσθαι. »

Ὀρχήσεις γὰρ μυσαρὰς καὶ ἄλλα τινὰ ἀσχήμονα τῆς Ἑλληνικῆς ὄντα πλάνης οὔτε ἐν ἱεροῖς τόποις, ἔνθα μνῆμαι μαρτύρων γίνονται, οὔτε ἀλλαχοῦ γίνεσθαι ὁ κανὼν συγχωρεῖ· ἀλλὰ τέλεον τὰ τοιαῦτα προστάττει συμπόσια παύεσθαι, ὡς πολλοὺς τῶν C Χριστιανῶν ἑλκόμενα, καὶ ἄγοντα αὐτοὺς εἰς ἀπώλειαν.

ΚΑΝΩΝ ΞΔ'.

« Περὶ θεωριῶν, ἵνα ἐν τῇ Κυριακῇ καὶ ἐν ταῖς « λοιπαῖς τῶν ἁγίων ἑορταῖς μηδαμῶς ἐπιτελῶν- « ται. Κἀκεῖνο ἔτι μὴν δεῖ αἰτῆσαι, ἵνα τὰ θεώρια « τῶν θεατρικῶν παιγνίων ἐν τῇ Κυριακῇ καὶ « ἐν ταῖς λοιπαῖς φαιδραῖς τῆς τῶν Χριστιανῶν « πίστεως ἡμέραις κωλύωνται· μάλιστα ὅτι ἐν « τῇ ὀγδοάδι τοῦ ἁγίου Πάσχα οἱ ὄχλοι μᾶλλον « εἰς τὸ ἱπποδρόμιον ἤπερ εἰς τὴν ἐκκλησίαν « συνέρχονται· ὀφεῖλει μετενεχθῆναι τὰς ὡρι- « σμένας αὐτῶν ἡμέρας, ὅτε ἀπαντήσῃ, καὶ μὴ « ὀφείλειν τινὰ τῶν Χριστιανῶν πρὸς τὰ θεώρια D « ταῦτα ἀναγκάζεσθαι. »

ΒΑΛΣ. Ἐν ταῖς Κυριακαῖς καὶ ἐν ταῖς λοιπαῖς ἑορταῖς καὶ ἐν τῇ μεγάλῃ ἑβδομάδι τοῦ Πάσχα ἐγίνοντο ἱπποδρόμια καὶ λοιπὰ θεώρια. Τετύπωται οὖν παράκλησιν γενέσθαι πρὸς τοὺς βασιλεῖς, ἵνα τοῦτο κωλυθῇ, καὶ μετενεχθῶσι τὰ τῶν τοιούτων ἡμερῶν εἰς ἑτέρας ἡμέρας. Ἀνάγνωθι καὶ τῆς ἐν τῷ Τρούλλῳ συνόδου κανόνα ξς'.

ΖΩΝΑΡ. Μήτε θεώρια ἐν Κυριακαῖς ἢ ἐν ἑορτασίμοις ἡμέραις γίνεσθαι, μήτε ἱπποδρομίας ἐν τῇ ἑβδομάδι τοῦ Πάσχα, ἵνα μὴ ἐν αὐτοῖς σχολάζωσιν οἱ Χριστιανοὶ καταλιμπάνοντες τὰς ἐκκλησίας, ἡ σύνοδος ᾔτησε, μετατεθῆναι δὲ τὰς ἡμέρας τῆς τῶν ἵππων ἀμίλλης, καὶ μηδένα τῶν πιστῶν ἀναγκάζεσθαι εἰς τὰ θέατρα ἀπιέναι. Καὶ ὁ ξς' δὲ τῆς ἐν

Digitized by Google

τῷ Τρούλλῳ συνόδου κανὼν τὴν ὅλην ἑβδομάδα τοῦ Πάσχα ἐν ταῖς ἐκκλησίαις σχολάζειν ἀπαιτεῖ τοὺς πιστοὺς ἐν ψαλμοῖς καὶ ὕμνοις, καὶ τὰς ἱπποδρομίας κωλύει.

ΑΡΙΣΤ. « Θέατρα Κυριακαῖς καὶ ἑορταῖς οὐ συν-
« άγονται. »

Ἐν γὰρ ταῖς φαιδραῖς ταύταις ἡμέραις εἰς τὴν ἐκκλησίαν πρέπον ἐστὶ συνάγεσθαι τοὺς Χριστιανούς· καὶ οὐ δεῖ τελεῖσθαι ἐν αὐταῖς ἱπποδρόμια.

A in Trullo canone 66, universam Paschatis hebdomadam in ecclesiis agere, tempusque psalmis atque hymnis concinendis traducere, fideles jubentur, equorumque certamina prohibentur.

ARIST. « Theatra Dominicis et festis diebus non
« celebrantur. »

In hilaribus enim diebus istis in ecclesia Christianos convenire decet : et non oportet equiria in iis celebrari.

ΚΑΝΩΝ ΞΕ'.

« Περὶ τῶν καταδικαζομένων κληρικῶν. Κἀκεῖνο
« δεῖ αἰτῆσαι, ἵνα ὁρίσαι καταξιώσωσιν, ὥστε
« κληρικὸν οἱασδήποτε τιμῆς τυγχάνοντα, ἐπ'
« οἱουδήποτε ἐγκλήματι τῇ τῶν ἐπισκόπων κρίσει
« καταδικασθέντα, μὴ ἐξεῖναι τὸν αὐτὸν εἴτε
« παρὰ τῆς ἐκκλησίας ἧς ὑπῆρχεν, εἴτε ἀπὸ
« οἱουδήποτε ἀνθρώπου διεκδικεῖσθαι ποινῆς, ἢ
« ἐπὶ τούτῳ παρεντεθείσης ζημίας χρημάτων
« καὶ τιμῆς, ὅπως μηδὲ κεῖραν μηδὲ φύσιν ἀπολο
« γητέαν εἶναι κελεύσωσιν. »

599 CANON LXV.

« De clericis, qui condemnantur. Illud quoque
« petendum est, ut statuere dignentur, ne liceat,
« clericum quemcunque honorem obtinentem,
« in quocunque crimine episcoporum judicio con-
« demnatum, vel ab ecclesia cujus fuit, vel ab
« ullo homine liberari a pœna; alioqui hunc pe-
« cunia et dignitate multari, nec ætatem nec na-
« turam excusandam esse jubeant. »

ΒΑΛΣ. Κληρικοί τινες καταδικασθέντες ἐπὶ ἐγκληματικαῖς αἰτιάσεσι, καὶ μηδὲ βοήθειαν ἔχοντες ἐκκλήτου (οὕτω γὰρ ἐκληπτέον τὰ τοῦ κανόνος) πάλιν ὤχλουν ἀποκαταστῆναι. Ἤρεσε γοῦν τοῖς Πατράσιν ὑπομνησθῆναι τοὺς βασιλεῖς, ἵνα ὁρίσωσιν ὑποκεῖσθαι ποινῇ χρηματικῇ καὶ ἀφαιρέσει τιμῆς τοὺς ἐκδικοῦντας τούτους, ἐκκλησιαστικοὺς ἢ καὶ ἑτέρους, κἂν οἵας ὦσι κείρας, ἤγουν ἡλικίας, ἢ καὶ φύσεως.

BALS. Clerici quidam in causis criminalibus condemnati, et nec appellationis auxilium habentes (ita est enim intelligendus canon) restitui satagebant. Placuit ergo Patribus, imperatores admoneri, ut statuant pœnæ pecuniariæ et privationi honoris eos subjici, qui illos defendunt ac liberant, sive sint ecclesiastici, sive etiam alii, cujuscunque sint ætatis vel naturæ.

ΖΩΝΑΡ. Ἤτησαν οἱ Πατέρες ὁρισθῆναι καὶ τὸ μηδένα κληρικὸν καταδικασθέντα παρὰ τοῦ ἐπισκόπου αὐτοῦ ἐπί τινι ἐγκλήματι διεκδικεῖσθαι ἢ παρὰ τῆς ἐκκλησίας ἧς ὑπῆρχε κληρικός, ἢ παρά τινος ἀνθρώπου δυνάστου τυχόν· καὶ ζημίαν ἠξίωσαν κατὰ τοῦ ἐκδικοῦντος αὐτὸν ὁρισθῆναι καὶ εἰς χρήματα καὶ εἰς τιμήν· ὥστε καὶ χρήματα τὸν τοῦτο ποιεῖν ἐπιχειροῦντα ζημιοῦν, καὶ εἰς τιμὴν αὐτοῦ κινδυνεύειν ἀτιμούμενον. Καὶ μήτε ἡλικίαν τινὰ προβάλλεσθαι εἰς ὠφέλειαν, τυχὸν ὅτι νέος ἦν ὁ ποιήσας τοῦτο, ἢ γέρων πάνυ, καὶ δέον αὐτὸν συγγνωσθῆναι διὰ τὴν ἡλικίαν (κεῖρα γὰρ ἡλικία ἐστὶν, ὡς πολλαχοῦ εἴρηται) μήτε διὰ τὴν φύσιν, οἷον ὅτι γυνὴ ἦν ἡ τοῦτο ποιήσασα. Τὸ δὲ διεκδικεῖσθαι ἐνταῦθα οὐχὶ τὸ ἀντιλαμβάνεσθαι τοῦ καταδικασθέντος ἐστὶ, λέγοντος ἀδικεῖσθαι καὶ ζητοῦντος ἔκκλητον ἴσως· εἰ γὰρ τοῦτο εἴποι τις, πολλοῖς κανόσιν ἐναντιωθήσεται, τοῖς διδοῦσι τοῖς κληρικοῖς ἔκκλητον αἰτιωμένοις τὰς ψήφους τῶν ἐπισκόπων αὐτῶν· ἀλλὰ τὸ, δικαίως τοῦ κληρικοῦ καταδικασθέντος, κωλύειν τινὰ ἐκβιβασθῆναι τὴν ψῆφον τοῦ ἐπισκόπου χειρὶ χρώμενον.

ZONAR. Præterea ne quem clericum a suo episcopo ob crimen aliquod condemnatum, aut ab ecclesia, cujus clericus fuerat, aut ab alio viro, dynasta forte, absolvi liceat, Patres decerni voluerunt Ac si quis hominem absolverit, eum et pecunia simul et dignitate multari ; ita ut quicunque id aggressus fuerit, et pecunia multetur, et honore spoliatus dignitatem amittat. Neque vero, aut ætatis excusationem admitti : puta, quod adolescens admodum, qui id fecit, vel affecta ætate sit, ac propterea crimen ætati condonari oporteat (κεῖρα namque ætatem significat ut sæpe diximus) aut sexus, veluti quod a muliere id factum patratum sit. Illud autem verbum διεκδικεῖσθαι, hoc loco, non pro eo sumitur, quod est alicujus, qui se injuste damnatum queratur, sibique provocationem dari postulet, patrocinium suscipere ; id enim qui dixerit, multis canonibus adversabitur, quibus, si minus episcoporum sententiæ clerici acquiescant, eisdem provocatio conceditur : sed est, juste condemnato clerico, episcopi sententiæ exsecutionem vi quemquam et armis impedire.

ΑΡΙΣΤ. « Κληρικὸς, ἐπισκόπου κρίσει καταδικα-
« σθείς, παρὰ μηδενὸς ἐκδικείσθω. »

Ὁ καταδικασθεὶς ἐπ' ἐγκλήμασι παρ' ἐπισκόπου κληρικός, εἰ μὲν οἴεται ἀδικεῖσθαι, ἐκκαλείσθω, αὐθεντικῶς δὲ μετ' ἐξουσίας μὴ παρά τινος ἐκδικείσθω.

ARIST. « Clericus episcopi judicio condemnatus, a
« nemine liberetur. »

Clericus, qui ob delicta ab episcopo condemnatur, si sibi videtur injuria affectus, appellet, cum auctoritate autem et potestate a quopiam ne liberetur.

Digitized by Google

CANON LXVI.

« De mimis qui fiunt Christiani. De his præterea « petendum est, ut si quis ex quocunque exercitio ludicro ad Christianismi gratiam venire « voluerit, et purus ab illis maculis permanere ; « ne ulli liceat eum ad ejusmodi exercitium prorsus vel incitare vel cogere. »

A ΚΑΝΩΝ ΞϚ'.

« Περὶ τῶν μίμων γινομένων Χριστιανῶν. Περὶ « τοιούτων μὴν αἰτῆσαι δεῖ, ἵνα, ἐάν τι; ἐξ οἱουδήποτε παιγνιώδους ἐπιτηδεύματος πρὸς τὴν « τοῦ Χριστιανισμοῦ χάριν ἐλθεῖν θελήσῃ, καὶ « ἐλεύθερος ἀπ' ἐκείνων τῶν σπίλων διαμεῖναι, « μὴ ἐξὸν εἴη τινὶ τὸν τοιοῦτον πρὸς τὰ αὐτὰ « γυμνάσματα πάλιν προτρέπεσθαι ἢ καταναγκάζειν. »

BALS. Spectacula antiquitus cum populorum suppeditatione peragebatur, propterea scenicos quosdam et mimos, sæpe et magna ex parte Græcos habebant. Petunt ergo Patres, ut imperatores decernant, si quis eorum, cum Græcus sit, baptizatur, eum a populo eadem ludicra exhibere non cogi.

ΒΑΛΣ. Τὸ παλαιὸν ἐτελοῦντο θέατρα μετὰ συνδοσίας τῶν δημοτῶν, καὶ διὰ τοῦτο εἶχόν τινας σκηνικοὺς καὶ μίμους τὰ μέρη πολλάκις καὶ Ἕλληνας. Ζητοῦσιν οὖν οἱ Πατέρες ὁρίσαι τοὺς βασιλεῖς, ἵνα, ἐάν τις τῶν τοιούτων Ἕλλην ὢν βαπτισθῇ, μὴ ἀναγκάζηται ὑπὸ τοῦ δήμου τὰ αὐτὰ ἐνδείκνυσθαι παίγνια.

B

ZONAR. Scenicos et mimos, ludorum artifices, antiqui Patres mire aversabantur. Si quis horum igitur ex profana Græcorum superstitione Christiana sacra amplectatur, exutusque iis quibus notatus fuerat maculis sordidum illud videlicet vitæ genus deseruerit, petunt ne hominem amplius cujusquam auctoritate ad ludicra illa iterum exercenda liceat compelli. **600** Si quidem in magnis urbibus theatra exstabant, in quibus statis temporibus populi conventu ludi exhibebantur, ad eamque rem scenicorum opera et servitium, nulla excusatione admissa, ita flagitabatur, ut ad ea munia vel inviti traherentur.

ΖΩΝΑΡ. Τοὺς σκηνικοὺς καὶ μίμους, τοὺς τὰ παίγνια πράττοντας, οἱ πάλαι Πατέρες ἐν τοῖς ἀποτροπαίοις ἐλογίζοντο. Ἐὰν οὖν τις τῶν τοιούτων Ἕλλην ὢν προσέλθῃ τῷ Χριστιανισμῷ, καὶ ἐλεύθερος ἐκ τῶν σπίλων, ἤγουν τῶν ῥυπαρῶν ἔργων ἐκείνων γένηται καταλιπὼν ταῦτα, αἰτοῦσι μὴ δύνασθαί τινα ἀναγκάζειν αὐτὸν πάλιν πρὸς τὰ παίγνια ἐκεῖνα ὑποστρέφειν, καὶ ἀνασχολεῖσθαι αὐτοῖς. Ἐν γὰρ ταῖς μεγάλαις τῶν πόλεων θέατρα ἦσαν, καὶ κατὰ καιροὺς συνήγοντο ἐν αὐτοῖς καὶ ἐτελοῦντο παίγνια, καὶ ὥσπερ τι λειτούργημα καὶ ἀπαραίτητον χρέος εἶχον οἱ σκηνικοὶ τὸ ἐπιδείκνυσθαι ταῦτα εἰλκοντό τε καὶ μὴ βουλόμενοι.

ARIST. « Qui a ludicro exercitio ad honestam se « convertit vitam, ad idem ne retrahatur. »

C

ΑΡΙΣΤ. « Ὁ ἀπὸ παιγνιώδους ἐπιτηδεύματος εἰς « σπουδαῖον μετελθὼν βίον, μὴ ἐλκέσθω πρὸς « αὐτό. »

Qui scenicam relinquit vitam, et aliam vivendi rationem Christianis decentem amplectitur, ne compellatur in ludicro exercitio iterum versari. Erant enim quidam ludicris istiusmodi exercitiis ascripti, et graviter tulerunt ea consectari.

Ὁ καταλιπὼν τὸν σκηνικὸν βίον, καὶ διαγωγὴν ἑτέραν Χριστιανοῖς πρέπουσαν μετερχόμενος, οὐκ ἀναγκασθήσεται αὖθις τὸ παιγνιῶδες ἐπιτήδευμα ἐνεργεῖν. Ἦσαν γάρ τινες ἐναπογραφόμενοι εἰς τὰ παιγνιώδη ταῦτα ἐπιτηδεύματα, καὶ βάρος εἶχον τὸ μετέρχεσθαι ταῦτα.

CANON LXVII.

« De manumissionibus, quæ fiunt in ecclesiis. De « manumissionibus scilicet in ecclesia proclamandis si hoc nostri consacerdotes in Italia

ΚΑΝΩΝ ΞΖ'.

« Περὶ ἐλευθεριῶν τῶν ἐν τῇ Ἐκκλησίᾳ γενομένων « (31). Περὶ ἐλευθεριῶν δηλαδὴ ἐν τῇ Ἐκκλησίᾳ « κηρυκτέων (32), ἐὰν τοῦτο οἱ ἡμέτεροι συνιερεῖς

Guill. Beveregii notæ.

(31) *Περ. ἐλευθεριῶν τῶν ἐν τῇ ἐκκλησίᾳ γινομένων.* In mss. Ætoniensi et impressis antehac Balsamonis et Zonaræ codicibus additur αἰτητέον ἐκ τοῦ βασιλέως. Sic etiam in Dionysiana horum canonum collectione legitur, *De manumissionibus in ecclesia celebrandis ab imperatore poscendum.* In codice Amerbachiano totus titulus omittitur.

(32) *Περὶ ἐλευθεριῶν δηλαδὴ ἐν τῇ ἐκκλησίᾳ κηρυκτέων.* Ut ii, qui in ecclesia manumissi sunt, cum libertate civitatem etiam Romanam consequerentur, Constantinus Magnus leges tulit, uti testatur Sozomenus, qui de eo loquens ait, Ὑπὸ γὰρ ἀκριβείας νόμων καὶ ἀκόντων τῶν κεκτημένων πολλῆς δυσχερείας οὔσης περὶ τὴν κτῆσιν τῆς ἀμείνονος ἐλευθερείας, ἣν πολιτείαν Ῥωμαίων καλοῦσι, τρεῖς ἔθατο νόμους, ψηφισάμενος πάντας, τοὺς ἐν ταῖς ἐκκλησίαις ἐλευθερουμένους ὑπὸ μάρτυσι τοῖς ἱερεῦσι, πολιτείας Ῥωμαϊκῆς τυγχάνειν. *Nam cum nimiam legum severitatem potior libertas, quam civitatem Romanam vocant, etiam nolentibus dominis, difficile admodum acquireretur, tres tulit leges, quibus constituit, ut quicunque in ecclesia sub testimonio sacerdotum libertate donati essent, civitatem Romanam consequerentur.* Sozom. *Hist. Eccles.* l. i, c. 9. Unam ex hisce legibus a Constantino latis Regino abbas Prumiensis citat, his verbis, *Imperator Constantinus Augustus, Osio episcopo Cordubensi. Qui manumittendi in sacrosancta ecclesia habuerit voluntatem, tantum est, ut sub præsentia sacerdotum servos suos voluerit absolvere, noverit eos suscepta libertate cives esse Romanos. Nam si clerici mancipiis suis dare voluerint libertatem, etiamsi extra conspectum fecerint sacerdotum, vel sine scriptura verbis tantum fuerint absoluti, manebit, sicut civibus Romanis integra et plena libertas.* Regin. *De discip. Eccles.* l. i, c. 406. Exstat etiam in interpret. l. i, C. Th. de manumissionibus in ecclesia. Quinetiam ex lege ecclesiastica omnis manumissio in ecclesia fieri debet. *Instruendi sunt*

Digitized by Google

« φαίνωνται ποιοῦντες ἀνὰ τὴν Ἰταλίαν, καὶ ἡ A « ἡμετέρα δῆλον πεποίθησις τῇ τούτων τάξει « ἕπηται, δοθείσης φανερῶς ἀδείας πεμπομένου « τοποτηρητοῦ, ἵνα οἱαδήποτε ἄξια πίστεως ὑπὲρ « τῆς ἐκκλησιαστικῆς καταστάσεως καὶ τῆς τῶν « ψυχῶν σωτηρίας ἐκτελέσαι δυνηθείη· καὶ ἡ- « μεῖς ἐπαινετῶς ἐνώπιον τοῦ Κυρίου ὑποδεξώ- « μεθα ταῦτα πάντα. Ἐὰν τῇ ὑμετέρᾳ ἀγάπῃ « ἀρέσκῃ, ἐξείπατε, ἵνα καὶ τὴν ἐμὴν ἀναφορὰν « βεβαίαν οὖσαν ὑμῖν ἐπιδείξω· καὶ τὰ παρὰ « τῆς πάντων ἡμῶν συναινέσεως ἡ αὐτῶν εἰλι- « κρινότης ἡδέως προσδέξηται. » Ἀπὸ πάντων τῶν ἐπισκόπων εἰλέχθη· Πᾶσιν ἀρέσκει τὰ προ- τεθέντα, καὶ συνετῶς ἀπὸ τῆς σῆς ἁγιωσύνης ἐξηγηθέντα ὀφείλει ἐκτελεσθῆναι.

« facere reperiantur, nostra quoque fiducis, ma- « nifestum est, eorum ordinem sequatur, missi « legati potestate palam data, ut quæcunque « fide digna pro ecclesiastico statu et animarum « salute peragere potuerit, nos quoque ea omnia « coram Domino laudabiliter suscipiamus. Si « vestræ placeat dilectioni, dicite, ut meam re- « lationem firmam esse vobis ostendam; et no- « strum omnium consensum vestra sinceritas « jucunde accipiat. » Ab omnibus episcopis dic- tum est : Omnibus placent quæ sunt proposita, et, quæ sapienter a tua sanctitate sunt exposita, perfici debent.

ΒΑΛΣ. Ὡς ἔοικεν, ἀμφίβαλλόν τινες, εἰ ὀφείλου- B σιν ἐλευθεροῦσθαι δοῦλοι ἐπ' ἐκκλησίας, ἢ ἕτεροί τινες καταφεύγοντες ἐν αὐτῇ, ὡς ἐνεχόμενοι εὐθύ- νεις τισὶ, καὶ τὴν ἐκκλησιαστικὴν ζητοῦντες βοή- θειαν. Περὶ τούτων γὰρ καὶ ἡ ἀρχὴ τῆς πράξεως ταύτης διαλαμβάνει· ἀλλὰ μὴν καὶ ἡ διαλαλιὰ τοῦ παρόντος κανόνος. Καὶ διὰ τοῦτο εἶπον οἱ Πατέρες ὅτι, Ἐρωτηθήτωσαν διὰ τοποτηρητῶν οἱ ἱερεῖς τῆς Ἰταλίας· καὶ ἐὰν ποιῶσι κἀκεῖνοι τοῦτο, ἤγουν κηρύττωσι καὶ πράττωσι τὰς ἐλευθερίας, μετὰ πεποιθήσεως καὶ αὐτοὶ ἵνα ἀκολουθήσωσι τοῖς οὕτω γινομένοις, εἰς σωτηρίαν ψυχικὴν ἀπο- βλέπουσι, καὶ εἰς συντήρησιν τῶν ἐκκλησιαστικῶν δικαίων. Τούτου δὲ οὕτω πολυπραγμονηθέντος, γενή- σεται καὶ ἡ πρὸς βασιλεῖς ἀναφορὰ βεβαία, καὶ C προσδεχθῇ παρὰ τῆς εἰλικρινότητος· τούτων τὸ κατὰ συναίνεσιν κοινὴν ἀνενεχθέν. Καὶ ὁ μὲν παρὼν κανὼν ἀνήρτησε τὰ τῶν προσφευγόντων ταῖς ἐκ- κλησίαις εἰς ἀκρόασιν βασιλικήν· σὺ δὲ ἀνάγνωθι

BALS. Ut est verisimile, dubitant nonnulli, an servi in ecclesia manumitti debeant, vel aliqui alii, qui ad eam confugerunt, utrique sint aliquibus delictis obnoxii, et auxilium quærant ecclesiasticum. De his enim etiam hujus actionis principium tra- ctat; atque etiam præsentis canonis collocutio. Et propterea dixerunt Patres : Interrogentur per le- gatos Italiæ sacerdotes : et si illi quoque hoc fa- ciant, seu proclament et faciant libertates, cum confidentia ipsi quoque ea, quæ sic fiunt, sequan- tur, ad animæ salutem respicientia, et ad jurium ecclesiasticorum conservationem. Hoc autem sic proviso, fiet firma ad imperatores quoque relatio, et ab eorum sinceritate suscipietur, quod communi consensu relatum fuerit. Ac quæ ad eos quidem spectant, qui ad ecclesias confugiunt, præsens ca- non imperatori audienda remittit. Tu autem lege primi tituli quinti libri cap. decimum tertium, quod sic dicit : Statuimus nemini licere eos qui confu-

Guill. Beveregii notæ.

præterea laici, ut sciant quod nullatenus alio loco manumittere proprios possunt servos, quos dominicis castris aggregari decreverunt, nisi in sacrosancta ecclesia. Reg. ibid., c. 403. Burchard. l. II. c. 28. Ivo Par. 6, c. 129. Neque eos solos, qui ad clericatus gradum promovendi sunt, in ecclesia manumittendos esse, verum etiam alios quosvis, dictus Regino ex pacto Francorum probat, ex quo hæc citat : *Hoc etiam volumus, ut qualiscunque Francus Ribuarius servum suum pro remedio animæ suæ secundum legem Romanam liberum facere voluerit, ut in ecclesia coram presbyteris, diaconibus, seu cuncto clero et plebe in manu episcopi servum suum tabulis tradat, et episcopus archidiacono jubeat, ut ei tabulas secundum legem Romanam, qua ecclesiæ visum, scribere faciat, et tam ipse quam et omnis procreatio ejus liberi permaneant, et sub tuitione ecclesiæ consistant, et omnem reditum status sui ad ecclesiam persolvant, et non alibi nisi ad ecclesiam, ubi relaxati sunt, mallum teneant, et si absque liberis discesserint, nullum alium nisi ecclesiam relinquant hæredem.* Ibid. c. 405. Formula hujus- modi manumissionis, in ecclesia promulgari so- litæ, exstat inter veteres formulas a doctissimo Bignonio non ita pridem editas, his verbis : *Ego ille minimus servorum Dei famulus, ecclesiæ Senonicæ archiepiscopus, tanta serenissimi Ludovici Augusti auctoritate, quæ Senonis in arcibo Ecclesiæ episcopis servatur fultus, per hunc libellum manumissionis te fratrem nostrum, quem servilis conditio hactenus addictum tenuit, inter hujus Ecclesiæ familiam, quia fratrum testimonio, inter quos enu- tritus es, dignus ad sacerdotalem honorem suscipien- dum prædicaris, censeo te atque statuo, ante sacri altaris cornu in respectu sacerdotum et cleri et populi adstantis, a præsenti die et deinceps ab omni jugo servitutis humanæ absolutum fore, civemque Romanum appellari.* Aliam etiam formulam Regino supradictus commemoravit, ad hunc modum : *Qui debitum sibi nexum atque competens relaxat servi- tium, præmium in futuro apud Dominum sibi pro- venire non dubitat. Quapropter ego in Dei nomine ille, pro remedio animæ meæ, vel æterna retributione in ecclesia Sancti Petri vel illius sancti, sub præ- sentia episcopi, vel sacerdotum ibi constitutum ac nobilium laicorum, ante cornu altaris illius eccle- siæ, absolvo servum meum illum, per hanc chartam absolutionis et ingenuitatis, ab omni vinculo servi- tutis, ita ut ab hac die et deinceps ingenuus sit, et ingenuus permaneat, tanquam si ab ingenuis paren- tibus fuisset natus vel procreatus, eamque pergat partem, quam maluerit, vel quam ei auctoritas canonica permittit, et sicut alii cives Romani vitam ducat ingenuam*, etc. Reg. l. I, c. 402, ubi etiam capite præcedente aliud exemplar libertatis tradi- tur. Quinetiam doctissimus vir Stephanus Baluzius in appendice Auctorum veterum duas manumissio- nis formulas edidit, unam Constantiæ cap. 11, alteram Nicolai de Marisiaco cap. 35.

Digitized by Google

giunt, cujuscunque sint conditionis, ex sancta ecclesia orthodoxæ fidei extra hanc imperialem civitatem extrudere. Si qui autem tale quid moliri vel facere ausi fuerint sacrilegii crimini subjiciantur. Sed neque eos sic in venerabilibus ecclesiis detineri vel constringi, ut illic a rebus esculentis, vel vestimentis, vel quiete, vel somno prohibeantur. Et undecimum caput quod dicit : Usque ad ecclesiæ terminos, qui sunt ante forum publicum, tuti sint qui ad eam confugiunt, interioribus lavacris, vel hortis, vel aulis, vel cubiculis, vel porticibus utentes, et prohibeantur intra templum dormire vel comesse. Ne armis autem sibi securitatem parent, sed ea apud episcopum deponant, vel persuasi primum, vel postea ejecti jussu episcopi et judicum. Et caput 12 : Servus cum armis confugiens statim ejiciatur : si autem resistat, majoribus viribus cogatur; et si pugnans ceciderit, dominus occidens non teneatur. Lege etiam decretum 3 decimi tertii capitis ejusdem tituli, quod dicit : Apud competentes judices litigare oportet eos qui confugiunt, **601** et non ad ecclesiam eorum adversarios evocari. Et postremum responsum ejusdem capitis quod dicit : Interea autem pientissimos œconomos seu ecclesiæ defensores curam et diligentiam adhibere oportet, ut uniuscujusque eorum, qui ad ecclesias confugiunt, nomina et causas sine mora inquirant. Præterea autem magistratus, vel illi ad quos negotia et personæ pertinent, hæc scientes, ea qua par est rectitudine quæ illis conveniunt diligentius statuant. Quare nota, quod quî non describuntur, non sunt ex eorum numero qui confugiunt.

A τοῦ α' τίτλου τοῦ ε' βιβλίου κεφάλαιον ιγ', λέγον· Θεσπίζομεν, μὴ ἐξέστω τινὶ τοὺς πρόσφυγας, τοὺς οἱασδήποτε τύχης ὄντας, ἐκ τῆς ἁγίας Ἐκκλησίας τῆς ὀρθοδόξου πίστεως ἐκτὸς ταύτης τῆς βασιλίδος πόλεως ἐξωθεῖν. Εἰ δέ τινες τοιοῦτόν τι μηχανήσασθαι ἢ ποιῆσαι τολμήσουσι, τῷ τῆς ἱεροσυλίας ἐγκλήματι ὑποβαλλέσθωσαν. Ἀλλὰ μηδὲ τούτους οὕτως κατέχεσθαι ἐν ταῖς σεβασμίαις ἐκκλησίαις ἢ συσφίγγεσθαι, ἵνα αὐτόθεν ἢ τροφίμων πραγμάτων ἢ ἐνδυμάτων ἢ ἡσυχίας ἢ ὕπνου κωλύωνται. Καὶ τὸ ια' κεφάλαιον λέγον· Μέχρι τῶν πρὸ τῆς δημοσίας ἀγορᾶς τῆς ἐκκλησίας ὅρων τὸ ἀσφαλὲς ἐχέτωσαν οἱ προσφυγόντες, τοῖς ἐνδοτέροις λουτροῖς ἢ κήποις ἢ οἰκήμασιν ἢ αὐλαῖς ἢ στοαῖς χρώμενοι, καὶ κωλυέσθωσαν ἐντὸς τοῦ ναοῦ ὑπνοῦν ἢ ἐσθίειν. Ὅπλοις δὲ μὴ ἀσφαλιζέτωσαν ἑαυτούς, ἀλλὰ ὑποτιθέτωσαν ταῦτα παρὰ τῷ ἐπισκόπῳ, ἢ πειθόμενοι πρώτον, ἢ μετὰ ταῦτα ἐκβαλλόμενοι κατὰ κέλευσιν τοῦ ἐπισκόπου καὶ τῶν δικαστῶν. Καὶ κεφάλαιον ιβ'· Μεθ' ὅπλων ὁ οἰκέτης προσφυγὼν εὐθὺς ἐκβαλλέσθω· ἀνθιστάμενος δέ, μείζονι βιαζέσθω δυνάμει· κἂν μαχόμενος τελευτήσῃ, ἀνεύθυνος ὁ ἐπελθὼν ἔσται δεσπότης. Ἀνάγνωθι καὶ τὸ γ' θέμα τοῦ ιγ' κεφαλαίου τοῦ αὐτοῦ τίτλου, λέγον· Παρὰ τοῖς προσφόροις δικάζεσθαι δικασταῖς τοὺς πρόσφυγας, καὶ οὐχὶ παρὰ τῇ Ἐκκλησίᾳ τοὺς ἀντιδίκους αὐτῶν μετακαλεῖσθαι. Καὶ τὸ τελευταῖον θέμα τοῦ αὐτοῦ κεφ. λέγον· Μεταξὺ δὲ τούτων τοῖς θεοσεβεστάτοις οἰκονόμοις εἴτε τοῖς ἐκδίκοις τῆς Ἐκκλησίας φροντίδα καὶ σπουδὴν προσήκει ἔχειν, ὅπως ἑκάστου τῶν ἔνδον τῆς ἐκκλησίας προσφευγόντων τὰ ὀνόματα καὶ τὰς αἰτίας ἀνυπερθέτως ἐκζητῶσιν. Ἔπειτα δὲ οἱ ἄρχοντες, ἢ ἐκεῖνοι πρὸς οὓς τὰ πράγματα καὶ τὰ πρόσωπα ἀνήκουσι, ταῦτα μανθάνοντες, τῇ ἐπιτηδείῳ εὐθύτητι ἐπιμελέστερον ἑαυτοῖς τὰ ἁρμόττοντα διατυπούτωσαν. Ὥστε σημείωσαι ὅτι οἱ μὴ ἀπογραφόμενοι οὐκ εἰσὶ πρόσφυγες (33).

B

C

ZONAR. Dubitabant synodi Patres, an in ecclesia manumissiones proclamari ac peragi oporteret. Propositum est igitur de legatis in Italiam mittendis ; ac si quidem, qui eo loci degunt episcopi, rem probaverint, nos quoque, inquiunt, eam consuetudinem, data palam ejus rei gerendæ facultate, amplectimur. Illud autem [nostra fiducia eorum ordinem sequitur] ejusmodi est : Nos quoque, aiunt, nihil in ea re peccari, neque constitutionem ecclesiasticam violari arbitrabimur, eorumque judicium sequemur, ac institutum, quasi laude et commendatione dignum, probavimus.

ΖΩΝΑΡ. Ἀμφέβαλλον οἱ τῆς συνόδου, εἰ δεῖ ἐλευθερίας κηρύττεσθαι, ἤγουν ἐκφωνεῖσθαι, καὶ πράττεσθαι ἐν ταῖς ἐκκλησίαις. Διὸ εἰσήχθη γνώμη, σταλῆναι τοποτηρητὰς εἰς Ἰταλίαν, καὶ εἰ οἱ ἐκεῖσε ἐπίσκοποι δέχονται τοῦτο γινόμενον, ἕπεσθαι αὐτοὺς τῇ ἐκεῖ συνηθείᾳ, δοθείσης φανερῶς ἀδείας τοῦτο γίνεσθαι. Τῷ δὲ, Ἡ ἡμετέρα πεποίθησις τῇ τούτων τάξει ἕπεται, τοιοῦτόν ἐστιν, ὅτι Καὶ ἡμεῖς θαῤῥήσομεν ὡς καλῶς τὸ πρᾶγμα γίνεται, καὶ οὐκ ἔξω τῆς ἐκκλησιαστικῆς καταστάσεως, καὶ ἐψόμεθα αὐτοῖς, καὶ δεξόμεθα ταῦτα, ὡς ἐπαινετῶς γινόμενα. D

Guill. Beveregii notæ.

(33) *Οὐκ εἰσὶ πρόσφυγες.* Post hæc ultima Balsamonis in hunc canonem verba in ms. Bodleiano hæc adduntur, rubris characteribus scripta : Σημείωσαι τὰ ἐν τῇ ἑρμηνείᾳ τοῦ παρόντος κανόνος γεγραμμένα καὶ ἔχε ἐπὶ μνήμης τοὺς καταστρωθέντας νόμους ἐν αὐτῇ χάριν τῶν ἐκκλησιαστικῶν προσφύγων. Ἀνάγνωθι καὶ τὸν παρ' ἡμῖν γραφέντα τόμον χάριν τῶν ὀφφικίων τοῦ χαρτοφύλακος καὶ πρωτεκδίκου· ἐκεῖ γὰρ διεγράψαμεν πολλά τινα ἀναγκαῖα, διδάσκοντα ποῦ καὶ πῶς ὀφείλουσιν οἱ ἐκκλησιαστικοὶ πρόσφυγες δικάζεσθαι. Ἔστι δὲ σημείωμα ὅτι, εἰ μὴ ἀπογραφῶσιν οἱ πρόσφυγες εἰς τὸ τοῦ πρωτεκδίκου κωδίκιον, τῆς ἐκκλησιαστικῆς βοηθείας οὐκ ἀπολαύουσιν. *Nota quæ in interpretatione præsentis canonis scripta sunt et memoria tene leges in ea sitas, eorum gratia, qui ad ecclesiam confugiunt. Lege etiam tomum a nobis conscriptum. De officiis chartophylacis et primi defensoris. Ibi enim multa scripsimus necessaria, indicantia, ubi et quomodo ecclesiastici fugitivi dijudicari debent. Exstat autem declaratio, quod nisi confugæ in primi defensoris codice describantur, ecclesiastico auxilio non fruentur.* Hæc rubris licet exarata characteribus, Balsamonis tamen revera esse, ex eo constat, quod qui hæc conscripsit, tomum *De officiis cartophylacis, et primi defensoris* a se scriptum asserat ; qualis a Balsamone conscriptus, editus est in *Juris Græco-Romani* lib. VII, pag. 453.

Digitized by Google

ΑΡΙΣΤ. « Αἰτητέον ἐκ βασιλέως περὶ τῶν ἐν ἐκκλη- A
« σίαις γινομένων ἐλευθεριῶν. »

Νόμου τότε κρατοῦντος τοὺς ἐλευθερουμένους δούλους μὴ ἀλλαχοῦ τὰς ἐλευθερίας λαμβάνειν, ἀλλ' ἢ ἐν ταῖς στήλαις τῶν βασιλέων, δεηθῆναι ἡ σύνοδος αὕτη τοῦ βασιλέως τοῖς παρ' αὐτῆς σταλεῖσι πρεσβευταῖς προετρέψατο, ὡς ἂν μὴ αἱ γινόμεναι ἐν ταῖς ἐκκλησίαις ἐλευθερίαι διὰ τὸν νόμον τοῦτον ἀνατρέπωνται, ἀλλ' ἄδειαν φανερῶς ταύταις δοθῆναι τοῦτο πράττειν.

ARIST. « Ab imperatore petendum est de manu-
« missionibus quæ in ecclesiis fiunt. »

Lege tunc obtinente, ut servi manumissi nullibi libertatem acciperent, nisi in imperatorum cippis: synodus hæc legatos a se missos imperatorem orare hortatur, ut manumissiones in ecclesiis factæ per istam legem non everterentur; sed ut iis licentia illud faciendi manifesto concederetur.

ΚΑΝΩΝ ΞΗ'.

« Περὶ Αἰκυτίου ἐπισκόπου τοῦ καταδικασθέντος.
« Αὐρήλιος ἐπίσκοπος εἶπεν· Τοῦ Αἰκυτίου ἔτι
« μὴν, τοῦ ἐκπαλαι κατὰ τὴν ἰδίαν ἀξίαν τῇ τῶν
« ἐπισκόπων γνώμῃ καταδικασθέντος, τὸ πρᾶγμα
« οὐκ οἶμαι παρεατέον τῇ πρεσβείᾳ· ἵνα, ἐὰν B
« τυχὸν τοῦτον εὕροι ἐν ἐκείνοις τοῖς μέρεσιν,
« ἔστω πρὸς φροντίδος τῷ αὐτῷ ἀδελφῷ ἡμῶν
« ὑπὲρ τῆς ἐκκλησιαστικῆς καταστάσεως, ὡς χρὴ
« καὶ ὅπου ἐξὸν εἴη, κατ' ἐκείνου διαπράξασθαι.
« Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· Πολὺ
« ἀρέσκει καὶ αὕτη ἡ ἐξακολούθησις· μάλιστα
« ὅτι ἐκπαλαι καταδεδίκασται ὁ αὐτὸς Αἰκύτιος,
« καὶ ἡ τούτου ἀναίσχυντος ἀνησυχία ὑπὲρ τῆς
« καταστάσεως καὶ σωτηρίας τῆς Ἐκκλησίας
« μᾶλλον καὶ μᾶλλον πανταχοῦ καταμαχητέα
« ἐστίν. Καὶ ὑπέγραψαν· Αὐρήλιος ἐπίσκοπος
« τῆς ἐν Καρχηδόνι ἐκκλησίας τῷ παρόντι ψη-
« φίσματι συνήνεσα, καὶ ἀναγνωσθέντι ὑπέ-
« γραψα. Ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι
« ὑπέγραψαν. » C

CANON LXVIII.

« De Equitio episcopo condemnato. Aurelius epi-
« scopus dixit: Equitii præterea, pro meritis
« jampridem episcopali sententia condemnati
« negotium non existimo esse legationi prater-
« mittendum: ut si eum forte in illis partibus
« invenerit, curæ sit ipsi fratri nostro, pro statu
« ecclesiastico, ut oportet, et ubi licuerit, adver-
« sus illum peragere. Ab omnibus episcopis
« dictum est, Multum placet hæc quoque con-
« sequentia: maxime quia jam olim condemnatus
« est hic Equitius, et impudens ejus inquietudo,
« pro statu et salute Ecclesiæ, magis et magis
« ubique est oppugnanda. Et subscripserunt:
« Aurelius episcopus Carthaginensis ecclesiæ
« præsenti decreto consensi, et lecto subscripsi.
« Similiter et reliqui episcopi subscripserunt. »

ΒΑΛΣ. Ὁ Αἰκύτιος καθῃρέθη καὶ οὐχ ἡσύχαζε. Φησὶν οὖν ὁ Αὐρήλιος, ἵνα ἐὰν εὑρήσουσι τοῦτον οἱ τοποτηρηταὶ, φροντίσωσιν, ὡς δύναμις, ποιῆσαί τι εἰς τιμὴν τῆς ἐκκλησιαστικῆς καταστάσεως, διὰ τοῦ παυθῆναι αὐτόν. Εἶπον δὲ καὶ πάντες ὡς ἀρέσκει τοῦτο. Ἡ γὰρ πολλὴ ἀναισχυντία καὶ ὄχλησις τοῦ Αἰκυτίου ἀντιμάχεται αὐτῷ, τουτέστι ποιεῖ καὶ αὐτοὺς ἀσυμπαθεῖς.

BALS. Equitius fuit depositus, et non quievit. Dicit ergo Aurelius, quod si eum legati invenerint, curent, ut possunt, aliquid agere in honorem status ecclesiastici, eum cessare faciendo. Dixerunt autem omnes hoc eis placere. Multa enim impudentia et turba Equitii ei adversatur, hoc est, facit ut ipsi nulla ejus misericordia moveantur.

ΖΩΝΑΡ. Ὁ Αἰκύτιος κατεδικάσθη παρὰ τῶν ἐπισκόπων καὶ ἐγυμνώθη τῆς ἰδίας ἀξίας, ἤτοι καθῃρέθη· ὁ δὲ οὐχ ἡσύχασεν, ἀλλ' ἐθορύβει. Φασὶν οὖν ὅτι ἐκπαλαι κατεδικάσθη κατὰ τὴν ἰδίαν ἀξίαν, ἤγουν ὡς ἦν ἄξιος, καὶ οὐ χρὴ παριδεῖν τὸ περὶ αὐτοῦ πρᾶγμα, ἤγουν περὶ αὐτοῦ πρᾶξιν καὶ τὴν D
ὑπόθεσιν, ἀλλ' ἐντείλασθαι τῷ στελλομένῳ ἐκεῖ εἰς πρεσβείαν, ἐὰν εὕρῃ αὐτὸν ἐν ἐκείνοις τοῖς μέρεσι, διὰ φροντίδος ποιῆσαι, ὡς δύναται, κατ' ἐκείνου χωρῆσαι ὑπὲρ τῆς ἐκκλησιαστικῆς καταστάσεως, ἵνα μή τις ταραχὴ ἐξ ἐκείνου τῇ Ἐκκλησίᾳ γένηται. Ἡ γὰρ τούτου ἀναίσχυντος, φησὶν, ἀνησυχία, τουτέστι τὸ μὴ θέλειν αὐτὸν ἡσυχίαν ἄγειν ἐξ ἀναισχυντίας, μᾶλλον καὶ μᾶλλον, ἀντὶ τοῦ πλειόνως, καταμαχητέα, ἤγουν ἀνθίστασθαι αὐτῷ καὶ ἀντιπράττειν ἄξιον.

ZONAR. Equitius ab episcopis condemnatus, ac dignitate sua spoliatus, hoc est, depositione multatus fuit. Ille vero inquietus cuncta tumultu miscebat. Eum igitur jam olim, ut commeritus fuerat, damnatum fuisse asserunt, neque vero ipsius negotia, hoc est, actionem et causam ipsius esse negligendam, sed ei, qui legatus in illas oras profecturus est, præcipiendum, ut si hominem in iis regionibus invenerit, omni studio et conatu contra illum pro ecclesiastica tranquillitate pugnet, **602** ne quis ab eo in Ecclesia tumultus exsistat. Cum enim illius, inquiunt, irrequieta sit impudentia, hoc est, cum propter impudentiam quietem agere nolit; tanto magis nobis faciendum est, ut contra eum pugnemus, hoc est illi obsistamus, ejusque conatibus refragemur.

ΑΡΙΣΤ. « Αἰκύτιος ἐκπαλαι καταδικασθεὶς τῇ
« τῶν ἐπισκόπων γνώμῃ, καὶ καταναισχυντῶν
« ὑπὲρ τῆς ἐκκλησιαστικῆς καταστάσεως, μα-
« χητέος ἐστω. »

ARIST. « Equitius jampridem episcoporum judicio
« condemnatus, et impudenter se gerens con-
« tra ecclesiasticam constitutionem, oppugnan-
« dus est. »

Digitized by Google

Episcopus condemnatus ob crimina, et depositus, si se injuria affectum judicat, ad majorem synodum appellare debet. Sed impudenter se gerere, et sacerdotium retinere cum auctoritate et vi conari, nihil aliud est quam ecclesiasticæ constitutioni oppugnare. Hoc itaque faciens et Equitius iste cathedræ Hipponensis episcopus, post episcoporum sententiam contra eum latam, ut ecclesiasticæ constitutioni adversarius judicatus est

Actio quarta.

« In hoc conventu lecta Anastasii papæ Romani « epistola, de Donatistis ad synodum scripta, ut « ipsi recipiantur, et clementer cum iis agatur, « Patres Deo et papæ gratias agebant. In hoc « concilio leguntur litteræ Anastasii papæ Romani, « de Donatistis Catholicos episcopos admonentes. « Sub Vincentio et Flavio clarissimis consulibus, « idibus Septembris, Carthagine in secreto Re- « stitutæ ecclesiæ, ad synodum congregati et « præsidentes ex omnibus in Africa provinciis « episcopi, hoc est, Aurelius ejusdem sedis epi- « scopus cum suis familiaribus, quos sua indicat « subscriptio, dixit: Lectis litteris beatissimi « fratris et consacerdotis nostri Anastasii, Ro- « manorum Ecclesiæ episcopi, per quas fraternæ, « vel potius paternæ, dilectionis cura et sincerи- « tate nos adhortatus est, ut de hæreticorum et « schismaticorum et Donatistarum insidiis et « impudentia, quæ in universa Afrorum regione « catholicam Ecclesiam graviter depopulatur, « nullomodo dissimulemus; gratias agimus Deo « Domino nostro, quodpium hanc curam inspi- « rare dignatus sit, excellentissimo et sanctissimo « ejus sacerdoti pro membris Christi; quæ etsi « in diversis quidem terræ partibus, in una « tamen corporis compage et harmonia consti- « tuta sunt. »

CANON LXIX.

Ut cum Donatistis clementer agatur. Postea tra- « ctatis et consideratis omnibus, quæ ad utili- « tatem ecclesiasticam concurrere videntur, an- « nuente et inspirante divino Spiritu, satius « esse duximus cum memoratis hominibus leni- « ter et pacifice agere, etiamsi maxime a Do- « minici corporis unione inquieta dissensione se « abscindant; ut, quantum est in nobis, omnibus « omnino notum sit, qui illorum communione et « familiaritate sunt irretiti in omnibus Africæ « provinciis, quam sunt miserabili errore illa- « queati: forte, ut dicit apostolus, nobis in man- « suetudine congregantibus eos, qui diversa sen- « tiunt, dabit eis pœnitentiam ad agnoscendam « veritatem, et ut, qui diaboli laqueis capti « sunt, ab ipso ad ejus voluntatem deducantur. »

A Καταδικασθεὶς ἐπίσκοπος ἐπ' ἐγκλήμασι, καὶ καθαιρεθεὶς, εἰ οἴεται ἀδικεῖσθαι, πρὸς μείζονα σύνοδον ἐκκαλεῖσθαι ὀφείλει· τὸ δὲ ἀναισχυντεῖν, καὶ τὴν ἱερωσύνην σπεύδειν κατέχειν αὐθεντικῶς καὶ βιαίως, οὐδέν τι ἄλλο ἐστὶν ἢ τὸ ἀντιμάχεσθαι τῇ ἐκκλησιαστικῇ καταστάσει. Τοῦτο γοῦν ποιήσας καὶ ὁ Αἰκύτιος οὗτος, τῆς ἐν Ἱππῶνι καθέδρας ἐπίσκοπος, μετὰ τὴν κατ' αὐτοῦ ἐξενεχθεῖσαν κρίσιν τῶν ἐπισκόπων ὡς ἐναντίος ἐκρίθη τῆς ἐκκλησιαστικῆς καταστάσεως.

Πρᾶξις τετάρτη.

« Ἐν ταύτῃ τῇ συνελεύσει ἀναγνωσθείσης ἐπι- « στολῆς τοῦ πάππα Ῥώμης Ἀναστασίου πρὸς « τὴν σύνοδον περὶ τῶν Δονατιστῶν, ὥστε αὐτοὺς « δέχεσθαι καὶ ἡπίως αὐτοῖς προσφέρεσθαι, τύχα- « ρίστησαν οἱ Πατέρες τῷ Θεῷ καὶ τῷ πάππᾳ. Ἐν « ταύτῃ τῇ συνόδῳ γράμματα ἀναγινώσκονται « Ἀναστασίου τοῦ ἱερέως Ῥώμης, περὶ τῶν Δο- « νατιστῶν ὑπομιμνήσκοντα τοὺς καθολικοὺς « ἐπισκόπους. Ἐπὶ Βικεντίου καὶ Φλαβίου τῶν « λαμπροτάτων ὑπάτων εἰδοῖς Σεπτεμβρίαις ἐν « Καρχηδόνι εἰς τὸ σήκρητον τῆς Ῥεστιτούτης « ἐκκλησίας πρὸς σύνοδον συναχθέντες καὶ προ- « καθίσαντες οἱ ἐκ πασῶν τῶν ἐν Ἀφρικῇ ἐπαρ- « χιῶν ἐπίσκοποι, τοῦτ' ἔστιν Αὐρήλιος ὁ τοῦ « αὐτοῦ θρόνου ἐπίσκοπος μετὰ τῶν ἑτέρων αὐτοῦ, « οὓς δηλοῖ ἡ οἰκεία ὑπογραφή, εἶπεν· Ἀναγνω- « σθέντων γραμμάτων τοῦ μακαριωτάτου ἀδελ- « φοῦ καὶ συνιερέως ἡμῶν Ἀναστασίου, τοῦ τῆς « Ῥωμαίων Ἐκκλησίας ἐπισκόπου, δι' ὧν ἀδελ- « φικῆς, μᾶλλον δὲ πατρικῆς, ἀγάπης μερίμνῃ « καὶ εἰλικρινότητι ἡμᾶς προετρέψατο, ἵνα περὶ « τῆς τῶν αἱρετικῶν καὶ σχισματικῶν Δονατιστῶν « ἐπιβουλῆς καὶ ἀναισχυντίας, τῆς τὴν καὶ κατὰ « πᾶσαν τὴν Ἄφρων χώραν καθολικὴν ἐκκλησίαν « βαρέως πορθούσης μιᾶδαμῶς προσποιησώμεθα, « χάριτας ὁμολογοῦμεν τῷ Δεσπότῃ ἡμῶν Θεῷ, « ὅτι τοιαύτην εὐσεβῆ φροντίδα ἐμπνεῦσαι κα- « τηξίωσε τῷ οὕτως καλλίστῳ καὶ ἁγιωτάτῳ « αὐτοῦ ἱερεῖ ὑπὲρ τῶν μελῶν τοῦ Χριστοῦ, « τῶν κἂν ἐν διαφόροις τῆς γῆς μέρεσιν, ἀλλ' « ἐν μιᾷ σώματος ἁρμονίᾳ κοθισταμένων. »

ΚΑΝΩΝ ΞΘ'.

« Περὶ τοῦ μετὰ τῶν Δονατιστῶν πράως διαπρά- « ξασθαι. Μετὰ ταῦτα ψηλαφηθέντων καὶ κα- « τανοηθέντων πάντων τῶν τῇ ἐκκλησιαστικῇ « χρησιμότητι συντρέχειν δοκούντων, ἐπινεύσαν- « τος καὶ ἐνηχήσαντος τοῦ Πνεύματος Θεοῦ, « ἐπελεξάμεθα ἡπίως καὶ εἰρηνικῶς διαπράξα- « σθαι μετὰ τῶν μνημονευθέντων ἀνθρώπων, « κἂν εἰ τὰ μάλιστα ἐκ τῆς τοῦ Κυριακοῦ σώ- « ματος ἑνώσεως ἀνησυχάστῳ διχονοίᾳ ἀποσχί- « ζωσιν ἀνὰ πάσας τὰς τῆς Ἀφρικῆς ἐπαρχίας, « πῶς ἐλεινῇ πλάνῃ κατεδέθησαν· ἴσως, καθὼς « λέγει ὁ Ἀπόστολος, ἡμῶν ἐν ἡμερότητι συν- « αγόντων τοὺς τὰ διάφορα φρονοῦντας, δώσει « αὐτοῖς ὁ Θεὸς μετάνοιαν πρὸς τὸ ἐπιγνῶναι τὴν « ἀλήθειαν, καὶ ἵνα ἀνασφήλωσιν οἱ ἐκ τῶν τοῦ « διαβόλου βρόχων αἰχμαλωτισθέντες αὐτῷ εἰς « τὸ αὐτοῦ θέλημα. »

Digitized by Google

ΒΑΛΣ. Οὐδέν τι ἕτερον ὁ παρὼν κανὼν λέγει ἀλλ' ἢ τὸ ἡπίως καὶ εἰρηνικῶς χρήσασθαι τοὺς Πατέρας τοῖς Δονατισταῖς, κἂν αὐτοὶ ἀποσχίζωσιν ἐκ τῆς τοῦ Κυριακοῦ σώματος ἑνώσεως, Κυριακὸν δὲ σῶμα τὴν Ἐκκλησίαν νοητέον, ἧς κεφαλὴ ὁ Χριστός ἐστιν· ἢ τὰ θεῖα μυστήρια, ὡς περὶ ταῦτα ἐκείνων διαφερομένων τοῖς πιστοῖς, καθὼς προείρηται.

A

ZΩΝΑΡ. Ὡς ἀνωτέρω εἴρηται, ἀναφορὰν ἐποιήσατο ἡ σύνοδος αὕτη πρὸς τὸν Ῥώμης ἐπίσκοπον, καὶ δεξαμένη γράμματα ἐκείνου συνέθετο ἡπίως καὶ εἰρηνικῶς χρήσασθαι τοῖς Δονατισταῖς, κἂν τὰ μάλιστα ἀποσχίζωσι, φασὶν, ἐκ τῆς τοῦ Κυριακοῦ σώματος ἑνώσεως. Κυριακὸν δὲ σῶμα, ἢ τὴν Ἐκκλησίαν νοητέον, ἤτοι τὸ τῶν ὀρθοδόξων ἄθροισμα, οὗ κεφαλὴ ἦγηται ὁ Χριστὸς, ἢ Κυριακὸν σῶμα τὰ θεῖα μυστήρια, περὶ ταῦτα ἐκείνων διαφερομένων τοῖς πιστοῖς, καὶ μὴ οὕτω μετεχόντων αὐτῶν, ὡς ἡ Ἐκκλησία, ἀλλ' ἕτερόν τινα τρόπον, ὡς ἤδη προείρηται· ἵνα ὅσον τὸ ἐν ἡμῖν, ἀντὶ τοῦ, ὅσον πρὸς δύναμιν ἡμετέραν ἐστὶ, δῆλον γένηται πᾶσι τοῖς συναιρεσιώταις ἐκείνων, πῶς ἐλεεινῇ πλάνῃ κατεδεσμήθησαν, καὶ γνόντες τὴν ἀλήθειαν ἴσως ἐπιστρέψωσι. Κέχρηνται δὲ καὶ ἐπιστολικαῖς ἐννοίαις καὶ ῥήμασι:

B

ΑΡΙΣΤ. « Ἔδοξεν ἡπίως καὶ εἰρηνικῶς προσενεχθῆναι « τοῖς Δονατισταῖς, καίπερ ἀποσχίζουσιν ἑαυτοὺς « τῆς Ἐκκλησίας· εἰ πως, αἰδεσθέντες τὴν πολ- « λὴν ἡμῶν ἡμερότητα, τῆς αἰχμαλωσίας ἀνασφή- « λωσι. »

ARIST. « Visum est, ut leniter et pacifice cum Do- « natistis agatur, etiamsi se ab Ecclesia separa- « runt : si forte eximiam nostram reverentes le- « nitatem a captivitate liberentur. »

C

Δεῖ τοὺς τοῦ πράου καὶ εἰρηνικοῦ Χριστοῦ μαθητὰς διὰ φροντίδος τίθεσθαι τοὺς ἀποσχίζοντας ἑαυτοὺς τῆς καθολικῆς Ἐκκλησίας παντοίως σπεύδειν ἐπισυνάγειν μετὰ πραότητός τε καὶ ἡμερότητος, καὶ προσενοῦν αὐτοὺς αὖθις τῇ Ἐκκλησίᾳ· μὴ μέντοι γε δὲ μόνον τὸ οἰκεῖον ἐπιζητεῖν, καὶ τῆς τῶν ἄλλων σωτηρίας καταφρονεῖν. Διὰ τοῦτο γοῦν καὶ τοὺς Δονατιστὰς τοῦ Κυριακοῦ σώματος ἀποσχίσαντας ἑαυτοὺς, καὶ τῇ πλάνῃ καταδεθέντας, μήδ' ἡμερότητος ἡ σύνοδος ὥρισε προσελθεῖν αὐτοῖς, καὶ παρακαλέσαι καταλιπεῖν τὴν πλάνην, καὶ τὴν ἀλήθειαν ἐπιγνῶναι· ἵν' ἴσως, τὴν ἀγάπην τῶν παρακαλούντων καὶ τὴν πραότητα αἰδεσθέντες, ἀνασφήλωσι τῆς αἰχμαλωσίας.

Oportet mitis et pacifici Christi discipulos curam habere eorum qui se ab Ecclesia catholica separarunt, et omnino studere cum lenitate et mansuetudine reducere, cosque Ecclesiæ iterum unire : non quidem suum tantum quærere, et aliorum salutem neglectui habere. dcirco itaque Donatistas, qui a Dominico corpore se abscciderunt, et errore detenti fuerunt, synodus decrevit cum mansuetudine adire, et adhortari errorem deserere, et agnoscere veritatem ; ut adhortantium charitatem et mansuetudinem forte reverentes, a captivitate liberentur.

ΚΑΝΩΝ Ο'.

D

« Περὶ γραμμάτων ὀφειλόντων τοῖς ἄρχουσιν Ἀφρι- « κοῖς ἀποσταλῆναι, ὥστε κατάδηλα γενέσθαι τὰ « μεταξὺ τῶν Δονατιστῶν καὶ Μαξιμιανιστῶν « πραχθέντα. Ἤρεσεν τοίνυν ἵνα ἐκ τῆς ἡμε- « τέρας συνόδου γράμματα πρὸς τοὺς τῆς Ἀφρι- « κῆς ἄρχοντας ἐοθῶσιν, ἀφ' ὧν αἰτῆσαι ἁρμό- « διον ἔδοξεν περὶ τοῦ βοηθῆσαι τῇ κοινῇ μητρὶ « τῇ καθολικῇ Ἐκκλησίᾳ, ἐν οἷς ἡ τῶν ἐπισκόπων « αὐθεντία ἐν ταῖς πόλεσι καταφρονεῖται· τοῦτ' « ἔστιν ἵνα ἀρχοντικῇ δυναστείᾳ καὶ ἐπιμελείᾳ « καὶ Χριστιανικῇ πίστει ἀναζητήσωσι τὰ γενό- « μενα ἐν ὅλοις τοῖς τόποις, ἐν οἷς οἱ Μαξιμιανι- « σταὶ ἐκκλησίας κατέσχον· ἔτι δὲ καὶ τοὺς ἀπ' « αὐτῶν ἀποσχίσαντας, καὶ δημοσίοις πεπραγμέ- « νοις τὴν περὶ τούτων γνῶσιν βεβαίαν πᾶσιν « ἀναγκαίως ποιήσωσιν ἐντεθῆναι. »

CANON LXX.

« De litteris quæ mitti debent magistratibus Africæ, « ut clara sint quæ inter Donatistas et Maxi- « mianistas acta sunt. Placuit ergo ut ex nostra « synodo litteræ ad Africæ magistratus dentur, a « quibus petere consentaneum visum est, ut com- « muni matri catholicæ Ecclesiæ opem ferant, « eo quod episcoporum auctoritas in civitatibus « contemnitur ; id est, ut sua potestate et au- « ctoritate studioque et fide Christiana inqui- « rant quæ in omnibus locis fiunt, in quibus « Maximianistæ ecclesias detinuerunt : præterea « autem, ut qui ab ipsis abscissi sunt, omnibus « firmam ac stabilem de iis cognitionem necessa- « rio actis publicis inseri faciant. »

Digitized by Google

BALS. Hic statuitur, litteras synodales ad magistratus qui sunt in Africa dari, ut Ecclesiæ opem ferant, ubi episcoporum auctoritas contemnitur; et per eorum potestatem corrigantur audacia hæreticorum incepta, vel per acta publice scripta, vel per manifestam punitionem.

ZONAR. Munus episcoporum fuit populum erudire. Quod si essent seditiosi ac importuni, qui tumultus ac perturbationes in Ecclesia concitarent, ad eos coercendos auxilium a magistratibus implorabant. Idem igitur hoc loco statuitur, ad cosque magistratus, ut Ecclesiæ catholicæ communis omnium parentis patrocinium suscipiant, litteræ decernuntur. Parens vero fidelium communis Ecclesia dicitur, quod in ea divino baptismatis munere initium vitæ duxerimus, ac ejus quidem vitæ, quam in divina luce ac libertate perturbationum vinculis soluti degimus, cujusque beneficio ad cœlestis vitæ felicitatem pervenimus. Patrocinari vero **604** illos in iis rebus maxime volunt, in quibus auctoritas episcoporum contemnitur; ut magistratuum opibus adjuti in ea, quæ a Maximianistis patrantur, inquirant. Maximianistæ porro quidam erant ex hæresi Donatistarum, qui a gregalibus suis hæreticis secessione facta orthodoxorum Ecclesias occupaverant. De his ergo synodi Patres, ut inquiratur a magistratibus, rogant, ac in publicis actis, sive commentariis publice scriptis, horum cognitionem omnibus necessariam, id est utilem, ex qua videlicet ad omnes utilitas perventura sit, inscribi atque inseri postulant.

ARIST. « Litteris synodicis rogandum est magi-
« stratus, ut communi matri Ecclesiæ catholicæ
« opem ferant, inter eos quibus episcoporum au-
« ctoritas despectui habetur. »

Qui ratione et canonicis constitutionibus non persuadeantur, magistratus iis manu ad correctionem opus est. decirco itaque et hæc synodus ad Africæ magistratus scribere congruum judicabant, cosque postulare communi matri Ecclesiæ catholicæ opem ferre in quibus episcopi potestate sacerdotali uti non possunt; despectui forsitan habiti ab hæreticis, vel etiam a fidelibus immorigeris.

CANON LXXI.

« Ut clerici Donatistarum in catholicæ Ecclesiæ
« clerum recipiantur. Postea placuit, ut mittan-
« tur litteræ ad fratres et coepiscopos nostros, et
« maxime ad sedem apostolicam, cui præsidet
« memoratus venerandus frater et coepiscopus
» noster Anastasius; quoniam scit Africam
« magnam habere necessitatem, ut propter Ec-
« clesiæ pacem et utilitatem, et ipsorum quoque
« Donatistarum, qui quidem clerici, mutato con-
« silio, ad catholicam unionem transire volue-
« rint, secundum uniuscujusque catholici epi-
« scopi voluntatem et consilium, qui in ipso loco
« Ecclesiam gubernat; si hoc Christianorum
« paci conferre visum fuerit, ipsi in propriis

ΒΑΛΣ. Τετύπωται ἐνταυθοῖ γράμματα γενέσθαι συνοδικὰ πρὸς τοὺς ἐν Ἀφρικῇ ἄρχοντας, ὡς ἂν βοηθήσωσι τῇ Ἐκκλησίᾳ, ἐν οἷς ἡ τῶν ἐπισκόπων αὐθεντία καταφρονεῖται· καὶ διὰ τῆς τούτων δυνάμεως διορθωθῶσι τὰ παρὰ τῶν αἱρετικῶν τολμώμενα, ἢ διὰ ὑπομνημάτων δημοσίᾳ γραφομένων ἢ διὰ φανερᾶς ἐκδικήσεως.

ΖΩΝΑΡ. Οἱ ἐπίσκοποι ἐδίδασκον τοὺς λαούς. Εἰ δέ τινες ἦσαν ἄτακτοι καὶ στασιώδεις, θορυβοῦντες καὶ ταράσσοντες τὴν Ἐκκλησίαν, κατὰ τῶν τοιούτων ἀρχοντικὴν ἐξουσίαν ἀπεκαλοῦντο. Τοῦτο τοίνυν κἀνταῦθα ποιῆσαι συντίθενται, καὶ γράψαι τοῖς ἄρχουσι βοηθῆσαι τῇ κοινῇ μητρὶ τῇ καθολικῇ Ἐκκλησίᾳ. Μήτηρ δὲ τῶν πιστῶν λέγεται ἡ Ἐκκλησία, ὡς ἐν αὐτῇ ἀναγεννωμένων ἡμῶν διὰ τοῦ ἁγίου βαπτίσματος γέννησιν τὴν ἡμερινὴν καὶ ἐλευθέραν καὶ λυτικὴν παθῶν, καὶ πρὸς τὴν ἄνω ζωὴν ἐπανάγουσαν. Βοηθῆσαι δὲ αἰτοῦσιν ἐν οἷς αὐθεντίᾳ τῶν ἐπισκόπων καταφρονεῖται, ἵνα διὰ τῆς ἀρχικῆς δυνάμεως ἐξετάσωσι τὰ γενόμενα παρὰ τῶν Μαξιμιανιστῶν. Οἱ Μαξιμιανισταὶ δὲ τῆς τῶν Δονατιστῶν ἦσαν αἱρέσεως, οἳ, ἀποσχίσαντες τῆς τῶν αἱρεσιωτῶν αὐτῶν μοίρας, κατέσχον ὀρθοδόξων Ἐκκλησίας. Περὶ τούτων οὖν ζητῆσαι τοὺς ἄρχοντας ἀξιοῦσιν οἱ τῆς συνόδου, καὶ ἐν πράξεσι δημοσίαις, ἤγουν ἐν ὑπομνήμασι δημοσίᾳ γραφομένοις, ἐντεθῆναι καὶ ἐγγραφῆναι τὴν περὶ τούτων γνῶσιν, ἀναγκαίαν πᾶσιν, ἀντὶ τοῦ λυσιτελῆ, ὡς ὠφέλειαν δυναμένην προξενῆσαι.

ΑΡΙΣΤ. « Γράμμασι συνοδικοῖς ἀξιωτέον τοὺς ἄρ-
« χοντας βοηθῆσαι τῇ κοινῇ μητρὶ τῇ καθολικῇ
« Ἐκκλησίᾳ, ἐν οἷς ἡ τῶν ἐπισκόπων αὐθεντία κα-
« ταφρονεῖται. »

Οἱ μὴ πειθόμενοι λόγῳ καὶ τοῖς κανονικοῖς ἐπιτάγμασιν ἀρχοντικῆς χειρὸς δέονται πρὸς διόρθωσιν. Διὰ τοῦτο γοῦν καὶ ἡ σύνοδος αὕτη πρὸς τοὺς τῆς Ἀφρικῆς ἄρχοντας ἁρμόδιον ἔκρινε γράψαι, καὶ ἀξιῶσαι αὐτοὺς βοηθῆσαι τῇ κοινῇ μητρὶ τῇ καθολικῇ Ἐκκλησίᾳ, ἐν οἷς οἱ ἐπίσκοποι τῇ ἱερατικῇ ἐξουσίᾳ οὐ δύνανται χρήσασθαι, καταφρονούμενοι ἴσως παρὰ αἱρετικῶν, ἢ καὶ πιστῶν ἀνυποτάκτων.

ΚΑΝΩΝ ΟΑ'.

« Περὶ τοῦ τοὺς κληρικοὺς τῶν Δονατιστῶν ἐν τῷ
« κλήρῳ τῆς καθολικῆς Ἐκκλησίας ἀναδέχεσθαι
« Εἰς ὕστερον ἤρεσεν, ἵνα γράμματα πεμφθῶσι
« πρὸς τοὺς ἀδελφοὺς καὶ συνεπισκόπους ἡμῶν,
« καὶ μάλιστα πρὸς τὴν ἀποστολικὴν καθέδραν,
« ἐν ᾗ προκάθηται ὁ μνημονευθεὶς προσκυνητὸς
« ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν Ἀναστάσιος·
« ἐπειδὴ γινώσκει τὴν Ἀφρικὴν μεγάλην ἔχειν
« ἀνάγκην, ὥστε διὰ τῆς Ἐκκλησίας εἰρήνην καὶ
« χρησιμότητα, καὶ αὐτῶν τῶν Δονατιστῶν, εἴτι-
« νες δήποτε κληρικοί, διορθουμένης τῆς βου-
« λῆς, πρὸς τὴν καθολικὴν ἑνότητα μετελθεῖν
« θελήσειεν, κατὰ τὴν ἑνὸς ἑκάστου καθολικοῦ
« ἐπισκόπου προαίρεσιν καὶ βουλὴν, τοῦ ἐν τῷ

Digitized by Google

« αὐτῷ τόπῳ κυβερνῶντος τὴν Ἐκκλησίαν, ἐὰν A
« τοῦτο συμβάλλεσθαι τῇ τῶν Χριστιανῶν εἰρήνῃ
« φανείη, ἐν ταῖς ἰδίαις τιμαῖς αὐτοὺς ἀναδε-
« χθῆναι· καθὼς καὶ ἐν τοῖς προλαβοῦσι χρόνοις
« περὶ τῆς αὐτῆς διαστάσεως γενέσθαι φανερόν
« ἐστιν· ὅπερ πολλῶν καὶ σχεδὸν πασῶν τῶν
« ἐν τῇ Ἀφρικῇ ἐκκλησιῶν, ἐν αἷς ἡ τοιαύτη
« πλάνη ἀνεφύη, τὰ παραδείγματα μαρτύρονται·
« οὐχ ἵνα ἡ σύνοδος ἡ ἐν τοῖς περαματικοῖς μέ-
« ρεσι περὶ τούτου τοῦ πράγματος γενομένη
« διαλυθῇ, ἀλλ' ἵνα ἐκεῖνο μείνῃ περὶ τοὺς οὕτως
« μετελθεῖν πρὸς τὴν καθολικὴν Ἐκκλησίαν βου-
« λομένους, ὥστε μηδεμίαν ἐπὶ τούτων τῆς ἑνό-
« τητος συντομίαν περιεργάζεσθαι. Δι' ὧν δὲ παντὶ
« τρόπῳ ἐκτελεσθῆναι καὶ προσβοηθῆναι ἡ καθ-
« ολικὴ ἑνότης· φανερῷ κέρδει τῶν ἀδελφικῶν B
« ψυχῶν φανείη ἐν τοῖς τόποις, οἷς διάγουσιν, μὴ
« ἐμποδίσῃ τούτους τὸ ὁρισθὲν κατὰ τῶν τιμῶν
« αὐτῶν ἐν τῇ περαματικῇ συνόδῳ, ὁπόταν τὸ
« σωθῆναι οὐδενὶ προσώπῳ ἀποκέκλεισται, τοῦτ'
« ἔστιν ἵνα οἱ χειροτονηθέντες ἐν τῷ τῶν Δονα-
« τιστῶν μέρει, ἐὰν πρὸς τὴν καθολικὴν πίστιν
« διορθωθέντες μετελθεῖν θελήσοιεν, μὴ κατὰ τὴν
« περαματικὴν σύνοδον μὴ δεχθῶσιν ἐν ταῖς
« οἰκείαις τιμαῖς· ἀλλὰ μᾶλλον οὗτοι προσδεχ-
« θῶσι, δι' ὧν τῇ καθολικῇ ἑνότητι γίνεσθαι πρό-
« νοια. »

« honoribus suscipiantur: quemadmodum in
« prioribus temporibus de eadem dissensione
« factum esse manifestum est; quod quidem
« multarum atque adeo fere omnium in Africa
« ecclesiarum, in quibus hic error exortus est,
« exempla testantur. Non ut synodus, quæ de ea
« re facta est in transmarinis partibus, dissol-
« vatur; sed ut illud maneat apud eos, qui sic
« volunt ad catholicam Ecclesiam transire, ut
« nullam in eo unionis concisionem efficiat. Per
« quos autem omnibus modis effici et adjuvari
« catholicam unionem, manifesto lucro fraterna-
« rum animarum, apparuerit in iis locis in quibus
« degunt, ne eos impediat quod adversus eorum
« honores in transmarina synodo constitutum est:
« quandoquidem salus nulli personæ exclusa est.
« Hoc est, ut qui qui fuerunt ordinati a parte
« Donatistarum, si ad catholicam fidem cor-
« recti transire voluerint, non secundum transma-
« rinam synodum non suscipiantur in propriis
« honoribus: sed ii magis suscipiuntur, per
« quos catholicæ unitati providetur.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν ἰδικός ἐστιν. Ἤρεσε γὰρ τοῖς Πατράσι δέχεσθαι τοὺς ἀπὸ τῶν Δονατιστῶν προσερχομένους τῇ ὀρθοδόξῳ πίστει, ὥστε C ἔχειν αὐτοὺς τοὺς οἰκείους ἱερατικοὺς βαθμοὺς, κἂν ἄλλως ἔδοξε τὰ περὶ τούτου ἐν τῇ περαματικῇ συνόδῳ, ἤγουν τῇ ἐν Ἰταλίᾳ.

BALS. Hic quoque canon est specialis. Placuit enim Patribus, ut qui ex Donatistis ad fidem orthodoxam accedunt, ita suscipiantur, ut suos sacros gradus obtineant: etiamsi aliter de eo visum sit in transmarina synodo, seu in Italia.

ΖΩΝΑΡ. Περὶ Δονατιστῶν καὶ οὗτος ὁ κανὼν διατάττεται, πολλὰ μὲν διεξιὼν καὶ ἀπολογούμενος ὅτι ἐναντιοῦται τῇ ἐν τοῖς μέρεσι τῆς Ἰταλίας γενομένῃ συνόδῳ, καὶ ὁρισάσῃ μὴ δέχεσθαι τοὺς ἐκ τῆς αἱρέσεως τῶν Δονατιστῶν προσερχομένους τῇ ὀρθοδόξῳ πίστει, ὥστε ἔχειν αὖθις αὐτοὺς τοὺς οἰκείους ἱερατικοὺς βαθμούς. Τυπῶν δὲ καὶ διατάττόμενος τοὺς χειροτονηθέντας ὑπὸ Δονατιστῶν κληρικοὺς, ἐὰν προσέλθωσι τῇ καθολικῇ Ἐκκλησίᾳ, δέχεσθαι ἐν ταῖς οἰκείαις τιμαῖς, ὥστε δηλαδὴ ἔχειν ἐκείνους τοὺς οἰκείους βαθμοὺς, καὶ κατ' ἐκείνους τιμᾶσθαι, καὶ μὴ κατὰ τὴν περαματικὴν σύνοδον, μὴ δέχεσθαι D τοὺς τοιούτους ἐν ταῖς τιμαῖς αὐτῶν. Περαματικὴν δὲ σύνοδον λέγει τὴν ἐν Ἰταλίᾳ γενομένην, ὡς εἴρηται. Δεχομένων γὰρ, φησὶ, τῶν Δονατιστῶν ἐν τοῖς οἰκείοις βαθμοῖς, πρόνοια γίνεται τῇ καθολικῇ ἑνότητι· πλειόνων δηλονότι οὕτω μελλόντων προσίεναι τῇ ὀρθοδόξῳ πίστει, καὶ ἑνότητος γενομένης τῶν πιστευόντων.

ZONAR. De Donatistis hic quoque canon statuit. Et quidem, quamobrem in Italia habitæ synodo adversetur, qua Donatistas, si ad fidem orthodoxam reverterentur, **605** in sacrorum ordinum gradibus permanere vetitum fuerat, multis exponit et excusationem contexit. Tum vero ut clerici, qui a Donatistis ordines suscepere, si ad Ecclesiam catholicam se conferant, in suis ordinibus maneant, eorumque prærogativis, pro cujusque ordinis ratione, fruantur; neque vero iis spolientur, quemadmodum in transmarina synodo constitutum fuerat, decernunt. Transmarinam vero synodum, eam quæ in Italia, ut diximus, coacta est, nominat. Cum enim Donatistas, inquit, in suo quemque ordine suscipimus catholicæ simul unitati prospicimus. Ex hoc namque fiet, ut plures orthodoxam fidem amplectantur, ac proinde magis ac magis in dies credentium unitas coalescat.

ΑΡΙΣΤ. « Οἱ ὑπὸ τῶν Δονατιστῶν κεχειροτονημένοι,
« εἰ καὶ τῇ πέραθεν συνόδῳ μεταμελόμενοι ἀπο-
« κέκλεινται, ἀλλ' ἐπεὶ τὸ σωθῆναι πάντας καλὸν,
« διορθούμενοι προσδεχέσθωσαν. »

ARIST. « Qui a Donatistis ordinantur, etiamsi a
« synodo transmarina resipiscentes exclusi sunt,
« cum vero bonum sit ut omnes salventur, si se
« corrigant, recipiantur. »

Οὗτοι οἱ Δονατισταὶ μεταμελόμενοι, καὶ τὴν ἰδίαν ἀναθεματίζοντες αἵρεσιν, ἐπὶ τῆς ἰδίας τιμῆς μένειν

Hi Donatistæ pœnitentia acti, et propriam anathematizantes hæresim, in proprio honore manere

Digitized by Google

permittuntur, et in catholicæ Ecclesiæ clero collocari, quia Africa multa laborat clericorum egestate.

συνεχωρήθησαν, καὶ τῷ κλήρῳ τῆς καθολικῆς Ἐκκλησίας συντάττεσθαι, διὰ τὸ τὴν Ἀφρικὴν πολλὴν ἔνδειαν κληρικῶν ἔχειν.

CANON LXXII.

« Ut legatio mittatur ad Donatistas de componenda « pace. Postea placuit, ut his actis ex nostro « numero mittantur legati pro prædicanda pace « et unione, sine qua Christianorum salus non « potest consistere, ad ipsorum Donatistarum, « sive quos habent episcopos, sive laicos; per « quos legatos omnibus innotescat, quod nihil « habent justum rationive consentaneum, quod « dicant adversus catholicam Ecclesiam : maxime « ut manifestum sit omnibus per acta municipa- « lia, ad fidem demonstrationi astruendam, sicut « ii de Maximianistis propriis schismaticis fece- « runt; ubi ipsis divinitus ostenditur, si conside- « rare voluerint, eos tam injuste tunc ab eccle- « siastica unione abscissos, quam ipsi clamant « injuste Maximianistas a se esse divulsos. Ex « eorum autem numero, quos aperta proprii con- « silii auctoritate condemnaverunt, postea in « propriis honoribus susceperunt : et baptismum, « quem dedere ii, qui apud ipsos condemnati et « ejecti sunt, admiserunt, ut ostendatur quomodo « stulto corde paci Ecclesiæ adversantur, quæ in « universo orbe diffusa est. Hæc agentes pro « parte Donati, et dicentes seipsos non pollui « communione eorum, qui a se propter pacis « necessitatem suscepti sunt : nobiscum autem « contendentes, hoc est, cum catholica Ecclesia, « quæ vel in extremis partibus orbis consistit, « per pollutam eorum communionem, quos prius « omnes accusabant, ipsos coarguere non potue- « runt. »

ΚΑΝΩΝ ΟΒ'.

« Περὶ τοῦ πρεσβεῖαν πρὸς τοὺς Δονατιστὰς ἀποστα- « λῆναι χάριν τοῦ εἰς τὴν εἰρήνην συνθεῖναι. « Ἤρεσεν ἔπειτα, ὥστε τούτων πραχθέντων το- « ποτηρητὰς περὶ τοῦ κηρῦξαι εἰρήνην καὶ ἑνό- « τητα, ἧστινος χωρὶς ἡ τῶν Χριστιανῶν σωτη- « ρία καθίστασθαι οὐ δύναται, πεμφθῆναι ἐκ τοῦ « ἡμετέρου ἀριθμοῦ πρὸς τοὺς τῶν αὐτῶν Δονα- « τιστῶν, εἴτε τινὰς ἔχουσιν ἐπισκόπους, εἴτε « λαϊκούς· δι' ὧν τοποτηρητῶν πᾶσιν ἐν γνώσει « γένηται, ὡς οὐδὲν ἔχουσιν εὔλογον κατὰ τῆς « καθολικῆς Ἐκκλησίας· μάλιστα ἵνα φανερὸν « πᾶσι γένηται διὰ τῶν πολιχνιωτικῶν πεπρα- « γμένων πρὸς πίστωσιν τῆς ἀποδείξεως, ὥσπερ « αὐτοὶ περὶ τῶν Μαξιμιανιστῶν τῶν ἰδίων σχι- « σματικῶν ἔπραξαν, ἔνθα αὐτοῖς θεόθεν ἀποδεί- « κνυνται, ἐὰν ἐπισκῆψαι θελήσοιεν, οὕτως ἀδίκως « τότε αὐτοὺς ἀπὸ τῆς ἐκκλησιαστικῆς ἑνώσεως « ἀποσχίσαντας, ὥσπερ κράζουσιν ἀδίκως ἀπ' « αὐτῶν τοὺς Μαξιμιανιστὰς νῦν ἀποσχίσαι. Ἐκ « δὲ τοῦ ἀριθμοῦ τούτων, οὕστινας φανερᾷ τῆς οἰ- « κείας βουλῆς αὐθεντίᾳ κατεδίκασαν, μετὰ ταῦτα « ἐν ταῖς ἰδίαις τιμαῖς ἀνεδέξαντο· καὶ τὸ βάπτι- « σμα, ὃ οἱ παρ' αὐτοῖς καταδεδικασμένοι καὶ ἐκ- « βεβλημένοι δεδώκασι, προσεδέξαντο, πρὸς τὸ « δειχθῆναι, πῶς μωρᾷ καρδίᾳ ἀντιτάσσονται τῇ « εἰρήνῃ τῆς Ἐκκλησίας, τῇ ἐν παντὶ τῷ κόσμῳ « διακεχυμένης. Ταῦτα ποιοῦντες ὑπὲρ τοῦ μέ- « ρους τοῦ Δονάτου, καὶ μὴ λέγοντες ἑαυτοὺς « μολύνεσθαι τῇ κοινωνίᾳ τῶν παρ' αὐτοῖς οὕτω « διὰ τὸ ἀκούσιον τῆς εἰρήνης ἀναδεχθέντων· « ἡμῖν δὲ φιλονεικοῦντες, τοῦτ' ἔστι τῇ καθολικῇ « Ἐκκλησίᾳ, ἔτι μὴν καὶ τῇ ἐν τοῖς ἐσχάτοις μέ- « ρεσι τῆς γῆς καθεστώσῃ, διὰ τῆς μεμιασμένης « τούτων κοινωνίας, ὧντινων πρότερον κατηγοροῦντο « πάντες, ἐλέγξαι αὐτοὺς οὐκ ἠδυνήθησαν. »

BALS. Hic quoque præsens canon de Donatistis loquitur. Visum est enim ut aliqui ad eos mitterentur legati pro pace et unione, et ad ostendendum, quod ii non recte adversantur catholicæ Ecclesiæ; et quod aliqui etiam eos ex Maximianistis, qui ab eis injuste, ut ipsi dicunt, desciverunt, suscipiunt, et cum illis communicant; et quos suo proprio consilio condemnarunt, postea in propriis honoribus susceperunt; et quod eos, quos qui ab ipsis sunt condemnati, et ab eo quod illis est sacerdotio ejecti, baptizaverunt, suscepere; et quod hæc agentes non se pollui dicunt.

ΒΑΛΣ. Καὶ οὗτος ὁ παρὼν κανὼν περὶ τῶν Δονατιστῶν φησιν. Ἔδοξε γὰρ σταλῆναί τινας πρὸς αὐτοὺς τοποτηρητὰς χάριν εἰρήνης καὶ ἑνώσεως, καὶ χάριν τοῦ ἀποδεῖξαι ὅτι οὐ καλῶς ἀντιτάσσονται τῇ καθολικῇ Ἐκκλησίᾳ, καὶ ὅτι καί τινες τῶν Μαξιμιανιστῶν τῶν ἀποσχισάντων ἀπ' αὐτῶν ἀδικῶς, ὡς αὐτοὶ λέγουσι, δέχονται καὶ συγκοινωνοῦσιν αὐτοῖς· καὶ οὓς αὐτοὶ ἐξ οἰκείας βουλῆς κατεδίκασαν, μετὰ ταῦτα ἐν ταῖς οἰκείαις τιμαῖς ἐδέξαντο· καὶ ὅτι οὓς αὐτοὶ, οἱ παρ' αὐτῶν καταδεδικασμένοι καὶ ἐκβεβλημένοι τῆς παρ' αὐτοῖς ἱερωσύνης, ἐβάπτισαν, παρεδέξαντο· καὶ ὅτι οὐδὲ λέγουσι μολύνεσθαι ταῦτα ποιοῦντες.

606 ZONAR. Hæc quoque de Donatistis. Ad eos namque mitti e synodali conventu legatos placuit, qui ipsos ad pacem, unitatemque cum Eccesia catholica firmandam hortarentur. Doceant eos præterea, minime recte facere, quod ecclesiasticæ quieti constitutionis adversentur; neque jure propter divisam ipsorum communionem cum Ecclesia catho-

ΖΩΝΑΡ. Καὶ ταῦτα περὶ Δονατιστῶν· τοποτηρητὰς γὰρ ἔδοξε σταλῆναι πρὸς αὐτοὺς ἐκ τῆς συνόδου προσκαλουμένους αὐτοὺς εἰς τὸ εἰρηνεῦσαι καὶ ἑνωθῆναι τῇ καθολικῇ Ἐκκλησίᾳ, καὶ ἀποδείξοντας αὐτοῖς ὅτι οὐ καλῶς ἀντιτάσσονται τῇ εἰρήνῃ τῆς ἐκκλησιαστικῆς καταστάσεως, οὐδὲ δικαίως φιλονεικοῦσι τῇ καθολικῇ Ἐκκλησίᾳ διὰ τῆς μεμερισμένης αὐτῶν κοινω-

Digitized by Google

νίας. Ἐλέγχουσι δὲ αὐτοὺς μὴ καλῶς ποιοῦντας, καὶ ὅτι καί τινας τῶν Μαξιμιανιστῶν, τῶν ἀποσχισάντων ἀπ' αὐτῶν ἀδίκως, ὡς αὐτοὶ λέγουσι, δέχονται καὶ συγκοινωνοῦσιν αὐτοῖς, καὶ οὓς αὐτοὶ ἐξ οἰκείας βουλῆς κατεδίκασαν, μετὰ ταῦτα ἐν ταῖς οἰκείαις τιμαῖς ἐδέξαντο· καὶ ὅτι οὓς αὐτοὶ, οἱ παρ' αὐτῶν καταδεδικασμένοι καὶ ἐκβεβλημένοι τῆς παρ' αὐτοῖς ἱερωσύνης, ἐβάπτισαν παρεδέξαντο, καὶ ὅτι οὐδὲ λέγουσι μολύνεσθαι ταῦτα ποιοῦντες.

BALS. Necesse habent omnino episcopi eos, qui injuria afficiuntur, defendere. Quia autem nonnulli, ut est verisimile, episcopi, cum de pauperibus et afflictis dicerent, non exaudiebantur : statuerunt Patres ut imperatores admonerentur, ut cum episcoporum electione ab eis darentur defensores pro reprimenda divitum tyrannide; ut sic cesset assidua Ecclesiarum perturbatio, qua ab eis afficiuntur qui ad eas accedunt, quod a potentioribus injuria affecti sint. Ac in his quidem consistit canon. Tu autem scias, quod defensorum datio, qui ἔκδικοι Græce dicuntur, sive a præsenti canone cœpit initium, sive etiam antea cognoscebatur, per uniuscujusque urbis incolarum electionem fiebat. Est autem etiam Justiniani Novella 15, quæ eorum electionem ac promotionem describat : et statuit ut in unaquaque civitate ab episcopis et clericis et civibus paulo

μαζον μεσίτην. Φησὶν οὖν ὁ κανὼν μὴ ἰδιοῦσθαι τοῦτον τὴν ἐπισκοπήν· ἀλλ' εἰ μὴ σπουδάσει μᾶλλον γενέσθαι ἐπίσκοπον, μετακινεῖσθαι αὐτὸν ἀπὸ τῆς μεσιτείας, καὶ ἕτερον ψηφίζεσθαι. Τὰ δὲ περὶ τοῦ τοιούτου μεσίτου ἐπεὶ σήμερον οὐκ ἐνεργοῦσιν, ἀλλ' ἀνάγκη πᾶσά ἐστιν ἀπεντεῦθεν, εἰ δυνατὸν, ψηφίζεσθαι τὰς ἐκκλησίας· οὐδὲ παρ' ἡμῶν ἐγράφη πλέον τι. Ὁ δὲ τοιοῦτος μεσίτης ἐπίσκοπος ἦν, ὡς φαίνεται ἀπὸ τῆς ἐπιτιτλώσεως τοῦ κανόνος.

ΖΩΝΑΡ. Ἔθος ἦν πάλαι, εἴ ποτε ἐπισκόπου ἐχήρευεν ἐκκλησία, στέλλεσθαί τινα ἐν αὐτῇ, ὃν ὠνόμαζον μεσίτην, καθιστῶντα τὸν λαὸν στασιάζοντα ἴσως, ἢ καὶ δι' ἄλλας αἰτίας. Εἰ οὖν ἐντὸς ἐνιαυτοῦ ὁ τοιοῦτος μεσίτης οὐκ ἐσπούδασεν ἐπίσκοπον γενέσθαι τοῖς αὐτοῦ, ἤγουν τῷ λαῷ, οὗ μεσίτης ἦν, μετεκινεῖτο τῆς μεσιτείας ἐκεῖνος, καὶ ἕτερος ἐδίδοτο τῷ λαῷ ἐκείνῳ μεσίτης.

ΑΡΙΣΤ. « Ἔδοξε τῷ δοθέντι εἰς μεσιτείαν ἐπισκόπῳ « δι' οἵας δήποτε τῶν λαῶν σπουδὰς ἢ διχοστασίας μὴ ἐξεῖναι τὴν καθέδραν κατέχειν, ἧς ἐστι « μεσίτης· ἀλλ' ἐντὸς ἐνιαυτοῦ προνοεῖσθαι « ἐπίσκοπον, ἢ μετὰ τὸν ἐνιαυτὸν ἕτερον μεσίτην « ψηφίζεσθαι. »

Εἰ πλήθους λαοῦ πρὸς ἑαυτὸν στασιάσαντος καὶ διαιρεθέντος, καὶ εἰς διχοστασίας καὶ μάχας ὑπαναφθέντος, σταλῇ τις τῶν ἐπισκόπων εἰς μεσιτείαν, ἐπὶ τῷ καταλλάξαι αὐτοὺς, οὐκ ὀφείλει κατέχειν καὶ τὴν καθέδραν τῆς πόλεως, ἧς ἐδόθη μεσίτης· ἀλλὰ σπουδάζειν ἐντὸς ἐνιαυτοῦ καταπαῦσαι τὴν στάσιν, καὶ εἰρηνεῦσαι αὐτοὺς, καὶ πεῖσαι λαβεῖν ἐπίσκοπον. Εἰ δὲ οὐδέν τι μέχρις ἐνιαυτοῦ ἀνύσαι ἴσχυσεν εἰς ὠφέλειαν τοῦ λαοῦ, ἕτερος μετὰ τὸν ἐνιαυτὸν ψηφιζέσθω μεσίτης.

ΚΑΝΩΝ ΟΗ'.

« Περὶ ἐκδίκων τῶν ἐκκλησιῶν τῶν ὀφειλόντων « παρὰ τοῦ βασιλέως αἰτηθῆναι. Σύμπασιν ἔδοξεν « αἰτῆσαι ἀπὸ τῶν βασιλέων διὰ τὴν τῶν πενήτων « κάκωσιν, ὧν ταῖς ἐπαχθείαις, ἀπαύστως ἡ Ἐκ- « κλησία παρενοχλεῖται· ὥστε ἐκδίκους τούτοις « μετὰ τῆς τῶν ἐπισκόπων προνοίας ἐπιλέγεσθαι « κατὰ τῆς τῶν πλουσίων τυραννίδος. »

ΒΑΛΣ. Ἀνάγκη πᾶσα ἐπίκειται τοῖς ἐπισκόποις ἀντιλαμβάνεσθαι τῶν ἀδικουμένων. Ἐπεὶ δέ τινες, ὡς ἔοικεν, ἐπίσκοποι, λέγοντες ὑπὲρ πτωχῶν καὶ καταπεπονημένων, οὐκ εἰσηκούοντο· τετυπώκασιν οἱ Πατέρες ὑπομνησθῆναι τοὺς βασιλεῖς, ὥστε δοθῆναι παρὰ τούτων μετὰ τῆς τῶν ἐπισκόπων ἐπιλογῆς ἐκδίκους χάριν τοῦ ἀναστέλλεσθαι τὰς τῶν πλουσίων τυραννίδας, καὶ οὕτω παυθῆναι τὴν ἐπηνεγμένην ἄπαυστον ὄχλησιν ταῖς ἐκκλησίαις ἐκ τῶν προσερχομένων αὐταῖς διὰ τὸ ἀδικεῖσθαι ὑπὸ τῶν παραδυναστευόντων. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις· σὺ δὲ γίνωσκε, ὅτι ἡ δόσις τῶν ἐκδίκων, τῶν καὶ δεφενσόρων λεγομένων, εἴτε ἀπὸ τοῦ παρόντος κανόνος ἔλαβε τὴν ἀρχὴν, εἴτε καὶ πρὸ τούτου ἐπεγινώσκετο, δι' ἐπιλογῆς τῶν κατοίκων ἑκάστης πόλεως ἐγίνετο. Ἔστι δὲ καὶ Νεαρὰ Ἰουστινιάνειος ιε', ὑποτυποῦσα τὴν τούτων ἐπιλογὴν καὶ πρόβλησιν,

Digitized by Google

καὶ διοριζομένη εἰς ἅπασαν πόλιν ἐπιλέγεσθαι παρὰ τῶν ἐπισκόπων καὶ τῶν κληρικῶν καὶ τῶν ἀξιολογωτέρων πολιτῶν ἐκδίκους πρὸς τὴν ποσότητα τοῦ πλήθους τῆς πόλεως ἀρκοῦντας, ὥστε δικάζειν αὐτοὺς μέχρι ποσότητος νομισμάτων τριακοσίων (34), καὶ ἐγκληματικὰς ὑποθέσεις ἐλαφροτέρας, καὶ μὴ παραχωρεῖν τοῖς δυνάσταις κατατρέχειν τῶν ἀσθενεστέρων καὶ πενήτων, ἀναστέλλειν δὲ καὶ τοὺς ἀπαιτητὰς τῶν δημοσίων παρεισπράττοντας. Καὶ ἄλλα δὲ προνόμια ἡ αὐτὴ Νεαρὰ ἐπιφιλοτιμουμένη τούτοις, προστίθησι, μετὰ διετίαν παραστέλλεσθαι τοὺς ἐπὶ τοσούτῳ καιρῷ τὸ λειτούργημα τοῦτο ἀνύσαντας, καὶ ἄλλους προβάλλεσθαι. Ἡ τοιαύτη δὲ Νεαρὰ οὐ κατεστρώθη ἐνταῦθα, διότι οὐδὲ ἐνεργεῖ· οὐ γὰρ ἐπιλέγονται ἔν τινι πόλει ἔκδικοι τοιοῦτοι. Παρὰ μόνου δὲ τοῦ Κωνσταντινουπόλεως σφραγίζονται ἔκδικοι καὶ πρωτέκδικοι καὶ παρὰ τῶν λοιπῶν ἀρχιερέων πρωτέκδικοι· καὶ οὗτοι μὲν οὐδὲν προνόμιον ἔχουσιν ἐκ τῶν περιεχομένων τῇ Νεαρᾷ. Μόνος γὰρ πρωτέκδικος τῆς ἁγιωτάτης Μεγάλης ἐκκλησίας καὶ οἱ ὑπ' αὐτὸν ἔκδικοι δικάζουσι μόνας τὰς περὶ ἐλευθεριῶν ὑποθέσεις. Οἶομαι δὲ ὅτι ἀπὸ τῆς ῥηθείσης Νεαρᾶς ὁ πρωτέκδικος δικαιοῦται δικάζειν πάντας τοὺς προσερχομένους αὐτῷ περὶ χρηματικῶν ὑποθέσεων καὶ ἐγκληματικῶν ἐλαφροτέρων, κἂν οἵας ἂν ὦσι τύχης καὶ καταστάσεως οἱ ἐνάγοντες καὶ οἱ ἀναγόμενοι· καὶ μᾶλλον ὅταν οὐχ ὑπερβαίνῃ τὸ ποσὸν τῆς ὑποθέσεως τὰ τριάκοντα νομίσματα. Ὡσαύτως ἐφεῖται αὐτῷ ἀναστέλλειν τὰς τῶν παραδυναστευόντων ἀδικίας, κατὰ τὰ ἐκκλησιαστικὰ δίκαια· ἐλκύσει δὲ καὶ εἰς τὸ κατ' αὐτὸν ὡκαστήριον πάντας τοὺς λεγομένους ἀδικεῖν τοὺς πρόσφυγας τῆς Ἐκκλησίας, καὶ οὐκ ἀναγκασθήσεται αὐτοὺς εἰς πολιτικὸν δικαστήριον πέμπειν, ὡς γίνεται σήμερον. Ἀλλὰ καὶ τὸ πρωτεκδικικὸν βιβλίον (35) πολλὰ προνόμια δίδωσιν αὐτῷ· πλὴν οὐκ οἶδ' ὅπως τὰ πλείω ἀθετοῦνται.

A melioris existimationis, eligantur defensores sufficientes ad quantitatem multitudinis civitatis, ut ipsi judicent usque ad quantitatem triginta numismatum, et criminales causas leviores; nec permittant potentibus ut imbecilliores et pauperes opprimant, et reprimant publicorum exactores, qui plus quam par est exigunt. Quinetiam hæc quoque Novella, quæ eis alia privilegia largitur, adjicit, ut post biennium desistant qui hoc munus tanto tempore obierunt, et alii promoveantur. Hæc autem Novella hic sita non est, eo quod non sit in usu: nec enim dicuntur esse in ulla civitate ejusmodi defensores. A solo autem Constantinopolis episcopo characterem suscipiunt defensores, et qui primi defensores dicuntur. A reliquis autem antistitibus soli primi defensores: atque ii quidem nullum habent privilegium ex iis quæ Novella continentur. Solus enim primus defensor sanctissimæ Dei Magnæ ecclesiæ, et qui ei subsunt defensores, solas libertatum causas judicant. Ipse autem existimo, quod ex dicta novella primus defensor jus habet judicandi omnes, qui ad eum accedunt, de causis pecuniariis et criminalibus levioribus, cujuscunque sint status et conditionis actores et rei: et maxime **613** quando causæ quantitas non excedit 30 numismata. Et licet ei jure ecclesiastico reprimere potentiorum injurias: quin et in suum forum trahere omnes, qui dicuntur injuria afficere eos qui ad Ecclesiam confugiunt; ne cogantur eos ad civile forum mittere, ut fit hodie. Sed et liber, qui πρωτεκδικικός (seu de primo defensore) dicitur, dat ei multa privilegia: verum nescio quomodo pleraque negliguntur.

ΖΩΝΑΡ. Οἱ ἐπίσκοποι οὐ μόνον διδάσκειν ὀφείλουσι τοὺς ὑπ' αὐτοὺς λαούς, ἀλλὰ καὶ προΐστασθαι τούτων ἀδικουμένων, καὶ κατὰ τὸ δυνατὸν ἐκδικεῖν. Ἐπεὶ δέ τινες διὰ δυναστείαν τῶν ἐπισκόπων οὐκ ἐφρόντιζον, αἰτοῦσιν οἱ τῆς συνόδου ταύτης τοὺς βασιλεῖς δοθῆναί τινας ἐκδίκους, ὥστε μετὰ τῶν ἐπισκόπων ἀναστέλλειν τὰς τῶν πλουσίων τυραννίδας, ἵνα μὴ ταῖς ἐπαχθείαις τῶν πενήτων, τουτέστι ταῖς ἐπενεγμέναις αὐτοῖς βαρείαις

ZONAR. Episcopi non tantum populos ipsorum curæ commissos docere, sed eorum quoque patrocinium, si injuste lædantur, suscipere, ac illos pro viribus tueri debent. Quoniam vero aliqui, pollentes opibus, episcoporum quoque auctoritatem contemnebant, postulant ab imperatore hujus synodi Patres, ut defensores aliqui constituantur, qui simul cum episcopis potentiorum tyrannidem reprimant, ne pauperum oppressionibus, hoc est,

Guill. Beveregii notæ.

(34) *Νομισμάτων τριακοσίων.* Justiniani verba, quæ Balsamon hic respicit, de defensoribus sic se habent. *Et judicare* Defensores *in causis omnibus pecuniariis usque ad aureos trecentos: non valentibus nostris subjectis trahere sibimet obligatos ad clarissimos provinciarum judices, si usque ad prædictam trecentorum solidorum quantitatem bis consistat.* Justinian. Novel. 15, cap. 3, sect. 2 Corrige itaque Latinam Balsamonis versionem hoc loco, qua *triginta* mendose imprimitur pro *trecentorum.* Corrige etiam Græcum Balsamonis textum, ubi paulo postea, τριάκοντα νομίσματα scribitur, pro τριακόσια νομίσματα, quemadmodum etiam codex Amerbachianus legit.

(35) *Πρωτεκδικικὸν βιβλίον.* Hujus libri meminit etiam Balsamon in meditato de duobus illis officiis, chartophylacis nimirum et primi defensoris, τὰ δὲ ῥήματα, inquit, τοῦ πρωτεκδικικοῦ βιβλίου, τὰ οὕτω πως κατὰ ῥῆμα διαλαμβάνοντα. *Verba vero libri de officio primi defensoris, quæ propemodum hujusmodi sunt.* Ipsa autem verba, quæ ex dicto libro citat, hæc sunt, Δεῖ ὑμᾶς εἴ τις τῶν πρεσβυτέρων καὶ διακόνων δίκην ἔξει μετά τινος, προσκαλεῖσθαι τὸν διεγκαλούμενον ἐκ τρίτου, κατὰ τὸν εἰρημένον τρόπον, καὶ μὴ ὑπείκοντα καταδικάζειν. *Oportet vos, si quis presbyterorum et dinconorum cum aliquo litem habebit, eum, qui accusatur, tertio citare, secundum indicatum modum et non obsequentem condemnare.* E quibus verbis conficitur, ipsum defensorem officium in hoc libro, qui hodie non exstat, iis constitutum esse, idque ut videtur ab aliquo imperatore. Idem etiam Balsamon in præsenti loco πολλὰ προνόμια defensoribus in isto libro concedi asserit.

Digitized by Google

gravibus injuriis, quæ ipsis inferuntur, assidue ecclesia perturbetur; hoc est, ob panperes ad ipsam confugientes, atque ab ea sibi opem implorantes, assiduis pertnrbationibus implicetur.

ARIST. « Ut episcopus molestia non afficiatur, « defensores constituantur. »

Pauperibus a potentioribus vexatione affectis, et episcopis ab iis propter eas vexationes perturbatis, visum est synodo ab imperatore petere, ut cum episcoporum providentia eligantur defensores, ut divitum tyrannidi resistant, et episcopi, quantum ad eos, sine molestia permaneant.

CANON LXXIX.

« De episcopis, qui in synodis se non sistunt. Simi- « liter placuit, ut quotiescunque synodum con- « venire oportuerit, episcopi, qui nec senectute « nec imbecillitate nec ulla gravissima necessitate « impediuntur, ut par est, se sistant; et suæ « cujusque provinciæ primatibus de omnibus « episcopis significetur, sive duæ sive tres fiant « congregationes: et ex unoquoque numero vi- « cissim, quicunque electi fuerint, ad diem sy- « nodi instantissime se sistant. Sin autem se « sistere non possint, cum multæ simul (ut cre- « dibile est) exoriantur necessitates: nisi sui « impedimenti rationem suo primati reddiderint, « debeant ii suæ essè ecclesiæ communione con- « tenti. »

BALS. Uniuscujusque provinciæ episcopos, qui non propter ætatem seu provectam senectutem vel valetudinem vel aliam necessitatem impediuntur, ad indictas synodos convenire hic canon jubet: et cum congregati fuerint, metropolitano provinciæ, in qua est unusquisque significare, et ex unoquoque numero, sive duæ sive tres fiant congregationes. (Forte enim, ne vel de habitationibus vel de rebus necessariis in angustias adducerentur, non omnes in unam urbem convenerunt, sed in duas vel tres metropoli propinquas). Instantissime autem se sistere, hoc est, sine ulla dilatione vicissim, id est, per vices. Neque enim in uno die solvuntur synodi; sed in pluribus. Si autem se sistere non possint, quod a repentina necessitate impediantur, primati rationem impedimenti exponant: sin hoc non fecerint, sola suæ ecclesiæ communione contenti sint; aliis una cum ipsis non communicantibus. Et in his quidem consistit canon. Tu autem hinc nota novum excommunicationis genus. Alii enim canones accipiunt excommunicationem; quod quidem attinet ad episcopos; ut nihil sacerdotale obeant: præsens autem canon eos a sacro ministerio non impedit, sed separat a reliquorum fratrum communione.

614 ZONAR. Uniuscujusque provinciæ episcopos, quotiescunque synodus habenda sit, nisi ætate jam affecta effetaque senectute vel infirmitate corporis impediantur, vel gravi alia de causa detineantur,

A ἀδικίαις, διηνεκῶς παρενοχλῆται ἡ ἐκκλησία, ἤγουν ὀχλήσεις ἔχῃ τῶν ἀδικουμένων προσιόντων καὶ ζητούντων ἐκδικεῖσθαι.

ΑΡΙΣΤ. « Ἵνα μὴ ὁ ἐπίσκοπος παρενοχλῆται, « ἑστωσαν ἔκδικοι. »

Τῶν πενήνων παρὰ τῶν δυνατωτέρων κακώσεις ὑφισταμένων, καὶ ὑπ' αὐτῶν διὰ ταύτας τῶν ἐπισκόπων ἐνοχλουμένων, ἔδοξε τῇ συνόδῳ ἐκ βασιλέως αἰτῆσαι μετὰ τῆς τῶν ἐπισκόπων προνοίας ἐπιλεγῆναι ἐκδίκους, ἵνα κατὰ τῆς τῶν πλουσίων τυραννίδος ἀνθιστῶνται, καὶ οἱ ἐπίσκοποι ὅσον ἐπὶ τούτοις ἀνενόχλητοι μένωσιν.

ΚΑΝΩΝ ΟΘ'.

« Περὶ τῶν μὴ ἀπαντώντων ἐν ταῖς συνόδοις ἐπισκό- B « πων. Ὁμοίως ἤρεσεν, ἵνα ὁσακισδήποτε σύνοδον « δεῖ συναχθῆναι, οἱ ἐπίσκοποι, οἵτινες οὔτε χείρᾳ « οὔτε ἀσθενείᾳ οὔτε τινὶ βαρυτέρᾳ ἀνάγκῃ ἐμπο- « δίζονται ἁρμοδίως ἀπαντῶσιν, καὶ τοῖς πρωτεύου- « σιν ἑκάστης ἰδίας αὐτῶν ἐπαρχίας ἐμφανισθείη « περὶ πάντων τῶν ἐπισκόπων, εἴτε δύο εἴτε τρεῖς « συναθροίσεις γένωνται· καὶ ἀπὸ ἑκάστου δὲ « ἀριθμοῦ εἰς ἀμοιβὴν ὁσοιδήποτε ἐπιλεγῶσι πρὸς « τὴν ἡμέραν τῆς συνόδου ἐνστατικῶς ἀπαντήσωσιν. « Ἐὰν δὲ μὴ δυνηθῶσιν ἀπαντῆσαι, ἀθρόων τινῶν « ἀναγκῶν, ὡς εἰκὸς, ἀναφυομένων, εἰ μὴ τὸν λόγον « τοῦ οἰκείου ἐμποδισμοῦ παρὰ τῷ οἰκείῳ πρω- « τεύοντι ἀποδώσωσιν, ὀφείλειν τοὺς τοιούτους τῇ « κοινωνίᾳ τῆς ἰδίας αὐτῶν ἀρκεῖσθαι ἐκκλησίας. C

ΒΑΛΣ. Τοὺς ἐπισκόπους ἑκάστης ἐπαρχίας ἀπαιτεῖ ὁ κανὼν συνέρχεσθαι εἰς τὰς τυπουμένας συνόδους, τοὺς μὴ διὰ χείραν, ἤγουν ἡλικίαν καὶ γῆρας βαθὺ, ἢ ἀσθένειαν ἢ ἄλλην ἀνάγκην ἐμποδιζομένους· καὶ συναχθέντας, εἴδησιν διδόναι τῷ μητροπολίτῃ τῆς ἐπαρχίας ἀφ' ἧς ἐστιν ἕκαστος, καὶ ἀφ' ἑκάστου ἀριθμοῦ, εἴτε δύο εἴτε τρεῖς συναθροίσεις γένωνται. (Ἴσως γὰρ, ἵνα μήτε περὶ τὰς καταγωγὰς στενοχωρῶνται μήτε μὴν περὶ τὰ χρειώδη, οὐκ εἰς μίαν πάντες συνήρχοντο πόλιν, ἀλλ' εἰς δύο ἢ τρεῖς πλησιαζούσας τῇ μητροπόλει.) Ἐνστατικῶς δὲ ἁπαντᾷν, ἤγουν ἀνυπερθέτως, εἰς ἀμοιβὴν, τουτέστιν ἀμοιβαδόν. Οὐ γὰρ ἐν μιᾷ ἡμέρᾳ αἱ σύνοδοι ἐλύοντο, ἀλλ' ἐν πλείοσιν. Ἐὰν δὲ μὴ δυνηθῶσιν ἀπαντῆσαι διὰ τὸ ἐμποδισθῆναι ὑπὸ αἰ- D φνιδίου ἀνάγκης, διδόναι λόγους τοῦ ἐμποδισμοῦ παρὰ τῷ πρωτεύοντι· εἰ δὲ μὴ τοῦτο ποιήσουσι, μόνῃ τῇ κοινωνίᾳ τῆς ἐκκλησίας ἰδίας ἀρκεῖσθαι, ἑτέρων αὐτοῖς μὴ συγκοινωνούντων. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Σὺ δὲ σημείωσαι καινότερον ἀφορισμὸν ἐκ τούτου. Ἄλλοι μὲν γὰρ κανόνες τὸν ἀφορισμὸν ἐκλαμβάνονται, ὅσον τέως εἰς τοὺς ἐπισκόπους, εἰς τὸ μηδὲ ὅλως ἱερατικόν τι ἐνεργεῖν· ὁ δὲ παρὼν κανὼν οὐκ ἐμποδίζει τούτους ἐκ τῆς ἱεροτελεστίας, ἀλλ' ἐκ τῆς κοινωνίας χωρίζει τῆς τῶν λοιπῶν ἀδελφῶν.

ΖΩΝΑΡ. Ἀπαραιτήτως ἀπαιτεῖ ὁ κανὼν συνάγεσθαι τοὺς ἐπισκόπους ἑκάστης ἐπαρχίας, ὁσάκις χρεία ἐστὶ γενέσθαι σύνοδον, εἰ μὴ διὰ χείραν, ἤγουν ἡλικίαν προήκουσαν καὶ γῆρας βαθὺ, ἢ

Digitized by Google

ἀσθένειαν ἐμποδίζοιντο, ἢ τινι ἄλλῃ βαρείᾳ περιστάσει συνέχοιντο, καὶ συναχθέντας εἶδησιν διδόναι τῷ μητροπολίτῃ τῆς ἐπαρχίας, ἀφ' ἧς ἐστιν ἕκαστος, καὶ ἀφ' ἑκάστου ἀθροισμοῦ, εἴτε δύο εἴτε τρεῖς συναθροίσει· γένωνται (ἴσως γὰρ, ἵνα μήτε περὶ τὰς καταγωγὰς στενοχωρῶνται, μήτε μὴν περὶ τὰ χρειώδη, οὐκ εἰς μίαν πάντες συνήρχοντο πόλιν, ἀλλ' εἰς δύο ἢ τρεῖς πλησιαζούσας τῇ μητροπόλει) ἐνστατικῶς ἁπάντᾶν, ἀντὶ τοῦ ἀνυπερθέτως, ἀπροφασίστως πρὸς τὴν ἡμέραν τῆς συνόδου, εἰς ἀμοιβήν, τουτέστιν ἀμοιβαδόν. Οὐ γὰρ ἐν μιᾷ ἡμέρᾳ αἱ σύνοδοι διελύοντο, ἀλλ' ἐν πλείοσι, καὶ τοῦτο δῆλον ἐκ ταύτης τῆς συνόδου ἐστί. Διαφόρους γὰρ πράξεις δηλοῖ γενέσθαι ἐν ἄλλαις καὶ ἄλλαις ἡμέραις. Ἀμοιβαδὸν δὲ, ἤγουν ἄλλοτε ἄλλους ἁπαντᾶν, ὅσοι ἐπιλεγῶσιν. Ἐὰν δὲ μὴ δυνηθῶσιν ἁπαντῆσαι, ἀθρόον ἀναφυομένων, αἰφνίδιον δηλονότι καὶ ἀνελπίστως, αἰτιῶν ἀναγκαίων, ἀπαιτεῖ τοὺς μὴ ἀπαντήσοντας λόγον ἀποδιδόναι παρὰ τῷ μητροπολίτῃ αὐτοῦ ἕκαστον, ἢ μὴ ἀποδιδόντα, μόνῃ τῇ κοινωνίᾳ τῆς ἰδίας ἐκκλησίας ἀρκεῖσθαι, ἑτέρων αὐτῷ μὴ συγκοινωνούντων.

ΑΡΙΣΤ. « Οἱ μὴ ἁπαντῶντες ἐν τῇ κατ' ἐνιαυτὸν « συνόδῳ, εἰ μὴ ἀδουλήτως κωλύοιντο, τῇ τῆς « ἰδίας ἐκκλησίας ἀρκείσθωσαν κοινωνίᾳ. »

Ὅσοι τῶν ἐπισκόπων ἐν τῇ συνόδῳ ἑκάστης αὐτῶν ἐπαρχίας οὐκ ἁπαντήσουσι, μήτε ὑπὸ γήρους, ἢ ἀσθενείας, εἴτε τινὸς βαρυτάτης ἀνάγκης ἐμποδιζόμενοι, ἀλλ' ἐκ ῥᾳθυμίας ἢ καὶ καταφρονήσεως τοῦτο ποιοῦντες, ἀδελφικῶς ὡρίσθησαν ἐπιπλήττεσθαι. Ὁ δὲ παρὼν κανὼν καὶ τὸ εἶδος τῆς ἐπιπλήξεως τίθησι, προστάττων τοὺς συνεπισκόπους καὶ συναδελφοὺς αὐτῶν μὴ συγκοινωνεῖν αὐτοῖς καὶ συλλειτουργεῖν· ἀλλ ἐν μόναις ταῖς ἰδίαις αὐτῶν ἐκκλησίαις ἀρκεῖσθαι, καὶ λειτουργεῖν ἐν αὐταῖς.

ΚΑΝΩΝ Π'.

« Περὶ Κρεσκωνίου. Περὶ Κρεσκωνίου τοῦ Βηλαρε« κεντίου τοῦτο πᾶσιν ἔδοξεν, ἵνα ἐντεῦθεν ὁμοίως « ἐμφανείῃ τῷ πρωτεύοντι τῆς Νουμιδίας, πρὸς τὸ « εἰδέναι αὐτὸν, ὀφείλειν γράμμασιν οἰκείοις πρὸς « συνέλευσιν προτρέψασθαι τὸν μνημονευθέντα Κρε« σκώνιον· ὥστε μὴ ὑπερθέσθαι τὴν παρουσίαν « αὐτοῦ τῇ πλησιαζούσῃ συμπάσῃ Ἀφρικάνῃ συν« όδῳ παρασχεῖν· ἐὰν δὲ τοῦ ἐλθεῖν καταφρονήσῃ, « ἔστω εἰδὼς κατ' αὐτοῦ ψῆφον νομοθετησομένην. »

ΒΑΛΣ. Διὰ τοῦ Κρεσκωνίου ἐπιτίθησιν ὁ κανὼν ἀνάγκην τοῖς ἐπισκόποις ἐν ταῖς συνόδοις ἀπαραιτήτως συνέρχεσθαι· καὶ τοῖς καταφρονοῦσι τῆς συνελεύσεως ἀπειλεῖ κατάκρισιν. Τὸ δὲ εἶδος ταύτης οὐ λέγει. Ὁ μέντοι ς' κανὼν τῆς ἑβδόμης συνόδου τοὺς μὲν κωλύοντας ἄρχοντας γίνεσθαι τὰς ἐτησίους συνόδους ἀφορίζεσθαι διορίζεται, τοὺς δὲ χωρὶς εὐλόγου προφάσεως ἀμελοῦντας τούτων μητροπολίτας τοῖς κανονικοῖς καθυποβάλλειν ἐπιτιμίοις. Ποῖα δὲ καὶ τίνα εἰσὶ τὰ ἐπιτίμια ῥητῶς οὐ γέγραπται. Ὡς ἔοικεν οὖν, τὰ ἐν τῷ ἀνωτέρω κανόνι περιεχόμενά εἰσιν. Ἀνάγνωθι καὶ τὸν ῥηθέντα ς' κανόνα τῆς ζ' συνόδου, καὶ τὸν ἕκτον τῆς ἐν τῷ Τρούλλῳ, καὶ τὰ ἐν αὐτοῖς.

convenire omnino hic canon jubet; et ubi primum advenerint, metropolitano singulos, ex qua se ferant, provinciæ significare; tum vero ex singulis classibus sive duæ sive tres institutæ fuerint (etenim, ne vel inopia tecti premerentur, vel ad usus vitæ necessaria deficerent, non in una forte omnes urbe considebant, sed in duabus tribusve metropoli proximis) ad diem synodo præfinitam instanter, hoc est, sine ulla tergiversatione aut mora properanter accedere vicissim, hoc est, per vices. Neque enim uno die, sed pluribus synodi absolvebantur: quod ex hac quoque colligere facile est, ex cujus actionum multiplicitate, pluribus eam diebus celebratam fuisse apparet. Per vices autem, hoc est, ut modo hic, modo alii, quicunque demum electi fuerint, se in synodo sistant. Si vero id minus possint, necessariis impedimentis ex improviso et inexspectato confertim obortis; ut quicunque non adfuerint, metropolitano suo singuli, rationem reddant, exigit: qui vero id neglexerint, exclusi ab aliorum consortio, ecclesiæ suæ communione contenti sint.

ARIST. « Qui in synodo quotannis habita non con« veniunt, nisi contra voluntatem impediantur, « suæ sint ecclesiæ communione contenti. »

Quicunque ex episcopis ad synodum in unaquaque ipsorum provincia habitam se non conferant, nec a senectute, nec ab infirmitate, nec alia gravissima necessitate impediti; sed e desidia vel etiam contemptu illud facientes; decernitur, ut fraternis verbis castigentur. At præsens canon et speciem reprehensionis addit, mandans coepiscopos et confratres eorum cum iis non communicare, aut sacra celebrare: sed in solis propriis suis ecclesiis acquiescere, et in iis munus obire.

CANON LXXX.

« De Cresconio. De Cresconio Balarecensio hoc « omnibus visum est, ut hinc quoque Numidiæ « primati significetur, quo ipse sciat se debere « memoratum Cresconium suis litteris ad con« veniendum adhortari; ut non differat suam « exhibere præsentiam proximæ universæ synodo « Africanæ: sin autem venire neglexerit, sciat « esse adversus se ferendam sententiam. »

BALS. Per Cresconium imponit canon necessitatem episcopis, ut in synodis inexcusabiliter conveniant: et iis, qui convenire negligunt, condemnationem comminatur. Ejus autem formam non exprimit. Sed canon 6 synodi 7 magistratus quidem, qui impediunt quominus fiant annuæ synodi, segregandos decernit: metropolitanos autem, qui sine justa causa hæc negligunt, canonicis pœnis subjiciendos. Quales autem et quænam sint eæ pœnæ, expresse scriptum non est. Ut est ergo verisimile, eæ sunt quæ in superiore canone continentur. Lege et dictum canonem 6 synodi septimæ et canonem 6 synodi in Trullo, et quæ in his scripta sunt.

Digitized by Google

ZONAR. Hic quoque canon, quamvis de uno episcopo editus, aliis omnibus ad synodum sine ulla prorsus tergiversatione conveniendi necessitatem imponit, ac iis qui venire neglexerint, comminatur.

615 ARIST. « Cresconius litteris ad synodum « vocatus, nisi se stiterit, sciat sententiam con- « tra se edendam fore. » *Perspicuus.*

CANON LXXXI.

« De curatoribus Ecclesiæ Hipponensis. Rursus « placuit, quoniam Ecclesiæ Hipponensis cura- « torum destitutio non est diutius negligenda; et « quia ecclesiæ, quæ illic sunt, detinentur ab iis « qui prodigiosam Æcytii communionem recu- « sarunt : missis ex præsenti synodo episcopis, « Rhegino, Alypio, Augustino, Materno, Theasio, « Evodio, Placiano, Urbano, Valerio, Amæbio, « Fortunato, Quodvultdeo, Honorato, Januario, « Apto, Honorato, Ampelio, Victoriano, Evan- « gelo et Rogatiano; et congregatis ac correctis « iis, qui vituperabili pertinacia ejusdem Æcy- « tii fugam exspectandam esse existimaverunt, « cum omnium votis iis episcopus eligatur. Si « autem nolint illi de pace cogitare, ne præsulis « electioni impedimentum afferant, quominus « ordinetur ad utilitatem ecclesiæ quæ tandiu « destituta est. »

BALS. Duæ sunt urbes in Africa, quæ Hippones vocantur. In una earum erat Equitius episcopus. Et quia nonnulli adversus eum insurrexerunt, et cum eo communionem recusarunt, quæ incerta seu informis, atque adeo injusta dicitur; visum est ipsos per quosdam antistites refrenari : sin autem pacem nolint, alium eligi episcopum.

ZONAR. Hippon Numidiæ civitas est : Numidia vero Africanæ regio. Cum autem duæ essent in Africa urbes, Hipponis nomine; in harum altera Equitius episcopatum gerebat. Eum nonnulli, popularibus quoque studiis subnixi, vehementer insectabantur, illiusque communionem, quam informem, propterea quod a synodo minime decreta aut indicta esset, synodus appellavit, rejiciebant. Ad eam ergo seditionem opprimendam quosdam episcopos ex hoc loco mittendos esse censuerunt, ut, si fieri possit, tumultu sedato, dissidentes conciliient; vel si id minus obtineant, Hipponensis Ecclesiæ utilitati consulentes, quæ jamdiu deserta, hoc est, a suo antistite destituta est, aliquem interim in ea episcopum constituant.

ARIST. « Visum est, ut post Equitii condemnatio- « nem omnium votis episcopus Hipponi præficia- « tur : et isti nequaquam impediant quin in Eccle- « sia præsul ordinetur. »

Omnibus placuit, ut in Hipponis Ecclesiam ordinaretur episcopus episcopo illius Equitio deposito, et nullos eorum qui ei adversabantur impe-

ΖΩΝΑΡ. Καὶ οὗτος ὁ κανὼν διὰ τοῦ ἑνὸς τούτου ἐπισκόπου ἀνάγκην ἐπιτίθησι τοῖς ἐπισκόποις ἐν ταῖς συνόδοις ἀπαραιτήτως συνέρχεσθαι, καὶ τοῖς καταφρονοῦσι τῆς συνελεύσεως ἀπειλεῖ.

ΑΡΙΣΤ. « Γράμμασι κληθεὶς εἰς τὴν σύνοδον Κρε- « σκώνιος, εἰ μὴ παραγένηται, ἴστω ψῆφον κατ' « αὐτοῦ ἐκφωνηθησομένην. » *Σαφῆς.*

ΚΑΝΩΝ ΠΑ'.

« Περὶ τῶν ἐν Ἱππῶνι φροντιστῶν τῆς ἐκκλησίας. « Πάλιν ἤρεσεν, ἵνα, ἐπειδὴ τῆς ἐκκλησίας τῶν « ἐν Ἱππῶνι φροντιστῶν ἡ ἐγκατάλειψις οὐκ « ὀφείλει ἐπιπολὺ ἀμεληθῆναι, καὶ ἐπειδὴ αἱ ἐκεῖ « ἐκκλησίαι κατέχονται παρὰ τὴν ἄτοπον τοῦ Αἰ- « κυτίου κοινωνίαν παραιτησαμένων· πεμφθέντων « ἐκ τῆς παρούσης συνόδου ἐπισκόπων, Ῥηγίνου, « Ἀλυπίου, Αὐγουστίνου, Ματέρνου, Θεασίου, Εὐο- « δίου, Πλακιανοῦ, Οὐρβανοῦ, Βαλερίου, Ἀμοιβίου, « Φουρτουνάτου, Κουοδδουλτδέου, Ὁνωράτου, Ἰα- « νουαρίου, Ἄπτου, Ὁνωράτου, Ἀμπελίου, Βικτο- « ριανοῦ, Εὐαγγέλλου καὶ Ῥογατιανοῦ· καὶ συν- « αχθέντων καὶ διορθωθέντων τῶν ἐπιψήφων μονοτο- « νίᾳ τὴν φυγὴν τοῦ αὐτοῦ Αἰκυτίου προσδοκητέαν « λογισαμένων, μετὰ τῆς πάντων εὐχῆς ἐπίσκοπος « τούτοις χειροτονηθῇ. Ἐὰν δὲ μὴ θελήσωσιν « ἐκεῖνοι τὴν εἰρήνην κατανοῆσαι, μὴ ἐμποδίσωσι « τῇ ἐπιλογῇ τοῦ προέδρου, πρὸς τὸ χειροτονηθῆ- « ναι εἰς χρησιμότητα τῆς ἐπὶ τοσοῦτον χρόνον « ἐγκαταλειφθείσης ἐκκλησίας.

ΒΑΛΣ. Δύο πόλεις εἰσὶν εἰς Ἀφρικὴν Ἱππῶνες καλούμεναι. Τούτων ἐν μιᾷ Αἰκύτιος ἐπίσκοπος ἦν. Καὶ ἐπεί τινες ἐπανέστησαν καὶ παρητήσαντο τὴν μετὰ τούτου κοινωνίαν, τὴν καὶ ἄτυπον κληθεῖσαν, ἤτοι ἀτύπωτον καὶ ἄδικον, ἔδοξε διά τινων ἀρχιερέων ἀνασταλῆναι αὐτούς· εἰ δὲ τὴν εἰρήνην μὴ θελήσουσι, χειροτονῆσαι ἐπίσκοπον ἕτερον.

ΖΩΝΑΡ. Ἱππὼν τῆς Νουμηδίας πόλις ἐστίν· ἡ δὲ Νουμηδία μοῖρα τῆς Ἀφρικῆς. Δύο δὲ ἦσαν ἐν αὐτῇ πόλεις Ἱππῶνες καλούμεναι, τούτων ἐν μιᾷ Αἰκύτιος ἐπίσκοπος ἦν, ᾧ ἐπανέστησάν τινες, οἷς καὶ πολλοὶ τοῦ λαοῦ συνυπήχθησαν, παραιτησάμενοι τὴν αὐτοῦ κοινωνίαν, ἣν ἄτυπον ἡ σύνοδος ὠνόμασεν, ὡς μὴ ὁρισθεῖσαν καὶ τυπωθεῖσαν παρὰ συνόδου. Διὰ γοῦν τὴν τοιαύτην στάσιν ἔδοξε σταλῆναί τινας ἐκεῖ τῶν ἐπισκόπων, ἵνα, εἰ δυναίντο, διορθώσωνται τὴν στάσιν, καὶ καταλλάξωσι τοὺς στασιάσαντας· εἰ δὲ μὴ τοῦτο, χειροτονήσωσι τέως ἐπίσκοπον εἰς χρησιμότητα τῆς ἐν Ἱππῶνι ἐκκλησίας, ἤγουν εἰς ὠφέλειαν τῆς ἐπὶ πολὺν χρόνον καταλειφθείσης, ἤτοι χωρὶς ἐπισκόπου οὔσης.

ΑΡΙΣΤ. « Ἔδοξε μετὰ τὴν Αἰκυτίου κατάκρισιν, « μετὰ τῆς πάντων εὐχῆς ἐπίσκοπον τῆς ἐν Ἱπ- « πῶνι προχειρισθῆναι, καὶ μηδαμῶς αὐτοὺς ἐμ- « ποδίσαι εἰς τὸ χειροτονηθῆναι πρόεδρον τῇ « ἐκκλησίᾳ. »

Ἤρεσε πᾶσιν εἰς τὴν ἐν Ἱππῶνι ἐκκλησίαν προχειρισθῆναι ἐπίσκοπον τοῦ ἐπισκόπου ταύτης τοῦ Αἰκυτίου καθαιρεθέντος, καὶ μή τινας τῶν ἀντι-

Digitized by Google

ποιουμένων ἐκείνου ἐμποδίσαι εἰς τὸ χειροτονηθῆναι ἐπίσκοπον εἰς ὠφέλειαν τῆς ἐκκλησίας, τῆς ἐπὶ τοσοῦτον χρόνον χωρὶς ἐπισκόπου καταλειφθείσης.

dire, quominus ad Ecclesiæ, tandiu episcopo destitutæ, utilitatem episcopus ordinetur.

ΚΑΝΩΝ ΠΒ'.

« Περὶ τῶν μὴ φροντιζόντων κληρικῶν ἐντὸς ἐνιαυτοῦ πρᾶξαι τὸ ἴδιον πρᾶγμα. Πάλιν ὡρίσθη, ἵνα, « ὁσάκις κληρικῶν ἐλεγχθέντων, καὶ καταθεμένων « τινὰ ἐγκλήματα εἴτε διὰ τὸ τῆς ἐκκλησίας ὄνειδος εἴτε διὰ τὴν αἰδεσιμότητα, (ὧν χάριν τούτοις « γίνεται φειδὼ), εἴτε διὰ τὴν ἀλαζόνα τῶν αἱρετικῶν καὶ ἐθνικῶν ἐπιγαυρίασιν, ἐὰν, ὡς εἰκὸς, « ἐπαγωνίσασθαι τῷ ἰδίῳ πράγματι, καὶ τῆς ἰδίας « ἀβλαβείας φροντίσαι θελήσωσιν, ἐντὸς ἀκοινωνησίας ἑαυτοῦ τοῦτο ποιήσωσιν· ἐὰν δὲ ἐντὸς « ἐνιαυτοῦ τὸ πρᾶγμα αὐτῶν καθᾶραι καταφρονήσωσι μηδεμία τούτων τοῦ λοιποῦ φωνὴ παντελῶς « προσδεχθείη.

« De clericis, qui non curant suam intra annum « causam agere. Rursum decretum est, ut quoties, clericis accusatis, et aliquorum criminum « in eos dicto testimonio, sive propter probrum « Ecclesiæ, sive propter reverentiam (quibus nomi- « nibus eis parcitur) sive propter insolentem hæreti- « corum et gentilium exsultationem, si, ut par est, « causam suam defendere, et suæ probandæ innocentiæ curam gerere voluerint, hoc intra annum « excommunicationis faciant : sin autem intra « annum causam suam purgare neglexerint, « nulla eorum deinceps vox omnino admittatur. »

ΒΑΛΣ. Ὁ παρὼν κανὼν διορίζεται τοὺς κληρικοὺς, τοὺς διά τινα ἐγκλήματα ἐλεγχθέντας, ἤτοι καταμαρτυρηθέντας ἀπὸ προλήψεως, φροντίζειν τοῦ περατωθῆναι τὰς κατ' αὐτῶν ὑποθέσεις ἐντὸς ἑνιαυτοῦ· εἰ δὲ μὴ, ἀποκλείεσθαι. Ταῦτα δὲ οὐκ ἐνεργοῦσι σήμερον, διὰ τὸ ἀπὸ διαφόρων Νεαρῶν πᾶσαν ἐγκληματικὴν ὑπόθεσιν εἰς διηνεκῆ χρόνον ἐπεκτείνεσθαι.

BALS. Præsens canon statuit, ut clerici, qui propter crimina sunt accusati, sive adversus quos testimonium **616** dictum est ex præsumptione, curent ut causæ adversus eos intra annum peragantur : sin minus excludantur. Hæc autem hodie non sunt in usu : eo quod ex diversis Novellis omnis criminalis causa in perpetuum tempus extendatur.

ΖΩΝΑΡ. Ἐὰν κληρικοὶ κατηγορῶνται ἐπ' αἰτίαις ἐκβαλλούσαις αὐτοὺς τοῦ κλήρου, δι' ἃς καὶ ὄνειδος τῆς Ἐκκλησίας εἰσὶν, ὡς μὴ καλῶς βιοῦντες, ἀπαιτεῖ αὐτοὺς ὁ κανὼν ἐντὸς ἑνιαυτοῦ ἐπαγωνίσασθαι καθᾶραι ἑαυτοὺς τῆς κατηγορίας, εἴτε διὰ τὴν αἰδεσιμότητα, ἤγουν τὸ ἔντιμον τῶν βαθμῶν τοῦ κλήρου, δι' ὃ καὶ φείδονται, ἵνα μὴ ἀτιμάζηται ἡ ἱερωσύνη, ἢ διὰ τὸ μὴ κατεπαίρεσθαι τοὺς αἱρετικοὺς ἐξ ἀλαζονείας, καὶ καταφρονεῖν τῆς ἱερωσύνης, καθ' ὃν ἑνιαυτὸν καὶ ἀκοινώνητοί εἰσι. Διὰ τοῦτο γὰρ ἐξ ἀρχῆς ὁ κανὼν ἐλεγχθέντας αὐτοὺς ὠνόμασεν, οὐχ ὡς τελείως ἀποδεδειγμένων τῶν κατ' αὐτῶν εἰσαχθέντων· ἦ γὰρ ἂν καὶ καθηρέθησαν, εἰ ἠλέγχθησαν· ἀλλ' ὡς προλήψεων καὶ κατ' αὐτῶν δοθεισῶν, δι' ἃς καὶ ἀκοινωνησίᾳ ἐπετιμήθησαν. Εἰ μὲν οὖν διὰ τοῦ ἑνιαυτοῦ σπουδάσουσι καθαροὺς ἑαυτοὺς ἀποδεῖξαι τῶν ἐγκλημάτων, καὶ τοῦ ἐπιτιμίου κωλυθήσονται· εἰ δὲ μὴ ἀπρόσδεκτοι ἔσονται μετὰ ταῦτα λόγον εἰσάγοντες.

ZONAR. Si clerici ob crimina, propter quæ clero movendi sint, accusentur, ex quibus Ecclesiæ quoque, quasi flagitiosa sit clericorum vita, ignominiæ aliqua labes aspergatur; exigit ab iis canon, ut unius anni spatio se ab ea, quæ in ipsos confertur, culpa liberare contendant; idque vel ob reverentiam seu sacri ordinis dignitatem conservandam, quo nomine eis interea parcitur, ne qua sacro ordini infamiæ nota hæreat, vel ne hæretici insolenti vanitate efferantur, ex eoque sacerdotii contemnendi ansam accipiant : eoque anno a communione quoque abstinere jubet. Nam et eos propterea canon initio convictos appellavit, non quia manifesto obnoxii criminibus tenerentur; convictos enim pœna depositionis illico secuta esset : sed quod exstarent indicia facinoris, ex quibus merito communionis privatione multati sunt. Ergo si unius anni intervallo nulli se culpæ affines esse ostenderint, a multa quoque liberabuntur : sin minus eo elapso, ad causam agendam, vel si maxime velint, non admittentur.

ΑΡΙΣΤ. « Ἐλεγχόμενος κληρικὸς ἐπ' ἐγκλήματι, « ἐὰν ἐπαγωνίσασθαι λέγῃ, ἐντὸς ἑνιαυτοῦ ἐπαγωνιζέσθω· μετὰ δὲ τοῦτο ἔστω ἀπρόσδεκτος. »

ARIST. « Clericus crimine convictus, si se causam « suam defensurum dicat, intra annum defendat : « postea vero non admittatur. »

Ἐλεγχόμενος ἐπ' ἐγκλήμασι καὶ ἤδη καταδικαζόμενος κληρικὸς, ἐὰν ἔτι λέγῃ δύνασθαι δικαιολογήσασθαι καὶ ἑαυτὸν ἀνεύθυνον παραστῆσαι, ἐντὸς ἑνιαυτοῦ ὀφείλει ἐπαγωνίσασθαι· μετὰ δὲ τὸν ἑνιαυτὸν οὐδεμία αὐτοῦ δικαιολογία παραδεχθήσεται εἰς τὸ δικαστήριον ὅσον αὐτὸ, ἀλλὰ καταδεδικασμένος ἔσται· καὶ εἰ βούλεται ἔκτοτε ἐκκαλεῖσθαι, ποιείτω τοῦτο.

Criminibus accusatus et jam condemnatus clericus, si adhuc dicat se jura sua proferre posse, et seipsum innocentem probare, intra annum litigare debet : post annum autem nulla causæ suæ defensio admittetur, sed quantum ad ipsum judicium condemnatus erit. Et si vellet postea appellare, illud faciat.

ΚΑΝΩΝ ΠΓ'.

« Ὡς τοὺς ἀπὸ ἀλλοτρίου μοναστηρίου ὑποδεχθέντας, « μηδὲ ἡγουμένους τοῦ μοναστηρίου, μηδὲ κλη-

CANON LXXXIII.

« Ut eos, qui ex alieno monasterio suscepti sunt, « nec monasteriis præfectos, nec clericos ordi-

Digitized by Google

« nare liceat. Similiter placuit, ut si quis ex A « alieno monasterio aliquem susceperit, et vel « ad clericatum adducere, vel monasterii sui præ- « fectum constituere voluerit, episcopus, qui « hoc facit, a reliquorum communione separa- « tus, sit sola sui populi communione contentus : « ille autem nec clericus nec præfectus perma- « neat. »

BALS. Præsens canon punit episcopum, qui monachum ex alieno monasterio suscipit, et eum in clerici gradum provehit, vel in sui monasterii præfecturam : et ejusmodi monachum, qui in cle- ricum admissus, vel etiam monasterii præfectus creatus est, clero et præfectura expellit. Ne tibi autem his contrarius esse videatur quartus canon synodi quæ in Sanctorum Apostolorum æde con- stituta est, statuens esse in episcoporum potestate, non solum monachos ex hoc monasterio in aliud transferre; sed etiam eos sæcularibus ædibus præ- ficere. Sed dic, quod hic quidem prohibitum est episcopo, ex aliena regione monachum recipere, et eum etiam præfectum vel clericum constituere : illic autem episcopo permissum est e propria re- gione monachos, et ab hoc monasterio in aliud transferre, et in sæculari etiam administratione constituere; quod præter mentem propriorum episcoporum fieri nequit. Præsens autem canon tunc locum habebit, quando ex aliena regione monachus dimissorias litteras episcopi ejus non affert. Tunc enim citra impedimentum fiet in aliena C regione monasterii præfectus et clericus. Quod autem fit hodie a monasteriorum præfectis, qui a se detonsos cum litteris dimittant, ut in alieno monasterio monachi esse possint, non est, ut mihi videtur, firmum et accuratum. **617** Episcopi enim demissoriis magis opus est ei, qui migrare voluerit; non autem monasterii præfecti : quod episcopis magis subjecti sunt monachi, quam mo- nasteriorum præfectis. Hæc autem locum habebunt in cæteris episcopis : non autem in patriarcha Constantinopolitano. Ei enim, ut sæpe dictum, permissum est monachos et clericos ex regionibus alienis, nec ejus sedi omnino subjectis, accipere. Sed non itidem Antiocheno throno, vel Hierosoly- mitano, vel alii.

ZONAR. Monachum, qui a monasterio suo dis- cesserit, ab alio quovis recipi vetitum est. Si igitur episcopus, inquit, ejusmodi monachum re- cipiat, eumque vel monasterii præfectum constituat; episcopus quidem aliorum consortio exclusus, sola populi sui communione contentus erit : monachus vero et e clero ejicietur et præfecturæ gradu exci- det.

ARIST. « Qui quempiam ex alieno monasterio « suscipit, si eum ad clericatum promoveat, aut « suo præficiat monasterio, aliorum communione « privetur. »

Monachi regionis episcopo subjici debent, et in monasteriis, in quibus collocati sunt, perseverare,

« ρικοὺς ἐξεῖναι χειροτονεῖν. Ὁμοίως ἤρεσεν, ἵνα, « ἐάν τις ἀπὸ ἀλλοτρίου μοναστηρίου ὑποδέξηται « τινα καὶ πρὸς κλήρωσιν προσαγαγεῖν ἐθελήσῃ, ἢ « τοῦ ἰδίου μοναστηρίου ἡγούμενον καταστήσαι, ὁ « τοῦτο ποιῶν ἐπίσκοπος, ἀπὸ τῆς τῶν λοιπῶν « κοινωνίας χωριζόμενος, τῇ τοῦ ἰδίου λαοῦ κοινω- « νίᾳ ἀρκεσθῇ μόνῃ· ἐκεῖνος δὲ μηδὲ κληρικὸς μηδὲ « ἡγούμενος ἐπιμείνῃ. »

ΒΑΛΣ. Ὁ παρὼν κανὼν κολάζει τὸν ἐπίσκοπον ὑποδεχόμενον ἀπὸ ἀλλοτρίου μοναστηρίου μοναχὸν, καὶ προάγοντα τοῦτον εἰς βαθμὸν κληρικοῦ, ἢ εἰς ἡγουμενείαν ἰδίου μοναστηρίου· καὶ τὸν κληρωθέντα δὲ τοιοῦτον μοναχὸν, ἢ καὶ γεγονότα ἡγούμενον ἐξω- θεῖ τοῦ κλήρου καὶ ἀπὸ τῆς ἡγουμενείας. Μὴ ἐναν- τιωθῇ δέ σοι πρὸς ταῦτα ὁ δ' κανὼν τῆς ἐν τῷ ναῷ B τῶν Ἁγίων Ἀποστόλων συστάσης συνόδου, διοριζό- μενος ἔχειν ἐπ' ἀδείας τοὺς ἐπισκόπους, μὴ μόνον ἀπὸ τῆσδε τῆς μονῆς μετάγειν εἰς ἑτέραν μονὴν μοναχοὺς, ἀλλὰ καὶ εἰς κοσμικῶν οἰκιῶν προστασίαν αὐτοὺς καθιστᾷν. Ἀλλ' εἰπὲ ὅτι ἐνταῦθα μὲν κεκώλυται τὸ ἀπὸ ἀλλοτρίας ἐνορίας ἀναλαμβάνεσθαι τὸν ἐπίσκο- πον μοναχὸν, καὶ καθιστᾷν τοῦτον ἡγούμενον ἢ καὶ κληρικὸν, ἐκεῖσε δὲ ἐξεχωρήθη τῷ ἐπισκόπῳ τὸ ἀπὸ τῆς οἰκείας ἐνορίας μοναχοὺς μετατιθέναι ἀπὸ τῆσδε τῆς μονῆς εἰς ἑτέραν, καὶ εἰς κοσμικὴν προστασίαν καθιστᾷν· ὅπερ παρὰ γνώμην τῶν ἐγχωρίων ἐπι- σκόπων γενέσθαι οὐ δύναται. Τότε δὲ τὰ τοῦ παρόντος κανόνος ἔξουσι χώραν, ὅταν ὁ ἀπὸ ἀλλοτρίας ἐνορίας μοναχὸς οὐκ ἐπιφέρηται ἀπολυτικὴν γραφὴν τοῦ C ἐπισκόπου αὐτοῦ. Τηνικαῦτα γὰρ ἀπαρεμποδίστως εἰς ἀλλοτρίαν ἐνορίαν ἡγούμενος γενήσεται καὶ κληρικός. Τὸ μέντοι σήμερον γινόμενον παρὰ τῶν ἡγουμενευόν- των, καὶ ἀπολυόντων μετὰ γραφῆς τοὺς ὑπ' αὐτῶν ἀπο- καρέντας, ὥστε μονάσαι εἰς ἑτέραν μονὴν, οὐκ ἔστιν, ὡς ἐμοὶ δοκεῖ, ἀκριβές. Ἐπισκοπικῆς γὰρ μᾶλλον ἀπολυτικῆς γραφῆς χρείᾳ τῷ μεταπτσεῖν βουλομένῳ, οὐχὶ τῆς τοῦ ἡγουμενεύοντος· ὅτι καὶ τοῖς ἐπισκόποις μᾶλλον ὑπόκεινται οἱ μοναχοὶ ἢ τοῖς ἡγουμένοις. Ταῦτα δὲ κρατήσουσιν εἰς τοὺς ἄλλους ἐπισκόπους· D οὐ μὴν καὶ εἰς τὸν πατριάρχην Κωνσταντινουπόλεως. Αὐτῷ γὰρ, ὡς πολλάκις εἴρηται, ἐνεδόθη ἀπὸ ἀλλο- τρίων ἐνοριῶν ἀπαρεμποδίστως δέχεσθαι μοναχούς τε καὶ κληρικοὺς, οὐχ ὑποκειμένους πάντως τῷ θρόνῳ αὐτοῦ. Οὐ μὴν καὶ τῷ θρόνῳ τοῦ Ἀντιοχείας, ἢ τοῦ Ἱεροσολύμων, ἢ ἄλλου.

ΖΩΝΑΡ. Ἀπὸ μοναστηρίου ὑποχωρήσαντα μοναχὸν δέχεσθαι παρ' ἑτέρου ἀπηγόρευται. Ἐὰν οὖν ἐπίσκοπος, φησὶ, τοιοῦτον δέξηται μοναχὸν, καὶ ἢ κληρικὸν αὐτὸν χειροτονήσῃ, ἢ ἡγούμενον μοναστη- ρίου ποιήσῃ, ὁ μὲν ἐπίσκοπος ἔσται τῇ τοῦ ἰδίου λαοῦ μόνου κοινωνίᾳ ἀρκούμενος, ἑτέρων αὐτῷ μὴ συγκοι- νωνούντων· ὁ δὲ μοναχὸς καὶ τοῦ κλήρου καὶ τῆς ἡγουμενείας ἐκπεσεῖται.

ΑΡΙΣΤ. « Ὁ ἐξ ἀλλοτρίας τινὰ μονῆς δεχόμενος, « ἐὰν ἄγοι τοῦτον εἰς κλήρωσιν, ἢ τῆς οἰκείας μο- « νῆς ἡγούμενον, ἔξει τὸ ἀκοινώνητον.

Οἱ μοναχοὶ τῷ κατὰ χώραν ἐπισκόπῳ ὀφείλουσιν ὑποτάσσεσθαι, καὶ προσκαρτερεῖν ἐν τοῖς μοναστη-

Digitized by Google

μίοις, ἐν οἷς ἀπετάξαντο, καὶ μὴ καταλιμπάνειν, αὐτὰ, εἰ μή που ἄρα ὑπὸ τοῦ τῆς πόλεως ἐπισκόπου διὰ ἀναγκαίαν χρείαν ἐπιτραπῶσι· καθὼς ὁ τέταρτος κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου διαλαμβάνει. Εἰ δέ τινα μοναχὸν ἐξ ἀλλοτρίας μονῆς ἐπίσκοπος παραδέξεται, καὶ ἢ κληρικὸν τοῦτον ποιήσει, ἢ τῆς ἰδίας μονῆς ἡγούμενον, ὡς πρὸς τοὺς λοιποὺς συναδέλφους καὶ συνεπισκόπους αὐτοῦ, ἕξει τὸ ἀκοινώνητον, καὶ μόνῃ τῇ τοῦ ἰδίου λαοῦ κοινωνίᾳ ἀρκεσθήσεται.

et ea non deserere, nisi forsitan a civitatis episcopo propter negotium aliquod necessarium permittuntur : quemadmodum quartus synodi Chalcedonensis canon statuit. Si autem monachum aliquem ex alieno monasterio receperit episcopus, et vel clericum eum fecerit, aut proprii monasterii præfectum : quantum ad reliquos confratres et coepiscopos suos excommunicabitur, et sola populi sui communione contentus erit.

ΚΑΝΩΝ ΠΔ'.

« Περὶ ἐπισκόπων τῶν αἱρετικοὺς ἢ Ἕλληνας κληρο-
« νόμους καταλιμπανόντων. Ὁμοίως ὡρίσθη, ἵνα,
« ἐάν τις ἐπίσκοπος κληρονόμους συγγενεῖς ἢ ἐκτὸς
« τῆς ἰδίας συγγενείας αἱρετικοὺς ἢ Ἕλληνας
« προτιμήσῃ τῆς Ἐκκλησίας, καὶ μετὰ θάνατον
« ἀνάθεμα τῷ τοιούτῳ λεχθείη, καὶ τὸ ὄνομα αὐτοῦ
« μηδαμῶς παρὰ τοῖς τοῦ Θεοῦ ἱερεῦσιν ἀνενεχθῇ.
« Μηδὲ δυνηθῇ ἀπολογηθῆναι, ἐὰν ἀδιάθετος ἀπο-
« γένηται· ἐπειδὴ γενόμενος ἐπίσκοπος, εἰκότως
« ὀφείλει τῶν πραγμάτων αὐτοῦ τὴν διατύπω-
« σιν ἁρμοδίαν τῷ ἑαυτοῦ ἐπαγγέλματι ποιή-
« σασθαι.

CANON LXXXIV.

« De episcopis hæreticos vel Græcos hæredes relin-
« quentibus. Similiter definitum est, ut si quis
« episcopus hæreticos, aut Græcos, sive sint
« consanguinei, sive a consanguinitate alieni,
« hæredes Ecclesiæ prætulerit ; etiam post mor-
« tem ei dicatur anathema, et nomen ejus inter
« Dei sacerdotes minime referatur. Nec possit
« excusari, si intestatus decesserit : quoniam
« cum factus est episcopus, justam debet facere
« rerum suarum dispositionem suæ professioni
« convenientem. »

ΒΑΛΣ. Πᾶς ἐπίσκοπος ὀφείλει, μετὰ τὸ ψηφισθῆναι, ἀπογράφεσθαι τὰ οἰκεῖα πράγματα· καὶ ἐὰν τοῦτο ποιήσῃ κατὰ τὸν ἀποστολικὸν κανόνα, ἔχει ἐπ' ἀδείας διατίθεσθαι ἐπ' αὐτοῖς κατὰ νόμους. Φησὶν οὖν παρὼν κανὼν ὅτι, ἐὰν ὁ ἀπογραψάμενος τὰ οἰκεῖα ἐπίσκοπος, ποιήσῃ τελευτῶν διαθήκην, καὶ γράψῃ κληρονόμους αἱρετικοὺς, κἂν συγγενεῖς αὐτοῦ ὦσι κἂν ἀλλότριοι, καὶ τὴν Ἐκκλησίαν παραγκωνίσηται, ὑποκείσεται τῷ ἀναθέματι καὶ μετὰ θάνατον, καὶ ὄνομα αὐτοῦ ἐκ τῆς μνήμης τῶν ἱερέων ἀπαλειφήσεται. Καὶ αὐτὸς μὲν οὕτω κολασθήσεται· ἡ δὲ διαθήκη τούτου ὡς παράνομος πεσεῖται, καὶ οἱ αἱρετικοὶ κληρονόμοι αὐτοῦ οὐδὲν λήψονται, ὡς τοῦ ἐπισκόπου ἀδιαθέτου δοκοῦντος τελευτῆσαι. Τοῦτο γάρ ἐστι τὸ, μηδὲ δυνηθεῖη ἀπολογηθῆναι, ἐὰν ἀδιάθετος ἀπογένηται, καὶ τὰ ἑξῆς· τουτέστιν ἐὰν ἡ διαθήκη αὐτοῦ, ὡς εἴρηται, πέσῃ, οὐ δυνήσεται ἀπολογίαν εὑρεῖν εἰς τὸ μὴ διανεμηθῆναι κατὰ τὸ αὐτοῦ βούλημα τὰ οἰκεῖα. Ἤγουν, ἐὰν ἐν τοῖς ζῶσιν ὑπῆρχεν, οὐ μὴ αἰτιάσαιτο τὴν ἀθέτησιν τῆς διαθήκης αὐτοῦ. Γενόμενος γὰρ ἐπίσκοπος, ὤφειλε κατὰ νόμους καὶ ἀξίως τῷ ἐπαγγέλματι αὐτοῦ διαθέσθαι· οὐ μὴν παρανόμως καὶ ἀναξίως ἀρχιερεῖ. Ποία γὰρ κοινωνία ὀρθοδόξῳ καὶ αἱρετικῷ; Οὕτως ἑρμηνεύεται ὁ κανὼν, ὡς ἐμοὶ δοκεῖ. Καὶ ἀνάγνωθι τὸν κδ' κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου, καὶ κεφάλαιον ὄγδοον τοῦ ι' τίτλου τοῦ παρόντος συντάγματος· καὶ κεφάλαιον ι' τοῦ γ' τίτλου τοῦ ε' βιβλίου τῶν Βασιλικῶν, ὅπερ ἐστὶ ρλα' νεαρὰ, διδάσκουσα τοὺς ἀδιαθέτως τελευτῶντας ἐπισκόπους καὶ κληρικοὺς παρὰ τῶν ἐκκλησιῶν κληρονομεῖσθαι. Καὶ μὴ ἐναντιωθῇ σοι ἡ νεαρὰ τοῦ βασιλέως κυροῦ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, διαλαμβάνουσα τοὺς ἀδιαθέτως τελευτῶντας παίδων χωρὶς μὴ κληρονομεῖσθαι παρὰ τῶν ἐκ πλαγίου συγγενῶν αὐτῶν· ἀλλὰ τὸ τρίτον τῆς οὐσίας τῶν οὕτως τελευτώντων προχωρεῖν εἰς ψυχικὰς διαδόσεις· συνεισαγομένων τούτων καὶ τῶν τιμη-

BALS. Omnis episcopus, postquam electus fuerit, debet res suas describere : et si hoc fecerit secundum canonem apostolicum, potest secundum leges de rebus suis disponere. Dicit ergo præsens canon quod si episcopus, qui res suas descripsit, moriens testamentum fecerit, et hæreticos hæredes suos subscripserit, sive sint ejus cognati, sive alieni et Ecclesiam prætermiserit ; anathemati etiam post mortem subjicietur, et nomen ejus e sacerdotum memoria delebitur. Ac ipse quidem sic punietur : ejus autem testamentum, ut injustum et contra leges factum, infirmabitur, et hæretici quoque hæredes nihil accipient, tanquam episcopus videatur mori intestatus, et quæ sequuntur : hoc est, si ejus testamentum infirmetur, ut dictum est, non poterit invenire defensionem, ut non ex ejus voluntate sua administrentur. Videlicet, si in vivis esset, sui testamenti infirmationem non incusaret. Cum enim factus esset episcopus, debebat secundum leges et pro suæ professionis dignitate disponere : non autem contra leges et pro suæ professionis dignitate disponere ; non autem contra leges et dignitatem antistitis. Quæ est enim communio orthodoxo cum hæretico ? Hæc est canonis interpretatio, ut mihi quidem videtur. Et lege canonem 24 synodi **618** Antiochenæ et caput octavum tit. 10 præsentis operis ; et cap. 10, tit. 3, lib. v. Basilic. quod est novella 131, quæ docet, si episcopi et clerici intestati moriantur, ad ecclesias hæreditatem pertinere. Nec tibi repugnare videatur novella imperatoris domini Constantini Porphyrogennetæ, quæ tractat, eis, qui sine liberis intestati moriuntur, non succedere ex linea transversa cognatos : sed tertiam partem bonorum, eorum qui sic moriuntur, ad pias animæque salutares elargitiones procedere ; cum eo etiam collectis pretiis servorum ejus qui mortuus est, utpote iis eo ipso

Digitized by Google

liberatis. Hæc enim novella de solis laicis loquitur, et in iis vim suam obtinere debet; sicut prædicta Justiniani novella locum habet in episcopis et clericis, qui intestati moriuntur.

ZONAR. Quadragesimus apostolorum canon: Manifestæ, inquit, sint episcopi res propriæ, manifestæ et dominicæ; ut sit in potestate morientis episcopi propria, quibus vult, relinquere. Non dissimilia Antioch. syn. can. 24 continentur. Illinc igitur licet episcopo res suas quibuscunque velit relinquere, modo fideles sint et orthodoxi; non autem infidelibus et hæreticis, etiam cognatione conjunctis. Quod si moriens aliquem ex illis hæredem scripserit, is quidem etiam post mortem anathemate percutitur, ejusque nomen e sacerdotum fastis et memoria eximitur. Atque hæc quidem, episcopo hæreditatem hæreticis legante, sic habebunt. Quæ vero in canone deinceps sequuntur, ea nec explicari, nec intelligi facile possunt. Arbitror tamen illorum hanc esse sententiam; nimirum si nullo facto testamento episcopus moriatur, nihil excusationis ejus successori relictum iri, nisi rerum ipsius propriarum procurationem rite suscipiat. Ab eo namque, ut episcopi demortui facultatum procurationem suscipiat, deque illis, pro ea quam edidit voluntatis suæ professione, constituat, postulatur. Quisquis enim episcopus renuntiatur, canones se servaturum esse profitetur. Canones vero paupertatis amantem, hospitalem, pecuniarum contemptorem episcopum esse jubent. Centesima porro tricesima prima novella lib. v, tit. 3, cap. 10, Basilic. sita, si qui episcopi et clerici nullo facto testamento decesserint, neque legitimos successores habuerint, ad ecclesias, quas ante obtinuerant, hæreditatem pertinere decernitur.

ARIST. « Episcopus, qui hæreticos aut ethnicos « hæredes scribit, sit anathema. »

Hi etiam a legibus prohibentur administrare, et a testamento hæreditatem aut legatum accipere. Relicti itaque ab episcopo hæredes, nihil ipsi lucri accipient; sed publicum quæ iis relinquuntur recipiet: qui eos autem scribunt hæredes, erunt hæredes anathematis.

CANON LXXXV.

« De manumissionibus. Similiter placuit, ut de « manumissionibus, quæ fiunt in ecclesia, ab « imperatore petatur. »

BALS. Servi, propter aliquas causas ad ecclesias accedentes, episcopali cognitione manumittebantur. Sed quia eorum domini ipsos in servitutem redigere conabantur, visum est, ut imperator de iis admoneretur, ut reprimeretur dominorum potentia. Atque in his quidem consistit canon. Tu autem scias, quod ex libro recondito in primi defensoris secreto, qui habet ea quæ a claro sanctissimæ Magnæ Ecclesiæ exstructore imperatore Justiniano statuta sunt, multa habent privilegia, qui

μάτων τοῦ τελευτήσαντος, ὡς ἀπεντεῦθεν ἐλευθερουμένων. Ἡ γὰρ νεαρὰ αὕτη εἰς τοὺς λαϊκοὺς ἐξεφωνήθη καὶ μόνους, καὶ ὀφείλει κρατεῖν εἰς τούτους, ὥσπερ εἰς τοὺς ἀδιαθέτους ἐπισκόπους καὶ κληρικοὺς ἐνεργήσει ἡ ῥηθεῖσα Ἰουστινιάνειος νεαρά.

ΖΩΝΑΡ. Ὁ τεσσαρακοστὸς τῶν ἁγίων ἀποστόλων κανών, Ἔστω, φησὶ, φανερὰ τὰ ἴδια τοῦ ἐπισκόπου πράγματα, καὶ φανερὰ τὰ κυριακά· ἵν' ἐξουσίαν ἔχῃ ὁ ἐπίσκοπος τελευτῶν, οἷς βούλεται καταλεῖψαι τὰ ἴδια. Τὰ ὅμοια δὲ καὶ ὁ κδ' τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανὼν διατάττεται. Ἔχει γοῦν ἐκ τούτων ἄδειαν ὁ ἐπίσκοπος τὰ ἑαυτοῦ πράγματα καταλιμπάνειν οἷς βούλεται, πιστοῖς μέντοι καὶ ὀρθοδόξοις, οὐ μὴν αἱρετικοῖς ἢ ἀπίστοις, ἀλλ' οὐδὲ συγγενέσιν αὐτοῦ τοιούτοις. Εἰ δὲ τοιούτους τινὰς κληρονόμους τελευτῶν γράψει, ἐκεῖνος μὲν καὶ μετὰ θάνατον ἀναθεματίζεται, καὶ τὸ ὄνομα αὐτοῦ ἐκ τῆς μνήμης τῶν ἱερέων ἀπαλείφεται. Ταῦτα μὲν, εἰ διαθέμενος αἱρετικοὺς καταλείψει κληρονόμους· τὸ δ' ἑξῆς τοῦ κανόνος δύσφραστόν ἐστι, κἀντεῦθεν δυσνόητον. Οἶμαι δὲ λέγειν ὅτι, ἐὰν ἀδιάθετος τελευτήσῃ ὁ ἐπίσκοπος, ἀναπολόγητος ἔσται ὁ μετ' αὐτὸν ἐπίσκοπος ἀπολογίας στερούμενος, εἰ μὴ οἰκονομήσει τὰ ἰδικὰ αὐτοῦ πράγματα εἰκότως, ἐπεὶ ὀφείλει καὶ χρέος ἔχει τὴν διατύπωσιν, ἤγουν τὴν οἰκονομίαν τῶν πραγμάτων τοῦ τελευτήσαντος ἐπισκόπου ἁρμοδίαν ποιῆσαι, ἤτοι ἀξίαν τοῦ ἐπαγγέλματος αὐτοῦ. Ὁ γὰρ γινόμενος ἐπίσκοπος ἐπαγγέλλεται τοὺς κανόνας φυλάττειν· οἱ δὲ κανόνες φιλόπτωχον αὐτὸν εἶναι καὶ φιλόξενον ἀπαιτοῦσι, καὶ ὑπερόπτην χρημάτων. Ἡ δὲ ρλα' νεαρὰ κειμένη εἰς βιβλίον τῶν Βασιλικῶν ε', τίτ. γ', κεῖται ι' τοὺς ἐπισκόπους καὶ κληρικοὺς ἀδιαθέτους τελευτῶντας, καὶ νομίμων διαδόχων χωρὶς παρὰ τῶν ἐκκλησιῶν αὐτῶν κελεύει κληρονομεῖσθαι.

ΑΡΙΣΤ. « Ἐπίσκοπος, αἱρετικοὺς ἢ Ἕλληνας κλη- « ρονόμους γράφων, ἔστω ἀνάθεμα. »

Οὗτοι καὶ ἀπὸ νόμων κωλύονται διατίθεσθαι, καὶ ἀπὸ διαθήκης κληρονομίαν ἢ λεγάτον λαμβάνειν. Καταλειφθέντες γοῦν κληρονόμοι παρ' ἐπισκόπου, αὐτοὶ μὲν οὐδέν τι κερδήσουσιν· ἀλλ' ὁ δημόσιος λήψεται τὰ καταλειφθέντα αὐτοῖς· οἱ δὲ γράψαντες αὐτοὺς κληρονόμους κληρονομήσουσι τὸ ἀνάθεμα.

ΚΑΝΩΝ ΠΕ'.

« Περὶ ἐλευθεριῶν. Ὁμοίως ἤρεσεν, ἵνα περὶ τῶν « ἐν τῇ Ἐκκλησίᾳ γενομένων ἐλευθεριῶν ἀπὸ τοῦ « βασιλέως αἴτησις γένηται. »

ΒΑΛΣ. Δοῦλοι, διά τινας αἰτίας προσφεύγοντες ταῖς ἐκκλησίαις, ἠλευθεροῦντο κατὰ διάγνωσιν ἐπισκοπικήν. Ἐπεὶ δὲ οἱ δεσπόται τούτων ἐπεχείρουν αὐτοὺς δουλαγωγεῖν, ἔδοξε περὶ τούτων ὑπομνησθῆναι τὸν βασιλέα, ὥστε ἀνασταλῆναι τὴν τῶν δεσποτῶν δυναστείαν. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Σὺ δὲ γίνωσκε ὅτι ἀπὸ τοῦ βιβλίου τοῦ ἀποκειμένου ἐν τῷ σεκρέτῳ τοῦ πρωτεκδίκου, τοῦ ἔχοντος τὰ διατυπωθέντα παρὰ τοῦ ἀοιδίμου κτήτορος τῆς ἁγιωτάτης Μεγάλης Ἐκκλησίας τοῦ βασιλέως Ἰουστινιανοῦ,

Digitized by Google

πολλὰ προνόμια ἔχουσιν οἱ παρὰ τοῦ μέρους τῆς Ἐκκλησίας ἐλευθερούμενοι δοῦλοι. Ἀνάγνωθι καὶ τὸν ις' τίτ. τοῦ μη' βιβλίου περὶ ἐλευθερουμένων διδάσκοντα, καὶ τὴν νεαρὰν τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, τὴν διοριζομένην μὴ ἔχειν χώραν τοὺς περὶ τῶν ἀντιπαραγαγῶν τῶν μαρτύρων νόμους, ὅταν περὶ ἐλευθερίας δικάζηταί τις· ἀλλὰ μόνην γίνεσθαι παραγωγὴν μαρτύρων παρὰ τοῦ δουλαγωγουμένου ἢ τοῦ ἐλευθεροβοῶντος.

A ex parte Ecclesiæ manumissi sunt servi. Lege et vicesimum sextum tit. quadragesimi octavi libri, qui docet de servis qui manumittuntur : **619** et novellam clari imperatoris domini Alexii Comneni, quæ statuit non habere locum leges de contraria testium productione, quando quis contendit de libertate : sed solam fieri testium productionem ab eo, qui in servitutem ducitur, vel in libertatem proclamat.

ΖΩΝΑΡ. Δοῦλοι διά τινας αἰτίας προσφεύγοντες ταῖς ἐκκλησίαις ἠλευθεροῦντο, τοῦτο τῶν ἐπισκόπων δίκαιον εἶναι δοκιμαζόντων· οὓς οἱ δεσπόται ἐπειρῶντο αὖθις εἰς δουλείαν ἕλκειν. Περὶ τούτων οὖν ἔδοξεν ὑπομνησθῆναι τὸν βασιλέα.

ZONAR. Servi, certis quibusdam de causis ad ecclesiam confugientes, si id episcopus æquum statuisset, manumittebantur; quos domini rursum ad servitutem trahere niterentur. Ea de re igitur imperatorem esse monendum visum est.

ΑΡΙΣΤ. « Περὶ τῶν ἐν ἐκκλησίαις γενομένων ἐλευ- B « θεριῶν ἐκ βασιλέως αἴτησις γινέσθω. »

ARIST. « De manumissionibus quæ in ecclesiis « fiunt, imperatori petitio exhibeatur. »

Τὰ αὐτὰ τῷ ἑξηκοστῷ τετάρτῳ κανόνι διαλαμβάνει· καὶ ἑρμηνεύθη ἐκεῖσε.

Hic canon eadem ac sexagesimus quartus statuit; et ibi interpretatur.

ΚΑΝΩΝ ΠΣ'.

« Περὶ τῶν πλαστῶν μνημείων τῶν μαρτύρων. « Ὁμοίως ἤρεσεν, ἵνα πανταχοῦ ἀνὰ τοὺς ἀγροὺς « καὶ τοὺς ἀμπελῶνας θυσιαστήρια, ὡσανεὶ εἰς « μνήμην μαρτύρων καθιστάμενα, ἐν οἷς οὐδὲ ἓν « σῶμα ἢ λείψανον μαρτύρων ἀποκείμενον δεί- « κνυνται, ἀπὸ τῶν ἐντοπίων ἐπισκόπων, εἰ ἔστι « δυνατὸν, καταστρέφωνται. Εἰ δὲ τοῦτο θορύβοις « δημοτικοῖς οὐ συγχωρεῖται, ὅμως τὰ πλήθη νου- « θετηθῶσι μὴ ὀχλαγωγεῖν τοὺς τόπους ἐκείνους· καὶ « ἵνα οἱ τὰ ὀρθὰ φρονοῦντες μηδεμιᾷ δεισιδαιμονίᾳ « τῶν τοιούτων τόπων καταδεσμῶνται, καὶ μηδαμῶς C « μηδὲ μνήμη μαρτύρων ἐπιτελεσθῇ, εἰ μή που ἢ « σῶμα ἢ τινα λείψανα ὦσιν ἢ ἀρχαιογονία τινὸς « οἰκήσεως ἢ κτήσεως ἢ πάθους πιστῇ ἀρχαιό- « τητι παραδιδωνται. Ὅσα γὰρ δι' ἐνυπνίων καὶ « ματαίων ἀποκαλύψεων ἀνθρώπων τινῶν ὁπουδή- « ποτε καθίστανται θυσιαστήρια, παντὶ τρόπῳ τὰ « τοιαῦτα ἀποδοκιμασθῶσιν. »

CANON LXXXVI.

« De fictis martyrum monumentis. Similiter pla- « cuit, ut omnia per agros et vineta altaria, « veluti in memoriam martyrum constituta, in « quibus nullum corpus aut reliquiæ martyrum « conditæ ostenduntur, a loci episcopis, si pos- « sit fieri, subvertantur. Sin autem propter po- « pulares tumultus hoc non permittitur; plebs « tamen admoneatur, ne iis in locis conventus « agat; et ut qui recte sentiunt nulla eorum « locorum superstitione alligentur; et omnino « nec martyrum memoria peragatur, nisi utique « vel corpus vel aliquæ sint reliquiæ, vel alicu- « jus habitationis, aut possessionis, aut passio- « nis origo fideli antiquitati tradita est. Quæ- « cunque enim per somnia et vanorum hominum « revelationes ubilibet constituuntur altaria, ea « omni modo reprobentur. »

« Synodus adversus hæresin Pelagii et Celestii. Sub « gloriosissimis impp. Honorio Augusto XII et

Guill. Beveregii notæ.

(38) *Σύνοδος κατὰ τῆς αἱρέσεως.* In codice Amerbachiano huic canoni scholium annectitur, his verbis, Ἔοικε τῶν Δονατιστῶν τοὺς ταλαιπόρους ἀνθρώπους τούτους, καὶ πάλιν αὐτοὺς οὐκ ἄλλους ἢ τοὺς Μασσαλιανοὺς ἤτοι Εὐχίτας ὑπάρχειν. Ἐπεὶ καὶ ἡ Μασσαλία τῶν τῆς Λιβύης πρὸς τοῖς μέσεσι τῆς Ῥώμης τῆς ἐπὶ θύμβριδι. *Miseros hosce homines e Donatistis, eosque non alios esse quam Massulianos, sive Euchitas, videtur; quoniam Massalia etiam ex adverso sit Africæ, in partibus Romæ super Tiberi sitæ.* Quomodo autem hoc scholium huic canoni conveniat, et quid sibi velit, alii vide-

Digitized by Google

« Theodosio VIII consulib. cal. Maiis, Carth. in secreto Fausti ecclesiæ, Aurelio episcopo universæ synodo præsidente, adstantibus diaconis : placuit omnibus episcopis Ecclesiæ Carthaginensis, in sancta synodo constitutis, quorum nomina et subscriptiones insertæ sunt, quod Adam mortalis a Deo factus non est : ut si quis dixerit protoplastum Adam ita hominem factum esse mortalem, ut sive pecasset, sive non, esset in corpore moriturus, id est, e corpore excessurus, non propter meritum peccati, sed per naturæ necessitatem, sit anathema.

« Ὀνωρίου Αὐγούστου τὸ δωδέκατον, καὶ Θεοδοσίου τὸ ὄγδοον, τῶν ὑπάτων, καλάνδαις Μαΐαις, εἰς Καρχηδόνα ἐν τῷ σηκρήτῳ τῆς Φαύστου ἐκκλησίας, Αὐρηλίου τοῦ ἐπισκόπου συμπάσῃ τῇ συνόδῳ προκαθίσαντος, παρεστώτων τῶν διακόνων, ἤρεσεν πᾶσι τοῖς ἐπισκόποις τῆς ἐν Καρχηδόνι ἐκκλησίας, ἁγίᾳ συνόδῳ καθεστῶσιν, ὧν τὰ ὀνόματα καὶ αἱ ὑπογραφαὶ ἐνετέθησαν, ὅτι Ἀδὰμ θνητὸς ἀπὸ τοῦ Θεοῦ οὐκ ἐγένετο· ἵνα ὅστις δήποτε λέγῃ τὸν Ἀδὰμ τὸν πρωτόπλαστον ἄνθρωπον θνητὸν γενόμενον οὕτως, ὡς, εἴτε ἁμαρτήσει, εἴτε μὴ ἁμαρτήσει, τεθνήξεσθαι ἐν τῷ σώματι, τοῦτ' ἔστιν ἐξελθεῖν ἐκ τοῦ σώματος, μὴ τῇ ἀξίᾳ τῆς ἁμαρτίας, ἀλλὰ τῇ ἀνάγκῃ τῆς φύσεως, ἀνάθεμα ἔστω. »

BALS. et ZONAR. Deus Adam nec mortalem fecit, nec immortalem, sed medium inter magnitudinem et humilitatem, et cum eum suæ potestatis liberique arbitrii compotem fecisset, dimisit ; ut utrolibet, sive ad virtutem, sive ad vitium inclinasset, vel immortalitatem, vel mortalitatem sortiretur. Etsi enim carnem tunc quoque habebat homo, non tamen qualem nunc. Et hoc ait Gregorius Theologus cum dicit : Pelliceas quoque vestes induit, forte densiorem carnem et mortalem et resistentem. Quare ante transgressionem nec densa erat caro Adami, nec natura mortalis. Fuerunt autem qui dicerent eum et mortalem ab initio factum esse, et moriturum fuisse, etiamsi mandatum non esset transgressus : et non propter peccatum ingressam esse mortem, sed propter naturam, quæ fuit talis ab initio. Eos ergo, qui ita sentiunt, hujus synodi Patres anathemate damnarunt.

ΒΑΛΣ. καὶ ΖΩΝ. Τὸν Ἀδὰμ ὁ Θεὸς οὐ θνητὸν ἔπλασεν, οὐδὲ μέντοι ἀθάνατον, μέσον δὲ μεγέθους καὶ ταπεινότητος, καὶ αὐτεξούσιον ποιήσας αὐτὸν, εἴασεν, ὥστε ὁποτέρωσε νεύσει, εἴτε πρὸς ἀρετὴν εἴτε πρὸς κακίαν, κληρώσασθαι αὐτὸν ἢ τὴν ἀθανασίαν ἢ τὴν θνητότητα. Κἂν γὰρ σάρκα εἶχε καὶ τότε ὁ ἄνθρωπος, ἀλλ' οὐχ οἵαν νῦν. Καὶ τοῦτό φησιν ὁ Θεολόγος Γρηγόριος, λέγων· Καὶ τοὺς δερματίνους ἀμφιέννυται χιτῶνας, ἴσως τὴν παχυτέραν σάρκα καὶ θνητὴν καὶ ἀντίτυπον. Ὥστε πρὸ τῆς παραβάσεως οὔτε παχεῖα ἦν ἡ σὰρξ τῷ Ἀδὰμ, οὔτε φύσει θνητή. Ἦσαν δ' οἱ λέγοντες ὅτι θνητὸς ἐξ ἀρχῆς ἐπλάσθη καὶ θανεῖν ἔμελλε, κἂν μὴ παρέβη τὴν ἐντολὴν, καὶ οὐχὶ διὰ τὴν ἁμαρτίαν ἐπεισῆλθεν ὁ θάνατος, ἀλλὰ διὰ τὴν φύσιν τοιαύτην γεγονυῖαν ἀρχῆθεν. Τῶν οὖν ταῦτα φρονούντων οἱ τῆς συνόδου ταύτης Πατέρες κατεψηφίσαντο τὸ ἀνάθεμα.

ARIST. « Qui protoplastum etiam sine peccato per naturæ necessitatem moriturum fuisse asserit, anathema sit. »

ΑΡΙΣΤ. « Ὁ τὸν πρωτόπλαστον δογματίζων καὶ δίχα τῆς ἁμαρτίας τεθνηξόμενον, διὰ ἀνάγκην τῆς φύσεως, ἤτω ἀνάθεμα. »

646 CANON CXII.

« Quod infantes in peccatorum remissionem baptizantur. Similiter placuit, ut quicunque parvos et recens natos infantes ab utero matris baptizandos esse negat, vel dicit in remissionem peccatorum baptizari, non autem ex primi parentis Adam peccato quidquam trahere, quod debeat lavacro regenerationis purgari (unde est consequens, quod in his forma baptismatis in remissionem peccatorum non vera, sed ficta intelligitur), sit anathema : quoniam non aliter intelligere oportet quod ab Apostolo dictum est, « Per unum hominem peccatum introivit in mundum, et per peccatum mors, et sic in omnes homines pervasit, in quo omnes peccaverunt [51] : » nisi

ΚΑΝΩΝ ΡΙΒ'.

« Ὅτι τὰ μικρὰ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτίζονται.

« Ὁμοίως ἤρεσεν, ἵνα ὁστισδήποτε τὰ μικρὰ καὶ νεογέννητα ἐκ τῶν γαστέρων τῶν μητέρων βαπτιζόμενα ἀρνεῖται, ἢ λέγει εἰς ἄφεσιν ἁμαρτιῶν αὐτὰ βαπτίζεσθαι, μηδὲν δὲ ἐκ τῆς τοῦ Ἀδὰμ εἶκειν προγονικῆς ἁμαρτία· τὸ ὀφεῖλον καθαρθῆναι τῷ λουτρῷ τῆς παλιγγενεσίας (ὅθεν γίνεται ἀκόλουθον ὅτι ἐν τούτοις ὁ τύπος τοῦ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτίσματος οὐκ ἀληθὴς, ἀλλὰ πλαστὸς νοεῖται), ἀνάθεμα εἴη· ἐπειδὴ οὐκ ἄλλως δεῖ νοῆσαι τὸ εἰρημένον τῷ Ἀποστόλῳ, « Δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰσῆλθεν εἰς τὸν κόσμον, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους

[51] Rom. v, 12.

Guill. Beveregii notæ.

rint. Massalianos autem Euchitas dictos esse Harmenopulus etiam tradidit, et rationem his verbis reddit, Τὸ δὲ τῶν Μασσαλιανῶν ὄνομα ἑξελληνιζόμενον, Εὐχίτας δηλοῖ· πολὺ γὰρ παρ' αὐτοῖς τὸ τῆς εὐχῆς ὄνομα. Harmenop. de sect. c. 18.

Digitized by Google

« διῆλθεν, ἐν ᾧ πάντες ἥμαρτον, εἰ μὴ ὃν τρόπον A
« ἡ καθολικὴ Ἐκκλησία ἡ πανταχοῦ διακεχυμέ-
« νη τε καὶ ἡπλωμένη ἀεὶ ἐνόησεν. Διὰ γὰρ τὸν
« κανόνα τοῦτον τῆς πίστεως καὶ οἱ μικροὶ, οἱ
« μηδὲν ἁμαρτημάτων εἰς ἑαυτοὺς ἔτι μὴν πλημ-
« μελεῖν δυνάμενοι, εἰς ἄφεσιν ἁμαρτιῶν ἀληθι-
« νῶς βαπτίζονται· ἵνα καθαρθῇ ἐν αὐτοῖς διὰ
« τῆς παλιγγενεσίας, ὅπερ εἵλκυσαν ἐκ τῆς ἀρ-
« χαιογονίας. »

ΒΑΛΣ. καὶ ΖΩΝ. Ἔλεγόν τινες τὰ νεογνὰ παιδία μὴ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτίζεσθαι· μηδὲ γὰρ ἔχειν αὐτὰ ἁμαρτίας, ἐπεὶ μηδὲ πεφύκασιν ἁμαρτάνειν, ἔτι μὴ ἔχοντα διάκρισιν τοῦ καλοῦ καὶ τοῦ χείρονος. Τοῦτο οὖν ἀπαγορεύει ἡ σύνοδος, καὶ τοὺς φρονοῦντας οὕτω, καὶ λέγοντας μή τι ἐκ τῆς B
τοῦ Ἀδὰμ προγονικῆς ἁμαρτίας ἐφέλκεσθαι τοὺς ἐξ ἐκείνου, ὥστε καθάρσεως δέεσθαι τῆς ἐκ τοῦ θείου λουτροῦ τοῦ βαπτίσματος τὰ παιδία, ποιεῖται ὑπὸ ἀνάθεμα, λέγουσα ὅτι ἐκ τούτου ἀκολουθεῖ τὸ νοεῖσθαι, ὡς ὁ τύπος τοῦ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτίσματος οὐκ ἀληθής ἐστιν, ἀλλὰ πεπλασμένος, ἐν τούτοις τοῖς νεογνοῖς δηλαδή. Εἶτα καὶ κατασκευάζει τὸν οἰκεῖον λόγον, χρήσεις ἐκ τοῦ μεγάλου Παύλου παράγουσα. Πῶς γάρ, φησὶν, ἄλλως νοητέον τὸ, *Δι' ἑνὸς ἀνθρώπου εἰσῆλθεν ἡ ἁμαρτία εἰς τὸν κόσμον, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους διῆλθεν. ἐν ᾧ πάντες ἥμαρτον* εἰ μὴ ὡς ἐνόησε τοῦτο ἡ καθολικὴ Ἐκκλησία, ἡ πανταχοῦ διακεχυμένη τε καὶ ἡπλωμένη, ἤγουν ἡ ἐν ὅλῳ τῷ κόσμῳ ἐσκεδασμένη πληθὺς τῶν C
πιστῶν;

ΑΡΙΣΤ. « Ὁ τὰ νεογνὰ καὶ βαπτιζόμενα λέγων
« μηδὲν ἕλκειν ἐκ τῆς τοῦ Ἀδὰμ ἁμαρτίας ὀφεί-
« λον καθαρθῆναι τῷ βαπτίσματι, ἐπάρατος· διὰ
« γὰρ τοῦ ἑνὸς καὶ ὁ θάνατος καὶ ἡ ἁμαρτία
« παγκόσμιος. »

ΚΑΝΩΝ ΡΙΓ'.

« Ὅτι ἡ τοῦ Θεοῦ χάρις οὐ μόνον ἄφεσιν χαρίζεται
« ἁμαρτιῶν, ἀλλὰ καὶ βοήθειαν παρέχει τοῦ μη-
« κέτι ἁμαρτάνειν. Ὁμοίως ἤρεσεν, ἵνα ὁστισδή-
« ποτε εἴποι τὴν χάριν τοῦ Θεοῦ ᾗτινι δικαιοῦται
« διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, πρὸς
« μόνην ἄφεσιν ἁμαρτιῶν ἰσχύειν τῶν ἤδη πε-
« πλημμελημένων, καὶ μὴ παρέχειν ἔτι μὴν βοή-
« θειαν πρὸς τὸ μὴ ἕτερα πλημμελεῖσθαι, ἀνάθεμα D
« εἴη. Ὅτι ἡ χάρις τοῦ Θεοῦ οὐ μόνον γνῶσιν
« παρέχει, ὧν δεῖ πράττειν, ἀλλὰ καὶ ἀγάπην
« ἔτι μὴν ἐμπνέει ἡμῖν, ἵνα ὃ ἐὰν ἐπιγινώσκω-
« μεν, καὶ πληρῶσαι ἰσχύσωμεν. Ὁμοίως ὁστισ-
« δήποτε εἴποι τὴν αὐτὴν χάριν τοῦ Θεοῦ, τὴν
« διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, εἰς τοῦ-
« το μόνον ἡμῖν βοηθεῖν, πρὸς τὸ μὴ ἁμαρτάνειν,
« ὅτι διὰ ταύτης ἡμῖν ἀποκαλύπτεται καὶ φανε-
« ροῦται ἡ γνῶσις τῶν ἁμαρτημάτων, ὥστε
« γινώσκειν ἃ δεῖ ἐπιζητεῖν, καὶ ἃ δεῖ ἐκκλίνειν,
« οὐ μὴν δι' αὐτῆς ἡμῖν παρέχεσθαι, ἵνα ὅπερ
« γνῶμεν ποιητέον, καὶ ποιῆσαι ἔτι μὴν ἀγαπή-
« σωμεν καὶ ἰσχύσωμεν, ἀνάθεμα εἴη. Τοῦ γὰρ

[51] I Cor. VIII, 2.

« quemadmodum catholica Ecclesia, quæ ubique
« diffusa est et simplex, semper intellexit. Pro-
« pter hanc enim fidei regulam infantes quoque,
« qui nullum ex se peccatum committere potue-
« runt, vere in peccatorum remissionem bapti-
« zantur, ut per regenerationem in eis vere
« mundetur, quod ab antiqua origine contraxe-
« runt. »

BALS. et ZONAR. Dicebant quidam, recens natos infantes in remissionem peccatorum non baptizari : eos enim non habere peccatum, cum per naturam adhuc peccare non possint, ut qui bonum et malum discernere nequeant. Hoc ergo prohibet synodus, et eos, qui ita sentiunt, et dicunt illos, qui ab ipso descenderunt, nihil ex primi parentis Adam peccato trahere, ut infantes ex sancto baptismi lavacro mundatione opus habeant, anathemati subjicit, dicens, quod ex hoc consequens est intelligere, quod forma baptismatis in remissionem peccatorum non est vera, sed ficta, in his scilicet infantibus. Deinde suam quoque rationem confirmat, ex magno Paulo sententiam adducens. Quomodo enim, inquit, aliter est intelligendum, quod *peccatum per unum hominem ingressum est in mundum, et per peccatum mors, et sic in omnes homines pervenit, in quo omnes peccaverunt*, nisi quemadmodum hoc intellexit catholica Ecclesia, quæ ubique diffusa est et simplex, in toto scilicet mundo dispersa fidelium multitudo?

ARIST. « Qui infantes recens natos et baptizatos
« nihil ex Adami peccato trahere, quod baptis-
« mate mundari debet, asserit, exsecrandus est :
« per unum enim et mors et peccatum universum
« mundum invasit. »

CANON CXIII.

« Quod Dei gratia non solum largitur remissionem
« peccatorum, sed etiam præbet auxilium, ut non
« amplius peccetur. Similiter placuit, ut quicun-
« que dixerit Dei gratiam, qua justificatur homo
« per Jesum Christum Dominum nostrum, valere
« ad solam jam commissorum peccatorum remis-
« sionem, et non præbere præterea auxilium, ut
« non deinceps peccetur, sit anathema. Quod Dei
« gratia non præbet solam cognitionem eorum
« quæ oportet facere, sed dilectionem præterea
« nobis inspirat, ut quod cognoscimus, etiam im-
« plere valeamus. Similiter, quicunque dixerit
« eamdem Dei gratiam, quæ est per Jesum Chri-
« stum Dominum nostrum, ad hoc solum nos
« adjuvare, ne peccemus, quia per eam revelatur
« nobis et manifestatur cognitio peccati, ut scia-
« mus quæ quæri et quæ vitari oporteat : non au-
« tem per eam præberi, ut quod faciendum co-
« gnovimus, etiam facere diligamus et valeamus,
« sit anathema. Cum enim dicit Apostolus : *Scien-*
« *tia inflat, charitas autem ædificat* [51] ; 647

Digitized by Google

« valde impium est credere, ad nos quidem in- A
« flandos habere nos Dei gratiam, ad ædificatio-
« nem autem non habere; quando utrumque est
« donum Dei, et scire quid facere oporteat, et
« amare bonum quod facere oportet, ut chari-
« tate ædificante, scientia inflare non valeat.
« Quemadmodum enim de Deo scriptum est, *Qui*
« *docet hominem scientiam* [83] : sic etiam scri-
« ptum est, *Charitas ex Deo est* [84]. »

BALS. et ZONAR. Gratiam quæ nobis in baptismate per Dominum nostrum Jesum Christum suppeditatur, credimus non solum dare nobis remissionem peccatorum jam factorum, sed etiam potestatem ne amplius peccemus, nisi nos ipsos B per socordiam peccatis tradiderimus : eos autem, qui non sic existimant, et dicunt peccatorum tantum remissionem divinum dare lavacrum, non autem etiam auxilium ad futurum, anathemate condemnarunt Patres. Hoc quoque dicebant nonnulli, quod Dei gratia nobis fert auxilium ad non peccandum, (per eam enim cognitionem accipimus eorum quæ facere et fugere oportet), non autem etiam ad ingenerandum honesti virtutisque dilectionem, ut bonum quod cognoverimus, id et amemus et facere valeamus. Eos ergo, qui hæc opinantur, synodus anathematizat, dicens utrumque esse donum Dei, et scientiam et charitatem; quemadmodum scriptum est, *Qui docet hominem scientiam;* et rursus, *Charitas ex Deo est.* Alioqui impium est dicere, quod bonum quidem nosse dat nobis Dei gratia, charitatem autem ejus non immittit, nec nobis dat vires nosque confirmat, ut bonum in ejus dilectione faciamus. Affert autem et in dicti sui confirmationem quod dicit Apostolus : *Scientia inflat, charitas vero ædificat.* Quomodo ergo non est impium dicere, ad inflandum quidem, seu ad vanam ingenerandum opinionem, divinam nobis gratiam conferre, sed ad ædificandum nihil dare auxilii?

ARIST. in Can. 112. « Qui Dei gratiam solam
« eorum, quæ jam commisimus, peccatorum
« remissionem exhibere opinatur, non vero
« contra futura auxilium : bis exsecrandus est. »

ARIST. in Can. 113. « Qui dicit, quod Dei gratia
« ad hoc tantum nobis opitulatur, ut sciamus,
« quid facere oportet, et quid effugere, sed non
« etiam ut cognitum amemus, et perficere va-
« leamus : sit anathema. »

CANON CXIV.

« Quod sine Dei gratia nihil possumus perficere.
« Similiter placuit, ut quicunque dixerit, propterea
« datam esse nobis justificationis gratiam, ut
« quod per liberum arbitrium facere possumus,
« facilius per gratiam peragamus; perinde ac
« si, quamvis non data esset gratia, difficulter

« Ἀποστόλου λέγοντος, *Ἡ γνῶσις φυσιοῖ, ἡ*
« *ἀγάπη οἰκοδομεῖ*, ἀσεβὲς πάνυ ἐστὶ πιστεύειν
« πρὸς μὲν τὸ φυσιοῦν ἡμᾶς ἔχειν τὴν χάριν τοῦ
« Θεοῦ, πρὸς δὲ οἰκοδομὴν μὴ ἔχειν· ὁπόταν
« ἑκάτερον δῶρόν ἐστι τοῦ Θεοῦ, καὶ τὸ εἰδέναι
« τί ποιεῖν δεῖ, καὶ τὸ ἀγαπᾷν τὸ ἀγαθὸν ὃ δεῖ
« ποιεῖν· ἵνα, τῆς ἀγάπης οἰκοδομούσης, ἡ γνῶ-
« σις φυσιοῦν μὴ δυνηθῇ. Ὥσπερ γὰρ ἐκ τοῦ
« Θεοῦ γέγραπται, *Ὁ διδάσκων ἄνθρωπον γνῶ-*
« *σιν*· οὕτως ἔτι μὴν γέγραπται, *Ἡ ἀγάπη*
« *ἐκ τοῦ Θεοῦ ἐστιν.* »

ΒΑΛΣ. καὶ ΖΩΝΑΡ. Τὴν ἐν τῷ ἁγίῳ βαπτίσματι χορηγουμένην ἡμῖν χάριν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πιστεύομεν μὴ μόνον ἄφεσιν διδόναι τῶν πεπραγμένων ἡμῖν ἁμαρτημάτων, ἀλλὰ καὶ δύναμιν πρὸς τὸ μὴ πάλιν ἡμᾶς ἁμαρτάνειν, εἰ μὴ ἡμεῖς διὰ ῥᾳθυμίαν ἐκδῶμεν ἑαυτοὺς ἁμαρτίαις· τοὺς δὲ μὴ οὕτω δοξάζοντας, ἀλλὰ μόνων τῶν ἁμαρτημάτων λέγοντας ἄφεσιν διδόναι τὸ θεῖον λουτρὸν, μὴ μέντοι καὶ πρὸς τὸ μέλλον βοήθειαν, ἀναθέματι κατεδίκασαν οἱ Πατέρες. Καὶ τοῦτό τινες ἔλεγον, ὅτι ἡ χάρις τοῦ Θεοῦ εἰς τοῦτο ἡμῖν βοηθεῖ, εἰς τὸ μὴ ἁμαρτάνειν (δι' αὐτῆς γὰρ γνῶσιν λαμβάνομεν τίνα δεῖ ποιεῖν καὶ τίνα φεύγειν)· οὐ μὴν καὶ εἰς τὸ ἀγάπην τῶν καλῶν καὶ τῆς ἀρετῆς ἐμποιεῖν ἡμῖν, ἵνα ὅπερ γνῶμεν καλὸν, τοῦτο καὶ ἀγαπήσωμεν καὶ ποιῆσαι ἰσχύσωμεν. Τοὺς οὖν τοιαῦτα δοξάζοντας ἀναθεματίζει ἡ σύνοδος, λέγουσα ὅτι καὶ ἄμφω δῶρά εἰσι τοῦ Θεοῦ, ἥ τε γνῶσις καὶ ἡ ἀγάπη, καθὼς γέγραπται, *Ὁ διδάσκων ἄνθρωπον γνῶσιν.* Καὶ πάλιν, *Ἡ ἀγάπη ἐκ τοῦ Θεοῦ ἐστιν.* Καὶ ἄλλως δὲ ἀσεβὲς ἐστι τὸ λέγειν ὅτι γινώσκειν μὲν τὸ καλὸν δίδωσιν ἡμῖν ἡ θεία χάρις, ἀγάπην δὲ αὐτοῦ οὐκ ἐντίθησιν, οὐδὲ ἐνδυναμοῖ ἡμᾶς εἰς τὸ ἐργάζεσθαι τὸ ἀγαθὸν ἐν ἀγάπῃ αὐτοῦ. Καὶ προφέρει τὰ ἀποστολικὰ ῥητὰ εἰς τὴν τοῦ λόγου κατασκευὴν, τὰ λέγοντα· *Ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ.* Πῶς οὖν οὐκ ἀσεβὲς τὸ λέγειν πρὸς μὲν τὸ φυσιοῦν, ἤγουν τὸ οἴησιν ἐμποιοῦν, συνεργεῖν ἡμῖν τὴν θείαν χάριν, πρὸς δὲ τὸ οἰκοδομεῖν μὴ ἐπικουρεῖν;

ΑΡΙΣΤ. « Ὁ δοξάζων τὴν τοῦ Θεοῦ χάριν μόνην
« ἄφεσιν τῶν ἤδη πεπλημμελημένων ἔχειν, ἀλλὰ
« μὴ καὶ τῶν μελλόντων βοήθειαν, διτσεπάρατος. »

ΑΡΙΣΤ. « Ὁ λέγων ὅτι ἡ χάρις τοῦ Θεοῦ εἰς τοῦτο
« μόνον ἡμῖν βοηθεῖ, τὸ εἰδέναι τί δεῖ ποιεῖν, καὶ
« τί ἐκκλίνειν· ἀλλ' οὐχὶ καὶ εἰς τὸ ἀγαπᾷν τὸ
« ἐπιγνωσθὲν, καὶ ποιεῖν δύνασθαι, ἤτω ἀνά-
« θεμα. »

ΚΑΝΩΝ ΡΙΑ'.

« Ὅτι ἄνευ τῆς τοῦ Θεοῦ χάριτος οὐδὲν ἀγαθὸν δυνά-
« μεθα πληροῦν. Ὁμοίως ἤρεσεν, ἵνα ὁστισδήποτε
« εἴποι διὰ τοῦτο τὴν χάριν ἡμῖν τῆς δικαιοσύνης
« δεδόσθαι, ἵνα ὅπερ ποιεῖν διὰ τοῦ αὐτεξουσίου
« δυνάμεθα, εὐχερεστέρως πληρῶμεν διὰ τῆς χά-
« ριτος· ὡσανεὶ καὶ εἰ ἡ χάρις μὴ ἐδίδοτο, οὐκ

[83] Psal. xciii, 10. [84] I Joan. iv, 16.

Digitized by Google

« εὐχερῶς μὲν, ἀλλ' ὅμως ἠδυνάμεθα καὶ δίχα A
« ἐκείνης ἔτι μὴν πληρῶσαι τὰς θείας ἐντολάς·
« ἀνάθεμα εἴη. Περὶ γὰρ τῶν καρπῶν τῶν ἐντο-
« λῶν ὁ Κύριος οὐκ εἶπεν· Χωρὶς ἐμοῦ δυσχερῶς
« δύνασθε ποιεῖν· ἀλλ' εἶπεν· « *Χωρὶς ἐμοῦ οὐ*
« *δύνασθε ποιεῖν.* »

ΒΑΛΣ. Μυρίαι δόξαι διεστραμμέναι ἦσαν, ὧν μία καὶ αὕτη ἡ λέγουσα ὅτι αὐτεξουσίους ἡμᾶς ἐποίησεν ὁ Θεὸς, ἵνα δυνώμεθα καὶ τῆς θείας χάριτος ἄνευ πληροῦν τὰς ἐντολάς· ἡ δὲ θεία χάρις εἰς τὸ εὐχερέστερον αὐτὰς πληροῦσθαι παρ' ἡμῶν ποιεῖ. Ἠδυνάμεθα γὰρ καὶ τῆς θείας χάριτος μὴ συνεργούσης πληροῦν ταύτας, δυσχερέστερον δέ. Τοῖς οὖν ταῦτα λέγουσιν ἀνάθεμα ἐπάγει ἡ σύνοδος.

ΖΩΝΑΡ. Μυρίαι δόξαι διεστραμμέναι ἦσαν, ὧν B
μία καὶ αὕτη ἡ λέγουσα ὅτι αὐτεξουσίους ἡμᾶς ἐποίησεν ὁ Θεὸς, ἵνα δυνώμεθα καὶ τῆς θείας χάριτος ἄνευ πληροῦν τὰς ἐντολάς. Ἡ δὲ θεία χάρις εἰς τὸ εὐχερέστερον αὐτὰς πληροῦσθαι παρ' ἡμῶν συνεργεῖ. Ἠδυνάμεθα γὰρ καὶ τῆς θείας χάριτος μὴ συνεργούσης πληροῦν ταύτας, δυσχερέστερον δέ. Τοῖς οὖν ταῦτα λέγουσιν ἀνάθεμα ἐπάγει ἡ σύνοδος, λέγουσα τὸ πᾶν τῆς θείας χάριτος εἶναι, καὶ ἄνευ ἐκείνης μηδὲν ἡμᾶς κατορθοῦν. Φέρει δὲ καὶ μαρτυρίαν ἐκ τοῦ Κυρίου, λέγοντος, *Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν*, καὶ οὐκ εἶπε, φησὶν, Οὐ δύνασθε εὐχερῶς ποιεῖν· ἀλλ', *Οὐδὲν δύνασθε ποιεῖν.*

ΑΡΙΣΤ. « Ὁ κηρύττων ὅτι καὶ δίχα τῆς χάριτος δυσ- C
« χερεστέρως, ἀλλ' οὖν ἐκπληροῦμεν τὰς ἐντολὰς,
« τρισκατάρατος· « *Χωρὶς γὰρ ἐμοῦ,* » φησὶν ὁ
« Κύριος, *οὐ δύνασθε ποιεῖν οὐδέν.* »

Τοῦ Πελαγίου, καὶ Κελεστίνου, καὶ Νεστορίου τοῦ ματαιόφρονος, ὁμοφρόνων γεγονότων, ἀλλὰ καὶ τὰ τῶν δυσσεβῶν Μανιχαίων φρονούντων καὶ δογματιζόντων, καὶ ταῦτα ἅπερ ἡ σύνοδος ἀναθεματίζει, οὔποτέ τις ταῦτα φρονήσας τοῖς Χριστιανοῖς συνταχθήσεται, ἀλλὰ τῆς Ἐκκλησίας ἐξοστρακισθήσεται ὡς ἀλλότριος, καὶ χωρισμὸν ἀπὸ ταύτης καὶ τοῦ Θεοῦ κληρώσεται. Φασὶ δέ τινες τοὺς ἀνοσίους τούτους, τὸν Κελεστῖνον δηλαδὴ καὶ Πελάγιον, μήτε ἐπισκόπους, μήτε πρεσβυτέρους, μήτε ὅλως τοῦ ἱερατικοῦ γενέσθαι τάγματος· ἀλλ' ὡσανεὶ μονάζοντας ὄντας, καὶ διερχομένους τὰς πόλεις, καὶ συμφωνοῦντας κατὰ D
τῆς ἀληθείας, ἐπανεστάντας δὲ τῇ Ἐκκλησίᾳ ἐπὶ Θεοφίλου τοῦ ἐπισκόπου Ἀλεξανδρείας, καὶ Ἰνοκεντίου τοῦ Ῥώμης, καὶ μετὰ πολλοὺς ἀγῶνας ὑπ' αὐτῶν δὴ τῶν ἐπισκόπων ἐγγράφως κατακριθέντας· ὅστις γοῦν ἢ τὸν Ἀδὰμ θνητὸν ἐξ ἀρχῆς ἀπὸ Θεοῦ γενέσθαι δογματίζει, καὶ διὰ ἀνάγκην τῆς φύσεως τεθνηξόμενον, κἂν τε ἥμαρτε, κἂν τε μή· ἢ τὰ νήπια λέγει μὴ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτίζεσθαι, ὡς μηδὲν ἐκ τῆς τοῦ Ἀδὰμ προγονικῆς ἁμαρτίας ἕλκοντα· καὶ ταῦτα τοῦ Ἀποστόλου βοῶντος, ὡς Δι' *ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος·* ἢ πάλιν

« quidem, sed tamen etiam sine illa, divina
« præcepta exsequi possumus : sit anathema.
« De fructibus enim mandatorum Dominus non
« dixit, Sine me difficilius potestis facere : sed,
« *Sine me nihil facere potestis.* »

BALS. Innumerabiles erant perversæ opiniones, quarum una erat etiam quæ dicebat, quod Deus dedit nobis liberum arbitrium, ut possemus etiam sine divina gratia Dei mandata complere : divina autem gratia ad ea facilius perficienda suum nobis præbet auxilium. Possemus enim illa etiam sine divina opem ferente gratia, sed difficilius, exsequi. Iis ergo, qui hæc dicunt, anathema inducit synodus.

ZONAR. Innumerabiles erant perversæ opiniones, quarum una erat etiam quæ dicebat, quod Deus dedit nobis liberum arbitrium, ut possemus etiam sine divina gratia Dei mandata complere : divina autem gratia ad ea facilius perficienda suum nobis præbet auxilium. **648** Possemus enim illa etiam sine divina opem ferente gratia, sed difficilius, exsequi. Iis ergo, qui hæc dicunt, anathema inducit synodus, asserens, totum gratiæ esse divinæ, ac sine illa nihil a nobis recte agi posse. Profert autem et testimonium Domini, dicentis : *Sine me nihil omnino potestis facere*[85] : neque dixit, inquit, Facile facere non potestis ; sed, *Nihil potestis facere.*

ARIST. « Qui prædicat, quod et sine gratia difficilius quidem, sed tamen explemus mandata, « ter exsecrandus est : dicit enim Dominus, « *Sine me nihil omnino facere potestis.* »

Pelagio et Celestino et Nestorio absurda sapiente, consentientibus, et impiorum Manichæorum dogmata et ea quæ synodus anathematizat sentientibus et prædicantibus, qui eadem sentit inter Christianos non collocatur, sed ex Ecclesia relegatur ut alienus, et ab ea pariter et Deo segregabitur. Dicunt autem quidam impios illos, nempe Celestinum et Pelagium, nec episcopos nec presbyteros nec omnino de ordine sacerdotali fuisse ; sed quasi monachos exsistentes, et civitates pertranseuntes et consentientes contra veritatem, in Ecclesiam autem insurgentes sub Theophilo Alexandriæ episcopo et Innocentio Romæ, et post multa certamina ab ipsis etiam episcopis scriptis fuisse condemnatos. Quicunque ergo Adamum a Deo mortalem factum fuisse docet, et per naturæ necessitatem moriturum, sive peccasset, sive non, aut infantes non in peccatorum remissionem baptizatos dicit, ut nihil a primitivo Adami peccato attrahentes ; cum Apostolus hæc clamet, quod *per unum hominem peccatum in mundum venit, et per peccatum mors ;* vel etiam sentit baptismum peccatorum quidem remissionem largiri, non autem et præbere auxilium ne amplius peccetur, sed nostro solo conatu illud emendari,

[85] Joan. xv, 5.

Digitized by Google

vel illud etiam admittit, et Dei gratiam nos ad mandata ipsius explenda adjuvare arbitratur; sed docet, quod et sine gratia ea perficere possumus, sed cum difficultate : sit anathema. Nec enim dixit Dominus, quod Sine me ea difficulter potestis facere; sed quod *Sine me nihil potestis facere.*

A φρονεῖ τὸ βάπτισμα τῶν μὲν ἤδη ἡμαρτημένων δωρεῖσθαι ἄφεσιν, μὴ παρέχειν δὲ βοήθειαν καὶ εἰς τὸ μηκέτι ἁμαρτῆσαι, ἀλλ' ἐξ ἡμετέρας μόνης σπουδῆς τοῦτο κατορθοῦσθαι· ἢ καὶ τοῦτο μὲν παραδέχεται, καὶ τὴν τοῦ Θεοῦ χάριν δοξάζει ἐνισχύειν ἡμᾶς εἰς τὸ τὰς ἐντολὰς ἐκπληροῦν· διδόσκει δὲ ὡς καὶ δίχα τῆς χάριτος κατορθοῦν αὐτὰς ἠδυνάμεθα, πλὴν μετὰ δυσχερείας, ἤτω ἀνάθεμα. Οὐδὲ γὰρ εἶπεν ὁ Κύριος ὡς Χωρὶς ἐμοῦ δυσχερῶς δύνασθε ποιεῖν αὐτὰς, ἀλλ', ὅτι *Χωρὶς ἐμοῦ οὐδὲν δύνασθε ποιεῖν.*

CANON CXV.

« Quod non solum humilis, sed etiam vera est hæc « vox sanctorum : Si dixerimus quod peccatum « non habemus, nos ipsos seducimus. Similiter « placuit, ut quod dixit sanctus Joannes apo- « stolus : *Si dixerimus, quod peccatum non ha- « bemus, nos ipsos seducimus, et veritas in nobis « non est* [56]; quicunque sic accipiendum existi- « maverit, ut dicat per humilitatem non debere : dicere nos non habere peccatum, non quod « vere ita est, sit anathema. Prosequitur enim « apostolus, et sic subjungit : *Sin autem peccata « nostra confessi fuerimus, fidelis est et justus « qui peccata nobis remittet, et purgabit nos ab « omni injustitia* [57]. Ubi plane ostensum est, « hoc non solum humiliter, sed etiam vere dici. « Poterat enim apostolus dicere : Si dixerimus, « quod peccatum non habemus, nos ipsos extol- « limus, et humilitas non est in nobis : sed « cum dixit, *Nos ipsos seducimus*, et, *Non est in « nobis veritas;* aperte ostendit eum qui dicit, « se non habere peccatum, non vere dicere, sed « mentiri. »

B

C

BALS. et ZONAR. Quidam id quod dicit Apostolus : *Si dixerimus, quod peccatum non habemus, nos ipsos seducimus :* sic acceperunt, quod per humilitatem hoc oportet dicere, non per veritatem. Eos ergo, qui apostoli dictum sic interpretantur, anathemate condemnant **649** Patres, dicentes quod ex proxime sequentibus Epistolæ verbis clare ostenditur apostoli sententia, subjungentis : *Sin autem confiteamur peccata nostra*, et quæ deinceps sequuntur. Jam vero David quoque dicit : *In peccatis concepit me mater mea* [58]. Nisi enim lex nuptiis opem ferret, coitus peccatum existimaretur, libidinem carnisque appetitionem habens, quæ ipsum incitaret, etiamsi liberorum gratia fieret. Et ideo, *In peccatis*, dixit David, *concepit me mater mea.* Si enim carnis cupiditatem causam habeat corporum generatio, talia sunt omnino et quæ ex ipsis generantur.

D

ARIST. « Qui, Theologo dicente : « Si dixerimus, « quod peccatum in nobis non est, nosmetipsos « seducimus ; » interpretatur ut non vere, sed humiliter hoc dixerit : anathema sit. »

Quandoquidem omnes sumus in peccatis, et nemo purus a sordibus, etiamsi unus dies tota sit illius vita : anathemati obnoxius est, qui dicit, humiliter et non vere ab apostolo dici : *Quod si dicimus quod*

ΚΑΝΩΝ ΡΙΕ'.

« Ὅτι οὐ μόνον ταπεινὴ, ἀλλὰ καὶ ἀληθινὴ ἡ φωνὴ « τῶν ἁγίων ἐστὶν αὕτη· Ἐὰν εἴπωμεν ὅτι ἁμαρ- « τίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν. Ὁμοίως « ἤρεσεν, ἵνα ὅπερ εἶπεν ὁ ἅγιος Ἰωάννης ὁ ἀπό- « στολος· *Ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχο- « μεν, ἑαυτοὺς ἀπατῶμεν, καὶ ἀλήθεια ἡμῖν « οὐκ ἔστιν·* ὁτιοῦδήποτε οὕτω παραληπτέον « νομίσει, ὡς εἰπεῖν διὰ ταπεινοφροσύνην μὴ ὀφεί- « λειν λέγεσθαι ἡμᾶς μὴ ἔχειν ἁμαρτίαν, οὐχ ὅτι « ἀληθῶς οὕτως ἐστὶν, ἀνάθεμα εἴη. Ἐπακολου- « θεῖ γὰρ ὁ ἀπόστολος καὶ προσζεύγνυσιν οὕτως· « *Ἐὰν δὲ ὁμολογήσωμεν τὰς ἁμαρτίας ἡμῶν, « πιστός ἐστι καὶ δίκαιος, ὅστις ἀφήσει ἡμῖν « τὰς ἁμαρτίας, καὶ καθαρίσει ἡμᾶς ἀπὸ πάσης « ἀδικίας.* Ἔνθα πάνυ δεδήλωται τοῦτο μὴ μόνον « ταπεινοφρόνως, ἀλλ' ἔτι μὴν ἀληθινῶς λέγεσθαι. « Ἠδύνατο γὰρ ὁ ἀπόστολος εἰπεῖν, Ἐὰν εἴπωμεν· « Οὐκ ἔχομεν ἁμαρτίαν, ἑαυτοὺς ἐξυψοῦμεν, καὶ « ταπεινοφροσύνη ἐν ἡμῖν οὐκ ἔστιν· ἀλλ' εἰπών· « *Ἑαυτοὺς ἀπατῶμεν*, καὶ, *Ἀλήθεια ἐν ἡμῖν οὐκ « ἔστι*, πάνυ ἀπέδειξε τὸν λέγοντα ἑαυτὸν μὴ « ἔχειν ἁμαρτίαν, μὴ ἀληθεύειν, ἀλλὰ ψεύδεσθαι. »

ΒΑΛΣ. καὶ ΖΩΝ. Τινὲς τὸ ἀποστολικὸν ῥητὸν, τὸ λέγον, *Ἐὰν εἴπωμεν, Ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς ἀπατῶμεν*, οὕτως ἐξελαμβάνοντο, ὅτι διὰ ταπεινοφροσύνην δεῖ τοῦτο λέγειν, καὶ οὐ πρὸς ἀλήθειαν. Τοὺς οὖν οὕτως ἑρμηνεύοντας τὰ εἰρημένα τῷ Ἀποστόλῳ ἀναθέματι καταδικάζουσιν οἱ Πατέρες, λέγοντες ὅτι ἐκ τῶν ἑξῆς ῥημάτων τῆς ἐπιστολῆς δείκνυται προδήλως τοῦ ἀποστόλου ἡ ἔννοια, ἐπάγοντος· *Ἐὰν δὲ ὁμολογήσωμεν τὰς ἁμαρτίας ἡμῶν*, καὶ ὅσα ἐφεξῆς. Καὶ ὁ Δαβὶδ δὲ λέγει· *Ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.* Εἰ μὴ γὰρ ὁ νόμος ἐπεκούρει τῷ γάμῳ, ἁμαρτία ἂν ἐλογίζετο ἡ μίξις, φιλοσαρκίαν καὶ ὄρεξιν σαρκικὴν ἔχουσα κινοῦσαν εἰς αὐτὴν, κἂν διὰ παιδοποιΐαν γένηται. Διὸ καὶ, *Ἐν ἁμαρτίαις*, εἶπεν ὁ Δαβὶδ, *ἐκίσσησέ με ἡ μήτηρ μου.* Εἰ γὰρ αἰτίαν ἔχει τὴν τῆς σαρκὸς ἐπιθυμίαν τῶν σωμάτων ἡ γένεσις, τοιαῦτα πάντως καὶ τὰ ἐξ αὐτῶν γεννώμενα.

ΑΡΙΣΤ. « Ὁ, τοῦ Θεολόγου λέγοντος· « Ἐὰν εἴπω- « μεν ὅτι ἁμαρτία ἐν ἡμῖν οὐκ ἔστιν, ἑαυτοὺς ἀπα- « τῶμεν, » παρερμηνεύων ὅτι οὐκ ἀληθῶς, ἀλλὰ « ταπεινοφρόνως εἴρηκε τοῦτο, ἀνάθεμα. »

Ἐπειδὴ πάντες ἐν ἁμαρτίαις ἐσμὲν, καὶ οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου, οὐδ' ἂν μία ἡμέρα ὅλος ὁ βίος αὐτοῦ ἐστιν· ἀναθέματι ἔσται ἔνοχος ὁ λέγων ταπεινοφρόνως, καὶ μὴ ἀληθῶς παρὰ τοῦ ἀποστόλου εἰρῆσθαι

[56] I Joan. I, 10. [57] ibid. 9 [58] Psal. L, 7.

Digitized by Google

τὸ, *Ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν ἐν ἡμῖν οὐκ ἔστιν, ἑαυτοὺς ἀπατῶμεν.* Ἐὰν γὰρ διὰ ταπεινοφροσύνην τοῦτο εἰρήκειν, οὐκ ἂν εἶπεν ὅτι *Ἑαυτοὺς ἀπατῶμεν*, ἀλλὰ, ὑψοῦμεν· ἐκεῖνος γὰρ ἀπατᾷ ἑαυτὸν, ὁ πλανώμενος καὶ ψευδόμενος, οὐ μὴν ὁ τὴν ἀλήθειαν λέγων.

A *peccatum non est in nobis, nosmetipsos seducimus.* Si enim per humilitatem illud dixerit, non dixisset, quod *nosmetipsos seducimus*, sed, exaltamus : ille enim seipsum seducit, qui hallucinatur et mentitur, non ille qui veritatem dicit.

ΚΑΝΩΝ ΡΙϚ'.

« Ὅτι ἐν τῇ Δεσποτικῇ εὐχῇ οἱ ἅγιοι ὑπὲρ ἑαυτῶν « λέγουσιν· *Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν.* « Ὁμοίως ἤρεσεν, ἵνα ὁστισδήποτε εἴποι ἐν τῇ « Δεσποτικῇ εὐχῇ διὰ τοῦτο λέγειν τοὺς ἁγίους, « *Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν*, οὐχ ὅτι ὑπὲρ « ἑαυτῶν τοῦτο λέγουσιν, ἐπειδὴ αὐτοῖς λοιπὸν « οὐκ ἔστιν ἀναγκαία αὕτη ἡ αἴτησις, ἀλλ' ὅτι « ὑπὲρ ἄλλων τῶν ὄντων ἐν τῷ λαῷ αὐτῶν ἁμαρ- « τωλῶν, καὶ μὴ λέγειν ἕνα ἕκαστον τῶν ἁγίων, B « Ἄφες μοι τὰ ὀφειλήματά μου, ἀλλ', *Ἄφες ἡμῖν* « *τὰ ὀφειλήματα ἡμῶν* · ὡς ὑπὲρ ἄλλων τοῦτο « μᾶλλον ἢ ὑπὲρ ἑαυτοῦ τὸν δίκαιον αἰτοῦντα νοεῖ- « σθαι· ἀνάθεμα εἴη. Ἅγιος γὰρ καὶ δίκαιος ἦν « Ἰάκωβος ὁ ἀπόστολος, ὅτε ἔλεγεν, *Ἐν πολλοῖς* « *γὰρ ἁμαρτάνομεν πάντες.* Ἐπὶ διὰ τί προσ- « τέθειται τὸ *πάντες*, εἰ μὴ ἵνα ἡ ἔννοια αὕτη « ἁρμοσθῇ καὶ τῷ ψαλμῷ, ὅπου ἀναγινώσκεται, « *Μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου,* « *ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶν ζῶν ;* « καὶ ἐν τῇ εὐχῇ τοῦ σοφωτάτου Σολομῶντος· *Οὐκ* « *ἔστιν ἄνθρωπος, ὃς οὐχ ἥμαρτεν*, καὶ ἐν τῇ « βίβλῳ τοῦ ἁγίου Ἰὼβ τὸ, « ἐν χειρὶ παντὸς ἀν- « θρώπου, » σημαίνει, ὥστε εἰδέναι πάντα ἄν- « θρωπον τὴν ἀσθένειαν αὐτοῦ. Ὅθεν ἔτι μὴν ὁ C « ἅγιος Δανιὴλ, ἐν τῇ προσευχῇ πληθυντικῶς λέ- « γων τὸ, *Ἡμάρτομεν, ἠνομήσαμεν*, » καὶ τὰ « λοιπὰ, ἃ ἐκεῖ ταπεινοφρόνως καὶ ἀληθινῶς ὁμο- « λογεῖ· ἵνα μὴ νομισθείη, ὡς τινες νοοῦσι, τοῦτο « μὴ περὶ τῶν ἰδίων, ἀλλὰ περὶ τῶν τοῦ λαοῦ « αὐτοῦ μᾶλλον λέγειν ἁμαρτιῶν, μετὰ ταῦτα εἰ- « πεν ὅτι *Εὐχόμην καὶ ἐξομολογούμην τὰς ἁμαρ-* « *τίας μου καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου Κυρίῳ* « *τῷ Θεῷ μου.* Οὐκ ἠθέλησεν εἰπεῖν τὰς ἁμαρ- « τίας ἡμῶν, ἀλλὰ τοῦ λαοῦ αὐτοῦ εἶπε καὶ ἑαυ- « τοῦ· ἐπειδὴ μέλλοντας τοῦτο οὕτω κακῶς νοεῖν « ὡσανεὶ προεῖδεν ὁ προφήτης. »

CANON CXVI.

« Quod in Oratione Dominica sancti pro seipsis « dicunt: *Dimitte nobis debita nostra* [60]. Similiter « placuit, ut quicunque dixerit, in Oratione Do- « nica propterea dicere sanctos, *Dimitte nobis* « *debita nostra*, non quod pro seipsis hoc dicant, « quandoquidem ipsis deinceps non est neces- « saria talis petitio, sed quod pro aliis peccato- « ribus, qui sunt in suo populo; et non dicat « unusquisque sanctus, Dimitte mihi debita mea, « sed, *Dimitte nobis debita nostra*, tanquam pro « aliis hoc magis quam pro se justus intelligi « postulet; sit anathema. Sanctus enim et justus « erat Jacobus apostolus, quando dixit : *In multis* « *enim offendimus omnes* [61]. Cur enim additum « est illu[1], *omnes*, nisi ut ea sententia psalmo « quoque conveniat, ubi legitur, *Ne introeas in* « *judicium cum servo tuo, quia non justificabitur* « *in conspectu tuo omnis vivens* [62] ; et in oratione « sapientissimi Salomonis, *Non est homo qui non* « *peccaverit* [63] ; et in libro quoque sancti Job, « illud, in manu omnis hominis, significat, ut « omnis sciat homo imbecillitatem suam. Unde « præterea sanctus quoque Daniel, cum in ora- « tione pluraliter diceret illud, *Peccavimus, ini-* « *que egimus* [64], et reliqua, quæ illic humiliter et « vere confitetur ; ne existimaretur, ut quidam « sentiunt, hoc non de propriis, sed de populi « potius dicere peccatis, postea dixit : *Oravi et* « *confessus sum peccata mea, et peccata populi* « *mei, Domino Deo meo* [65]. Noluit dicere peccata « nostra, sed ipsius populi dixit et sua ; quoniam « futuros, qui illud sic male intelligerent, vel- « uti prævidit propheta. »

ΒΑΛΣ. Ἀπόνοιά ἐστι τὸ λέγειν ὅτι οἱ ἅγιοι εὐχόμενοι, *Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν*, οὐχ ὑπὲρ ἑαυτῶν τοῦτο λέγουσιν, ἀλλ' ὑπὲρ τοῦ λαοῦ. Διὸ καὶ D τοὺς ταῦτα φρονοῦντας ἀναθεματίζουσιν οἱ Πατέρες, λέγοντες οὐχ ὑπὲρ τῶν ἄλλων μόνον τοὺς δικαίους αἰτεῖν τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, ἀλλὰ καὶ ὑπὲρ ἑαυτῶν· καὶ μαρτυρίας ἐπιφέρουσι γραφικὰς, μίαν ἐκ τῆς ἐπιστολῆς τοῦ ἀδελφοθέου Ἰακώβου· τὰς δὲ λοιπὰς ἐκ τῆς παλαιοτέρας Γραφῆς.

BALS. Arrogantia est dicere, quod sancti precantes, *Dimitte nobis debita nostra*, non pro seipsis hoc dicunt, sed pro populo. Et ideo eos, qui ita sentiunt, Patres anathemate feriunt ; dicentes justos non pro aliis solis petere remissionem peccatorum, sed etiam pro se ipsis : et adducunt testimonia sacræ Scripturæ ; unum quidem ex Epistola Jacobi fratris Domini, reliqua autem ex Veteri Testamento.

ΖΩΝΑΡ. Καὶ τοῦτο τῆς αὐτῆς ἀπονοίας ἐστὶ, τὸ λέγειν, ὅτι οἱ ἅγιοι εὐχόμενοι, *Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν*, οὐχ ὑπὲρ ἑαυτῶν τοῦτο λέγουσιν, ἀλλ' ὑπὲρ τοῦ λαοῦ. Διὸ καὶ τοὺς ταῦτα φρονοῦντας ποιοῦνται ὑπὸ ἀνάθεμα οἱ τῆς συνόδου ταύτης, λέγοντες· οὐχ ὑπὲρ τῶν ἄλλων μόνον τοὺς δικαίους αἰ-

ZONAR. Hoc etiam est arrogantiæ dicere, quod sancti precantes, *Dimitte nobis debita nostra*, non pro seipsis hoc dicunt, sed pro populo. Et ideo eos, qui ita sentiunt, hujus synodi Patres anathemate feriunt, dicentes, justos non pro aliis solis petere **650** remissionem peccatorum, sed etiam pro se-

[60] Matth. VI, 12. [61] Jacob. III, 2. [62] Psal. CXLII, 2. [63] III Reg. VIII, 46. [64] Dan. III, 29 [65] Ibid. IX 4.

Digitized by Google

ipsis : et adducunt testimonia sacræ Scripturæ; unum quidem ex Epistola Jacobi fratris Domini, reliqua autem ex Veteri Testamento.

ARIST. « Qui illud : *Dimitte nobis debita nostra;* « quæ multorum sunt dicere, et non quæ singulorum et propria, exponit, anathema sit : cum « Danielem etiam cum multis dicentem videat : « *Confessus sum peccata mea, et peccata populi* « *mei.* »

Qui perperam interpretatur, quod sancti illud, *Remitte nobis debita*, dicentes, non pro seipsis precantes illud dicunt, ut non habentes peccatum, ac ideo precatione ista non indigent, sed pro peccatoribus orationem istam Deo offerunt, anathema sit. Sanctus enim et justus erat apostolus Jacobus, quando dixit, *In multis enim peccamus omnes :* et Daniel in oratione ejus numero plurali dicens, *Peccavimus, legem transgressi sumus* et cætera; deinde et singulariter addens, *Confessus sum peccata mea, et peccata populi mei Domino Deo meo.*

CANON CXVII.

« Quod a sanctis vere dicitur, *Dimitte nobis debita* « *nostra* [68]. Similiter placuit, ut quicunque hæc « verba Orationis Dominicæ, ubi dicimus, *Dimitte nobis debita nostra*, sic volunt dici a « sanctis, ut ea humiliter, non vere dicta sint; « sint anathema. Quis enim ferat precantem, et « non hominibus, sed Deo mentientem : qui « labris dicat, vello sibi remitti, sed corde dicat, « se non habere peccata, quæ sibi dimittantur? »

BALS. Præsens quoque canon est ejusdem sententiæ, cum dicit, Quis enim eum feret, qui verbis quidem petit remissionem peccatorum, corde autem se non habere peccata existimet; et non hominibus, sed Deo mentitur?

ZONAR. Præsens quoque canon est ejusdem sententiæ, et anathemati subjicit eum, qui ita sentit, dicens : Quis enim eum ferat, hoc est, quis sustineat et patiatur eum, qui verbis quidem petit remissionem peccatorum, corde autem se non habere peccata existimet; et non hominibus, sed Deo mentitur?

CANON CXVIII.

« De populis, qui a Donatistis convertuntur. Simi- « liter placuit, quoniam ante aliquot annos in « hac ecclesia plena synodo definitum est, ut « quæcunque ecclesiæ, in diœcesi sitæ, ante « leges de Donatistis editas catholicæ factæ « fuerint, ad illas sedes pertinerent, per quarum « episcopos persuasæ catholicæ unioni commu- « nicarunt; post leges autem, quæcunque com- « municarunt, ad illas pertinerent, ad quas

[68] Matth. VI, 15.

A τεῖν τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, ἀλλὰ καὶ ὑπὲρ ἑαυτῶν. Καὶ μαρτυρίας ἐπιφέρουσι γραφικὰς, μίαν ἐκ τῆς ἐπιστολῆς τοῦ ἀδελφοθέου Ἰακώβου, τὰς δὲ λοιπὰς ἐκ τῆς παλαιοτέρας Γραφῆς.

ΑΡΙΣΤ. « Ὁ παραφράζων τὸ, *Ἄφες ἡμῖν τὰ ὀφει-* « *λήματα ἡμῶν*, τὰ τῶν πολλῶν λέγειν, καὶ « οὐχ ἑκάστου καὶ τὰ οἰκεῖα, ἀνάθεμα· μετὰ πολ- « λῶν καὶ Δανιὴλ βλέπων λέγοντα, *Ἐξωμολο-* « *γούμην τὰς ἁμαρτίας μου, καὶ τὰς ἁμαρτίας* « *τοῦ λαοῦ μου.* »

Ὁ παρερμηνεύων ὡς οἱ ἅγιοι τὸ, *Ἄφες ἡμῖν τὰ ὀφειλήματα*, λέγοντες, οὐχ ὑπὲρ ἑαυτῶν εὐχόμενοι τοῦτο λέγουσιν, ὡς μὴ ἔχοντες ἁμαρτίας, καὶ διὰ τοῦτο μηδὲ δεόμενοι τῆς αἰτήσεως ταύτης· ἀλλ' ὑπὲρ τῶν ἁμαρτωλῶν τὴν ἱκεσίαν ταύτην προσφέρουσι τῷ B Θεῷ, ἤτω ἀνάθεμα· ἅγιος γὰρ καὶ δίκαιος ἦν Ἰάκωβος ὁ ἀπόστολος, ὅτε ἔλεγεν· *Ἐν πολλοῖς γὰρ ἁμαρτάνομεν πάντες*· καὶ ὁ Δανιὴλ ἐν τῇ προσευχῇ αὐτοῦ πληθυντικῶς λέγων· *Ἡμάρτομεν, ἠνομήσαμεν*, καὶ τὰ λοιπά· εἶτα καὶ ἰδικῶς ἐπάγων· *Ἐξωμολογούμην τὰς ἁμαρτίας μου, καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου Κυρίῳ τῷ Θεῷ μου.*

ΚΑΝΩΝ ΡΙΖ'.

« Ὅτι ἀληθῶς ἀπὸ τῶν ἁγίων λέγεται τὸ, *Ἄφες* « *ἡμῖν τὰ ὀφειλήματα ἡμῶν*. Ὁμοίως ἤρεσεν « ἵνα οἱτινες δήποτε αὐτὰ τὰ ῥήματα τῆς Δεσπο- « τικῆς Εὐχῆς, ὅπου λέγομεν, *Ἄφες ἡμῖν τὰ* « *ὀφειλήματα ἡμῶν*, οὕτω βούλονται ἀπὸ τῶν « ἁγίων λέγεσθαι, ὡς ταπεινοφρόνως καὶ οὐκ ἀλη- « θῶς ταῦτα λεχθῆναι, ἀνάθεμα εἴη. Τίς γὰρ ὑπε- « νέγκοι τὸν εὐχόμενον, καὶ μὴ ἀνθρώποις, ἀλλ' C « αὐτῷ τῷ Κυρίῳ ψευδόμενον, τὸν τοῖς χείλεσιν « αὐτοῦ λέγοντα θέλειν ἀφεθῆναι, τῇ δὲ καρδίᾳ « λέγοντα τὰς ὀφειλούσας ἀφεθῆναι ἁμαρτίας αὐ- « τῷ, μὴ ἔχειν; »

ΒΑΛΣ. Καὶ ὁ παρὼν κανὼν τῆς αὐτῆς ἐννοίας ἐστὶ, λέγων, Τίς γὰρ ἀνέξεται τὸν τοῖς ῥήμασι μὲν ἄφεσιν σφαλμάτων αἰτοῦντα, τῇ δὲ καρδίᾳ μὴ ἔχειν λογιζόμενον ἁμαρτίας, καὶ οὐκ ἀνθρώποις, ἀλλὰ τῷ Κυρίῳ ψευδόμενον;

ΖΩΝΑΡ. Καὶ ὁ παρὼν κανὼν τῆς αὐτῆς ἐννοίας ἐστὶ, καὶ ἀναθέματι ἔνοχον ποιεῖται τὸν τὰ αὐτὰ δοξάζοντα, λέγων, Τίς γὰρ ὑπενέγκοι, ἀντὶ τοῦ, Τίς γὰρ ὑπομείνοι καὶ καταδέξηται τὸν τοῖς ῥήμασι μὲν D ἄφεσιν σφαλμάτων αἰτοῦντα, τῇ δὲ καρδίᾳ μὴ ἔχειν λογιζόμενον ἁμαρτίας, καὶ οὐκ ἀνθρώποις, ἀλλὰ τῷ Κυρίῳ ψευδόμενον;

ΚΑΝΩΝ ΡΙΗ'.

« Περὶ τῶν λαῶν τῶν ἀπὸ τῶν Δονατιστῶν ἐπι- « στρεφόντων. Ὁμοίως ἤρεσεν, ἐπειδὴ πρό τινων « ἐνιαυτῶν ἐν ταύτῃ τῇ ἐκκλησίᾳ πεπληρωμένῃ τῇ « συνόδῳ ὡρίσθη, ἵνα οἱαιδήποτε ἐκκλησίαι, ἐν « διοικήσει καθεστῶσαι, πρὸ τῶν νόμων τῶν περὶ « τῶν Δονατιστῶν ἐντεθέντων καθολικαὶ γένων- « ται, ἐκείνοις τοῖς θρόνοις ἀνήκωσιν, ὧντινων « διὰ τῶν ἐπισκόπων προτραπεῖσαι τῇ καθολικῇ « ἑνότητι ἐκοινώνησαν· μετὰ δὲ τοὺς νόμους οἱαι-

Digitized by Google

« δήποτε ἐκοινώνησαν, ἐκείνοις ἀνήκωσιν, οἷς καὶ A
« ὅτε ἦσαν εἰς τὸ μέρος τοῦ Δονάτου· καὶ ἐπειδὴ
« πολλαὶ φιλονεικίαι ὕστερον μεταξὺ τῶν ἐπι-
« σκόπων περὶ τῶν διοικήσεων ἀνεφύησαν καὶ
« ἀναφύονται, οἷς τότε οὐ τελεία δοκεῖ γενέσθαι
« πρόνοια, νῦν ἐν ταύτῃ τῇ ἁγίᾳ συνόδῳ ἤρεσεν,
« ἵνα ὁπουδήποτε καθολικὴ ἐγένετο, καὶ τὸ μέρος
« τοῦ Δονάτου, καὶ διαφόροις θρόνοις ἀνήκουσι
« ἦσαν, ἐν οἱῳδήποτε καιρῷ ἕνωσις ἐκεῖ ἐγένετο
« ἢ ἔσται, εἴτε πρὸ τῶν νόμων εἴτε μετὰ τοὺς νό-
« μους ἐκείνῳ τῷ θρόνῳ ἀνήκωσιν, ᾧ τινι ἡ ἐκ-
« παλαι ἐκεῖ ὑπάρξασα καθολικὴ ἀνῆκεν. »

ΚΑΝΩΝ ΡΙΘ'.

« Περὶ τοῦ, πῶς μεταξὺ ἀλλήλων μερίζονται τὰς
« διοικήσεις οἱ ἐπίσκοποι, τοῦτο μὲν οἱ καθολικοί,
« τοῦτο δὲ οἱ ἐκ τοῦ Δονάτου ἐπιστρέψαντες· B
« οὕτω δηλαδή, ἵνα, εἴπερ ἐπίσκοποι ἀπὸ τῶν
« Δονατιστῶν πρὸς τὴν καθολικὴν ἑνότητα ἐπέ-
« στρεψαν, ἐξίσου πρὸς ἀλλήλους διέλωσι τὰς
« οὕτως εὑρισκομένας διοικήσεις, ἔνθα ἦσαν ἀμ-
« φότερα τὰ μέρη· τοῦτ' ἔστιν ἵνα ἄλλοι τόποι
« πρὸς ἐκεῖνον, καὶ ἄλλοι πρὸς ἐκεῖνον ἀνήκωσιν
« οὕτως, ἵνα ὁ παλαιότερος ἐν τῇ ἐπισκοπῇ
« μερίζῃ, καὶ ὁ ἥττων ἐπιλέγηται. Εἰ δὲ τυχὸν
« εἷς ἔσται τόπος, ἐκείνῳ προσχωρήσῃ ᾧτινι
« μᾶλλον γειτνιάζων εὑρίσκεται· ἐὰν δὲ ἀμφο-
« τέροις τοῖς θρόνοις ἴσως γειτνιάζῃ, ἐκείνῳ
« παραχωρηθῇ, ὃν τὸ πλῆθος ἐπιλέξηται. Εἰ δὲ
« τυχὸν οἱ ἀρχαῖοι καθολικοὶ τὸν ἴδιον θελήσουσι,
« καὶ οἱ ἐκ τοῦ μέρους τοῦ Δονάτου μεταστρέ- C
« ψαντες τὸν ἴδιον, τῶν πλειόνων ἡ γνώμη προ-
« τιμηθῇ τῶν ὀλιγωτέρων· εἰ δὲ τὰ μέρη εἰσὶν
« ἴσα, τῷ παλαιοτέρῳ ἐπισκόπῳ καταλογισθείη.
« Ἐὰν δὲ οὕτω πλεῖστοι οἱ τόποι εὑρεθῶσιν, ἐν
« οἷς ἀμφότερα τὰ μέρη εἰσὶν, ὡς μὴ δύνασθαι
« ἐξ ἴσου μερισθῆναι, τοῦ ἀριθμοῦ τῶν αὐτῶν
« τόπων ἀνίσου ὑπάρχοντος, πρῶτον μερισθῶσιν
« οἱ ἴσοι ἀριθμοί, καὶ τῷ ἀπομένοντι τόπῳ τοῦτο
« φυλαχθῇ, ὅπερ ἀνωτέρω λέλεκται, ὅτε περὶ τοῦ
« ἑνὸς ἐζητεῖτο τόπου. »

ΒΑΛΣ. Ἐξηγηθῆναι τοὺς δύο τούτους κανόνας οὐκ ἔστιν ἀναγκαῖον, ὡς μηδὲ εἰς κοινὴν ἀφορῶντας οἰκονομίαν, ἀλλ' εἰς τοὺς ἐν Ἀφρικῇ ἀπὸ τῶν Δονατιστῶν προσελθόντας ἐπισκόπους τῇ καθολικῇ Ἐκκλησίᾳ.

ΖΩΝΑΡ. Οἱ τοῦ Δονάτου αἱρεσιῶται πολλοὶ γενόμενοι, καὶ εἰς πλήθη συστάντες· ἐν διαφόροις διοικήσεσιν ἥρπασαν ἐκκλησίας, ἀλλὰ καὶ ἐνορίας, καὶ ταύτας κατεῖχον, καὶ ᾠκειώσαντο. Ἐπιστρεφόντων δὲ αὐτῶν πρὸς τὴν ὀρθόδοξον πίστιν, ἀμφισβολίαι ἐγίνοντο περὶ τῶν ἐνοριῶν τῶν παρ' ἐκείνων πρώην κατεχομένων, τῶν ἐπισκόπων στασιαζόντων πρὸς ἀλλήλους, καὶ ἑκάστων εἰς ἑαυτοὺς ταύτας μεθελκόντων. Περὶ τούτου οὖν τοῦ κεφαλαίου καὶ ἄμφω οἱ κανόνες οὗτοι ἐξεφωνήθησαν, τυποῦντες πῶς χρὴ παρὰ τοῖς ἐπισκόποις μερίζεσθαι τοὺς τόπους, οὓς κατεῖχον οἱ Δονατισταί. Ἐξηγηθῆναι δὲ τοὺς κανόνας κατὰ μέρος οὐκ ἀναγκαῖον· ὅτι τε οὐκ ἀσάφειαν ἔχουσι, καὶ ὅτι μηδ' εἰς κοινὴν ὁρῶσιν

« tunc quoque pertinebant, cum stabant a parte
« Donati; et quoniam multæ contentiones de
« diœcesibus inter episcopos postea exortæ sunt et
« exoriuntur, quibus tunc non perfecte provisum
« esse videtur: nunc huic sanctæ synodo placuit,
« ut ubicunque fuit Catholica, et pars Donati,
« et ad diversas sedes pertinebant, quocunque
« tempore illic facta est vel erit unio, sive ante
« sive post leges, ad illam sedem pertineant, ad
« quam olim pertinebat, cum esset Catholica. »

651 CANON CXIX.

« Quomodo inter se diœceses dividant episcop.,
« partim quidem catholici, partim vero qui a
« Donato conversi sunt; sic videlicet, ut si qui-
« dem episcopi a Donatistis ad Catholicam unio-
« nem conversi fuerint, ex æquo inter se invicem
« dividant, quæ sic inveniuntur diœceses, in
« quibus erant utræque partes; id est, ut alii
« loci ad illum, et illi ad hunc pertineant, sic ut
« antiquior in episcopatu dividat, minor autem
« eligat. Sin autem unus fortasse fuerit locus, ad
« illum pertinebit cui vicinior reperitur: quod
« si utrisque sedibus ex æquo sit vicinus, illi
« cedat quem populus elegerit. Sed si antiqui
« forte catholici proprium voluerint, et qui erant
« ex parte Donati, conversi, proprium; plurium
« sententia præferatur sententiæ pauciorum: sin
« autem sint partes æquales, antiquiori episcopo
« adscribatur. Quod si ita plurima loca inventa
« fuerint, in quibus sint utræque partes, ut non
« possint ex æquo dividi, cum numerus ipsorum
« locorum sit inæqualis; primum quidem divi-
« dantur æquales numeri; et in loco, qui restat,
« servetur id, quod superius dictum est, quando
« de uno loco quærebatur. »

BALS. Exponere hos duos canones non est necessarium; ut qui nec ad communem œconomiam conferant, sed ad episcopos, qui in Africa a Donatistis ad catholicam Ecclesiam accesserunt.

ZONAR. Cum eorum, qui ad Donati errores appulerant, ingens esset multitudo, conspiratione inter se facta, in multis diœcesibus ecclesias, quin et ipsas quoque regiones invaserant, easque quasi suæ ditionis effectas detinebant. Postea cum fidem orthodoxam denuo amplecterentur, controversiæ de iis, quas antea occupaverant, regionibus oriebantur, cum eas ad se trahere dissidentes episcopi pro se quisque niterentur. In hanc ergo sententiam hi duo canones editi, ac per eos loca, quæ Donatistæ invaserant, dividendi forma episcopis præfinita. Illos porro sigillatim exponere haud necessarium; tum quia nihil obscuritatis habent, tum quia ad communem œconomiam non conferunt, sed eorum tantum,

Digitized by Google

qui in Africa per id tempus degerent, proprii sunt peculiares.

ARIST. in can. 118. « Quandocunque factæ sunt « Donatistarum conversiones et uniones, ad illum « pertineant thronum, ad quem et catholica ec- « clesia, quæ olim ibidem fuit. »

Quandoquidem multæ controversiæ ortæ sunt de Donatistis conversis, cuinam throno illi adjudicarentur : nam ante leges imperatorias Ecclesiarum unionem præcipientes, illi episcopo subjecti erant, per quem ab errore conversi sunt, et catholicæ Ecclesiæ communicabant, at post leges, ad eos episcopos pertinebant, qui proximi erant locis ab ipsis Donatistis detentis : decrevit synodus, controversias inter episcopos ortas dirimens, ad illum thronum eos pertinere, ad quem et olim ibi constituta Ecclesia catholica pertinebat.

ARIST. in can. 119. « Qui a Donato conversi sunt, « diœceses dividant, et antiquior quidem distri- « buat, junior autem eligat. »

Si Donatistarum episcopi ad Ecclesiam catholicam redeant, et inter eos, vel etiam alios catholicos episcopos, quædam sint parœciæ, in quibus ambo jura habent episcopalia ; fiat divisio parœciarum sive diœcesium ita communicatarum, æqualiter inter eos ; sed ita, ut antiquior **652** episcopus divisionem faciat, at qui post eum factus fuit electionem habeat. Si autem fortasse sit locus, in quo et Donatistæ habitabant et orthodoxi, si vicinus sit episcopo a Donatistis converso, ei integre concedatur: sin vero episcopo catholico vicinior sit, et pristini, qui in eo sunt, orthodoxi proprium habere vellent episcopum ; qui autem a Donato conversi sunt, etiam suum ; plurium sententia prævaleat. Quod si partes sint æquales, antiquiori episcopo locus totus adjudicetur.

οἰκονομίαν, ἀλλὰ τοῖς ἐν Ἀφρικῇ μόνοις προσήρμοζον, κἀκείνοις κατὰ τὸν τότε καιρόν.

ΑΡΙΣΤ. « Αἱ ὁτεδήποτε γενόμεναι τῶν Δονατιστῶν « ἐπιστροφαὶ καὶ ἑνώσεις ἐκείνῳ τῷ θρόνῳ « ἀνηκέτωσαν, ᾧ καὶ ἡ ἐκπαλαι ἐκεῖσε καθο- « λικὴ. »

Ἐπειδὴ πολλαὶ γεγόνασιν ἀμφιβολίαι περὶ τῶν Δονατιστῶν ἐπιστρεφόντων, τίνι θρόνῳ οὗτοι προσκυρωθήσονται· πρὸ μὲν γὰρ τῶν νόμων τῶν βασιλικῶν, τῶν περὶ τῆς ἑνώσεως τῶν ἐκκλησιῶν διατεττομένων, ἐκείνῳ τῷ ἐπισκόπῳ ὑπέκειντο, δι' οὗ τῆς πλάνης ὑπέστρεψαν, καὶ τῇ καθολικῇ ἐκοινώνησαν Ἐκκλησίᾳ· μετὰ δὲ τοὺς νόμους ἐκείνοις τῶν ἐπισκόπων ἦσαν ἀνήκοντες, τοῖς πλησίον οὖσι τῶν τόπων, τῶν παρ' αὐτῶν δὴ τῶν Δονατιστῶν κατεχομένων· ὥρισεν ἡ σύνοδος τὰς μεταξὺ τῶν ἐπισκόπων ἀναφυομένας ἀμφιβολίας λύουσα, ἐκείνῳ τῷ θρόνῳ τούτους ἀνήκειν, ᾧτινι καὶ ἡ ἐκπαλαι ἐκεῖσε ὑπάρξασα καθολικὴ Ἐκκλησία διαφέρει.

ΑΡΙΣΤ. « Οἱ ἐπιστρέψαντες ἀπὸ Δονάτου διελέ- « σθωσαν τὰς διοικήσεις, καὶ ὁ μὲν παλαιότερος « ἐπιμερίζοι, ὁ δὲ νέος ἐκλέγοιτο. »

Ἐὰν οἱ τῶν Δονατιστῶν ἐπίσκοποι πρὸς τὴν καθολικὴν ἐπιστρέψωσιν Ἐκκλησίαν, καὶ μεταξὺ αὐτῶν ἢ καὶ ἑτέρων καθολικῶν ἐπισκόπων παροικίαι τινὲς ἦσαν, ἐν αἷς καὶ ἀμφότεροι ἐπισκοπικὰ δίκαια εἶχον· γενέσθω ἡ διαίρεσις τῶν οὕτως ἀνακεκοινωμένων παροικιῶν καὶ διοικήσεων μεταξὺ αὐτῶν ἐπίσης, πλὴν οὕτως, ὥστε τὸν μὲν παλαιότερον ἐπίσκοπον ποιεῖσθαι τὸν μερισμὸν, τὸν δ' ὕστερως μετ' ἐκεῖνον γενόμενον ἔχειν τὴν ἐπιλογήν. Εἰ δὲ εἷς ἐστι τόπος, εἰς ὃν ἦσαν καὶ Δονατισταὶ οἰκοῦντες καὶ ὀρθόδοξοι, εἰ μὲν γειτνιάζει τῷ ἐπισκόπῳ τῷ ἀπὸ τῶν Δονατιστῶν ἐπιστρέψαντι, ἐκείνῳ κατὰ τὸ ἀκέραιον παραχωρηθῇ· εἰ δὲ μᾶλλον τῷ καθολικῷ ἐπισκόπῳ πλησιάζει, καὶ οἱ ἐν αὐτῷ ὄντες ἀρχαῖοι ὀρθόδοξοι τὸν ἴδιον θελήσουσιν ἔχειν ἐπίσκοπον, οἱ δὲ ἐκ τοῦ Δονάτου μεταστρέψαντες πάλιν τὸν ἴδιον. τῶν πλειόνων ἡ ψῆφος κρατείτω. Εἰ δὲ τὰ μέρη ἴσα εἰσὶ, τῷ ἀρχαιοτέρῳ ἐπισκόπῳ ὁ τόπος ἅπας προσκυρωθήσεται.

CANON CXX.

« Ut si aliquam diœcesin ab hæresi episcopus libe- « raverit, et triennio possederit, nemo eam repe- « tat. Similiter placuit, ut si quis post leges locum « aliquem ad catholicam unionem converterit, « cumque triennio, nullo repetente, detinuerit, dein- « ceps ab eo ne repetatur ; si quidem intra ipsum « triennium fuerit episcopus qui debebat repetere, « et quærevit. Sin autem non erat in matricula, præ- « judicium ei non afferatur ; sed quando vacans « locus episcopum acceperit, liceat ei ab ipso die « intra triennium repetere. Similiter autem et si « a partibus Donati ad catholicam Ecclesiam « conversus fuerit episcopus, nullo præjudicio « afficiatur in matricula de tempore præfinito ; « sed a quo die conversus est, facultatem habeat « intra triennium repetendi loca, quæ ad suam « sedem pertinent. »

ΚΑΝΩΝ ΡΚ'.

« Περὶ τοῦ, ἐάν τινα διοίκησιν ἐξ αἱρέσεως ἐλευ- « θερώσῃ ἐπίσκοπος, καὶ περὶ τριετίαν κατάσχῃ, « μηδένα ταύτην ἀναζητεῖν. Ὁμοίως ἤρεσεν, « ἵνα, ἄν τις μετὰ τοὺς νόμους τόπον τινὰ πρὸ, « τὴν καθολικὴν ἑνότητα μεταστρέψῃ, καὶ τοῦ- « τον ἐπὶ τριετίαν, μηδενὸς ἀναζητοῦντος, κα- « τάσχῃ, τοῦ λοιποῦ παρ' αὐτοῦ μὴ ἀναζητηθῇ· « ἐὰν μέντοι ἐντὸς τῆς αὐτῆς τριετίας ὑπῆρχεν « ἐπίσκοπος ὁ ὀφείλων ἀναζητῆσαι, καὶ ἡσύχα- « σεν. Εἰ δὲ μὴ ἦν, μὴ προκριματισθῇ ἐν τῇ « μάτρικι, ἀλλ' ὅτε ὁ χηρεύων τόπος λάβῃ ἐπί- « σκοπον, ἐξὸν εἴη αὐτῷ ἀπ' αὐτῆς τῆς ἡμέρας « ἐντὸς τριετίας ἀναζητῆσαι. Ὁμοίως δὲ καὶ « ἐὰν ἐπίσκοπος ἐκ τῶν τοῦ Δονάτου μερῶν πρὸς « τὴν καθολικὴν ἐπιστρέψῃ, μὴ προκριματισθείη « ἐν μάτρικι περὶ τοῦ ὁρισθέντος χρόνου, ἀλλ' ἐξ « ἧς ἡμέρας ἐπέστρεψεν, ἐχέτω ἐξουσίαν ἀναζη- « τεῖν ἐντὸς τριετίας τοὺς τόπους τῇ αὐτῶν ἀνή- « κοντας καθέδρᾳ. »

Digitized by Google

ΒΑΛΣ. Ὡς ἔοικε, νόμοι προεθεσπίσθησαν περὶ τῶν ἐνοριῶν. Ἐπεὶ δὲ καὶ μετὰ τὸ τούτους ἐκφωνηθῆναι ἀμφιβολίαι ἀνέκυπτον, ὥρισαν οἱ Πατέρες, ἵνα, ἐὰν ἐπίσκοπός τις μεταστρέψῃ πρὸς τὴν ὀρθόδοξον πίστιν, τόπον τινὰ, ἤγουν παροικίαν ἔχουσαν αἱρετικοὺς, καὶ κατέχῃ αὐτὴν ἐπὶ τριετίαν, ζῶντος καὶ ταῦτα τοῦ δικαιουμένου ἐπ' αὐτῇ ἐπισκόπου καὶ ἡσυχάζοντος, μηκέτι περὶ ταύτης ὀχληθῇ. Ἐὰν δὲ ἐν τῇ ἐπισκοπῇ, ᾗ λέγεται διαφέρειν ὁ τόπος, οὐκ ἦν ἐπίσκοπος, ἡ παραδρομὴ τῆς τριετίας οὐκ ἐμποδίσει τὸν μετὰ ταῦτα ψηφισθέντα ἀνακαλεῖσθαι τὴν ἐνορίαν. Τὸ αὐτὸ δὲ κρατεῖν καὶ ἐπὶ τῶν Δονατιστῶν ἐπιστρεφόντων. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Σὺ δὲ γίνωσκε ὅτι τὰ ἐκκλησιαστικὰ δίκαια, τὰ περὶ τῶν ἐνοριῶν δηλαδὴ καὶ τῶν ἄλλων, εἰ μὲν κατὰ Ἐκκλησίας ἁρμόζουσι, διὰ τριακονταετίας ἀποκλείονται· εἰ δὲ κατὰ προσώπων διὰ τεσσαρακονταετίας. Καὶ ἀνάγνωθι τὸ τρίτον κεφάλ. τοῦ τρίτου τίτλου τοῦ ε' βιβλίου τῶν Βασιλικῶν καὶ τὸ τελευταῖον κεφάλαιον τοῦ δευτέρου τίτλου τοῦ αὐτοῦ βιβλίου, λέγον, Πᾶσα ἀγωγὴ προσήκουσα σεπτῷ οἴκῳ, εἴτε προσωπικὴ εἴτε ὑποθηκαρία ἐστὶν, οὐχ ὑπερβαίνει τὰ τεσσαράκοντα ἔτη, τῶν ἁρμοζουσῶν ἑκάστῳ οἴκῳ τοιούτῳ εὐαγεῖ προσκαίρων παραγραφῶν φυλαττουσῶν μέντοι γε τοὺς οἰκείους χρόνους. Ὥστε τὰ τοῦ παρόντος κανόνος ἐσχόλασαν ὑπὸ τῶν τοιούτων κεφαλαίων ἀπὸ νεαρῶν Ἰουστινιανείων ὄντων.

BALS. Ut est verisimile, leges de regionum finibus prius latæ fuerant: sed quia postquam editæ sunt, controversiæ emersere, statuerunt Patres, ut si quis episcopus ad fidem orthodoxam converterit locum aliquem seu parœciam, quæ habet hæreticos, et eam triennio detinuerit, idque vivo, qui in ea jus habet, episcopo et tacente, de ea ne amplius turbetur. Sin autem in episcopatu, ad quem dicitur locus pertinere, non erat episcopus; lapsus triennii non impediet eum, qui postea electus est, quominus parœciam suam revocet. Id ipsum autem servatur et in Donatistis, qui convertuntur. Ac in iis quidem consistit canon. Tu autem scias, quod jura ecclesiastica, quæ sunt scilicet de regionum finibus, et aliis, si adversus quidem Ecclesiam competunt, triginta annis excluduntur: sin autem adversus personas, quadraginta annis. Et lege caput 3, titul. 3, lib. v Basilic. et ultimum caput tit. 2 ejusdem libri, quod dicit, Omnis actio, quæ ad venerabiles domos pertinet, sive sit personalis, sive hypothecaria, quadraginta annos non excedit, convenientibus unicuique ejusmodi sanctæ domui temporalibus præscriptionibus sua tempora servantibus. Quamobrem quæ in præsenti canone continentur propter hæc capita, quæ ex Justiniani novellis sunt, exoleverunt.

« Ὥστε τὸν καταφρονοῦντα τῆς ἰδίας διοικήσεως « ἐπίσκοπον στερεῖσθαι τῆς κοινωνίας. Ἐὰν ἐν « τοῖς ματρικίοις, ἤγουν ἐν ταῖς καθέδραις, ἐπί- « σκοπος ἀμελὴς γένηται κατὰ τῶν αἱρετικῶν, « ὑπόμνησθείη ἀπὸ γειτνιώντων ἐπισκόπων ἐπι- « μελῶν, καὶ ὑποδειχθείη αὐτῷ ἡ ἰδία περιφρό- « νησις πρὸς τὸ μὴ ἔχειν ἀπολογίαν. Ἐὰν δὲ ἀφ' « ἧς ἡμέρας ὑπομνησθῇ, ἐντὸς μηνῶν ἓξ ἐν τῇ « αὐτῇ ἐπαρχίᾳ διάγων, μὴ τῶν ὀφειλόντων πρὸς « τὴν καθολικὴν ἑνότητα ἐπιστραφῆναι τὴν « φροντίδα ποιήσηται· τῷ τοιούτῳ μὴ συγκοι- « νωνηθῇ, ἕως οὗ τοῦτο πληρώσῃ. Εἰ δὲ ὁ ἐπιξ- « εργαστὴς εἰς τοὺς αὐτοὺς τόπους μὴ παρα- « γένηται, τῷ ἐπισκόπῳ μὴ ἐπιγραφῇ. »

ΒΑΛΣ. Ἐν τῷ ρκα' κανόνι ἀρκούντως ἐγράψαμεν περὶ τῶν ἀμελούντων ἐπισκόπων τῆς διδασκαλίας τῶν ὑπ' αὐτοὺς λαῶν· περὶ ὧν καὶ παρὼν κανὼν φησι, προστιθέμενος ἀκολούθως τῷ ἀποστολικῷ κανόνι ἀφορισμῷ ἀκοινωνησίας καθυποβάλλεσθαι τοὺς μετὰ παραγγελίαν ἀμελοῦντας τοῦ διδάσκειν τοὺς ἐν τοῖς ματρικίοις, ἤγουν τοῖς δικαίοις τῶν καθεδρῶν ἤτοι τῶν ἐκκλησιῶν αὐτῶν, ὄντας αἱρετικούς. Εἰ δὲ, φησὶν, ὁ ἐπεξεργαστὴς, ἐπιτραπεὶς παρὰ τοῦ ἐπισκόπου κατὰ τόπον ἀφικέσθαι καὶ μεταπαλέσασθαι τοὺς αἱρετικοὺς, οὐ ποιήσει τοῦτο, ἀκαταιτίατος ἔσται ὁ ἐπίσκοπος. Ἔστι γὰρ καὶ τοῦτο αἰτία D εὔλογος ὁποία ἡ τῆς νόσου καὶ αἱ λοιπαί. Ἐπιξεργαστὴς δέ ἐστιν ἢ ὁ ἐγχώριος ἔξαρχος ὁ τοιαῦτα οἰκονομῶν, ἢ ὁ ἄρχων τῆς χώρας, ὁ πρὸς ἀνάγκης ἔχων βοηθεῖν τῷ ἐπισκόπῳ ἐν τοιούτοις, καὶ μᾶλλον ἢ ὁ ἐγχώριος ἔκδικος, ὁ δηλούμενος ἐν τῷ ιζ' κανόνι τῆς παρούσης συνόδου.

ΖΩΝΑΡ. Καὶ ἐπισκόπους ἰδίους εἶχον οἱ Δονατεσταὶ, καὶ ματρίκια, ἤγουν ἀπογραφὰς, τῶν διαφερόντων ταῖς ἐκκλησίαις αὐτῶν. Λέγει οὖν ὁ κανὼν ὅτι, ἐὰν ἐπίσκοπος ὀρθόδοξος ἀμελήσῃ ἐκνικῆσαι τὰς καθέδρας τῶν αἱρετικῶν, καὶ τὰ ἐν τοῖς ματρικίοις αὐτῶν, καὶ μὴ φροντίσῃ τῶν ὀφειλόντων πρὸς τὴν καθολικὴν Ἐκκλησίαν ἐπιστραφῆναι, ἵνα ὑπομιμνήσκηται περὶ τούτου ἐκ τῶν γειτόνων ἐπισκόπων, καὶ μετὰ

Digitized by Google

τὴν ὑπόμνησιν ἐὰν ἐντὸς μηνῶν ἓξ οὐ φροντίσῃ τῆς ὑποθέσεως ἐκεῖ ἐνδημῶν, ἵνα μὴ συγκοινωνῇ αὐτῷ τις. Εἰ δὲ ἐνδημεῖ, φησὶν, οὐ πάρεστι δὲ ὁ ἐπεξεργαστής, ἤγουν ὁ ἄρχων τῆς χώρας, ὅστις ἐπεξεργάσασθαι δύναται τὴν ὑπόθεσιν, καὶ παραστῆσαι καὶ ἄκοντας τοὺς αἱρετικοὺς ἀπολογησομένους, ἢ ὁ ἐκ βασιλέως δοθεὶς ἕως εἰς ἐκδίκησιν κατὰ τὸν κζ' κανόνα, τῷ ἐπισκόπῳ μὴ ἐπιγραφῇ εἰς ἀμέλειαν ἡ ὑπέρθεσις διὰ τὴν ἀπουσίαν τοῦ ἄρχοντος ἢ τοῦ ἐκδίκου γινομένη. A non admoneri jubet : quod si admonitus, sex mensium intervallo, si quidem in eis locis agat, negotium minime susceperit ; ejusdem communione omnibus interdictum esse decernit. Verum si ipse quidem, inquit, præsens adsit, exsecutor autem sive præfectus regionis, qui opus ad exitum perducat, et a quo hæretici causam dicere vel inviti cogantur, vel alius ab imperatore ex canonis 27 decreto munere præpositus, desideretur : ne ulli episcopi indiligentiæ adscribatur, si tunc temporis aliquam ex magistratus aut defensoris absentia rebus ipsis moram afferri contigerit.

ΑΡΙΣΤ. « Περιφρονῶν ἐπίσκοπος τὴν ὑπὲρ τῶν αἱ-
« ρετικῶν ἐπιμέλειαν, καὶ ὑπομιμνησκόμενος, εἰ
« ἐπὶ τῆς ἰδίας διάγει περιφρονήσεως ἐπὶ ἓξ μῆ-
« νας, καὶ μὴ φροντίσει τούτων τῆς ἐπιστροφῆς, B
« ἤτω ἀκοινώνητος. »

ARIST. « Episcopus hæreticorum curam gerere
« contemnens, et admonitus, si per sex menses
« in suo permanserit contemptu, eorumque con-
« versio ei non curæ fuerit, excommunicetur. »

Ὁ μὲν προγραφεὶς ἑκατοστὸς πρῶτος κανὼν τὸν καταφρονητικῶς διατεθέντα ἐπίσκοπον περὶ τὴν τῶν αἱρετικῶν διόρθωσιν, καὶ μηδὲ μετὰ τὴν ὑπόμνησιν τῆς τούτων ἐπιστροφῆς ἐπὶ ἓξ μῆνας φροντίσαντα, καταδικάζει, εἰς τὸ προσκυρωθῆναι τοὺς τόπους αὐτῶν ἑτέρῳ ἐπισκόπῳ, τῷ δυναμένῳ εἰς τὴν καθολικὴν πίστιν αὐτοὺς μεταστρέψαι· ὁ δὲ παρὼν κανὼν ἀκοινωνησίαν αὐτῷ ἐπάγει καὶ ἀφωρισμένον εἶναι προστάττει, ἕως οὗ τὸ ἀνῆκον αὐτῷ ἔργον πληρώσει. Καὶ δοκεῖ ὁ κανὼν οὗτος οἱονεὶ ἐναντιοῦσθαι τῷ ρκα' κανόνι, ἄλλο παρ' ἐκεῖνον ἐπάγων ἐπιτίμιον τῷ ἐπισκόπῳ, τῷ τῆς ἐπιστροφῆς τῶν αἱρετικῶν ἀμελοῦντι· οὐκ ἔστι δὲ ἐναντίος· ἀλλ' ὅταν μὲν εὑρίσκηται ἐπίσκοπος ἕτερος, τὴν ἐπιμέ- C λειαν αὐτῶν ἀναδεχόμενος, ἀφαιρεθήσεται ὁ καταφρονήσας τῆς σωτηρίας αὐτῶν ἐπίσκοπος, ὅπερ εἶχεν ἐπ' αὐτοῖς ἐπισκοπικὸν δίκαιον, καὶ προσκυρωθήσεται ἐκείνῳ· ὅταν δὲ οὔτε ἄλλος τὴν φροντίδα αὐτῶν ἀναδέχηται, οὔτε αὐτὸς τῆς ἐπιστροφῆς τούτων ἐπιμελῆτσι, τηνικαῦτα τῷ τῆς ἀκοινωνησίας ἐπιτιμίῳ ὑποβληθήσεται. Εἰ δὲ μετὰ τὸν ἀφορισμὸν τῇ τοιαύτῃ ῥᾳθυμίᾳ ἐπιμένει, καὶ καθαιρεθήσεται, κατὰ τὸν πεντηκοστὸν ὄγδοον κανόνα τῶν ἁγίων ἀποστόλων.

Antescriptus centesimus vicesimus primus canon episcopum, qui in hæreticis corrigendis se negligenter gerit, et nec post admonitionem intra sex menses conversionis eorum cura eum tangit, condemnat, ut loca eorum alii episcopo, qui eos ad fidem catholicam potest convertere, assignarentur. At præsens canon excommunicatione eum multat et segregari 659 jubet, usque dum opus ad se pertinens expleverit. Et videtur hic canon aliquo modo canoni 121 contrarius, diversum ab eo supplicium sumens de episcopo qui hæreticorum conversionem negligit. Non est autem contrarius, sed eum quidem alius inveniatur episcopus, curam eorum in se suscipiens, auferetur episcopo, qui saluti eorum parum consuluit, quidquid in eos habuit jus episcopale, et illi adjudicabitur. Cum autem nec alius curam eorum suscipiet, nec ipse conversionem eorum in cura habebit, tunc excommunicationis pœnæ subjicietur : si vero post excommunicationem in istiusmodi desidia persistat, et deponetur, juxta quinquagesimum octavum sanctorum apostolorum canonem.

ΚΑΝΩΝ ΡΚΕ'.

« Περὶ τῶν τοὺς Δονατιστὰς κοινωνῆσαι ψευδομένων
« ἐπισκόπων. Ἐὰν δὲ ἀποδειχθῇ τὸν τοιοῦτον ψευ-
« σάμενον περὶ τῆς ἐκείνων κοινωνίας, ἐν τῷ λέγειν
« αὐτοὺς κεκοινωνηκέναι, οὓς δείκνυται συνειδὼς
« αὐτοῦ μὴ κοινωνῆσαι· καὶ τὴν ἐπισκοπὴν ἔτι
« μὴν ἀπολέσει. »

CANON CXXV.

« De episcopis, qui mentiuntur Donatistas commu-
« nicasse. Sin autem ostensum fuerit eum de
« illorum communione fuisse mentitum, dum
« dicit eos communicasse, quos eo sciente non
« communicasse constiterit : episcopatum quoque
« perdet. »

ΒΑΛΣ. Διορισάμενοι οἱ Πατέρες, ὅπως ὀφείλουσι κολάζεσθαι οἱ ἀμελοῦντες τοῦ ἐπιστρέψειν διὰ διδασκαλίας τοὺς ὑπὸ τὴν ἐνορίαν αὐτῶν ὄντας αἱρετικοὺς, καὶ προσθέμενοι συγγινώσκεσθαι τοὺς εὐλόγως πρὸς τοῦτο ἐμποδισθέντας, νῦν ἐπάγουσι ὡς, ἐάν τινες ἐξ αὐτῶν εἴπωσιν ὁμιλῆσαι διδασκαλικῶς τοῖς οὖσιν ἐν τῇ τούτων ἐνορίᾳ αἱρετικοῖς, καὶ ἀποδειχθῶσι ψευδόμενοι, οὐ μόνον ἀφορισμῷ, ἀλλὰ καὶ καθαιρέσει καθυποβληθήσονται διὰ τὴν ἄκραν αὐτῶν ἀμέλειαν καὶ τὸν δόλον.

BALS. Cum definissent Patres quomodo sint puniendi ii qui negligunt per doctrinam convertere hæreticos qui sunt in eorum diœcesi, et adjecissent iis ignoscendum esse qui justa causa in hoc impediti fuerunt, nunc inferunt quod si qui ex eis dixerint se cum hæreticis, qui sunt in sua regione, docendi gratia communicasse, et ostensum fuerit eos mentiri ; non solum segregationi, sed etiam depositioni subjicientur, propter summam eorum negligentiam et fraudem.

ΖΩΝΑΡ. Ἐὰν δὲ, αἰτιώμενος, ὅτι μὴ ἐξενίκησε τὰ παρὰ τῶν αἱρετικῶν κατεχόμενα, λέγῃ κοινωνῆσαι

ZONAR. Si vero quod ab hæreticis injuste possessa bona non eripuerit accusatus, eo se tueatur,

Digitized by Google

quod illos Ecclesiæ catholicæ communicare asserat, propterea que vindicationem honorum ipse neglexerit; ac postea mendacii convictus fuit, cum illos vel nullo modo, vel certe non ejus scientia, id est, nec ipso laborante nec sciente, communicasse sit compertum: episcopatu quoque privabitur, hoc est, deponetur.

ARIST. « Qui communicare dicit, quem non com-
« municare novit, episcopatu privatur. »

Quicunque episcopus Donatistas ad catholicam Ecclesiam non conversos novit, si iis communicaverit, dicens eos ad orthodoxam fidem conversos esse: talis, ut de communione eorum mentiens, et Ecclesiam Dei decipiens, erit depositus.

A τοὺς αἱρετικοὺς τῇ καθολικῇ Ἐκκλησίᾳ, καὶ διὰ τοῦτο ἀμελῆσαι αὐτὸς τῆς ἐκνικήσεως, ἐλεχθῇ δὲ ψευδόμενος μὴ κοινωνησάντων τῶν αἱρετικῶν, ἢ κοινωνησάντων μὲν ἴσως, μὴ συνειδήσει δὲ αὐτοῦ, ἀντὶ τοῦ μὴ εἰδότος αὐτοῦ μηδὲ σπουδάσαντος, καὶ τῆς ἐπισκοπῆς ἐκπεσεῖται, ἤγουν καθαιρεθήσεται.

ΑΡΙΣΤ. « Ὁ εἰπὼν κοινωνικὸν, ὃν οἶδεν ἀκοινώνη-
« τον, ἀποπισκόπου. »

Ὅστις ἐπίσκοπος τοὺς Δονατιστὰς οἶδε πρὸς τὴν καθολικὴν Ἐκκλησίαν μὴ ὑποστρέψαντας, εἰ συγκοινωνήσει αὐτοῖς, λέγων πρὸς τὴν ὀρθοδοξίαν μεταστρέψαι αὐτοὺς, ὁ τοιοῦτος ὡς ψευδόμενος περὶ τῆς κοινωνίας αὐτῶν, καὶ τὴν Ἐκκλησίαν τοῦ Θεοῦ ἀπατήσας, ἔσται καθῃρημένος.

CANON CXXVI.

« De presbyteris et clericis, ut non appellent nisi ad
« synodos Africæ. Similiter placuit ut presby-
« teri, diaconi, et reliqui inferiores clerici, si in
« iis quas habent causis, de propriorum episco-
« porum sententia querantur, vicini episcopi eos
« audiant, et quæ inter eos sunt terminent ii, qui
« ab ipsis ex propriorum episcoporum consensu
« assumuntur: sin autem etiam ab eis appel-
« lare voluerint, ne appellent, nisi ad synodos
« Africæ, vel ad suarum provinciarum primates.
« Qui vero ad transmarina loca appellare volue-
« rit, a nullo in Africa ad communionem admit-
« tatur. »

B

ΚΑΝΩΝ ΡΚϚ'.

« Περὶ πρεσβυτέρων καὶ κληρικῶν, ἵνα μὴ ἐκκα-
« λῶνται, εἰ μὴ πρὸς τὰς τῆς Ἀφρικῆς συνόδους.
« Ὁμοίως ἤρεσεν, ἵνα πρεσβύτεροι, διάκονοι, καὶ
« οἱ λοιποὶ κατώτεροι κληρικοὶ, ἐν αἷς ἔχωσιν
« αἰτίαις, ἐὰν περὶ τῆς ψήφου τοὺς ἰδίους ἐπι-
« σκόπους μέμφωνται, οἱ γειτνιῶντες ἐπίσκοποι
« τούτων ἀκροάσωνται, καὶ τὰ μεταξὺ τούτων
« περατώσωσιν οἱ παρ' αὐτῶν κατὰ συναίνε-
« σιν τῶν ἰδίων αὐτῶν ἐπισκόπων προσλαμβα-
« νόμενοι· ἐὰν δὲ καὶ ἀπ' αὐτῶν ἐκκαλέσασθαι
« θελήσωσιν, μὴ ἐκκαλέσωνται, εἰ μὴ πρὸς τὰς
« τῆς Ἀφρικῆς συνόδους, ἢ πρὸς τοὺς πρωτεύοντας
« τῶν ἰδίων αὐτῶν ἐπαρχιῶν. Πρὸς δὲ τὰ πέραν
« τῆς θαλάσσης ὁ βουλόμενος ἐκκαλεῖσθαι, ἀπὸ
« μηδενὸς ἐν Ἀφρικῇ δεχθείη εἰς κοινωνίαν. »

C

BALS. Dicunt Patres, quod si quivis clericus a proprio episcopo condemnatus fuerit, et gravetur, non debet ad alterius provinciæ synodum, quæ est longius appellare; sed vicinorum episcoporum audientiam implorare; etiam cum consensu ejus qui **660** condemnavit eum, episcopi scilicet sui. Sin autem eorum quoque, ad quos appellavit, sententia ei displiceat, non debet ad transmarinas synodos appellare, quæ Romæ scilicet fiunt; sed ad propinquiores, nempe ad synodos Africæ, vel ad provinciarum metropolitanos eorum qui primum judicarunt episcoporum. Si quis autem præter hæc fecerit, excommunicationis segregatione condemnabitur. Nota ergo ex hoc præsenti canone, quod consequenter legi civili Patres quoque concesserunt his appellare eos qui condemnantur. Nota præterea quod tempore præsentis synodi non habebant metropolitani tale jus in suos episcopos illisque subjectos clericos, quale nunc habent. Poterant enim clerici ab episcopis condemnati vicinorum episcoporum audientiam appellare: quod nunc non admittetur; propterea quod in quarta synodo provinciarum metropolibus provisum sit. Cum autem lex dicat eos lædi, qui ad incompetentem judicem provocarint, præsens canon damnum ad excommunicationem extendit.

ΒΑΛΣ. Φασὶν οἱ Πατέρες ὅτι, ἐὰν οἱοσδήτις κληρικὸς καταδικασθῇ παρὰ τοῦ οἰκείου ἐπισκόπου, καὶ βαρύνηται, οὐκ ὀφείλει πρὸς σύνοδον ἑτέρας ἐπαρχίας πορρωτέρω οὖσαν ἐκκαλεῖσθαι· ἀλλὰ ἀνακαλεῖσθαι τὴν τῶν γειτνιώντων ἐπισκόπων ἀκρόασιν, καὶ μετὰ συναινέσεως τοῦ καταδικάσαντος αὐτὸν οἰκείου ἐπισκόπου. Ἐὰν δὲ καὶ ἐπὶ τῇ τῶν τοιούτων ἐκκλητορίων ἀποφάσει ἀπαρέσκηται, οὐκ ὀφείλει πρὸς τὰς πέραν τῆς θαλάσσης συνόδους ἐκκαλεῖσθαι, τὰς ἐν Ῥώμῃ δηλαδὴ, ἀλλὰ πρὸς τὰς ἐγγυτέρω οὔσας, ἤγουν ἢ πρὸς τὰς τῆς Ἀφρικῆς συνόδους, ἢ πρὸς τοὺς μητροπολίτας τῶν ἐπαρχιῶν τῶν πρώτως κρινάντων ἐπισκόπων. Εἰ δὲ παρὰ ταῦτά τις ποιήσει, ἀφορισμῷ ἀκοινωνησίας κατακριθήσεται. Σημείωσαι οὖν ἀπὸ τοῦ παρόντος κανόνος ὅτι ἀκολούθως τῷ πολιτικῷ νόμῳ καὶ οἱ Πατέρες ἐξεχώρησαν δὶς ἐκκαλεῖσθαι τοὺς καταδικαζομένους. Ἔτι σημείωσαι ὅτι κατὰ τὸν καιρὸν τῆς παρούσης συνόδου οὐκ εἶχον οἱ μητροπολῖται τοιαῦτα δίκαια κατὰ τῶν ἐπισκόπων αὐτῶν καὶ τῶν ὑπ' αὐτοὺς κληρικῶν, οἷα ἔχουσι σήμερον. Ἠδύναντο γὰρ οἱ παρὰ ἐπισκόπων καταδικαζόμενοι κληρικοὶ τὴν τῶν γειτνιαζόντων ἐπισκόπων ἀνακαλεῖσθαι ἀκρόασιν· ὅπερ ἀρτίως οὐ παραδεχθήσεται διὰ τὴν γενομένην οἰκονομίαν εἰς τὰς τῶν ἐπαρχιῶν μητροπόλεις κατὰ τὴν δ' σύνοδον. Τοῦ δὲ νόμου λέγοντος βλάπτεσθαι τοὺς ἐκκαλεσαμένους εἰς ἀπρόσφορον δικαστὴν, ὁ παρὼν κανὼν τὴν βλάβην εἰς ἀκοινωνησίαν ἐξεκάθετο.

D

Digitized by Google

ΖΩΝΑΡ. Τοὺς κληρικοὺς τῶν ἐκκλησιῶν δίκας ἔχοντας πρὸς ἀλλήλους παρὰ τοῖς ἐπισκόποις, οἷς ὑπόκεινται, δικάζεσθαι διάφοροι κανόνες ὡρίσαντο. Ὁ δὲ παρὼν κανὼν περὶ ἐκκλήτων θεσμοθετεῖ, καὶ φησιν ὅτι, ἐὰν ἀπαρέσκωνται τῇ ψήφῳ τῶν ἐπισκόπων αὐτῶν οἱ παρ' αὐτοῖς δικασάμενοι κληρικοὶ, οἱ γειτονοῦντες ἐπίσκοποι τούτων ἀκροάσονται, καὶ διαγνωμονήσουσι περὶ τῆς ψήφου, εἰ ἔστιν ἀνεπισφαλής. Ἔσονται δὲ ἐκκλητάριοι, οἵτινες ἂν παρὰ τῶν δικαζομένων ἐπιλεγῶσι κατὰ συναίνεσιν τοῦ ἐπισκόπου αὐτῶν. Ἐὰν δὲ καὶ ἡ τῶν ἐκκληταρίων ἐπισκόπων ἀπόφασις ἀπαρέσκῃ, παρὰ ταῖς ἐν Ἀφρικῇ συνόδοις δοκιμασθήσεται, καὶ παρὰ τοῖς πρωτεύουσι τῶν ἐπαρχιῶν, ἤγουν τοῖς προκαθημένοις τῶν ἄλλων. Εἰ δέ τις, φησὶ, βουληθείη πέραν τῆς θαλάσσης ἐκκαλέσασθαι, ἤγουν πρὸς τοὺς τῆς Ἰταλίας ἐπισκόπους καὶ τὴν ἐκεῖ σύνοδον, ἀκοινώνητος, φησὶν, ἤτω παρὰ τῇ συνόδῳ τῆς Ἀφρικῆς.

A

B

ΑΡΙΣΤ. « Πρεσβύτερος καὶ διάκονος, ἐπιμεμφόμενοι ἐπισκόπῳ, γείτοσιν ἐπισκόποις ἐγκαλείτωσαν· ἀλλὰ μὴ τὸ πέλαγος διαπεράτωσαν. « Ἀκοινώνητοι γὰρ ἔσονται ἐν Ἀφρικῇ. »

Τοῦτο καὶ ἐν τῷ εἰκοστῷ ὀγδόῳ κανόνι τῆς παρούσης συνόδου ὡρίσθη, τὸ μή τινα πρεσβύτερον ἢ διάκονον, παρὰ τοῦ ἰδίου ἐπισκόπου καταδικασθέντα, καὶ τὴν κρίσιν ἐπιμεμφόμενον, καὶ κατὰ ταύτης ἐκκαλεῖσθαι βουλόμενον, τὸ πέλαγος τῆς Ἀφρικῆς διαπεράν, καὶ περὶ ταύτης τῆς Ῥώμης προσέρχεσθαι, ἀλλὰ τοῖς γείτοσιν ἐγκαλεῖν ἐπισκόποις, καὶ παρ' αὐτοῖς γυμνάζειν τὴν ἔκκλητον· εἰ δὲ μὴ, ἀκοινώνητον εἶναι ἐν Ἀφρικῇ. Τοῦτο δὲ ἐκωλύθη, ὡς οἶμαι, διά τε τοὺς κατὰ θάλασσαν κινδύνους, καὶ τὸ μὴ συντριβὰς ὑφίστασθαι καὶ καινοτομίας τὰ μέρη διὰ τὴν ἐπὶ ξένης μακρὰν ἀποδημίαν.

C

ZONAR. Ut clerici, qui ecclesiasticas in se invicem controversias habent, ab ipsis, quibus subjiciuntur episcopis judicentur, plurium canonum decreto constitutum est. Hoc vero canone de provocationibus statuitur, ut si nimirum episcoporum suorum judicio litigantes clerici stare nolint, a vicinis episcopis audiantur, ac ab eis sententiæ æquitas examinetur. Judices porro isti provocationis a litigantibus, non sine episcopi tamen approbatione, deligentur. Quod si ipsa quoque episcoporum sententia, ad quos provocavere, non satisfecerit, ad synodos in Africa habendas causa referetur, atque ad provinciarum primates, qui scilicet aliis cum auctoritate præfecti sunt. Si quis autem ad transmarina judicia, hoc est, ad Italiæ episcopos, vel ad Italiæ synodum provocare velit, a communione, inquit, in Africæ synodo excludatur.

ARIST. « Presbyter et diaconus, qui de episcopo « suo conqueruntur, ad vicinos episcopos appellent : at mare ne trajiciant. In Africa enim « excommunicabuntur. »

Hoc et in vicesimo octavo synodi præsentis canone decretum est ; ut nullus presbyter, aut diaconus, a suo episcopo condemnatus, et judicium reprehendens, et contra illud appellare volens, Africæ pelagus transeat, et ejus gratia Romam adeat : sed ad vicinos appellabit episcopos, et iis appellationis causam indicabit : sin minus, excommunicatum esse in Africa. Hoc autem vetitum fuit, ut opinor, et propter maris pericula, et ut partes vexationes et innovationes non sustinerent, per longinquam ad regionem exteram peregrinationem.

ΚΑΝΩΝ ΡΚΖ'.

« Περὶ παρθένων μικρῶν ἔτι μὴν καλυπτέων. « Ὁμοίως ἤρεσεν, ἵνα ὁστισδήποτε τῶν ἐπισκόπων, δι' ἀνάγκην τῆς παρθενικῆς σωφροσύνης κινδυνευούσης, ὅτε ἢ ἐραστὴς δυνατὸς ἢ ἅρπαξ τις ἐστὶν ἐν ὑποψίᾳ, ἢ ἔτι μὴν ὑπό τινος θανατηφόρου κινδύνου αὐτὴ ἔσεται νυχθεῖσα, παρακαλούντων ἢ τῶν γονέων αὐτῆς, ἢ ὧν τῇ φροντίδι ἀνάκειται, διὰ τὸ μὴ χωρὶς τοῦ σχήματος τελεωθῆναι, καλύψῃ παρθένον ἢ ἐκάλυψεν ἐντὸς χεῖρας ἐνιαυτῶν εἰκοσιπέντε, μηδὲν τὸν τοιοῦτον βλάψῃ περὶ τούτου τοῦ ἀριθμοῦ τῶν « ἐνιαυτῶν κατασταθεῖσα σύνοδος. »

D

CANON CXXVII.

« De parvis virginibus adhuc velandis. Similiter « placuit ut quisquis episcopus propter necessitatem virginalis pudicitiæ in periculum adductæ, quando vel potens amator vel raptor aliquis suspectus fuerit, vel ipsa etiam propter « mortiferum aliquod periculum compuncta fuerit, adhortantibus vel ejus parentibus, vel iis « qui ejus curam gerunt, ut non sine habitu moriatur, velaverit virginem vel velavit intra « vicesimum quintum ætatis annum ; nihil « eum lædet de eo annorum numero constituta « synodus. »

ΒΑΛΣ. Καθιεροῦσθαι μὲν παρθένους διαλαμβάνει ὁ ἕκτος κανὼν τῆς παρούσης συνόδου, καὶ ὁ μθ', ὥστε ἐν τῇ ἁρμοδίᾳ ἡλικίᾳ καὶ διακονίσσας καθίστασθαι αὐτάς. Μετασχηματίζεσθαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος μανθάνομεν μετὰ τὸν κε' ἐνιαυτόν. Φασὶ γὰρ οἱ Πατέρες, ἵνα, ἐὰν ἐπίσκοπος ἢ ἐκάλυψε, τουτέστι μετεσχημάτισε, παρθένον ἀνατεθεῖσαν Θεῷ, ἢ καλύψει πρὸ τῆς χείρας, ἤγουν πρὸ τῆς ἡλικίας τῶν κε' ἐνιαυτῶν (τυχὸν γὰρ ἐπεβουλεύσατο τῇ σωφροσύνῃ ταύτης ἐραστὴς δυνατὸς, ἢ ὑπωπτεύετο

BALS. Consecrari quidem virgines tractat sextus canon præsentis synodi, et quadragesimus quartus, ut in convenienti ætate ipsæ etiam diaconissæ constituantur : habitum **661** autem sumere post vicesimum quintum annum a præsenti canone discimus. Dicunt enim Patres, ut si episcopus vel velavit, hoc est, induit virginem Deo consecratam, vel velabit, ante ætatem viginti quinque annorum (forte enim ejus pudicitiæ insidiabatur potens aliquis, vel periculum erat ne raperetur ab aliquo,

Digitized by Google

qui vesano ejus amore captus erat, vel mortifero morbo correpta, ne e vita migraret timebatur, et, ne non perfecta remaneret, adhortati sunt parentes, vel qui alioqui ejus curam gerebant, ne ea sancto habitu privaretur : et propter ejusmodi justas causas eam ante justum tempus induit) nulla in re præjudicio afficiatur apud synodum, quæ hujusmodi causas debet observare, tanquam qui forte ante viginti quinque annos completos virginem induerit, et canonum transgressor reputetur. Et in his quidem consistit canon. Tu autem lege canonem 40 syn. in Trullo; et dic secundum illum, eos qui ad Deum accedunt, transformari habitumque mutare, sive sint viri, sive mulieres, scilicet post decennium. Est enim ea synodus præsenti posterior, et sancti etiam Basilii canonibus. Si autem velis præsentem canonem valere, ut non præjudicio afficiantur episcopi qui, propter justam causam, aliquos etiam ante decennium vestiunt; nemo est qui prohibeat. Nota autem quod, etiam ex hoc præsenti canone, non permittitur alicui homines monastico vestitu induere sine episcopali permissione.

A ἁρπαγῆναι παρά τινος ἐρωτομανοῦντος, ἢ ὑπὸ θανατηφόρου νόσου κατασχεθεῖσα ἠλπίζετο καταλῦσαι τὸν βίον· καὶ ἵνα μὴ ἀτελείωτος μείνῃ, παράκλησις γέγονε παρὰ τῶν γονέων αὐτῆς ἢ τῶν ἄλλως τὰ κατ' αὐτὴν οἰκονομούντων μὴ στερηθῆναι ταύτην τοῦ ἁγίου σχήματος· καὶ διὰ τὰς τοιαύτας εὐλόγους αἰτίας καὶ πρὸ τοῦ νενομισμένου καιροῦ μετεσχημάτισε ταύτην), κατὰ μηδὲν προκριματισθῇ παρὰ τῇ ὀφειλούσῃ τηρῆσαι συνόδῳ τὰ τῆς τοιαύτης ὑποθέσεως, ὡς τάχα πρὸ τῆς συμπληρώσεως τῶν κ' ἐνιαυτῶν μετασχηματίσας τὴν κόρην, καὶ παραβάτης τῶν κανόνων λογιζόμενος. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Σὺ δὲ ἀνάγνωσον τὸν μ' κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου· καὶ κατ' ἐκεῖνον λέγε μετασχηματίζεσθαι τοὺς προσερχομένους τῷ Θεῷ, κἂν B ἄνδρες ὦσι, κἂν γυναῖκες, ἤγουν μετὰ τὸν δεκαετῆ χρόνον. Μεταγενέστερος γάρ ἐστι τῆς τε παρούσης συνόδου καὶ τῶν κανόνων τοῦ ἁγίου Βασιλείου. Εἰ δὲ θέλεις κρατεῖν τὸν παρόντα κανόνα, εἰς τὸ μὴ προκριματίζεσθαι τοὺς ἐπισκόπους διὰ εὔλογον αἰτίαν μετασχηματίζοντάς τινας καὶ πρὸ τοῦ δεκαετοῦς χρόνου, ὁ κωλύων οὐδείς. Σημείωσαι δὲ ὅτι καὶ ἀπὸ τοῦ παρόντος κανόνος οὐκ ἐφεῖται τινὶ μετασχηματίζειν ἀνθρώπους χωρὶς προτροπῆς ἐπισκοπικῆς.

ZONAR. Ne a presbyteris consecrentur virgines, sexto hujus synodi canone constitutum est : sacras autem puellas, ubi a patribus discedunt, a quibus custodiebantur, curare episcopum, vel si is abfuerit, presbyterum, ut honestis mulieribus commendentur, quadragesimus quartus canon jubet. Moris enim fuit, templis offerri puellas consecrandas, hoc est, ut Deo dicatæ virginitatem profiterentur, ac postea opportuno tempore in diaconissarum ordinem legerentur. Ergo si virginis hujusmodi Deo dicatæ potens aliquis amore correptus est, vel a scelerato quopiam per vim abductum iri suspicio est, ex quo castitati illius periculum imminet, vel constitutæ in vitæ discrimine religiosum habitum indulgeri cum ipsamet, tum ipsius propinqui rogaverunt, ne ea sine habitu moriatur; eam licet vicesimo quinto anno nondum exacto, ut sceleratorum vim effugiat quippe consecrata, vel ne ex hac vita non initiata migret, velandi, hoc est, sacro ornatu induendi facultas episcopis conceditur; eosque canon, quamvis ætatem a synodo præfinitam non D exspectaverint, ab omni tamen culpa immunes esse decernit.

ZΩΝΑΡ. Ἐν ἕκτῳ κανόνι τῆς συνόδου ταύτης ὥρισται καθιέρωσιν κορῶν ἀπὸ πρεσβυτέρων μὴ γίνεσθαι, καὶ ἐν μδ'· ὥστε τὰς ἱερὰς παρθένους, ὅτε τῶν πατέρων χωρίζονται, ἐξ ὧν ἐφυλάττοντο, τῇ τοῦ ἐπισκόπου, ἢ, αὐτοῦ ἀπόντος, τῇ τοῦ πρεσβυτέρου C προνοίᾳ ταῖς τιμιωτέραις γυναιξὶ παρατίθεσθαι. Ἔθος γὰρ ἦν προσάγεσθαι ταῖς ἐκκλησίαις κόρας, καὶ καθιεροῦσθαι, ἀντὶ τοῦ ἀνατίθεσθαι τῷ Θεῷ, ὑπισχνουμένας παρθενεύειν, ὥστε ἐν τῇ ἁρμοδίῳ ἡλικίᾳ καὶ διακονίσσας χειροτονεῖσθαι αὐτάς. Εἰ οὖν τοιαύτης παρθένου ἀνατεθειμένης Θεῷ ἠράσθη τις δυνατὸς, ἢ ὑποψία ἦν ἁρπαγῆναι αὐτὴν παρά τινος ἀκολάστου, καὶ κίνδυνος ἐπήρτητο τῇ σωφροσύνῃ αὐτῆς, ἢ θανεῖν ἐκινδύνευσε, καὶ ἐδέετο ἐκείνη τε καὶ οἱ προσήκοντες αὐτῇ, μὴ χωρὶς τοῦ σχήματος τελειωθῆναι αὐτὴν, ἄδεια ἐδόθη τοῖς ἐπισκόποις καλύπτειν τὴν παρθένον, ἤγουν τὸ σχῆμα αὐτὴν ἐνδύειν καὶ πρὸ τοῦ κ' ἐνιαυτοῦ, ἵνα ἢ τοὺς ἀκολάστους ἐκφύγῃ, ὡς τελεσθεῖσα, ἢ μὴ τῆς παρούσης ἀτέλεστος ἐξέλθῃ ζωῆς, καὶ μὴ βλάπτεσθαι τοὺς ἐπισκόπους ἐκ τοῦ μὴ τηρηθῆναι τὸν καιρὸν, ὃν περὶ τῶν τοιούτων παρθένων ἡ σύνοδος ὥρισεν.

ARIST. « Quicumque velavit vel velabit virgi-
« nem ante annos 25, hoc est, habitum induit,
« sive induet, propter necessitatem, ut ama-
« torem potentem, vel raptorem, vel morbum
« mortiferum; iis, quibus illa curæ est, adhor-
« tantibus : nihil damni a synodo de isto anno
« accipiet. »

ΑΡΙΣΤ. « Ὅστις ἐκάλυψεν, ἢ καλύψει παρθένον πρὸ
« εἴκοσι πέντε ἐνιαυτῶν, τοῦτ' ἔστι σχῆμα περιέ-
« βαλεν, ἢ περιβάλοι δι' ἀνάγκην, οἷον ἐραστὴν
« δυνατὸν, ἅρπαγα, ἢ θανατηφόρον νόσον· παρα-
« καλούντων, οἷς αὐτῆς μέλει· οὐδὲν ὑπὸ τῆς περὶ
« τούτου τοῦ ἐνιαυτοῦ συνόδου βλαβήσεται. »

Decimus octavus magni Basilii canon de ea, quæ Domino se offert, et matrimonio renuntiat, et vitam in sanctitate actam præfert, disserit, jubetque eam non admitti, nisi sit plusquam sexdecim vel etiam septemdecim annos nata. Pueriles enim voces

Ὁ μὲν ὀκτωκαιδέκατος κανὼν τοῦ μεγάλου Βασιλείου περὶ τῆς προσαγούσης ἑαυτὴν τῷ Κυρίῳ, καὶ ἀποταττομένης τῷ γάμῳ, καὶ τὸν ἐν ἁγιασμῷ προτιμώσης βίον, διαλαμβάνει, καὶ προστάττει μὴ παραδέχεσθαι, εἰ μὴ ὑπὲρ τὰ δεκαεξ, ἢ καὶ δεκαεπτὰ

Digitized by Google

ἔτη γίνηται· τὰς γὰρ παιδικὰς φωνὰς ἐπὶ τῶν τοιούτων βεβαίας οὐκ ἐπιτρέπει λογίζεσθαι· ὁ δὲ παρὼν κανὼν περὶ τῆς ἤδη προσελθούσης, καὶ τῷ γάμῳ ἀποταξαμένης, καὶ τὴν παρθενίαν ἐπαγγελλομένης διαγορεύει, καὶ διατάττεται κατὰ μηδέν τι βλάπτεσθαι τὸν ἐπίσκοπον, εἰ τὴν οὕτω προσαγαγοῦσαν ἑαυτὴν τῷ Θεῷ περιβάλλει τὸ σχῆμα πρὸ τῶν εἰκοσιπέντε ἐνιαυτῶν, καὶ συγκαλύψει αὐτὴν τῷ ἱερατικῷ τούτῳ κόσμῳ, διὰ ἀνάγκην τῆς παρθενικῆς σωφροσύνης· τυχὸν γὰρ δυνατός τις ἔσχεν ἔρωτα εἰς αὐτὴν καὶ συναλλάξαι γαμικὸν ἐβουλεύσατο συνοικέσιον· ἢ ἕτερός τις ἁρπαξ ἠβουλήθη ἁρπάσαι αὐτήν· καὶ διὰ τὸ μὴ προφασίσασθαι αὐτοὺς εἰς ἐκπλήρωσιν τῆς ἰδίας ἐπιθυμίας, τὸ ἔτι ἀσχημάτιστον μένειν, καὶ ἄδηλον εἶναι λέγειν, εἰ ἀνετέθη τῷ Θεῷ, ἔσπευσεν ὁ ἐπίσκοπος συγκαλύψαι αὐτὴν τῷ ἱερατικῷ ἀμφιάσματι, ἵνα μή τις ἔχῃ πρὸς ἀπολογίαν καταφυγεῖν, καὶ ἄρνησιν τοῦ μὴ νύμφην αὐτὴν γενέσθαι Θεοῦ· ἡ πολλάκις καὶ ἐτελεύτα, καὶ συγγενεῖς αὐτῆς παρεκάλεσαν τὸν ἐπίσκοπον, καὶ πρὸ τῶν εἰκοσιπέντε ἐνιαυτῶν τελειωθῆναι, ἵνα μὴ ἀπέλθῃ χωρὶς τοῦ σχήματος.

A ad talia firmas reputari non permittit. Præsens autem canon de ea, quæ jam accedit, et matrimonio renuntiat, et virginitatem profitetur, præcipit, et decernit, episcopum nullo affectum fore incommodo, si eam, quæ se Deo sic offert, habitu induit, ante annos viginti quinque, et ornamento illo sacerdotali eam velaverit, propter virginalis pudicitiæ necessitatem. Forsitan enim potens aliquis amore erga illam flagravit, et matrimonium **662** contrahere animo habuit: vel alius aliquis raptor eam rapere voluit: et ut isti ad concupiscentiæ suæ expletionem non prætenderent, quod adhuc sine habitu manet, dicerentque non patere, an Deo consecratur, episcopus sacerdotali eam velare indumento festinavit, ne quis habeat quo ad apologiam confugiat, et denegationem, eam sponsam Dei non fuisse; vel sæpe et morti occubuit, et cognati illius episcopum hortati sunt, ut etiam ante viginti quinque annos perficeretur, ne sine habitu e vita hac emigraret.

B

ΚΑΝΩΝ ΡΚΗ'.

« Διὰ τὸ μὴ τοὺς ἐπισκόπους ἐπιπολὺ ἐν τῇ συνόδῳ « κατέχεσθαι, ἐξ ἑκάστης ἐπαρχίας τρεῖς ἐπιλέ« ξωνται δικαστάς. Ὁμοίως ἤρεσεν πάσῃ τῇ συν« όδῳ, διὰ τὸ μὴ ἐπιπολὺ τοὺς πρὸς τὴν σύνοδον « συναχθέντας ἐπισκόπους σύμπαντας κατέχεσθαι, « ἐξ ἑκάστης ἐπαρχίας ἀνὰ τρεῖς ἐπιλεγῆναι δι« καστάς. Καὶ ἐπελέγησαν ἐκ τῆς ἐν Καρχηδόνι « ἐκκλησίας Βικέντιος, Φουρτουνατιανὸς καὶ Κλά- C « ρος· ἐκ τῆς Νουμηδικῆς ἐπαρχίας Ἀλύπιος, « Αὐγουστῖνος καὶ Ῥεστιτοῦτος· ἐκ τῆς Βυζακη« νῆς ἐπαρχίας μετὰ τοῦ ἁγίου γέροντος Δονατια« νοῦ τοῦ πρωτεύοντος Κρεσκώνιος, Ἰουκοῦνδος « καὶ Αἰμιλιανός· ἐκ τῆς Μαυριτανίας Σιτιφένσης « Σεβηριανὸς, Ἀσιατικὸς καὶ Δονᾶτος· ἐκ τῆς « Τριπολιτανῆς ἐπαρχίας Πλαύτιος, ὁ κατὰ τὸ ἔθος « εἰς τοποτηρησίαν πεμφθείς· οἵτινες πάντες « μετὰ τοῦ ἁγιωτάτου γέροντος Αὐρηλίου σύμπαντα « σκοπήσουσιν· ἀφ' οὗ ἤτησεν σύμπασα ἡ σύνοδος, « ἵνα πᾶσιν εἴτε πεπραγμένοις τοῖς ἤδη ἐκτε« λεσθεῖσιν, εἴτε ἐπιστολαῖς αὐτὸς ὑπογράψῃ. Καὶ « ὑπέγραψεν Αὐρήλιος, ἐπίσκοπος τῆς ἐν Καρχη« δόνι ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνήνεσα, D « καὶ παραναγνωσθέντι ὑπέγραψα. Ὁμοίως καὶ « οἱ πάντες ἐπίσκοποι ὑπέγραψαν. »

CANON CXXVIII.

« Ut episcopi diu non detineantur in synodo, ex « unaquaque provincia tres judices eligantur. « Similiter placuit universæ synodo, ne episcopi « ad synodum collecti universi detineantur, ex « unaquaque provincia tres eligi judices. Et electi « sunt, ex Carthaginensi Ecclesia, Vincentius, « Fortunatianus et Clarus; ex Numidica provin« cia Alypius, Augustinus et Restitutus; ex By« zacena provincia, cum sancto sene Donatiano « primate. Cresconius, Jucundus et Æmilianus; « ex Mauritania Sitifensi, Severianus, Asiaticus « et Donatus; ex Tripolitana provincia, Plautius, « qui erat ex more in legationem missus: qui « omnes cum sanctissimo sene Aurelio omnia « considerabunt; a quo petivit universa synodus, « ut omnibus, sive actis, quæ jam perfecta erant, « sive epistolis, ipse subscriberet. Et subscripsit « Aurelius, episcopus Carthaginensis Ecclesiæ, « præsenti decreto consensi, et fecto subscripsi. « Similiter et omnes episcopi subscripserunt. »

ΖΩΝΑΡ. Ἐν τῇ συνελεύσει ταύτῃ χρονοτριβησάντων τῶν ἀθροισθέντων ἐπισκόπων, ἔτι δὲ τινῶν λοιπαζομένων ζητημάτων, καὶ ἐξετασθῆναι μελλόντων, ἵνα μὴ καὶ ἔτι κατέχωνται καὶ χρονίσωσιν ἐπὶ πλέον, ἔδοξεν ἐξ ἑκάστης ἐπαρχίας τρεῖς ἐπιλεγῆναι προσμενοῦντας, τοὺς δὲ λοιποὺς ἀπελθεῖν· τοὺς δι' ἐπιλεγέντας μετὰ τοῦ Αὐρηλίου σκοπῆσαι σύμπαντα καὶ οἰκονομῆσαι.

ZONAR. Cum in hoc concilio celebrando multum temporis congregati episcopi consumpsissent, neque tamen adhuc quæstiones omnes explicatæ forent, ne diutius abesse cogerentur, tres ex unaquaque provincia eligi placuit, qui permanentes, facta aliis discedendi potestate, ipsi quæ reliqua erant cum Aurelio cognoscerent ac constituerent.

ΑΡΙΣΤ. « Ἐπὶ πολὺ μὴ δυναμένων περιμένειν τῶν « εἰς τὴν σύνοδον ἐληλυθότων ἐπισκόπων, ἀνὰ « τρεῖς ἐξ ἑκάστης ἐπαρχίας ἐπιλεγῶσι. »

ARIST. « Quandoquidem episcopi, qui ad synodum « venerunt, diutius manere haud possunt, tres « ex unaquaque provincia eligantur. »

Πολλῶν προτεθέντων κανονικῶν ζητημάτων, καὶ

Multis canonicis quæstionibus propositis, et om-

Digitized by Google

nibus non solutis, placuit synodo, omnes episcopos in ea congregatos diutius non detinendos esse, quoniam jam multum temporis præterlapsum fuisset : sed ut tres ex unaquaque provincia eligerent, et illi, una cum Aurelio Ecclesiæ Carthaginensis episcopo, reliqua determinarent.

« Rursus in hac synodo aderat Romanæ Ecclesiæ « legatio. Post consulatum clarissimorum impp. « Honorii XII et Theodosii VIII. August. a. d. « tertio Cal. Junias Carthagine in secreto Restitutæ « Ecclesiæ, cum Aurelius episcopus simul cum « Faustino Piceni Potentinæ Ecclesiæ, Italorum « provinciæ, legato Romanæ Ecclesiæ, Vincentio « Culusitano, Fortunatiano Neapolitano, Mariano « Uzipontiota, Adeodato Simidicita, Pentadio Car- « pitano, Rufiano Muzuensiano, Prætextato Sicili- « bensita, Quodvultdeo Ucrensiano, Candido Ab- « biritano, Gallonio Uticensi, legatis proconsularis « regionis; Alypio Thagavensino, Augustino Hip- « poneregiano, Posidio Calamensino, legatis Numi- « dicæ provinciæ; Maximiano Acyrogensi, Jucun- « do 663 Suphetulentiano, Maximiano ex eodem; « et Hilariano ex Cereoceliis, legatis Byzacenæ « provinciæ; Novato Sitifensi et Leone Optensiano « legatis Mauritanorum provinciæ Sitifensis; Ni- « nello Rusurpensiano, Laurentio Icositano et Nu- « meriano Rusuguniota, legatis Cæsariensis Mauri- « tanorum provinciæ, ex universa synodo electis « judicibus, assistentibus diaconis, præsideret; et « nonnullis peractis, multi episcopi ad reliqua per- « agenda rem extrahi ægre ferrent, et sufferre non « possent, eo quod ad proprias ecclesias festina- « rent : placuit universæ synodo, ut ex omnibus « eligerentur ex unaquaque provincia, qui residere « deberent reliquorum finiendorum gratia; et fa- « ctum est, ut ii adessent, quorum subscriptiones « eos adfuisse testificantur. »

CANON CXXIX.

« Quod qui communione moti sunt, admitti non « debent ad accusationem. Placuit ergo omnibus, « Quoniam superioribus synodorum decretis de « personis clericorum, quæ non debent ad accu- « sationem admitti, definitum est, et non per- « tractatum est, quænam personæ non admit- « tantur, propterea hoc recte statuimus, ut « ad accusationem non admittatur, quisquis « postquam communione motus fuerit, in eadem « est adhuc segregatione, sive sit clericus, sive « laicus, qui velit accusare. »

BALS. Sextus canon universalis secundæ synodi fusius tractat quinam sint admittendi ad accusationem episcopi. Præsens enim canon de solis se-

μήπω πάντων λυθέντων· ἤρεσε τῇ συνόδῳ, μὴ πάντας τοὺς συναθροισθέντας ἐν αὐτῇ ἐπισκόπους; καὶ ἔτι προσκαρτερεῖν, διὰ τὸ ἱκανὸν ἤδη παραρρυῆναι καιρόν· ἀλλὰ ἀνὰ τρεῖς ἀφ' ἑκάστης ἐπαρχίας ἐπιλεγῶσι, καὶ σύναμα τῷ Αὐρηλίῳ τῷ ἐπισκόπῳ τῆς ἐν Καρχηδόνι Ἐκκλησίας τὰ λείποντα περιτῶσαι.

« Πάλιν ἐν ταύτῃ τῇ συνόδῳ παρῆν τῆς Ῥωμαϊκῆς « Ἐκκλησίας ἡ τοποτηρησία. Μετὰ τὴν ὑπατείαν « τῶν ἐνδοξοτάτων βασιλέων Ὀνωρίου τὸ δωδέκατον, « καὶ Θεοδοσίου τὸ ὄγδοον, τῶν Αὐγούστων, τῇ πρὸ « τριῶν καλανδῶν Ἰουνίων ἐν Καρχηδόνι εἰς τὸ σή- « κρητον τῆς Ῥεστιτούτης Ἐκκλησίας, Αὐρηλίου « τοῦ ἐπισκόπου ἅμα Φαυστίνῳ Πικένου τῆς Ποτεν- « τινῆς Ἐκκλησίας τῆς Ἰταλῶν χώρας, τοποτηρητῇ « τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, Βικεντίῳ Κουλουσι- « τανῷ, Φουρτουνατιανῷ Νεαπολίτῃ, Μαυριανῷ Οὐ- « ζιπαντιώτῃ, Ἀδεωδάτῳ Σιμηδικίτῃ, Πενταδίῳ « Καρπιτανῷ, Ῥούφιανῷ Μουζουενσιανῷ, Πραι- « τεξτάτῳ Σικηλιβενσιώτῃ, Κουοδβουλτδέῳ Οὐκρεν- « σιανῷ, Κανδίδῳ Ἀββιριτιανῷ, Γαλλωνίῳ Οὐ- « τικενσιώτῃ, τοῖς τοποτηρηταῖς τῆς ἀνθυπατιανῆς « χώρας· Ἀλυπίῳ Θαγαβενσινῷ, Αὐγουστίνῳ Ἱπ- « πωνηρεγιανῷ, Ποσσειδίῳ Καλαμενσινῷ, τοῖς το- « ποτηρηταῖς τῆς Νουμηδικῆς χώρας Μαξιμιανῷ « Ἀκυρεγενσιώτῃ, Ἰουκούνδῳ Σουφετουλενσιανῷ, « Μαξιμιανῷ ἐκ τοῦ αὐτοῦ, καὶ Ἱλαριανῷ τῷ ἀπὸ « Ὀρρεοκελίων, τοῖς τοποτηρηταῖς τῆς Βυζακινῆς « χώρας, Νοβάτῳ Σιτιφενσιώτῃ, καὶ Λέοντι Ὀπτεν- « σιανῷ, τοῖς τοποτηρηταῖς τῆς Μαυριτανῶν χώρας « τῆς Σιτιφένσης· Νινέλλῳ Ῥουσουρπενσιανῷ « Λαυρεντίῳ Ἰκοσιτανῷ, καὶ Νουμεριανῷ Ῥουσου- « γουνιώτῃ, τοῖς τοποτηρηταῖς τῆς Καισαριανῆς « Μαυριτανῶν χώρας, ἐκ πάσης τῆς συνόδου κριταῖς « ἐπιλεγεῖσι, παρεστώτων τῶν διακόνων, προκαθ- « ίσαντος· καί τινων ἐξανυσθέντων, πολλῶν δὲ « ἐπισκόπων ἐπὶ τοῖς λοιποῖς ἐξανυσθησομένοις παρ- « έλκειν ὀδυρομένων, καὶ ὑποφέρειν μὴ δυναμένων, « διὰ τὸ, πρὸς τὰς ἰδίας ἐπείγεσθαι ἐκκλησίας, ἤρεσε « συμπάσῃ τῇ συνόδῳ, ὥστε ἀπὸ πάντων ἐπιλεγῆναι « ἐκ μιᾶς ἑκάστης ἐπαρχίας τοὺς ὀφείλοντας ἀποκαθ- « ίσαι χάριν τοῦ τὰ λοιπὰ περατῶσαι· καὶ ἐγένετο, « ὥστε παρεῖναι ὑπογραφαὶ τὴν αὐτῶν παρουσίαν « μαρτύρονται.

ΚΑΝΩΝ ΡΚΘ'.

« Ὅτι οἱ ἀπὸ κοινωνίας ὄντες εἰς κατηγορίαν οὐκ « ὀφείλουσι προσδεχθῆναι. Ἤρεσε τοίνυν πᾶσιν· « Ἐπειδὴ τοῖς ἀνωτέροις τῶν συνόδων ψηφίσμασι « περὶ προσώπων κληρικῶν, τῶν μὴ ὀφειλόντων « εἰς κατηγορίαν προσδεχθῆναι, ὡρίσθη, καὶ οὐκ « ἐπεξεργάσθη, ποῖα πρόσωπα μὴ προσδεχθῶσιν, « διὰ τοῦτο ὁρίζομεν τοῦτον ὀρθῶς εἰς κατηγορίαν « μὴ εἰσδέχεσθαι, ὅστις, μετὰ τὸ ἀπὸ κοινωνίας « γενέσθαι, ἐν αὐτῷ ἔτι τῷ ἀφορισμῷ ὑπάρχει, « εἴτε κληρικὸς εἴη, εἴτε λαϊκός, ὁ κατηγορῆσαι « βουλόμενος.

ΒΑΛΣ. Ὁ ἕκτος κανὼν τῆς οἰκουμενικῆς δευτέρας συνόδου πλατύτερον διαλαμβάνει, τίνες εἰσὶ προσδεκτοὶ εἰς κατηγορίαν ἐπισκόπου. Ὁ γὰρ παρὼν

Digitized by Google

κανών. περὶ μόνων φησὶ τῶν ἀφωρισμένων ἐνιστώντων κατηγορίαν κατά τινος. Ἀνάγνωθι οὖν τὸν ῥηθέντα κανόνα.

ΖΩΝΑΡ. Οὐ πᾶσιν ἐνδέδοται κατηγορεῖν ἐπισκόπων ἢ κληρικῶν, ἀλλὰ τοῖς ὀρθοδόξοις καὶ ἀνεπιλήπτοις, καὶ μήτε ἀκοινωνήτοις, μήτε ὑπὸ κατηγορίαν ἐγκληματικὴν οὖσι, κατὰ τὸν ς' κανόνα τῆς δευτέρας οἰκουμενικῆς συνόδου, ὃς πλατύτερον περὶ κατηγοριῶν τοιούτων διαλαμβάνει. Ὁ δέ γε παρὼν κανὼν περὶ μόνων ἀφωρισμένων διορίζεται, ὥστε εἰ μὴ τοῦ ἀφορισμοῦ λυθῶσι, μὴ δύνασθαι ἑτέρων κατηγορεῖν, κἂν κληρικοὶ εἶεν οἱ κατηγοροῦντες, κἂν λαϊκοί. Εἰ δὲ ἀκοινώνητοι κατηγορεῖν οὐ δύνανται, πολλῷ μᾶλλον οἱ τέλεον ἐκβεβλημένοι τῆς Ἐκκλησίας, καὶ οἱ αἱρετικοὶ καὶ οἱ σχισματικοί. Ζητητέον δὲ καὶ τὰ γραφέντα εἰς τὸν εἰρημένον ἕκτον κανόνα τῆς δευτέρας συνόδου.

ΑRIST. « Οὐ μαρτυρεῖ ὁ ἀφωρισμένος. »

Ἀνεπίληπτον δεῖ εἶναι τὸν μαρτυροῦντα· διὰ τοῦτο οὖν οὔτε κληρικὸς οὔτε λαϊκὸς ἀφωρισμένος, κατὰ ἐπισκόπου ἢ κληρικοῦ εἰς κατηγορίαν ἢ εἰς μαρτυρίαν παραδεχθήσεται.

ΚΑΝΩΝ ΡΑ'.

« Ὅτι δοῦλοι καὶ ἀπελεύθεροι καὶ πάντα τὰ ἠτιμωμένα πρόσωπα κατηγορεῖν οὐκ ὀφείλουσιν. « Ὁμοίως ἤρεσεν, ἵνα πάντες οἱ δοῦλοι καὶ οἱ ἴδιοι « ἀπελεύθεροι εἰς κατηγορίαν μὴ προσδεχθῶσιν· « καὶ πάντες οὓς πρὸς κατηγορητέα ἐγκλήματα οἱ « δημόσιοι νόμοι οὐ προσδέχονται· πάντες ἔτι μὴν « οἱ τοῖς τῆς ἀτιμίας σπίλοις ἐῤῥαντισμένοι, τοῦτ' « ἔστιν μῖμοι, καὶ ὅσα τοῖς αἰσχρόπησιν ὑποβέβληνται πρόσωπα· αἱρετικοί ἔτι μὴν εἴτε Ἕλληνες « εἴτε Ἰουδαῖοι· πλὴν ὅμως πᾶσιν, οἷς ἡ τοιαύτη « κατηγορία ἀρνεῖται, ἐν ταῖς ἰδίαις αἰτίαις « τὴν τοῦ κατηγορεῖν ἄδειαν μὴ ὀφείλειν ἀρνεῖσθαι.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν ἀπὸ τῶν ἐν τῷ ς' κανόνι τῆς δευτέρας συνόδου γεγραμμένων σαφηνίζεται. Διαλαμβάνει γὰρ μὴ δύνασθαι δούλους καὶ ἀτίμους καὶ αἱρετικοὺς, καὶ πάντας ἁπλῶς οὓς καὶ οἱ νόμοι κωλύουσιν, ἐγκληματικὰ δικαστήρια ἐνιστᾶν, καὶ κατηγορεῖν ἱερωμένων· Πλὴν, φησὶν, οὗτοι πάντες, οἰκεῖον διαφέρον ἔχοντες, οὐ κωλυθήσονται κινεῖν ἐγκληματικὰ δικαστήρια κατ' ἐπισκόπων καὶ κληρικῶν. Ὥστε τὰ μὴ αὐτοῖς διαφέροντα ἐγκλήματα, ἤγουν τὰ δημόσια, παρά παντὸς δὲ κινεῖσθαι δυνάμενα, οἱ τοιοῦτοι γυμνάζειν κεκώλυνται· καὶ σημείωσαι τοῦτο. Ἐπεὶ δὲ καὶ ἀπελευθέρων μέμνηται ὁ κανὼν, γίνωσκε ὅτι οἱ ἀπελεύθεροι κατ' ἄλλων μὲν ἐγκληματικὸν δικαστήριον ἐνιστᾶν δύνανται· κατὰ δὲ τῶν ἐλευθερωσάντων αὐτοὺς, τῶν καὶ λεγομένων πατρώνων, ἐνιστᾶν οὐ δύνανται. Καὶ ἀνάγνωθι τὰ ἡ', θ', ι', ια' κεφαλ. τοῦ λδ' τίτλ. τοῦ ξ' βιβλ. καὶ μά ῃς τίνες εἰσὶν οἱ κωλυόμενοι κινεῖν ἐγκληματικὸν δικαστήριον· καὶ πῶς οἱ ἀπελεύθεροι περὶ τοιούτων κατὰ τῶν οἰκείων πατρώνων οὐκ ἐνάγουσι. Φασὶ γὰρ, Χωρὶ τῶν κεκωλυμένων οἱ ἄλλοι δύνανται κινεῖν τὰ δημόσια. Κωλύονται δέ τινες διὰ φύσιν ἢ ἡλικίαν,

A gregatis, accusationem adversus aliquem instituentibus, loquitur. Lege ergo dictum canonem.

ZONAR. Episcopos aut clericos accusare, non quibusvis concessum est, sed tantum orthodoxis, qui ab omni prava suspicione alieni, et neque communione moti, neque judicii laqueis obstricti sunt: ut ex sexto canone secundæ œcumenicæ synodi, in quo de accusationibus hujusmodi disseritur, facile licet animadvertere. Hoc vero canone de iis tantummodo qui sunt segregati statuitur, ut nisi prius a segregatione absoluti fuerint, alios accusandi, sive clerici illi, sive laici sint, facultate careant. Quod si segregatis accusationem suscipere haud licet, multo minus ii, qui ab Ecclesia penitus ejecti sunt, hæreticique ac schismatici, poterunt. Vide quæ in allatum secundæ synodi canonem hac de re antea scripsimus.

ARIST. « Excommunicatus non dat testimonium. »

Testem inculpatum esse oportet. Idcirco nec clericus nec laicus excommunicatus in accusationem aut testimonium contra episcopum clericumve admittetur.

CANON CXXX.

« Quod servi, et liberti, et omnes infames personæ « accusare non debent. Similiter placuit ut om- « nes servi et liberti proprii ad accusationem non « admittantur; et omnes quos ad accusanda cri- « mina leges civiles non admittunt; et omnes præ- « terea infamiæ labe aspersi, hoc est, mimi, et « quæcumque personæ turpitudini sunt obnoxiæ, « præterea hæretici, sive Judæi sive Græci: sed « tamen omnibus 664 quibus hæc negatur « accusatio, in propriis causis accusandi facultas « non negetur. »

BALS. Hic quoque canon ab iis, quæ in canone 6 secundæ synodi scripta sunt, declaratur. Tractat enim non posse servos, et infames, et hæreticos, et omnes omnino quos leges prohibent, criminalia judicia instituere, et sacratos accusare: sed hi omnes, inquit, si habeant quod privatim eorum intersit, non prohibebuntur criminale judicium movere adversus episcopos et clericos. Quamobrem crimina quæ ad ipsos non pertinent, seu publica, a quolibet autem moveri possunt, ii intentare prohibentur: et nota hoc. Quia autem etiam libertorum meminit canon, scias quod liberti de his adversus alios quidem criminalia judicia possunt intendere: adversus eos autem, qui illos manumiserunt, patronos, scilicet, non possunt. Et lege cap. 8, 9, 10, 11 tit. 34 libri 60, et intelliges quinam ii sunt qui criminalia judicia movere prohibentur: et quomodo liberti de his adversus proprios patronos non agunt. Dicunt enim, Præter prohibitos alii possunt publica movere. Prohibentur autem aliqui propter naturam vel ætatem, ut mulier et impubes, et alii, ut qui in armis militant; aut, ut magistratus; alii, ut infames,

Digitized by Google

vel turpis lucri captatores, et qui accipiunt, ut vel accusent, vel non accusent, et qui duas accusationes adversus alios inscripserunt, alii propter suam conditionem, ut liberti patronorum; alii propter calumniæ suspicionem, ut qui falsum testimonium dixerunt; alii propter paupertatem, ut quorum facultates quinquaginta aureos non valebant. Hi autem omnes proprias injurias et cognatorum cædem persequi non vetantur. Filii autem et liberti a patre vel liberto possessione vi ejecti non possunt de vi judicium movere, sed agunt de recuperanda possessione. Nam et filius adversus matrem de supposito partu agit, eo quod non habet cohæredem, non vero eam falsi accusat. Mimos autem illos dicit, qui personas induunt, servorum forte, vel mulierum: non autem omnes thymelicos. Illi enim, qui tractant instrumenta musica, bonæ sunt existimationis. Turpitudini autem sunt obnoxii, secundum canonem, lenones qui meretricibus præsunt, et alii ejusmodi. Infames vero sunt cum aliis et bestiarii qui mercedem accipiunt, ut pugnent cum belluis, et pro lucro vitam suam projiciunt; non autem illi, qui virtutis ostentandæ gratia concertant cum bestiis. Non enim actio, sed animi propositum hic punitur: quia et ipsi reges pugnant cum bestiis.

ZONAR. Nec accusare servi, nec testimonium dicere, nec alia quædam exercere legibus permittuntur: liberti vero, alios quidem in judicium rei quoque capitalis vocare possunt; non tamen eos, a quibus manumissi, aut eorum liberos, nec ad quos hæreditate patronatus jura pervenere. Est vero patronatus Latina dictio, a Græcis quoque usurpata, quæ jus quoddam auctoritatis in alium ac tutelæ indicat. Neque igitur servus ad episcopi aut clerici accusationem canon admittit, nec accusatorum libertos, nec aliquos alios, qui legum civilium constitutionibus ab accusatione criminali arcentur, neque infames, quales sunt mimi, quique cum bestiis pugnant vel qui gladiatoriam exercent. Per mimos vero scenicos omnes intellexit, quorum ex numero, qui quidem spectante imperatore artis suæ specimen edunt, honesti a legibus existimantur: qui vero in foro coram imperita multitudine ludos exhibent, infames ducuntur. Similiter et ii qui cum bestiis pugnant, qui etiam venatores dicuntur, ut et gladiatores; si quidem fortitudinis ostentandæ gloriæque comparandæ studio bestiarios agunt aut gladiatores, nulla hinc eos honoris jactura consequitur: sin mercede conducti, ignominia notantur. Nam quicunque vitæ suæ haud parcens, eam pretio venalem habet, mortemque causa lucri contemnit; qui fieri potest, **665** ut existimationi suæ honorique parcat? Sed neque hæreticis aut infidelibus accusare datum est. Qui tamen omnes, si aliquid habeant privatæ controversiæ, ac de ea sibi judicium dari velint, etiam adversus episcopos et clericos audientur edicit. Tu quæ in eum scripta sunt vide.

A ὡς γυνὴ καὶ ἄνηβος, καὶ ἄλλοι, ὡς ἐνόπλως στρατευόμενοι, ἄλλοι ὡς ἄρχοντες, ἄλλοι ὡς ἄτιμοι ἢ αἰσχροκερδεῖς, καὶ λαμβάνοντες ἐπὶ τῷ κατηγορῆσαι ἢ μὴ κατηγορῆσαι, καὶ οἱ δύο κατηγορίας καθ' ἑτέρων ἐγγραψάμενοι· ἄλλοι διὰ τὴν αἵρεσιν αὐτῶν, ὡς ἀπελεύθεροι τῶν πατρώνων· ἄλλοι δι' ὑποψίαν συκοφαντίας, ὡς οἱ ψευδομαρτυρήσαντες· ἄλλοι διὰ πενίαν, ὡς μὴ ἔχοντες πεντήκοντα νομισμάτων οὐσίαν. Οὗτοι δὲ πάντες ἐγκλήματα ἴδια καὶ φόνον συγγενῶν ἐκδικεῖν δύνανται. Παῖδες δὲ καὶ ἀπελεύθεροι βιαίως νομῇ ἐκβληθέντες παρὰ τοῦ πατρὸς ἢ τοῦ πάτρωνος, τὸ μὲν ἔγκλημα τῆς βίας οὐ δύνανται κινεῖν· εἰς δὲ τὸ ἀναλαβεῖν τὴν νομὴν κινοῦσι. Καὶ ὁ υἱὸς γὰρ κατὰ μητρὸς περὶ ὑποβολίμαιου κινεῖ, διὰ τὸ μὴ σχεῖν αὐτὸν συγκληρονόμον, οὐ μὴν τὸ περὶ B πλαστογραφίας. Μίμους μέντοι ἐκείνους λέγε, τοὺς προσωπεῖα ὑποδυομένους, δούλων τυχὸν ἢ καὶ γυναικῶν, καὶ μὴ πάντας τοὺς τῆς θυμέλης. Ἐκεῖνοι γὰρ οἱ τὰ μουσικὰ ὄργανα μεταχειριζόμενοι ἔντιμοί εἰσιν. Αἰσχρότησι δὲ ὑποδέδληνται κατὰ τὸν κανόνα οἱ προαγωγοί, οἱ πορνευουσῶν προϊστάμενοι, καὶ ἕτεροι τοιοῦτοι. Καὶ ἄτιμοι δέ εἰσι σὺν ἄλλοις καὶ οἱ θηριομάχοι, οἱ μισθὸν λαμβάνοντες χάριν τοῦ πολεμῆσαι θηρίον, καὶ διὰ κέρδος τὴν οἰκείαν προδιδόντες ζωὴν, οὐ μὴν οἱ διὰ ἐπίδειξιν ἀνδρείας θηριομαχοῦντες. Οὐ γὰρ ἡ πρᾶξις, ἀλλὰ ἡ προαίρεσις ἐνταῦθα κολάζεται· ὅτι καὶ βασιλεῖς θηριομαχοῦσιν.

ΖΩΝΑΡ. Οἱ δοῦλοι τοῖς νόμοις ἀπρόσδεκτοί εἰσιν εἰς τὸ ἀνάγειν ἢ μαρτυρεῖν καὶ εἰς ἕτερα· οἱ δὲ ἀπε- C λεύθεροι κατὰ μὲν ἄλλων δύνανται ἐνάγειν καὶ ἐγκληματικῶς, κατὰ δὲ τῶν ἐλευθερωτῶν αὐτῶν, ἢ τῶν παίδων αὐτῶν, ἢ τῶν κληρονόμων τῶν ἐχόντων κατ' αὐτῶν πατρωνικὰ δίκαια οὐ δύνανται. Ἡ πατρωνία δὲ Ῥωμαϊκὴ οὖσα λέξις καὶ ἑξελληνιζομένη προστασία νοεῖται. Οὔτε οὖν δούλους δέχεται κατηγορεῖν ἐπισκόπων καὶ κληρικῶν ὁ κανών, οὔτε ἀπελευθέρους ἰδίους τῶν κατηγορουμένων, οὔτε τινὰς ἄλλους, οὓς οἱ πολιτικοὶ νόμοι κατηγορεῖν κωλύουσιν ἐπ' ἐγκλήμασιν, οὔτε ἀτίμους, οἷον μίμους καὶ θηριομάχους ἢ μονομάχους. Διὰ δὲ τῶν μίμων τοὺς σκηνικοὺς πάντας ἐδήλωσεν, ὧν οἱ μὲν, εἰωθότες ἐνώπιον τοῦ βασιλέως τὰ ἑαυτῶν ἐνδείκνυσθαι ἐπιτηδεύματα, ἔντιμοι τοῖς νόμοις λογίζονται· οἱ δὲ ἐν πανηγύρεσι καὶ δημοτικαῖς συνελεύσεσι παίζοντες, ἄτιμοι κρίνον- D ται· ὁμοίως καὶ οἱ θηριομάχοι, οἵ καὶ κυνηγοὶ ὀνομάζονται, καὶ μονομαχοῦντες, εἰ μὲν δι' ἐπίδειξιν ἀνδρείας καὶ δόξης ἕρωτα θηριομαχοῦσιν ἢ μονομαχοῦσιν, ἐπίτιμοί εἰσιν· εἰ δὲ διὰ μισθὸν, ἄτιμοι. Ὁ γὰρ τῆς οἰκείας ζωῆς μὴ φειδόμενος, ἀλλὰ μισθοῦ προδιδοὺς αὐτὴν, καὶ θανάτου διὰ κέρδος καταφρονῶν, πῶς ἂν τῆς οἰκείας φείσεται ὑπολήψεως; ἀλλ' οὐδὲ αἱρετικοῖς ἢ ἀπίστοις δίδωσι κατηγορεῖν. Εἰ δὲ ἰδίας οἱ τοιοῦτοι αἰτίας ἔχουσι, καὶ περὶ τούτων ἐνάγουσι, προσδεχθήσονται, κἂν κατ' ἐπισκόπων ἢ κληρικῶν ἐνάγωσι. Τὰ αὐτὰ δὲ διορίζεται καὶ ὁ ἕκτος κανὼν τῆς δευτέρας συνόδου. Ἀναγνωστέον καὶ τὰ ἐν ἐκείνῳ γεγραμμένα.

Eadem sextus quoque secundæ synodi canon

Digitized by Google

'ΑΡΙΣΤ. « Καὶ ὁ δοῦλος, καὶ ὁ ἀπελεύθερος, καὶ ὁ « προκατηγορηθεὶς ἐπί τι τῶν οὐ προσδεχομένων « τῷ δημοσίῳ, καὶ ὁ μῖμος, καὶ ὁ Ἕλλην, καὶ ὁ « αἱρετικὸς, καὶ ὁ Ἰουδαῖος. »

Οὐ δεῖ ἀνεξετάστως τὰς κατὰ ἐπισκόπων ἢ κληρικῶν κατηγορίας ἢ μαρτυρίας προσδέχεσθαι· ἀλλὰ ἀνακρίνειν τοὺς κατηγοροῦντας ἢ μαρτυροῦντας, ὁποῖοί εἰσι κατὰ τὸν ἕκτον κανόνα τῆς ἐν Κωνσταντινουπόλει συνόδου· καὶ εἰ μὲν τὸν βίον ἔχουσιν ἄμεμπτον, καὶ τὴν θρησκείαν ὀρθόδοξον, προσίεσθαι αὐτούς· εἰ δὲ ἢ δοῦλοί εἰσιν (οὗτοι γὰρ καὶ ἀπὸ τῶν πολιτικῶν νόμων οὐδὲ καθ' οἱουδήτινος ἐγκληματικῶς ἢ χρηματικῶς, ἐνάγειν ἢ μαρτυρεῖν δύνανται), ἢ ἀπελεύθεροι ἴδιοι τοῦ κατηγορουμένου (κωλύονται γὰρ καὶ οὗτοι ἀπὸ νόμων κατὰ τῶν ἐλευθερωσάντων αὐτοὺς ἐπ' ἐγκλήμασι μαρτυρεῖν, διὰ τὸ ἀπαιτεῖσθαι τιμίους καὶ ἁγίους τοὺς πάτρωνας αὐτῶν, ἤτοι τοὺς ἐλευθερωτὰς, λογίζεσθαι), ἢ προκατηγορηθέντες καὶ μὴ προφανέντες ἀνεύθυνοι, ἢ ἐν δημοσίῳ κατακριθέντες δικαστηρίῳ, καὶ μήπω ἀπὸ βασιλικῆς εὐεργεσίας εἰς τὴν οἰκείαν ἐπιτιμίαν ἀποκαταστάντες, ἢ τὸν βίον ἐφύβριστον ἔχοντες, ὡς μῖμοι, καὶ σκηνικοί· ἢ τῆς ἡμετέρας θρησκείας ὄντες ἀλλότριοι, ὡς Ἰουδαῖοι, αἱρετικοί τε καὶ Ἕλληνες· οὐ παραδεχθήσονται εἰς κατηγορίαν ἢ εἰς μαρτυρίαν ἐπισκόπων ἢ κληρικῶν· διὰ τὸ μηδέν τι αὐτοὺς ἕτερον σπεύδειν ἢ μῶμον καὶ σπίλον ταῖς ὑπολήψεσι προσάπτειν τῶν ἱερέων, καὶ ταραχὰς ἐπάγειν τῇ Ἐκκλησίᾳ.

ARIST. « Et servus, et libertus, et qui ante accusa- « tur aliquo eorum criminum ob quæ ad publicum « judicium non admittitur, et mimus, et Græcus, « et hæreticus, et Judæus. »

Non oportet accusationes et testimonia contra episcopos vel clericos sine examinatione accipere : sed accusatores sive testes examinare, quales sint, juxta sextum synodi Constantinopolitanæ canonem. Et si quidem vita sint inculpati, et religione orthodoxi, eos admittere : sin autem vel servi sint (hi enim a legibus politicis contra neminem omnino in causa, vel criminali vel pecuniaria, accusationem ferre aut testimonium dare possunt), vel manumissi proprii accusati (a legibus enim et isti prohibentur contra eos qui ipsos manumiserunt, in criminibus testimonium dare, quia requiritur, ut patronos suos et liberatores honorandos sanctosque existiment), vel antea accusati et innocentes non visi, vel in publico condemnati judicio, et nondum ab imperatoria beneficentia ad integrum suum statum restituti, vel vitam contumeliosam agentes, ut mimi et scenici, aut a nostra religione alieni, ut Judæi, hæretici, et Græci : ad episcoporum aut clericorum accusationem sive testimonium non admittentur, propterea quod isti nihil aliud in animo habent et conatu, quam infamiam et maculam sacerdotum opinionibus affigere, et Ecclesiæ perturbationes afferre

ΚΑΝΩΝ ΡΛΑ'.

« Ἵνα ὁ περὶ ἑνὸς ἐγκλήματος ἀποδεῖξαι μὴ δυνάμε- « νος πρὸς ἕτερον μὴ εἰσδεχθῇ. Ὡμοίως ἤρεσεν, « ἵνα ὁσακισδήποτε κληρικοῖς ἀπὸ κατηγόρων « πολλὰ ἐγκλήματα ὑποβάλλωνται, καὶ ἓν ἐξ αὐ- « τῶν, περὶ οὗ πρῶτον ἐπράχθη, ἀποδειχθῆναι « οὐκ ἠδυνήθη, πρὸς τὰ λοιπὰ μετὰ ταῦτα μὴ « προσδεχθῶσιν. »

CANON CXXXI.

« Ut qui unum crimen probare non potest, ad alte- « rum non admittatur. Similiter placuit ut quo- « ticscunque clericis ab accusatoribus multa cri- « mina objecta fuerint, et unum ex iis, de quo pri- « mum actum est, probari non potuerit, ad reli- « qua non admittantur. »

ΒΑΛΣ. Ἐνεστήσατό τι; διάφορα ἐγκλήματα κατά τινος ἱερωμένου, καὶ ἐγύμνασεν ἐκ τῶν πολλῶν ἕν· μὴ δυνηθεὶς δὲ τοῦτο ἀποδεῖξαι, ἠβούλετο γυμνάσαι τὰ λοιπά· φησὶν οὖν ὁ κανὼν ὅτι ὁ τοιοῦτος ἀπαράδεκτός ἐστι, ζητῶν κατεξετασθῆναί τι ἕτερον ἀφ' ὧν προέθετο· καὶ εἰκότως τοῦτο παρὰ τῶν Πατέρων ὡρίσθη. Ὁ γὰρ μὴ ἀποδείξας ὃ προέθετο πρῶτον ἔγκλημα, κἀντεῦθεν καταδικασθείς, ἢ ἔφθασε δοῦναι ἐγγραφάς· καὶ ὑφίσταται τὰ τῆς ταυτοπαθείας, ἤγουν ἀτιμοῦται, καὶ τὰ λοιπὰ πάσχει ὅσα καὶ ὁ κατηγορηθεὶς ἔμελλε παθεῖν· εἰ δ' ἂν κατεδικάσθη, καὶ διὰ τοῦτο γυμνάζειν ἐγκληματικὸν δικαστήριον οὐ δύναται ἤδη ἀτιμωθείς· ἢ οὐκ ἔφθασε δοῦναι ἐγγραφάς, καὶ πάλιν ἀτιμοῦται ὡς συκοφάντης. Πλὴν τοῦτό τε καὶ ὁ παρὼν κανὼν χώραν ἔχει, ὡς οἶμαι, ὅταν ὁ δικάζων ἀποφήνηται κατὰ συκοφαντίαν προτεθῆναι περὶ τοῦ καταδικασθέντος τὸ πρώτως ληφθὲν ἔγκλημα. Εἰ γὰρ διαγνωσθῇ ὅτι οὐκ ἀπεδείχθη, ἐπεὶ οὐκ ἀτιμοῦται ὁ καταδικασθείς, καλῶς ἵνα γυμνάσῃ καὶ ἕτερον ἔγκλημα ἀφ' ὧν προέθετο. Καὶ ἀνάγνωθι κεφάλ. ι' τοῦ α' τίτλου τοῦ ξ' βιβλίου, λέγον, Κατὰ τρεῖς τρόπους ἡ συκοφαντία γίνεται, καὶ τριπλῶς ἡ ἐπεξέλευσις. Ἡ

BALS. Adversus sacratum quemdam diversa quis crimina intendit, et ex multis unum tractandum suscepit : cum hoc autem probare non potuerit, reliqua quoque aggredi voluit. Dicit ergo canon eum non esse admittendum, dum vult de alio e propositis quæri, et hoc merito a Patribus definitum est. Qui enim primum propositum crimen non probavit, et ex eo ipso est condemnatus, vel dedit prius inscriptionem, et lege talionis punitus, scilicet fit infamis, et reliqua patitur, quæ etiam ille, qui accusatus est, erat passurus : sin autem est condemnatus, criminale propterea judicium movere non potest, ut qui sit infamis; vel prius inscriptionem non dedit, et rursus fit infamis, ut calumniator. Sed hic præsens quidem canon tunc locum habet, ut existimo, quando judex pronuntiarit crimen, de quo prius actum est, fuisse condemnato sycophantice objectum. Si enim prolatum fuerit, non esse probatum, quia condemnatus non fit infamis; recte alterum quoque crimen eorum, quæ objecit, persequetur. Lege caput decimum primi tituli sexagesimi libri, quod dicit : Tribus modis fit calumnia, et tripliciter vindicta sumitur. Vel enim calumniatur quispiam, ut facte

Digitized by Google

accusans; vel fit suæ causæ proditor, vera crimina occultans; vel judicium perfecte deseruit, ab accusatione desistens. Non est autem omnino calumniator, qui non probat quod intendit: sed est in potestate judicis, postquam reum 686 absolverit, de eo quærere. Et si dixerit quidem, Non probasti, ei peperci: si vero dixerit, Calumniatus es, eum condemnavit, etiamsi de pœna nihil dixerit. Sequitur enim; causæ enim inquisitio, non legis exsecutio, judici permissa est. Sin autem dixerit, Temere vel leviter fecisti, hoc est, non probasti, non facit ipsum calumniatorem, nec is pœnam subit.

BALS. Præsentes canones tractant de iis qui propriam fidem in persecutionibus negaverunt, et pœnitentiam egerunt. Et jubet quidem primus canon, eis qui post multa tormenta sacrificarunt, ut qui propter imbecillitatem perseverare non potuerint, et in pœnitentia tres annos transegerint, alios quoque quadraginta dies injungi, et sic admitti. Nota præsentes canones, qui varia quædam et utilia de-

ΒΑΛΣ. Οἱ παρόντες κανόνες περὶ τῶν ἐν διωγμοῖς ἀρνησαμένων τὴν οἰκείαν πίστιν, καὶ μετανοησάντων, διαλαμβάνουσι. Καὶ αὐτίκα ὁ πρῶτος κανὼν διακελεύεται, τοὺς θύσαντας μετὰ βασάνους πολλὰς, ὡς μὴ δυνηθέντας διὰ ἀσθένειαν ἐγκαρτερῆσαι, καὶ διαβιβάσαντας τρία ἔτη ἐν τῇ μετανοίᾳ, προσεπιτιμηθῆναι καὶ ἑτέρας τεσσαράκοντα ἡμέρας, καὶ οὕτω δεχθῆναι. Σημείωσαι τοὺς παρόντας κανόνας διοριζο-

[a] *Matth.* IV, 10.

VARIÆ LECTIONES.

[1] ἀνυπόστους. [1a] προδιδομένοις. [2] ἀντιμάχεσθαι. [2a] αὐτῶν. [2aa] ἐντονώτερον. [2aaa] λεγόμενον.

Digitized by Google

μένους διάφορά τινα καὶ ἀναγκαῖα, χάριν τῶν ἀρνησαμένων ζητούντων μετάνοιαν, καὶ περὶ τῶν αὐτομολησάντων εἰς τὸ μαρτύριον καὶ ἐκπεπτωκότων, καὶ πάλιν ὁμολογησάντων τὴν πίστιν, καὶ περὶ ἄλλων τινῶν τοιούτων. Ζήτει ἀναγκαίως καὶ τοὺς πλείους κανόνας τῆς ἐν Ἀγκύρᾳ συνόδου.

ZΩNAP. Διαιρέσεις ποιεῖται ὁ ἅγιος οὗτος Πατὴρ τῶν ἐν διωγμοῖς ἀρνησαμένων τὴν πίστιν τὴν οἰκείαν, καί φησιν, ὅτι τοῖς ἀχθεῖσι πρὸς τοὺς τυράννους, καὶ εἰς φυλακὴν ἐμβληθεῖσι, βασάνους τε ἀνηκέστους ὑπομεμενηκόσι, καὶ ἀφορήτους (*f.* ἀφορήτους) μάστιγας, καὶ σχεδὸν ἀνιάτους καὶ ἀθεραπεύτους (ἄκος γὰρ ἡ θεραπεία ἐστὶ, καὶ ἀνήκεστον τὸ ἀθεράπευτον), καὶ ἄλλας ἀνάγκας, καὶ μετὰ ταῦτα ὑποκύψασι καὶ θύσασιν, ὡς ὑπὸ τῆς ἀσθενείας τῆς σαρκὸς προδοθεῖσι, μὴ δυνηθείσης μέχρι τέλους ἐγκαρτερῆσαι τοῖς ἀλγεινοῖς, ἀρκεῖ ὁ παρελθὼν χρόνος εἰς ἐπιτίμησιν. Τέταρτον γάρ φησιν ἤδη Πάσχα ἐπικατέληφεν, ἐξότου πεπτώκασι τὴν μεγίστην πτῶσιν. Καὶ εἰ τάχα καὶ ἐξ ἀρχῆς, ὅτε προσῆλθον μεταμελόμενοι, οὐκ ἐδέχθησαν, ὅμως ὅτι οὐ κατὰ προαίρεσιν ἦλθον εἰς τὸ θῦσαι, καὶ ἀντέστησαν ἐπιπολὺ, καὶ στίγματα τοῦ Ἰησοῦ, ἤγουν μώλωπας τῶν τραυμάτων, ὧν ὑπέστησαν ὑπὲρ τοῦ Χριστοῦ, ἔχουσι, καὶ ἤδη τρίτον ἔτος παρῆλθεν πενθούντων αὐτῶν διὰ τὴν πτῶσιν, προσεπιτιμηθῆναι ὥρισεν, ἀντὶ τοῦ, ἐπὶ πλέον ἐπιτιμηθῆναι, ἄλλας τεσσαράκοντα ἡμέρας ἐξότου προσῆλθον ζητοῦντες δεχθῆναι· ἐν αἷς ἐπὶ πλέον γυμνασίαν ἐπιδείξαντες, καὶ εὐτονώτερον νήψαντες, ἤγουν σπουδαιότερον προσχόντες ἑαυτοῖς, γρηγορήσουσιν εἰς προσευχὰς, καταμελετῶντες, ἤγουν συνεχῶς ἐν φροντίδι ποιούμενοι, καὶ λέγοντες, ἃ ὁ Κύριος πρὸς τὸν πειράζοντα εἶπεν· *Ὕπαγε ὀπίσω μου, Σατανᾶ· γέγραπται γάρ· Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις.*

A finiunt in gratiam eorum qui Deum abnegarunt, et pœnitentiam petunt, et de iis qui ad martyrium ultro advolarunt, et lapsi sunt, et rursus fidem sunt confessi, et de aliis quibusdam ejusmodi. Quære etiam non absque fructu plurimos canones synodi Ancyranæ.

ZONAR. Inter eos qui turbulentis temporibus propriam fidem abnegarunt, discrimen sanctus hic Pater statuit, aitque, qui ad tyrannos rei acti sunt, ac in vincula conjecti, tormentaque gravissima flagellaque haud tolerabilia, quæque nulla propemodum cura, aut medicina sanari possent (ἄκος namque *curationem* significat, estque ἀνήκεστον idem quod *immedicabile*), aliasque necessitates sustinuerunt; ac postea succumbentes immolarunt, velut a B carnis imbecillitate proditi, quæ ad finem usque obdurare in doloribus haud potuerit, iis mulctæ nomine decursum jam tempus sufficere. Quartum siquidem, inquit, Pascha jam exactum est, ex quo in gravissimum hunc incidere casum. Ac etiamsi forte initio cum pœnitentia ducti accesserunt, non sunt suscepti, tamen quia non sponte processere ad immolandum diuque repugnarunt, ac stigmata Jesu, vulnerum nempe quæ pro Christo sustinuere cicatrices gerunt: tertiusque jam effluxit annus ex quo lugent lapsum illum, insuper mulctari, hoc est, alios adhuc quadraginta dies ex quo ad communionem admitti postulantes accesserunt, mulctæ nomine injungendos esse decernit. In quibus majorem adhuc ostendentes pœnitentiæ exercitationem, et C intentius, hoc est, attentiore cura jejunantes, attendentes sibimetipsis, vigilent in orationibus, meditantes, hoc est animo perpetuo versantes, vocemque usurpantes quæ Dominus ad tentatorem dixit: *Abi pone me, Satana; scriptum est enim: Dominum Deum tuum adorabis, et illi soli servies.*

ΚΑΝΩΝ Β'.

« Τοῖς δὲ μετὰ τὸ φυλακισθῆναι μόνον [a] καὶ ὑπο-
« μεμενηκέναι τὰς ἐν τῷ δεσμωτηρίῳ, ὡς ἂν ἐν πο-
« λιορκίᾳ, θλίψεις τε καὶ δυσωδίας, ὕστερον δὲ
« χωρὶς πολέμου βασάνων γενομένοις [b] αἰχμαλώτοις,
« κατὰ πολλὴν πτωχείαν δυνάμεως, καὶ κατά τινα
« τυφλότητα τεθραυσμένοις, ἐπαρκέσει ἐνιαυτὸς
« πρὸς τῷ ἑτέρῳ χρόνῳ· ἐπεὶ ὅλως καὶ αὐτοὶ ἐπι-
« δεδώκασιν ἑαυτοὺς ὑπὲρ τοῦ ὀνόματος τοῦ Χρι-
« στοῦ [c] θλιβῆναι· εἰ καὶ ἀπέλαυσαν ἐν τῷ δεσμω-
« τηρίῳ τῆς παρὰ τῶν ἀδελφῶν πολλῆς ἀναπαύ-
« σεως. Ἅπερ πολλαπλασίονα ἀποδώσουσι, ποθοῦν-
« τες λυτρωθῆναι ἀπὸ τῆς πικροτάτης αἰχμαλω-
« σίας τοῦ διαβόλου, μεμνημένοι μάλιστα τοῦ λέγον-
« τος· *Πνεῦμα τοῦ* [d] *Κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν* [e]
« *ἔχρισέ με· εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ*
« *με, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς*
« *ἀνάβλεψιν, ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέ-*
« *σει, κηρύξαι ἐνιαυτὸν Κυρίου δεκτὸν, καὶ ἡμέραν ἀνταποδόσεως.* »

CANON II.

« Iis autem qui postquam in custodiam traditi
« sunt, et in carcere, tanquam in obsidione, af-
« flictiones gravesque fetores passi sunt; postea
« autem sine bello tormentorum captivi facti sunt,
« nimia virium inopia et quadam cæcitate confracti,
« annus ad aliud tempus injunctus sufficiet: nam
« ipsi quoque se omnino pro nomine Christi affli-
« gendos dedere: si etiam a fratribus in carcere
« multam consolationem assecuti sunt. Quæ qui-
« dem multiplicata reddent, liberari cupientes ab
« acerbissima captivitate diaboli, ejus maxime re-
« cordantes qui dicit: *Spiritus Domini super me,*
« *quam ob causam unxit me: ut pauperibus evan-*
« *gelizarem misit me, et annuntiarem captivis libe-*
« *rationem, et cæcis visus recuperationem, et mitte-*
« *rem fractos in remissionem, prædicare annum*
« *Domini acceptabilem, et diem retributionis* [a]. »

[a] *Isa.* LXI, 1, 2; *Luc.* IV, 18, 19.

VARIÆ LECTIONES.

[a] μόνον om. [b] γενομένοις. [c] τοῦ Χριστοῦ om. [d] τοῦ om. [e] εἵνεκεν.

Digitized by Google

Bals. Hic canon statuit ut qui in custodia solum male affecti sunt, et sine tormentis lapsi sunt, post triennium alius quoque anni pœna puniantur. Si forte enim, inquit, consolationem assecuti sunt, utpote aliquibus fidelibus vitæ subsidia suppeditantibus, ii quoque debent veniam obtinere, ut qui gravia pro fide passi sunt.

Zonar. In secundo ordine eos locat qui tantummodo in vincula conjecti, atque in carcere male affecti sunt, tum nullis vexati cruciatibus peccaverunt: quibus præter decursum tempus, triennium videlicet de quo supra dictum est, anni quoque præterea unius mulctam irrogari placet. Quoniam et ipsi, inquit, pro Christi nomine divexati sunt; etiamsi forte solatii quidpiam in carcere a fratribus consecuti sunt. Probabile enim est fideles, quicunque nulla custodia detinebantur, in vincula conjectis vitæ subsidia ministrasse, iisque proinde levationis aliquid attulisse. Quæ quidem multiplicata reddent, pro iis nimirum quibus in custodia oblectati sunt, pœnitentiam agentes vexabunt se ipsos, ac multis modis afflictabunt; si ex eo quod Christum abnegarunt, a diaboli captivitate liberari velint, illius captivi et servi facti. Subjicit mox prophetæ verba, quæ sunt ex Isaia deprompta, quorum meminisse oportere ipsos affirmat.

CANON III.

« Iis autem qui nihil ejusmodi passi sunt, nec « fidei fructum ostenderunt, sed ad vitium ultro « transfugerunt, a metu et timiditate proditi; nunc « autem veniunt ad pœnitentiam, necesse est et « conveniens infrugiferæ ficus parabolam proponere, ut Dominus dicit : *Habebat quis ficum « plantatam in suo vineto : et venit quærens in ea « fructum, et non invenit. Dixit autem vinitori : « Ecce tres annos, ex quo ego venio quærens fructum in hac ficu, et non invenio; excinde eam : « cur terram inaniter occupat? Ille vero respondens « dicit illi : Domine, dimitte illam hoc quoque anno, « donec circa eam fodero, et lætamen injecero; si « quidem fructum fecerit; sin minus, eam in futurum excindes* [a] : qua ante oculos accepta, et ostenso digno fructu pœnitentiæ, in tanto temporis « intervallo magis juvabuntur. »

Bals. Eos qui propter solum metum et timiditatem transfugerunt, ad pœnitentiam autem respexerunt, triennio punit canon secundum parabolam ficus quæ est in Evangeliis. Dominus enim inquit : *Iam tribus annis* **10** *ad hanc venio quærens fructum, et non invenio.* Vinitor autem, *Dimitte illam*, inquit, *et hoc anno.*

Zonar. Quicunque vero, inquit, nihil perpessi acerbum, ob metum solum ac timiditatem transfugerunt, pro eo quod ipsi sponte pravitatem sunt consectati; mox animum ad pœnitentiam adjecere.

[a] *Luc* XIII 6-9.

ΒΑΛΣ. Οὗτος ὁ κανὼν διαλαμβάνει τοὺς μόνον κακοπαθήσαντας ἐν τῇ φυλακῇ καὶ χωρὶς βασάνων παραπεπτωκότας, ἐπιτιμᾶσθαι μετὰ τὸν τριετῆ χρόνον καὶ ἐπὶ ἕτερον ἐνιαυτόν. Εἰ τάχα γάρ, φησὶ, καὶ ἀπέλαυσαν παρακλήσεως, ὡς τινων πιστῶν χορηγούντων αὐτοῖς τὰ πρὸς διοίκησιν, ἀλλὰ καὶ οὗτοι ὀφείλουσι συγγνώμης ἀξιοῦσθαι ὡς ὑπὲρ τῆς πίστεως κακοπαθήσαντες.

ΖΩΝΑΡ. Ἐν δευτέρᾳ τάξει τίθησι τοὺς μόνον φυλακισθέντας, καὶ κακοπαθήσαντας ἐν τῇ φυλακῇ, καὶ χωρὶς βασάνων παραπεπτωκότας· οἷς ἐνιαυτὸν ἔταξαν (*ſ.* ἔταξεν) εἰς ἐπιτίμιον μετὰ τὸν παρελθόντα χρόνον, ἤγουν τὴν τριετίαν ἣν εἴρηκεν ἄνω. Διότι καὶ αὐτοὶ, φησὶν, ὑπὲρ τοῦ ὀνόματος ἐθλίβησαν τοῦ Χριστοῦ, εἰ καὶ τάχα ἀπέλαυσαν ἐν τῷ δεσμωτηρίῳ παρακλήσεως ἐκ τῶν ἀδελφῶν. Ὡς ἔοικε γὰρ, οἱ πιστοὶ, ὅσοι οὐ συνεσχέθησαν, τοῖς κατειργμένοις ἐχορήγουν τὰ εἰς διοίκησιν, καὶ ἀνέπαυον αὐτούς. Ἅπερ πολλαπλασίονα ἀποδώσουσιν, ἀντὶ τοῦ, ἀνθ' ὧν ἀπήλαυσαν ἐν τῇ φυλακῇ μετανοοῦντες θλίψουσιν ἑαυτοὺς καὶ κακώσουσι πολλαπλασίως, εἰ θέλουσι λυτρωθῆναι ἀπὸ τῆς αἰχμαλωσίας τοῦ διαβόλου, αἰχμάλωτοι καὶ δοῦλοι γεγονότες αὐτῷ διὰ τὴν ἄρνησιν τοῦ Χριστοῦ. Εἶτα ἐπάγει τὰ προφητικὰ ῥήματα, ἅπερ ἐκ τοῦ Ἡσαΐου εἰσὶ, λέγων δεῖν μεμνῆσθαι αὐτούς.

ΚΑΝΩΝ Γ'

« Τοῖς δὲ μηδ' ὅλως μηδέν τι τοιοῦτον πεπονθόσι, « μηδὲ ἐνδειξαμένοις καρπὸν πίστεως, ἀλλ' αὐτομολήσασι πρὸς τὴν κακίαν, προδεδομένοις ὑπὸ δειλίας καὶ φόβου, νῦν δὲ εἰς μετάνοιαν ἐρχομένοις, ἀναγκαῖόν ἐστι καὶ ἁρμόζον τὴν τῆς ἀκάρπου συκῆς παραβολὴν παραθέσθαι, ὡς ὁ Κύριος λέγει· *Συκῆν « εἶχέ τις πεφυτευμένην ἐν τῷ ἀμπελῶνι αὐτοῦ· « καὶ ἦλθε ζητῶν καρπὸν ἐν αὐτῇ, καὶ οὐχ εὗρεν. « Εἶπε δὲ πρὸς τὸν ἀμπελουργόν· Ἰδοὺ τρία ἔτη ἀφ' « οὗ ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ, καὶ « οὐχ εὑρίσκω· ἔκκοψον αὐτήν· ἱνατί καὶ τὴν « γῆν καταργεῖ; Ὁ δὲ ἀποκριθεὶς λέγει αὐτῷ· « Κύριε, ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου « σκάψω τὰ περὶ αὐτὴν, καὶ βάλω κόπρια· κἂν « μὲν ποιήσῃ καρπόν· εἰ δὲ μή γε, εἰς τὸ μέλλον « ἐκκόψεις αὐτήν· ἣν πρὸ ὀφθαλμῶν λαβόντες, ἐν« δειξάμενοί τε καρπὸν ἄξιον τῆς μετανοίας, ἐν τῷ « διαστήματι τοῦ τοσούτου χρόνου μᾶλλον ὠφεληθήσονται. »

ΒΑΛΣ. Τοὺς μέντοι διὰ φόβον μόνον καὶ δειλίαν αὐτομολήσαντας, εἶτα εἰς μετάνοιαν ἀπιδόντας, διὰ τριετίας ἐπιτιμᾷ ὁ κανὼν, κατὰ τὴν ἐν Εὐαγγελίοις παραβολὴν τῆς συκῆς. Ὁ γὰρ Κύριος, *Τρία ἔτη*, ἔφησεν, *ἔρχομαι πρὸς αὐτὴν ζητῶν καρπὸν, καὶ οὐχ εὑρίσκω· ὁ δὲ ἀμπελουργὸς, Ἄφες, εἶπεν, αὐτὴν, Κύριε, καὶ τοῦτο τὸ ἔτος.*

ΖΩΝΑΡ. Ὅσοι, δὲ, φησὶ, μή τι ὑποστάντες ἀλγεινὸν, διὰ φόβον μόνον καὶ δειλίαν αὐτομολήσαντες, ἀντὶ τοῦ, αὐτοὶ ἑκόντες προσῆλθον τῇ κακίᾳ, εἶτα εἰς μετάνοιαν ἀπεῖδον, τοῖς τοιούτοις ἡ τῆς συκῆς

Digitized by Google

ἁρμόσει παραβολὴ κατὰ τὸ Εὐαγγέλιον· ἣν λαβόντες πρὸ ὀφθαλμῶν, κόπον ἄξιον μετανοίας ἐπὶ τοσοῦτον χρόνον δόντες ὠφεληθήσονται, ἤγουν ἐπὶ τετραετίαν. Ὁ γὰρ Κύριος, *Τρία ἔτη*, ἔφησεν, *ἔρχομαι πρὸς αὐτὴν, ζητῶν καρπὸν, καὶ οὐχ εὑρίσκω*· ὁ δὲ ἀμπελουργὸς, *Ἄφες αὐτὴν*, εἶπεν, *Κύριε, καὶ τοῦτο τὸ ἔτος.*

A in eos parabola evangelica ficus quadrabit : quam præ oculis habentes, dignum pœnitentiæ laborem æquali tempore exhibentes, juvabuntur, hoc est ad quartum usque annum. Dominus namque, *Tres annos*, inquit, *venio ad ipsam, quærens fructum, nec invenio.* Agricola vero, *Dimitte*, ait, *illam, domine, et hoc anno.*

ΚΑΝΩΝ Δ'.

« Τοῖς γὰρ παντάπασιν ἀπεγνωσμένοις καὶ [a] ἀμετανοήτοις, δέρμα τε Αἰθίοπος ἀμετάβλητον κεκτημένοις, καὶ ποικίλματα παρδάλεως, λεχθήσεται τὸ τῆς « ἑτέρας συκῆς· *Μηκέτι ἐκ σοῦ καρπὸς γένηται « εἰς τὸν αἰῶνα*· διὸ καὶ παραχρῆμα ξηραίνεται. « Ἀποπληροῦται γοῦν ἐπ' αὐτοῖς καὶ τὸ ὑπὸ τοῦ « Ἐκκλησιαστοῦ εἰρημένον· *Διεστραμμένον οὐ δύ-* « *νηται* [b] *ἐπικοσμηθῆναι, καὶ ὑστέρημα οὐ δυνή-* B « *σεται ἀριθμηθῆναι.* Εἰ μὴ γὰρ πρότερον τὸ διεστραμμένον διορθωθῇ, ἀδύνατόν ἐστι αὐτὸ ἐπικοσμηθῆναι· καὶ εἰ μὴ πρότερον τὸ ὑστέρημα ἀναπληρωθῇ, ἀδύνατόν ἐστιν αὐτὸ ἀριθμηθῆναι. Ὅθεν « καὶ ἐπὶ τέλους συμβήσεται αὐτοῖς τὸ λεγόμενον [c] « ὑπὸ τοῦ προφήτου Ἡσαΐου· *Καὶ ὄψονται γὰρ* [d], « φησὶ, *τὰ κῶλα τῶν ἀνθρώπων τῶν παραβεβηκότων ἐν ἐμοί· ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί·* ἐπεὶ καὶ ὡς « προλέλεκται ὑπ' αὐτοῦ· *Οἱ δὲ ἄδικοι, ὡς θάλασσα* « *ἀναβεβρασμένη* [e], *οὕτω κλυδωνισθήσονται, καὶ ἀναπαύσασθαι οὐ μὴ δυνήσονται* [f] (*f.* δυνήσωνται). « *Οὐκ ἔστι χαίρειν τοῖς ἀσεβέσιν, εἶπεν ὁ Θεός.* »

ΒΑΛΣ. Ἃ μὲν προείρηται περὶ τῶν πεπτωκότων, C εἴρηται καὶ περὶ μεταμελομένων· κατὰ δὲ τῶν ἀμετανοήτων τὴν κατάραν τῆς ἑτέρας συκῆς ἐπάγει, πρὸς ἣν ὁ Κύριος ἔφη διὰ τὸ ἄκαρπον· *Μηκέτι ἐκ σοῦ καρπὸς γένηται.*

Bals. Quæ prius quidem dicta sunt de lapsis, de resipiscentibus etiam dicta sunt. Adversus eos autem qui nulla pœnitentia ducuntur, alterius ficus exsecrationem inducit, ad quam Dominus dicit propter infertilitatem : *Fructus amplius ex te non fiat.*

ΖΩΝΑΡ. Ἃ μὲν προείρηται περὶ τῶν παραπεπτωκότων, εἴρηται καὶ [add. περὶ] μεταμελομένων. Κατὰ δὲ τῶν ἀμετανοήτων ἐξ ἀπογνώσεως ἢ πονηρᾶς γνώμης, καὶ τὸ ἐξ ἁμαρτίας μελάνωμα ἀμετάβλητον καὶ ἀνέκπλυτον ἐχόντων, ὡς οἱ Αἰθίοπες τὸ ζοφερὸν τοῦ δέρματος, καὶ ἡ πάρδαλις τὰ ποικίλματα, τὴν κατάραν τῆς ἑτέρας συκῆς ἐπάγει· πρὸς ἣν ὁ Κύριος ἔφη διὰ τὸ ἄκαρπον· *Μηκέτι ἐκ σοῦ καρπὸς γένηται*· καὶ πληροῦσθαί φησιν ἐπ' αὐτοῖς τὰ τοῦ Ἐκκλησιαστοῦ [a], λέγοντος· *Διεστραμμένον οὐ δυνήσεται* D *ἐπικοσμηθῆναι, καὶ ὑστέρημα οὐ δυνήσεται ἀριθμηθῆναι*· εἶτα σαφηνίσας τὰ ῥητὰ ταῦτα, προστίθησι καὶ τὰ τοῦ Ἡσαΐου.

Zonar. Quæ prius quidem de lapsis dicta sunt, dicta sunt etiam de resipiscentibus. Contra illos vero qui ex desperatione vel depravata opinione pœnitentiam non agunt, ac perpetuo inhærentem ac indelebilem peccati nigrorem gestant, ut Æthiopes fuscam pellem, pardusque varietates ; alterius ficus exsecrationem inducit. Ad quam Dominus ob sterilitatem, *Ne fructus*, inquit, *amplius ex te nascatur.* Implendumque ait in ipsis illud Ecclesiastes, dicentis : *Quod perversum est non poterit exornari, et defectus numerari non poterit :* quibus mox explicatis, Isaiæ quoque verba subjungit.

ΚΑΝΩΝ Ε'.

« Τοῖς δὲ καθυποκριναμένοις κατὰ τὸν ἐπιληπτεύσαμενον Δαβὶδ, ἵνα μὴ ἀποθάνῃ, οὐκ ὄντα ἐπίληπτον· καὶ μὴ γυμνῶς ἀπογραψαμένοις τὰ πρὸς « ἄρνησιν, ἀλλὰ διαπαίξασι κατὰ πολλὴν στενοχωρίαν, ὡς ἂν παιδία βουλευτικὰ ἔμφρονα ἐν παιδίοις ἄφροσι, τὰς τῶν ἐχθρῶν ἐπιβουλάς, ἤτοι ὡς διελ-

11 CANON V.

« Iis autem qui simularunt sicut et David [e], qui « se epilepticum fingebat, ne moreretur, quamvis « re vera epilepticus non esset ; et non nude negationem inscripserunt, sed in multis angustiis, tanquam pueri consilio et prudentia præditi inter « pueros insipientes, inimicorum insidias ludificati

[a] *Matth.* XXI, 19. [b] *Eccle.* I, 15. [c] *Isa.* LXVI, 24. [d] *Isa.* LVII, 20, 21. [e] *I Reg.* XXI, 13.

VARIÆ LECTIONES.

[a] καὶ om. [b] δυνηθήσεται. [c] λελεγμένον. [d] deest γάρ. [e] ὡς θάλασσα ἀναβεβρασμένη om. [f] καὶ add. [a] Ἐκκλησιάστικοῦ.

Digitized by Google

« sunt, vel ut qui altaria pervaserint, vel tanquam A « qui chirographum dederint, vel ut qui pro se « ethnicos immiserint; etiam si nonnulli eorum « qui confessi sunt, ut audivi, aliquibus eorum « ignoverunt, quoniam maxima cautione vitarunt, « ne ipsi suis manibus ignem facerent, et dæmonas « impuros suffirent : licet vero ex agentis igno- « rantia eos latuit, semestris tamen pœnitentiæ « pœna illis imponetur. Sic enim ipsi quoque ma- « gis juvabuntur, prophetæ dictum meditantes, et « dicentes : *Puellus genitus est nobis, filius et datus* « *est nobis, cujus principatus est in humero suo, et* « *vocatur nomen ejus, magni consilii Angelus* [a] Qui, « ut scitis, in sexto mense conceptionis, cum alius « infans prædicasset *ante adventum ejus pœniten-* « *tiam in remissionem peccatorum* [b], conceptus est B « et ipse ad prædicandam pœnitentiam. Etenim « utrosque audimus in primis prædicantes non so- « lum de pœnitentia, sed et de regno cœlorum : « quod quidem, ut didicimus, *intra nos est* [c], quod « *prope nos sit verbum* quod credimus *in ore nostro* « et corde nostro, quod Jesus est Christus : *cre-* « *dentes in corde nostro, quod Deus ipsum suscitavit* « *ex mortuis* : ut qui audiant quod *corde quidem* « *creditur ad justitiam, ore autem confessio fit ad* « *salutem* [d]. »

« θόντες [10] βωμοὺς, ἤτοι ὡς χειρογραφήσαντες, ἤτοι « ὡς ἀνθ' ἑαυτῶν βαλόντες ἐθνικοὺς, εἰ καί τισιν « αὐτῶν συνεχώρησάν τινες τῶν ὁμολογησάντων [10*], « ὡς ἤκουσα (ἐπεὶ μάλιστα κατὰ πολλὴν εὐλάβειαν « ἐξέφυγον αὐτόχειρες γενέσθαι τοῦ πυρὸς καὶ τῆς « ἀναθυμιάσεως τῶν ἀκαθάρτων δαιμόνων)· ἐπεὶ τοί- « νυν ἔλαθεν αὐτοὺς ἀνοίᾳ τοῦτο πράξαντας [11], ἔμως « ἐξάμηνος αὐτοῖς ἐπιτεθήσεται τῆς ἐν μετανοίᾳ ἐπι- « στροφῆς. Οὕτω γὰρ μᾶλλον καὶ αὐτοὶ ὠφεληθήσον- « ται, καταμελετῶντες τὸ προφητικὸν ῥητὸν, καὶ « λέγοντες· *Παιδίον ἐγεννήθη ἡμῖν υἱὸς, καὶ* [11*] « *ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ* « *καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς Ἄγ-* « *γελος.* Ὅπερ [11**], ὡς ἴστε, ἐν τῷ ἕκτῳ μηνὶ τῆς « συλλήψεως τοῦ ἑτέρου παιδίου, τοῦ προκηρύξαντος « *πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ μετάνοιαν εἰς* « *ἄφεσιν ἁμαρτιῶν*, συνελήφθη καὶ αὐτὸ [11***] κηρύ- « ξαι μετάνοιαν. Καὶ γὰρ καὶ τῶν ἀμφοτέρων ἀκούο- « μεν ἐν πρώτοις κηρυττόντων [12] οὐ μόνον περὶ με- « τανοίας, ἀλλὰ καὶ περὶ βασιλείας οὐρανῶν, ἥτις, « καθὼς μεμαθήκαμεν, *ἐντὸς ἡμῶν ἐστι*, τῷ ἐγγὺς « *ἡμῶν εἶναι τὸ ῥῆμα* ὃ πιστεύομεν *ἐν τῷ στόματι* « *ἑαυτῶν* καὶ ἐν τῇ καρδίᾳ ἑαυτῶν· περὶ ἧς καὶ « αὐτοὶ ὑπομνησθέντες, μαθήσονται ὁμολογεῖν ἐν τῷ « στόματι ἑαυτῶν [13], ὅτι Ἰησοῦς Χριστός (5)· *πι-* « *στεύοντες ἐν τῇ καρδίᾳ ἑαυτῶν, ὅτι ὁ Θεὸς αὐ-* « *τὸν ἤγειρεν ἐκ νεκρῶν*· ὥστε δὴ [14] ἀκούοντες, ὅτι *καρδίᾳ μὲν πιστεύεται* [15] *εἰς δικαιοσύνην, στόματι* « *δὲ ὁμολογεῖται εἰς σωτηρίαν.* »

[a] *Isa.* IX, 6. [b] *Luc.* I, 76, 77. [c] *Luc.* XVII, 21. [d] *Rom.* X, 8-10.

Bals. Si qui autem simularunt se ad aras quidem accedere, vel scribere quod fidem negant; non C nude autem et aperte hoc fecerunt, sed arte aliqua eos qui vim afferebant, illuserunt; sicut David qui se epilepsia correptum simulavit cum fugeret Saulem, et esset apud alienigenas; et ita mortem evasit : illuserunt autem inimicorum insidias, ut puelli consilio prudentiaque præditi pueros insipientes eludunt : impios enim fefellerunt, quod sacrificare quidem visi sunt, non tamen sacrificarunt : forte enim pro se ethnicos vel infideles submiserunt, et per illos sacrificare ipsos existimarunt : eis, inquit, semestre tempus sufficiet ad pœnitentiam. Etsi enim non sacrificarunt, quia tamen sacrificare polliciti sunt, vel alios submiserunt, pœnitentia indigere sunt existimati; etiamsi nonnullis eorum ignoverunt quidam, qui pro fide testimonium de- D dere. Eos autem pueris quidem confert, ut qui non viriliter idololatris restiterunt; prudentibus vero, ut qui artificio sacrificia declinarunt.

ΒΑΛΣ. Εἰ δέ τινες ὑπεκρίθησαν μὲν προσιέναι τοῖς βωμοῖς, ἤτοι γράψαι, ὅτι ἀρνοῦνται τὴν πίστιν, οὐ γυμνῶς δὲ καὶ φανερῶς τοῦτο ἐποίησαν, ἀλλὰ διά τινος μεθόδου διέπαιξαν τοὺς βιάζοντας αὐτούς, ὡς ὁ Δαβὶδ ὅτε τὸν ἐπίληπτον ὑπεκρίθη, φεύγων τὸν Σαοὺλ, καὶ πρὸς τοὺς ἀλλοφύλους γενόμενος, καὶ οὕτω τὸν θάνατον διαπέφευγε· διέπαιξαν δὲ τὰς τῶν ἐχθρῶν ἐπιβουλὰς, ὡς παιδία βουλευτικὰ ἔμφρονα διαπαίζουσιν ἄφρονας παῖδας· ἠπάτησαν γὰρ τοὺς ἀσεβεῖς, διὰ τὸ δόξαι μὲν θύειν, μὴ θῦσαι δέ· τυχὸν γὰρ ἀνθ' ἑαυτῶν ὑπέβαλον ἐθνικοὺς ἢ ἀπίστους, καὶ δι' ἐκείνων ἐνόμισαν τεθυκέναι· τοῖς τοιούτοις, φησὶν, ἐξάμηνος καιρὸς ἀρκέσῃ εἰς μετάνοιαν. Κἂν γὰρ οὐκ ἔθυσαν, ἀλλ' ὅτι συνέθεντο θῦσαι ἢ ἑτέρους ὑπέβαλον, ἐλογίσθησαν δεῖσθαι μετανοίας, εἰ καί τισιν αὐτῶν συνεχώρησάν τινες τῶν μαρτυρησάντων ὑπὲρ τῆς πίστεως. Ἀπεικάζει δὲ τούτους παισὶ μὲν ὡς μὴ ἀνδρικῶς ἀντικαταστάντας τοῖς εἰδωλολάτραις, ἔμφροσι δὲ ὡς εὐμεθόδως τὴν θυσίαν ἐκκλίναντας.

Zonar. Si qui vero ad aras quidem se accedere simularunt, aut scribere quod fidem negant, verum

ΖΩΝΑΡ. Εἰ δέ τινες ὑπεκρίθησαν μὲν προσιέναι τοῖς βωμοῖς, ἤτοι γράψαι, ὅτι ἀρνοῦνται τὴν πίστιν,

VARIÆ LECTIONES.

[10] διελθόντας... χειρογραφήσαντας... βαλόντας. [10*] ὁμολογητῶν. [11] τοῦ πράξαντος. [11*] ἐγενήθη ἡμῖν, υἱὸς καί. [11**] ὅσπερ. [11***] αὐτός. [12] κηρυσσόντων. [13] περὶ ἧς καὶ αὐτοὶ ὑπομνησθέντες μαθήσονται ὁμολογεῖν ἐν τῷ στόματι ἑαυτῶν om. [14] δέ. [15] πιστεύετε... ὁμολογεῖτε.

(5) Ὅτι Ἰησοῦς Χριστός. Harduinus in sua *Conciliorum* editione ex ms. Regio 2038, ὅτι Κύριος Ἰησοῦς. Sic Rom. x, 9. Idem paulo post, ὥστε δή. Hic autem locus paulo aliter effertur in edit. Paris. Zonaræ et Balsamonis.

Digitized by Google

οὐ γυμνῶς δὲ τὰ πρὸς ἄρνησιν ἔγραψαν, ἀντὶ τοῦ οὐκ ἀπαραλύπτως, οὐ φανερῶς, ἀλλὰ διά τινος μεθόδου διέπαιξαν τοὺς βιάζοντας αὐτούς, ὡς ὁ Δαβὶδ ὅτε τὸν ἐπίληπτον ὑπεκρίθη φεύγων τὸν Σαοὺλ, καὶ πρὸς τοὺς ἀλλοφύλους γενόμενος, καὶ οὕτω τὸν θάνατον διαπέφευγε· διέπαιξαν δὲ, φησὶ, τὰς τῶν ἐχθρῶν ἐπιβουλὰς, ὡς παιδία βουλευτικὰ, ἔμφρονα, φρόνιμα, καὶ συνετῶς δηλαδὴ βουλευόμενα, διαπαίζουσιν ἐν ἄφροσι παιδίοις. Ἔμφροσι δὲ ἀπεικάζει τοὺς ἀπατήσαντας τοὺς ἀσεβεῖς, καὶ δόξαντας μὲν θύειν, μὴ θύσαντας δέ· ἔμφρονας μὲν ὡς τὴν θυσίαν τέως ἐκκλίναντας [15]· παιδείους δὲ, ὡς μὴ τέλειον καὶ ἀνδρῶδες ἐνδειξαμένους φρόνημα, καὶ γενναίως ἀντικαταστάντας τοῖς εἰδωλολάτραις, ἀλλ' ὅμως συνθεμένους θῦσαι, εἰ καί τινες [15**] ἀνθ' ἑαυτῶν ὑπέβαλον ἐθνικοὺς, ἦγουν ἀπίστους, καὶ ἐκείνων θυσάντων ἐνομίσθησαν αὐτοὶ τεθυκέναι. Τοῖς τοιούτοις, φησὶν, ἐξάμηνος καιρὸς ἐξαρκέσει εἰς μετάνοιαν. Κἂν γὰρ οὐκ ἔθυσαν, ἀλλ' ὅτι συνέθεντο θῦσαι, ἢ ὅτι ἑτέρους ὑπέβαλον, καὶ ἔδοξαν αὐτοὶ θῦσαι, ἐλογίσθησαν δεῖσθαι μετανοίας, εἰ καί τισιν αὐτῶν συνεχώρησάν τινες τῶν ὁμολογησάντων. Τινὲς γὰρ τῶν μαρτυρησάντων καὶ παθόντων ὑπὲρ τῆς πίστεως συνεχώρησαν τοῖς διὰ μεθόδων, ὡς εἴρηται, μὴ θύσασι, καὶ ἐδέξαντο αὐτοὺς μετὰ τῶν πιστῶν, ὅτι ἐξέφυγον πολυτρόπως τὸ θυσιάσαι τοῖς δαίμοσι. Διὰ δὲ τὴν ἑξάμηνον προθεσμίαν ἐμνήσθη τοῦ διὰ Γαβριὴλ μηνύματος, τοῦ ἐν τῷ ἕκτῳ μηνὶ τῆς συλλήψεως τοῦ Προδρόμου, ἐν ᾧ συνελήφθη ὁ Κύριος. Ἐπιφέρει δὲ καὶ ῥήματα ἀποστολικά·

A quæ ad abnegationem spectant non nude scripserunt, hoc est non manifeste, non aperte; sed artificio quodam eos qui vim inferebant ludificati sunt: ut David, qui dum Saulem fugeret, ac ad alienigenas devenisset, se epilepticum finxit, eoque pacto mortem evitavit. Ludificati porro sunt, inquit, inimicorum insidias; veluti pueri prudentes, consilio nimirum ac prudentia præditi, quique scilicet solerter consilium capientes, insipientes pueros illudunt. Prudentibus autem comparat eos a quibus decepti sunt impii, quique cum non sacrificaverint, sacrificare nihilominus visi sunt; prudentes quidem, ut qui sacrificium eousque evitaverint: pueros autem, quod perfectum ac virilem sensum minime induerint, nec generose idolorum cultoribus B repugnarint; verum se sacrificaturos sunt pacti, etiam si quosdam pro se submiserint, ethnicos, hoc est, infideles, iisque sacrificantibus, ipsi **12** sacrificasse existimati sunt. Ejusmodi, inquit, hominibus semestre tempus ad pœnitentiam sufficiet. Nam etsi minime immolarunt; tamen quia se immolaturos sunt pacti, vel quod alios submisere, ipsique immolasse sunt visi, pœnitentia indigere judicati sunt: etsi quibusdam ex ipsis nonnulli confessorum ignovere. Eorum nempe quidam qui se fidei testes exhibuerunt ac pro fide sunt passi, iis qui artificio quodam, ut dictum est, non sacrificarunt, ignovere, ac illos cum fidelibus ad communionem admisere, quod ne dæmonibus immolarent studiose vitaverunt. Porro hujus semestris termini occasione, Annuntiationis per Gabrielem factæ meminit, sexto mense conceptionis Præcursoris, quo conceptus est Dominus. Tum apostolica verba subjungit:

ΚΑΝΩΝ Ϛ'. C

« Τοῖς δὲ δούλους Χριστιανοὺς ἀνθ' ἑαυτῶν ὑποβεβληκόσιν, οἱ μὲν δοῦλοι, ὡς ἂν ὑποχείριοι ὄντες, « καὶ τρόπον τινὰ καὶ αὐτοὶ φυλακισθέντες ὑπὸ τῶν δεσποτῶν, καταπειληθέντες τε [15***] ὑπ' αὐτῶν καὶ διὰ τὸν « φόβον αὐτῶν εἰς τοῦτο ἐληλυθότες καὶ ὀλισθήσαντες, « ἐν [15****] ἐνιαυτῷ τὰ τῆς μετανοίας ἔργα δείξουσι, « μανθάνοντες τοῦ λοιποῦ, ὡς δοῦλοι Χριστοῦ ποιεῖν τὸ « θέλημα τοῦ Χριστοῦ [15*****], καὶ φοβεῖσθαι αὐτόν· « ἀκούοντες μάλιστα, ὅτι *ἕκαστος ἐάν* [*l.* ὃ ἄν] *τι « ποιήσῃ ἀγαθὸν, τοῦτο κομίσεται παρὰ Κυρίου, « εἴτε δοῦλος εἴτε ἐλεύθερός ἐστι* [16]. »

CANON VI.

« Ii autem qui servos Christianos pro se submi« serunt, servi quidem, ut qui ipsi sub manu es« sent, et quodammodo ipsi quoque in dominorum « custodia essent, minisque ab ipsis territi, et pro« pter eorum metum eo compulsi et lapsi, anno « opera pœnitentiæ ostendent, et deinceps discen« tes, ut servi Christi, facere Christi voluntatem et « eum timere: audientes maxime, quod *unusquis« que, si quid boni fecerit, hoc feret a Domino, « sive servus sive liber sit* [a]. »

ΒΑΛΣ. Τοὺς κατὰ κέλευσιν καὶ ἀπειλὴν τῶν δεσποτῶν θύσαντας δούλους ἐπὶ ἐνιαυτὸν ἐπιτιμᾷ ὁ Πατὴρ οὗτος· ὡς μὲν γὰρ πεισθεῖσι τοῖς δεσπόταις συγγνωμονεῖ, καὶ βαρεῖαν οὐκ ἐπάγει κόλασιν· ὡς δὲ D δούλοις Χριστοῦ μᾶλλον οὖσι, κἀκεῖνον πλέον φοβεῖσθαι ὀφείλουσι, μετρίως ἐπιτιμᾷ. *Ἕκαστος* γὰρ, φησὶ κατὰ τὸν μέγαν Παῦλον, *ὃ ἐάν ποιήσῃ ἀγαθὸν, κομιεῖται τοῦτο παρὰ Κυρίου, εἴτε δοῦλος εἴτε ἐλεύθερος.*

Bals. Servos qui dominorum jussu ac minis sacrificarunt, anno punit hic Pater: ut qui enim domino paruerint, ignoscit, et grave supplicium non infligit: ut qui autem sint magis Christi servi, et eum debent magis metuere, mediocrem pœnam imponit. *Unusquisque enim*, inquit, secundum magnum Paulum, *quod fecerit bonum a Domino recipiet, sive servus sive liber.*

ΖΩΝΑΡ. Τινὲς δούλους οἰκείους Χριστιανοὺς ἀνθ' ἑαυτῶν καὶ ἀκόντων [*f.* ἄκοντας] ὑπέβαλον θύειν. Τοὺς

Zonar. Nonnulli servos suos Christianos, pro se ipsis, etiam invitos ad immolandum submisere.

[a] *Ephes.* VI, 8.

VARIÆ LECTIONES.

[15*] ἐκκλίνοντας. [15**] ἢ καὶ εἴ τινες. [15***] τε om. [15****] ἐν om. [15*****] Θεοῦ. [16] deest ἐστί.

Digitized by Google

Hosce igitur servos, quamvis dominorum jussione coacti, non autem sua voluntate, sacrificaverint, annum in pœnitentia degere hic Pater jubet : meminisseque se cum sint fideles, esse Christi servos, eumque magis timere oportere : ac *unumquemque*, ut magnus ait Apostolus, *sive servum, sive liberum, quæ fecerit reportaturum.*

CANON VII.

« Liberi autem tribus annis in pœnitentia exa- « minabuntur, tum quod dissimulaverint, tum « quod effecerint ut conservi sacrificarent, ut qui « Apostolo non obedierint, qui vult [a] *dominos eadem facere quæ servi, remittentes minas. Scientes*, « inquit, *quod noster quoque et ipsorum Dominus est « in cælis, et non est apud eum personarum acceptio.* Si unum autem omnes habemus Dominum, « *apud quem non est personarum acceptio* [b]; quoniam *et omnia, et in omnibus est Christus, in Barbaris et Scythis, servis et liberis* [c] : debent considerare quod fecerunt, volentes suam ipsorum « animam servare; qui conservos nostros traxe- « runt ad idololatriam, qui poterant et ipsi effugere, « si jus et æqualitatem ipsis præbuissent ut rursus « dicit Apostolus. »

BALS. Liberis autem seu dominis servorum sacrificare coactorum, triennii pœnam injungit, quod et sacrificare simularunt, et omnino annuere visi sunt, et quod conservos sacrificare coegerunt, et quod Apostolo non paruerunt jubenti *servis minas remittere;* utpote cum ipsi quoque domini Dei servi sint, et famulorum conservi. Atque ipsi quidem festinarunt suam servare animam, conservos autem suos ad idololatriam compulerunt, qui poterant effugere.

13 ZONAR. Liberis autem, hoc est dominis servorum qui sacrificare sunt coacti, triennii pœnam injungit : tum quia sacrificare se simularunt, ac succumbere omnino visi sunt; tum quia conservos coegerunt ut immolarent; nec obtemperarunt Apostolo jubenti *servis minas remittere;* cum ipsi quoque domini sint Dei servi, et famulorum conservi. Ac ipsi quidem festinarunt suam servare animam, conservos autem, qui effugere poterant ad idololatriam compulerunt.

CANON VIII.

« Iis autem qui proditi sunt, et exciderunt, qui et « ipsi ad certamen accesserunt, se esse Christianos « confitentes, et in custodiam cum tormentis conjecti « sunt : æquum est in exsultatione cordis vires si- « mul addere, et eis in omnibus communicare, et in « orationibus, et in participatione corporis et san- « guinis Christi, et sermonis adhortatione : ut

[a] *Ephes.* VI, 9. [b] *Rom.* II, 11. [c] *Coloss.* III, 11.

A δούλους, εἰ καὶ κελεύσει τῶν δεσποτῶν ἔθυσαν, βιασθέντες, ἀλλ' οὐκ ἐξ οἰκείου θελήματος, ἐνιαυτὸν ἐν μετανοίᾳ διάγειν ὁ Πατὴρ οὗτος διορίζεται, καὶ μαθεῖν, ὅτι, πιστοὶ ὄντες, Χριστοῦ δοῦλοί εἰσι, κἀκεῖνον μᾶλλον φοβεῖσθαι ὀφείλουσι· καὶ ὅτι ἕκαστος, κατὰ τὸν μέγαν Ἀπόστολον, ὃ ἐάν ποιήσῃ κομεῖται, εἴτε δοῦλος εἴτε ἐλεύθερος.

ΚΑΝΩΝ Ζ'.

« Οἱ δὲ ἐλεύθεροι ἐν τρισὶν ἔτεσιν ἐξετασθήσονται « ἐν μετανοίᾳ, καὶ ὡς ὑποκρινάμενοι [16*], καὶ ὡς κατα- « ναγκάσαντες τοὺς ὁμοδούλους θῦσαι, ἅτε [16**] δὴ πα- « ρακούσαντες τοῦ Ἀποστόλου *τὰ αὐτὰ θέλοντος « ποιεῖν τοὺς δεσπότας τοῖς δούλοις, ἀνιέντας « τὴν ἀπειλήν*· εἰδότες [17], φησὶν, ὅτι καὶ *ἡμῶν « καὶ αὐτῶν* [17*] *ὁ Κύριός ἐστιν* [18] *ἐν οὐρανοῖς, καὶ « προσωπολημψία παρ' αὐτῷ οὐκ ἔστιν.* Εἰ δὲ ἕνα « Κύριον ἔχομεν [19] οἱ τάντες, *ἀπροσωπόληπτον*, « ἐπεὶ *καὶ πάντα καὶ ἐν πᾶσίν ἐστιν ὁ Χριστὸς*, « *ἔν τε βαρβάροις καὶ Σκύθαις, δούλοις καὶ « ἐλευθέροις*, σκοπεῖν ὀφείλουσιν ὃ κατειργάσαντο « θελήσαντες τὴν ψυχὴν ἑαυτῶν σῶσαι [20], τοὺς δὲ [20*] « συνδούλους ἑαυτῶν [21] ἑλκύσαντες ἐπὶ εἰδωλολατρείαν, « δυναμένους καὶ αὐτοὺς ἐκφυγεῖν, εἰ τὸ δίκαιον καὶ « τὴν ἰσότητα ἦσαν αὐτοῖς παρασχόντες, ὡς πάλιν « ὁ Ἀπόστολος λέγει. »

ΒΑΛΣ. Τοῖς δὲ ἐλευθέροις, ἤτοι τοῖς δεσπόταις τῶν βιασθέντων θῦσαι δούλων, ἐπὶ τριετίαν ἐπιτιμᾷ· ὅτι τε ὑπεκρίθησαν θῦσαι, καὶ ὅλως ἔδοξαν κατανεῦσαι, καὶ ὅτι τοὺς συνδούλους ἠνάγκασαν θῦσαι, καὶ ὅτι παρήκουσαν τοῦ Ἀποστόλου κελεύοντος *ἀνιέναι τοῖς δούλοις τὴν ἀπειλήν*, ὡς καὶ τῶν δεσποτῶν δούλων ὄντων τῷ Κυρίῳ, καὶ τοῖς οἰκέταις σύνδούλων. Καὶ αὐτοὶ μὲν ἔσπευσαν τὴν οἰκείαν σῶσαι ψυχήν, τοὺς δὲ συνδούλους ἐπὶ εἰδωλολατρείαν κατήπειγον, δυναμένους ἐκφυγεῖν.

ΖΩΝΑΡ. Τοῖς δὲ ἐλευθέροις, ἤτοι τοῖς δεσπόταις τῶν βιασθέντων θῦσαι δούλων, ἐπὶ τριετίαν ἐπιτιμᾷ· ὅτι τε ὑπεκρίθησαν θῦσαι, καὶ ὅλως ἔδοξαν ὑποκύψαι, καὶ ὅτι καὶ τοὺς συνδούλους ἠνάγκασαν θῦσαι, καὶ ὅτι παρήκουσαν τοῦ Ἀποστόλου κελεύοντος *ἀνιέναι τοῖς δούλοις τὴν ἀπειλήν*, ὡς καὶ τῶν δεσποτῶν δούλων ὄντων Κυρίῳ, καὶ τοῖς οἰκέταις συνδούλων. Καὶ αὐτοὶ μὲν ἔσπευσαν τὴν οἰκείαν σῶσαι ψυχήν, τοὺς δὲ συνδούλους ἐπὶ εἰδωλολατρείαν κατέπειξαν, δυναμένους ἐκφυγεῖν.

ΚΑΝΩΝ Η'.

« Τοῖς δὲ παραδεδομένοις καὶ [22] ἐκπεπτωκόσι, τοῖς « τε αὐτοῖς [23] προσελθυθόσιν εἰς τὸν ἀγῶνα καὶ ὁμο- « λογοῦσιν εἶναι Χριστιανοῖς, ἐμβεβλημένοις τε ἐν τῇ « φυλακῇ μετὰ βασάνων, εὔλογόν ἐστιν ἐν ἀγαλλιάσει « καρδίας συνεπισχύειν καὶ ποιωνεῖν ἐν πᾶσιν, ἵν τε « ταῖς προσευχαῖς καὶ τῇ μεταλήψει τοῦ σώματος καὶ « τοῦ αἵματος τοῦ Χριστοῦ [24], καὶ τῇ παρακλήσει τοῦ

VARIÆ LECTIONES.

[16*] ὑποκρινόμενοι. [16**] ὅτι. [17] εἰδότας. [17*] ὑμῶν αὐτῶν. [18] deest ἐστιν. [19] ἔχομεν. [20] add. εἰ. [20*] δὲ om. [21] ἡμῶν. [22] καὶ om. [23] ἑαυτοῖς. [24] τοῦ Χριστοῦ om.

Digitized by Google

« λόγου· ἵνα εὐτονώτερον ἀγωνισάμενοι, καταξιωθῶσι A
« καὶ αὐτοὶ *τοῦ βραβείου τῆς ἄνω κλήσεως*. Καὶ
« γὰρ ἑπτάκις, φησὶ, *πεσεῖται ὁ δίκαιος καὶ ἀνα-*
« *στήσεται*· ὅπερ εἰ καὶ πάντες οἱ ἐκπεπτωκότες
« πεποιήκεσαν, τελειοτάτην [add. ἂν] καὶ ὁλοκάρδιον
« μετάνοιαν ἐνεδείξαντο. »

ΒΑΛΣ. Τινὲς προσηγγέλθησαν καὶ παρεδόθησαν τοῖς τυράννοις. ἢ καὶ ἑκουσίως αὐτοῖς ἑαυτοὺς παρέδωκαν, ἡττηθέντες δὲ ὑπὸ τῶν κολάσεων, ἐκπεπτώκασι τῆς μαρτυρίας· εἶτα μεταμεληθέντες καὶ ἐπιγνόντες τὸ ἀγαθὸν, ὡμολόγησαν εἶναι Χριστιανοὶ, ὥστε καὶ εἰς φυλακὰς ἐμβληθῆναι καὶ βασάνους ὑποστῆναι. Τοὺς τοιούτους οὖν εὔλογον κρίνει ὁ ἅγιος μετὰ θυμηδίας δέχεσθαι καὶ ἐπιῤῥωννύειν πρὸς τὴν ὀρθόδοξον πίστιν, καὶ κοινωνεῖν αὐτοῖς ἔν τε προσευχαῖς καὶ τῇ μεταλήψει τῶν ἁγιασμάτων, καὶ διὰ B
λόγου παρακαλεῖν, ἵνα πρὸς τὸν ἀγῶνα εὐτονώτεροι γένωνται, καὶ καταξιωθῶσι τῆς ἐπουρανίου βασιλείας. Ἵνα δὲ μὴ, διότι πεπτώκασι, νομίζωνταί τισιν ἄδεκτοι, ἐπάγει καὶ μαρτυρίαν ἀπὸ τῆς Γραφῆς, τὸ *Ἑπτάκις*, ἀντὶ τοῦ, πολλάκις, *πεσεῖται ὁ δίκαιος, καὶ ἀναστήσεται*. Τοῦτο δὲ, φησὶν, εἰ καὶ πάντες οἱ τῆς ὁμολογίας ἐκπεπτωκότες ἐποίησαν, τὸ ἀναπαλαῖσαι τὴν πτῶσιν, καὶ ἐνώπιον τῶν τυράννων Χριστιανοὺς ὁμολογῆσαι ἑαυτοὺς, ἐνεδείξαντο ἂν τελειοτάτην μετάνοιαν. Διαφορὰ γοῦν ἐστι τῶν ἐν τῷ παρόντι κανόνι διειλημμένων καὶ τῶν ἐν τῷ πρώτῳ κανόνι περιεχομένων αὕτη, ὅτι ἐκεῖ μὲν οἱ διὰ τὰς βασάνους ἐκπεπτωκότες οὐ μετεστράφησαν ἐνώπιον τῶν τυράννων εἰς τὴν ὁμολογίαν τῆς πίστεως· ἐν- C
ταῦθα δὲ οἱ ἐκπεπτωκότες διὰ βασάνους, ἐξ ἀγαθοῦ μεταμέλου ἐπὶ τῶν τυράννων τὸν Κύριον ὡμολόγησαν, καὶ διὰ τοῦτο οὐδὲ λογίζονται ἐκπεσεῖν.

ΖΩΝΑΡ. Εἴ τινες δὲ, φησὶ, προσηγγέλθησαν καὶ παρεδόθησαν τοῖς τυραννοῦσιν, ἢ αὐτοὶ ἑαυτοὺς παρέδωκαν, καὶ ἐκπεπτώκασι τῆς μαρτυρίας, ἡττηθέντες τῶν κολάσεων, καὶ μὴ φέροντες τὰς ἐν ταῖς φυλακαῖς κακουχίας καὶ τὰς βασάνους, εἶτα ἀνεπάλαισαν τὴν πτῶσιν, καὶ ὡμολόγησαν εἶναι Χριστιανοὶ, ὥστε καὶ εἰς φυλακὰς ἐμβληθῆναι καὶ βασάνους ὑποστῆναι· τοὺς τοιούτους εὔλογον κρίνει ὁ ἅγιος μετὰ θυμηδίας δέχεσθαι, καὶ ἐπισχύειν, ἀντὶ τοῦ, ἐπιῤῥωννύειν, ἐνδυναμοῦν καὶ παραθαῤῥύνειν πρὸς τὴν ὁμολογίαν· καὶ κοινωνεῖν αὐτοῖς ἐν πᾶσιν, ἔν τε προσευχαῖς καὶ τῇ μεταλήψει τῶν ἁγιασμάτων, καὶ D
διὰ λόγου παρακαλεῖν, ἤτοι διεγείρειν αὐτοὺς εἰς τὴν μαρτυρίαν, ἵνα πρὸς τὸν ἀγῶνα εὐτονώτεροι γένωνται, καὶ τῆς ἐπουρανίου βασιλείας ἀξιωθῶσιν. Ἵνα δὲ μὴ, διότι πεπτώκασι θύσαντες, νομίζωνταί τισιν ἄδεκτοι, ἐπάγει καὶ μαρτυρίαν ἐκ τῆς Γραφῆς, τὸ· *Ἑπτάκις*, ἀντὶ τοῦ, πολλάκις, *πεσεῖται ὁ δίκαιος, καὶ ἀναστήσεται*. Τοῦτο δὲ, φησὶν, εἰ καὶ πάντες οἱ τῆς ὁμολογίας ἐκπεπτωκότες ἐποίησαν, τὸ ἀναπαλαῖσαι τὴν πτῶσιν, καὶ ἐνώπιον τῶν τυράννων Χριστιανοὺς ὁμολογῆσαι ἑαυτοὺς, ἀνεδείξαντο [*f.* ἐνεδ-] ἂν τελειοτάτην μετάνοιαν.

« qui constantius decertaverint, ipsi quoque *super-*
« *næ vocationis brabio* [a] dignentur. Etenim *se-*
« *pties*, inquit, *cadet justus et resurget* [b]; quod qui-
« dem si omnes quoque lapsi fecissent, perfectissi-
« mam et toto corde susceptam pœnitentiam osten-
« dissent. »

BALS. Quidam tyrannis delati et proditi fuerant, vel etiam ipsi se ipsos illis sponte tradiderant : victi autem tormentis testimonio exciderunt : deinde cum pœnitentia ducti essent, et quod bonum est, agnovissent, se esse Christianos confessi sunt; adeo ut in custodiam conjecti, tormenta quoque sustinuerint. Eos ergo æquum censet sanctus lætanti animo suscipere, et ad fidem orthodoxam confirmare, et eis communicare et in orationibus et sacramentorum participatione, verbisque adhortari ut sint ad certamen constantiores, et cœlesti regno digni habeantur. Ne autem eo quod lapsi sunt, minime suscipiendi videantur, testimonium quoque ex Scriptura inducit, quod est, *Septies*, id est sæpe, *cadet justus et resurget*. Hoc autem, si etiam, inquit, omnes qui a confessione exciderunt, fecissent, ut scilicet lapsi reluctarentur, et se coram tyrannis Christianos faterentur, perfectissimam pœnitentiam ostendissent. Differunt ergo quæ in hoc canone comprehensa sunt, ab iis quæ in primo canone continentur, quod illic quidem qui propter tormenta lapsi sunt, ad confitendam coram tyrannis fidem nequaquam conversi sunt : hic autem qui propter tormenta lapsi sunt, ex bona pœnitentia sub tyrannis Dominum confessi sunt; propterea neque cecidisse judicantur.

ZONAR. Si qui vero, inquit, ad tyrannos delati ac proditi sunt, vel ipsi sese ipsis dediderunt, exciderunt que a testimonio vi tormentorum superati, nec ærumnas quibus in carcere afflictabantur cruciatusque perferentes; mox revocato certamine se Christianos esse confessi sunt, ex quo et in vincula conjecti, et cruciatibus sunt affecti : ejusmodi homines cum exsultatione excipi sanctus hic rationi consentaneum judicat : tum roborare ipsos, hoc est, vires, animos, fiduciamque addere quo profiterentur fidem; ac eisdem in omnibus communicare, tum in precationibus, tum in perceptione sacramentorum, verbisque adhortari, hoc est, ipsos ad exhibendum fidei testimonium excitare, ut constantiores sint in certamine, ac cœlesti regno digni habeantur. Verum ne ex eo quod lapsi sunt sacrificantes, nullo modo admittendi ab aliquibus existimentur, testimonium quoque illud ex sacris litteris profert : *Septies*, hoc est sæpius, *cadet justus, ac resurget*. Hoc vero, inquit, si alii omnes qui a confessione exciderunt fecissent, ut post lapsum certamen repeterent, ac se ipsos coram tyrannis Christianos profiterentur, absolutam pœnitentiam indicavissent.

[a] *Philipp.* III, 14. [b] *Prov.* XXIV, 16.

Digitized by Google

14 CANON IX.

« Iis quoque qui tanquam ex somno ipsi ad certamen parturiens, et trahere differens, prosiliunt, « sibi autem pugnæ maritimæ, et multæ fluxuum « inundationis tentationem attrahunt, vel potius « fratribus peccatorum carbonem accendunt, ipsis « quoque communicandum est, ut qui in nomine « Christi ad id veniant : etsi verba ejus non animadvertant, qui docet *orare ne ingrediamur in tentationem* [a], et eum rursus in oratione Patri « dicere, *Et ne nos inducas in tentationem, sed libera nos a malo* [b]. Forte autem etiam ignorant patremfamilias et Dominum nostrum, sæpe ab iis qui « illi insidiari volebant, secessisse, et quod quandoque etiam libere apud eos non incedebat, et quod « etiam quando passionis tempus appropinquavit, B non se ipsum tradidit, sed exspectavit donec ad « eum venirent cum gladiis et fustibus. Dicit ergo « eis : *Tanquam ad latronem exiistis cum gladiis et fustibus ad me comprehendendum* [c]. Qui etiam « *tradiderunt ipsum*, inquit, *Pilato* [d]. Ad ejus quoque similitudinem iis accidit, qui ejus scopum « sibi proponentes incedunt, divinorum ejus verborum recordati, quibus nos confirmans, de persecutionibus dicit : *Attendite vobis ipsis : tradent enim vos in concilia, et in suis synagogis vos flagellabunt* [e]. *Tradent* autem, dixit, non, vos « ipsos tradetis : *et ad principes et reges ducemini propter nomen meum* [f], non, vos ipsos ducetis. « Nam nos quoque vult a loco in locum transilire, « dum sunt qui nos persequuntur propter nomen C « ejus. Sicut rursus eum dicentem audimus : *Et quando vos ab hac civitate persecuti fuerint, fugite in aliam* [g]. Non vult enim nos ad diaboli stipatores satellitesque confugere, ne ipsis quoque « multifariæ mortis causa simus, ut qui ipsos, et « asperiores esse cogamus, et opera mortifera pergere : sed exspectare, et nobis cavere, *vigilareque et orare, ne intremus in tentationem* [h]. Ita « Stephanus primus, ejus vestigiis insistens, martyrium passus, Hierosolymis ab iniquis correptus, « et in concilium ductus, lapidibus obrutus, in nomine Christi glorificatus est, rogans, et dicens : « *Domine, ne statuas illis hoc peccatum* [i]. Ita Jacobus secundus ab Herode comprehensus, gladio « capite truncatus est. Ita Petrus apostolorum pri- D « mus, sæpe comprehensus, et custodiæ traditus, « ignominiaque affectus, postremo Romæ crucifixus est. Similiter et inclytus Paulus, sæpe traditus, et ad mortem usque in periculum adductus, multa mala perpessus, et in multis persecu-

A ΚΑΝΩΝ Θ'.

« Καὶ τοῖς δὲ ὡσὰν ἐξ ὕπνου ἑαυτοὺς [25] παραπη- « δῶσιν εἰς τὸν ἀγῶνα ὠδίνοντα καὶ μέλλοντα ἐλκῦ- « σαι, ἑαυτοῖς δὲ πειρασμὸν ἐπισπασαμένοις θαλατ- « τομαχίας καὶ πολλῆς κυματώσεως, μᾶλλον δὲ καὶ « τοῖς ἀδελφοῖς προσεκκαίουσιν ἄνθρακα [26] ἁμαρτω- « λῶν· καὶ αὐτοῖς κοινωνητέον, ἅτε δὴ [26'] ἐν ὀνόματι « Χριστοῦ παρερχομένοις εἰς τοῦτο, εἰ καὶ μὴ [26''] προ- « σέχουσιν αὐτοῦ τοῖς λόγοις, διδάσκοντος *προσεύχε- « σθαι μὴ εἰσελθεῖν εἰς πειρασμὸν* [26'''], καὶ πάλιν « ἐν εὐχῇ λέγειν τῷ Πατρί· *Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς « εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονη- « ροῦ*. Ἴσως δὲ καὶ ἀγνοοῦσι τὰς πολλάκις γινομέ- « νας [26''''] ἀναχωρήσεις τοῦ οἰκοδεσπότου καὶ διδασκά- « λου ἡμῶν ἀπὸ τῶν θελόντων ἐπιβουλεύειν, καὶ ὅτι « ἔσθ' ὅτε οὐδὲ [27] παῤῥησίᾳ περιεπάτει δι' αὐτοὺς, « καὶ ὅτι καὶ [28] ὅτε ὁ καιρὸς τοῦ πάθους αὐτοῦ προ- « ήγγισεν, οὐχ ἑαυτὸν παρέδωκεν, ἀλλ' ἐδέξατο ἕως « ἦλθον ἐπ' αὐτὸν μετὰ μαχαιρῶν καὶ ξύλων. Λέγει « γοῦν [28'] πρὸς αὐτούς· *Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε « μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με*. Οἳ καὶ « *παρέδωκαν αὐτὸν*, φησὶ, *Πιλάτῳ*. Καθ' ὁμοιό- « τητα γοῦν αὐτοῦ, καὶ οἱ κατὰ σκοπὸν αὐτοῦ βαίνοντες « πεπόνθασι, μεμνημένοι τῶν θείων αὐτοῦ λόγων, « δι' ὧν ἐπιστηρίζων ἡμᾶς περὶ τῶν διωγμῶν λέγει· « *Προσέχετε* [29] *ἑαυτοῖς· παραδώσουσι γὰρ ὑμᾶς « εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μα- « στιγώσουσιν ὑμᾶς. Παραδώσουσι δὲ*, εἶπεν, ἀλλ' « οὐχὶ [29'] ἑαυτοὺς παραδώσετε· *καὶ ἐπὶ ἡγεμόνας δὲ « καὶ βασιλεῖς ἀχθήσεσθε διὰ τὸ ὄνομά μου*, ἀλλ' « οὐχὶ [29''], ἑαυτοὺς ἄξετε· ἐπεὶ καὶ μεταπηδᾶν ἡμᾶς « βούλεται ἀπὸ τόπου εἰς τόπον [30] διωκομένους διὰ « τὸ ὄνομα αὐτοῦ· ὡς πάλιν ἀκούομεν αὐτοῦ λέγον- « τος· *Καὶ ὅταν* (2) *διώκωσιν ὑμᾶς ἐκ τῆς πόλεως « ταύτης* [31], *φεύγετε εἰς τὴν ἑτέραν*· οὐ γὰρ θέλει « αὐτομολεῖν ἡμᾶς πρὸς τοὺς τοῦ διαβόλου ὑπασπι- « στὰς καὶ δορυφόρους, ὅπως μὴ καὶ πλειόνων θανά- « των αἴτιοι αὐτοῖς γινώμεθα [31'], ὡς ἂν καταναγκά- « ζοντες αὐτοὺς μᾶλλον κατατραχύνεσθαι καὶ τελε- « σιουργεῖν τὰ θανατηφόρα ἔργα· ἀλλ' ἐκδέχεσθαι « καὶ προσέχειν ἑαυτοῖς, γρηγορεῖν τε καὶ προσ- « εύχεσθαι, ἵνα μὴ εἰσέλθωμεν εἰς πειρασμόν*. « Οὕτω Στέφανος πρῶτος, κατ' ἴχνος αὐτοῦ μαρτύριον « ἀναδεξάμενος, ἐν Ἱεροσολύμοις συναρπασθεὶς ὑπὸ « τῶν παρανόμων, καὶ ἀχθεὶς ἐν τῷ συνεδρίῳ, λιθο- « βολούμενος ἐν ὀνόματι Χριστοῦ ἐδοξάσθη, παρα- « καλῶν καὶ λέγων· *Κύριε, μὴ στήσῃς αὐτοῖς « ταύτην* [31''] *τὴν ἁμαρτίαν*. Οὕτως Ἰάκωβος δὲ ἕτε- « ρος συλληφθεὶς ὑπὸ Ἡρῴδου, μαχαίρᾳ τὴν κεφαλὴν « ἀπετμήθη. Οὕτως ὁ πρόκριτος τῶν ἀποστόλων Πέ- « τρος, πολλάκις συλληφθεὶς καὶ φυλακισθεὶς καὶ

[a] *Matth.* xxvi, 41. [b] *Matth.* vi, 13. [c] *Matth.* xxvi, 55. [d] *Matth.* xxvii, 2. [e] *Matth.* x, 17. [f] *ibid.* 18. [g] *Matth.* x, 23. [h] *Matth.* xxvi, 47. [i] *Act.* vii, 59.

VARIÆ LECTIONES.

[25] ἑαυτοῖς. [26] προσεκκαίοντες ἄνθρακας. [26'] δέ. [26''] μὴ deest. [26'''] διδάσκοντος προσεύχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμόν deest. [26''''] γενομένας πολλάκις. [27] οὔτε. [28] deest καί. [29'] οὖν. [29] προσέχετε. [29'] οὐχ. [29''] οὐχ. [30] τόπων εἰς τόπους. [31] ὅταν... ἐν τῇ πόλει ταύτῃ. [31'] γενώμεθα. [31''] ταύτην om.

(2) *Καὶ ὅθεν*. In ms. cod. bombycino amplissimi senatoris Bernardi Nani, fol. 208, ubi exstant canones 9, 10, 12, 13, 14, hic legitur καὶ ὅταν, ut in textu Matth. x, 23.

Digitized by Google

« ἀτιμασθεὶς, ὕστερον ἐν Ῥώμῃ ἐσταυρώθη (3).[22] Καὶ A « ὁ περιβόητος Παῦλος, πλεονάκις παραδοθεὶς καὶ « ὧς θανάτου κινδυνεύσας, πολλά τε ἀθλήσας καὶ « καυχησάμενος ἐν πολλοῖς διωγμοῖς καὶ θλίψεσιν, « ἐν τῇ αὐτῇ πόλει καὶ αὐτὸς μαχαίρᾳ τὴν κεφαλὴν « ἀπετμήθη· ὃς ἐν οἷς ἐκαυχήσατο, κατέληξε [22*]· ὅτι « καὶ [22**] ἐν Δαμασκῷ σπυρίδι ἐχαλάσθη διὰ τοῦ τεί- « χους νυκτὸς, καὶ ἐξέφυγε τὰς χεῖρας τοῦ ζητοῦντος « αὐτὸν πιάσαι. Τὸ γὰρ προκείμενον ἦν αὐτοῖς, ἐν « πρώτοις εὐαγγελίζεσθαι καὶ διδάσκειν (4) τὸν λόγον « τοῦ Θεοῦ, ἐν οἷς *ἐπιστηρίζοντες τοὺς ἀδελφοὺς* « *ἐμμένειν ἐν τῇ πίστει*, καὶ τοῦτο ἔλεγον, *ὅτι διὰ* « *πολλῶν θλίψεων δεῖ εἰσελθεῖν εἰς τὴν βασι-* « *λείαν τοῦ Θεοῦ*. Ἐζήτουν γὰρ οὐ τὸ ἑαυτῶν συμ- « φέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι, καὶ ἦν « πολλὰ λέγειν αὐτοῖς εἰς ταῦτα πρὸς τὸ κατὰ λόγον « *ἂν ἡμᾶς διηγουμένους ὁ χρόνος*. »

tionibus afflictionibusque gloriatus, in eadem urbe ipse quoque gladio capite multatus est ; qui in quibus gloriatus est, ipse in iis vitam finiit ; et quod Damasci in sporta noctu per murum demissus est, et effugit ejus manus qui eum conabatur opprimere. Erat enim eis in primis propositum evangelizare, et verbum Dei docere : in quibus *fratres confirmantes ut manerent in fide* [a], hoc quoque dicebant, *quod per multas afflictiones oportet in regnum Dei ingredi*. Quærebant enim non quod sibi erat utile, sed quod multis, ut servarentur, et multa ipsis liceret ad hæc facientia dicere, ut verbo Dei convenienter facerent : *Nisi*, ut dicit Apostolus, *nos tempus narrantes deficeret* [b]. »

ΒΑΛΣ. Οἱ ἄρτι τοῦ ὕπνου ἐξανιστάμενοι, καὶ μᾶλλον εἰ ὠμόϋπνοι εἶεν, οὐ καθεστηκότα τὸν λογισμὸν ἔχουσιν, ἀλλὰ τεταραγμένον καὶ ἀκατάστατον· τοιούτοις παρείκασεν ὁ ἱερομάρτυς οὗτος τοὺς παραπηδῶντας εἰς τὸν ἀγῶνα, ἤγουν τοὺς μὴ εὐτάκτως ἀλλὰ θρασέως καὶ ἀπερισκέπτως εἰσωθοῦντας ἑαυτοὺς εἰς τὸν ἀγῶνα, ὠδίνοντα καὶ μέλλοντα ἑλκῦσαι, ἀντὶ τοῦ, μήπω εἰς φανερὸν ἐκραγῆναι, ἀλλὰ μελετώμενον καὶ μέλλοντα, ἤτοι βραδύνοντα ἑλκῦσαι τοὺς ἀγωνιζομένους, οἵτινες ἑαυτοῖς πειρασμὸν ἐπισπῶνται, ἤγουν εἰς ἑαυτοὺς ἕλκουσι πειρασμόν. Μᾶλλον δὲ καὶ ἄλλοις πιστοῖς ἀνάπτουσιν ἄνθρακας ἁμαρτωλῶν, τὰς ἐκ τῶν τυράννων δηλονότι κολάσεις. Ἀλλ' εἰ καὶ αἰτιᾶται τοὺς οὕτω ποιοῦντας, κοινωνεῖν τέως αὐτοῖς τοὺς πιστοὺς διατάττεται, ὅτι διὰ τὸν Χριστὸν ὑπεισῆλθον τὸν ἀγῶνα, κἂν ἠγνόησαν τὴν ἐκείνου διδασκαλίαν, διδάσκοντος αἰτεῖν μὴ πειρασθῆναι, καὶ ὅτι οὐδὲ ἑαυτὸν παρέδωκεν, ἀλλὰ παρεδόθη· καὶ μὴ αὐτομολεῖν πρὸς τοὺς κολαστὰς, ἵνα μὴ αἴτιοι αὐτοῖς γένοιντο πλειόνων φόνων, ὥσπερ παραθήγοντες αὐτοὺς εἰς τὰς κατὰ τῶν εὐσεβῶν τιμωρίας. Ἐπάγει δὲ καὶ διάφορα παραδείγματα Γραφικὰ ὁ κανών.

BALS. Qui e somno modo exsurgunt, et maxime si crudo profundoque somno premebantur, non habent constantem rationem, sed perturbatam et instabilem : talibus assimilat sacrosanctus hic martyr eos qui 15 non ordinate, sed temerarie et inconsiderate se in certamen intrudunt ; parturiens, et trahere differens, pro eo quod nondum in apertum erupit, sed meditatur et differt, seu cunctatur decertantes trahere, qui sibimet tentationem alliciunt, sive in se ipsos tentationem trahunt. Maxime autem, et aliis fidelibus peccatorum carbones accendunt, a tyrannis scilicet punitiones. Sed etsi eos qui sic faciunt, reprehendit ; jubet tamen fideles eis nihilo secius communicare, quia propter Christum certamen subierunt, quamvis illius doctrinam ignorarunt : qui docet petere ne tentemur, et quod ne se ipsum quidem tradidit, sed traditus est ; et non esse ad tortores confugiendum, ne pluribus se cædibus contaminandi ipsis causæ sint ; ut qui eos incitent ad sumenda de piis supplicia. Infert autem et diversa sacræ Scripturæ exempla canon.

ΖΩΝΑΡ. Οἱ ἄρτι τοῦ ὕπνου ἐξανιστάμενοι, καὶ μᾶλλον εἰ ὠμόϋπνοι εἶεν, οὐ καθεστηκότα τὸν λογισμὸν ἔχουσιν, ἀλλὰ τεταραγμένον, καὶ ἀκατάστατον. Τοιούτοις παρείκασεν ὁ ἱερομάρτυς οὗτος τοὺς παραπηδῶντας εἰς τοὺς ἀγῶνας, ἤγουν τοὺς μὴ εὐτάκτως ἀλλὰ θρασέως καὶ ἀπερισκέπτως εἰσωθοῦντας ἑαυτοὺς εἰς τὸν ἀγῶνα, ὠδίνοντα καὶ μέλλοντα ἑλκῦσαι, ἀντὶ τοῦ μήπω εἰς φανερὸν ἐκραγέντα, ἀλλὰ μελετώμενον καὶ μέλλοντα, ἤτοι βραδύνοντα ἑλκῦσαι τοὺς ἀγωνιζομένους· οἵτινες πειρασμὸν ἐπισπῶνται, ἤγουν εἰς ἑαυτοὺς ἕλκουσι πειρασμὸν, μᾶλλον δὲ καὶ ἄλλοις πιστοῖς ἀνάπτουσιν ἄνθρακας ἁμαρτωλῶν,

ZONAR. Qui a somno recentes exsurgunt, præsertim si graviore somno opprimebantur, ratione haudquaquam sedata, sed perturbata inconstantique utuntur. Ejusmodi hominibus sanctus hic martyr similes eos asserit qui in certamen proruunt, hoc est, non ordinate sed audaci ac temerario impetu se ipsos intrudunt in certamen ; parturiens, ac trahere differens, pro eo quod nondum in apertum erupit, sed meditatur, et differt sive cunctatur decertantes trahere : qui quidem tentationem accersunt, hoc est, ad se ipsos tentationem pelliciunt, quin potius aliis fidelibus accendunt carbones pec-

[a] *Act.* XIV, 21. [b] *Hebr.* XI, 32.

VARIÆ LECTIONES.

[22] ὁμοίως add. [22*] κατέλεξεν. [22**] καὶ ὅτι. [23] ἐπιλείψῃ.

(3) *Ἐσταυρ. Καὶ.* Id. codex Nan., ἐσταυρώθη. Ὁμοίως *καί.* Mox πολλάκις pro πλεονάκις.

(4) *Διδάσκειν.* Id. cod., φυλάττειν. Paulo post ἐμμένειν τῇ πίστει, omissa præpositione. Mox δεῖ ἡμᾶς εἰσ., ut in textu Act. XIV, 21.

Digitized by Google

catorum, tormenta nimirum quæ a tyrannis inferuntur. Sed quamvis accuset eos qui hoc modo se gerunt, ipsis tamen a fidelibus communicandum esse decernit, quod in nomine Christi ad hoc prodeunt : fidentes videlicet Christo, aut in ejus nomine sibi certamen deposcentes ; etiamsi forte illius præceptioni minus obtemperent, docentis petere ne tentemur, vel etiam ignorent Dominum secessisse ab insidiatoribus suis, solitumque aliquando non palam deambulare, nec se ipsum prodidisse ut pateretur, verum ab aliis proditum ; præcepisseque discipulis, ut quo tempore illos inimici insectarentur, fugerent e civitate in civitatem, nec se ipsos ultro tortoribus traderent, ne pluribus se cædibus contaminandi causam ipsis præberent, eos velut irritantes ad supplicia piis hominibus irroganda. Afferique apostolorum exemplum, Stephani, Jacobi, ac supremorum ordinis sui procerum Petri et Pauli.

A τὰς ἐκ τῶν τυράννων δηλονότι κολάσεις. Ἀλλ' εἰ καὶ αἰτιᾶται τοὺς οὕτως ποιοῦντας, κοινωνεῖν τέως αὐτοῖς τοὺς πιστοὺς διατάττεται, ὅτι ἐν ὀνόματι τοῦ Χριστου παρέρχονται εἰς τοῦτο, θαῤῥοῦντες δηλαδὴ τῷ Χριστῷ, ἢ ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ αἱρούμενοι τὸν ἀγῶνα, εἰ τάχα καὶ οὐ κατὰ τὴν ἐκείνου ποιοῦσι διδασκαλίαν, διδάσκοντος αἰτεῖν μὴ πειρασθῆναι, ἢ καὶ ἀγνοοῦσιν, ὅτι ὁ Κύριος ὑπεχώρει ἀπὸ τῶν ἐπιβουλευόντων αὐτῷ, καὶ ἔστιν ὅτε καὶ οὐ φανερῶς περιεπάτει, καὶ ὅτι οὐδὲ ἑαυτὸν παρέδωκε παθεῖν, ἀλλὰ παρεδόθη· καὶ ἐν τῷ διώκεσθαι τοὺς μαθητὰς αὐτοῦ, διετάξατο φεύγειν εἰς πόλιν ἐκ πόλεως, καὶ μὴ αὐτομολεῖν πρὸς τοὺς κολαστὰς, ἵνα μὴ αἴτιοι αὐτοῖς γίνοιντο πλειόνων φόνων, ὥσπερ παραθήγοντες αὐτοὺς εἰς τὰς κατὰ τῶν εὐσεβῶν τιμωρίας. B Καὶ τοὺς ἀποστόλους παράγει εἰς ὑπόδειγμα, τὸν Στέφανον, τὸν Ἰάκωβον, καὶ τοὺς κορυφαιοτάτους Πέτρον καὶ Παῦλον.

CANON X.

ΒΑΛΣ. Τοὺς ἀπὸ βίας τυραννικῆς δόξαντας φαγεῖν κρέας ἐκ τῶν εἰδωλοθύτων, ἢ πιεῖν οἶνον ἐκ τῶν Ἑλληνικῶν σπονδῶν (τυχὸν γὰρ κατὰ γῆς οἱ τυραννοῦντες θέμενοι τούτους, καὶ χάνους, ἤτοι σιδήρια βαλόντες εἰς τὰ στόματα αὐτῶν, ὥστε διόλου εἶναι ἠνεῳγμένα, ἐπέχεον εἰς τὸν φάρυγγα τούτων οἶνον, καὶ κρέα ἐπέρριπτον, ἢ καὶ ταῖς χερσὶν αὐτῶν ἀνθρακιὰς μετὰ λιβανωτοῦ θέμενοι, παρεσκεύαζον δῆθεν θύειν αὐτοὺς), κληρικοὺς μὲν ὄντας, εἶναι καὶ πάλιν ἐν τῷ οἰκείῳ βαθμῷ ὁ κανὼν διορίζεται, ὡς τεταγμένους μετὰ τῶν ὁμολογητῶν· λαϊκοὺς δὲ, λογίζεσθαι ὡς μάρτυρας, διὰ τὸ μὴ κατὰ προαίρεσιν οἰκείαν ποιῆσαι ταῦτα τούτους, μηδὲ συγκαταθέσθαι ὅλως τῇ πράξει· ὥσπερ τοῖς ὁμολογηταῖς συνταχθήσονται καὶ οἱ τῇ τῶν βασάνων ἀνάγκῃ παραλυθέντες τὸν τόνον τοῦ σώματος, καὶ μὴ δυνάμενοι ἀντιστῆναι τοῖς ἐκχέουσιν εἰς τὰ στόματα αὐτῶν οἶνον ἀπὸ τῶν σπονδῶν. Ἐξῆς δὲ περὶ τῶν διανοήντων τὸ τῆς συνειδήσεως μαρτύριον λέγει, κἀκείνους τοῖς ὁμολογηταῖς συναριθμεῖ.

BALS. Eos qui vi tyrannica visi sunt ex idolothytis carnes comedere, vel ex Græcis libationibus vinum bibere (forte enim iis in terram dejectis, et in eorum ora hamis seu ferramentis injectis, ut semper aperta essent, tyranni in eorum fauces vinum infundebant, et carnes injiciebant, vel etiam in eorum manibus carbonibus cum thure impositis sacrificare cogebant) : si essent quidem clerici, in suo quoque rursus gradu esse decernit canon, ut qui collocati sint cum confessoribus. Laici autem reputentur ut martyres, quod ii hæc sua voluntate non fecerint, nec actioni omnino assensi sint : quemadmodum inter confessores quoque numerabuntur, qui propter tormentorum necessitatem dissoluta corporis firmitate, non valentes iis resistere, qui in ora eorum vinum ex libaminibus effundebant. Deinceps autem de iis qui conscientiæ martyrium peragunt, dicit, et illos cum confessoribus connumerat.

ΖΩΝΑΡ. Οἱ τοὺς ἁγίους κολάζοντες μάρτυρας, μετὰ βασάνους πολλὰς ἐπί τινων, βίᾳ τοῖς στόμασιν

ZONAR. Qui sanctos martyres suppliciis divexabant, post tormenta multa nonnullis per vim adhi-

[a] *I Tim.* VI, 11, 12

VARIÆ LECTIONES.

[65] χάμον. [65a] αὐτῶν om. [65b] προσαγομένων. [66] αὐτοῖς om. [66a] καὶ τῶν ἀδελφῶν τῶν λοιπῶν. [66b] ἐκβιαζομένοις. [66c] ταχθήσονται ἐν. [66d] add. δέ. [66e] προσπάθειαν. [66f] καὶ ὁμολογήσας.

(16) *Τῆς πίστεως ... ἀκοντί.* Ms., τῆς πίστεως, ὡς καὶ τὰς χεῖρας αὐτῶν καῆναι, προσαγόμενοι ἄκοντες. Εἶ mox, ἐν τῇ Λιβύῃ.

(17) *Παρὰ συλλειτουργῶν ἥκουσα,* κ. τ. λ. Ms.. παρὰ συλλειτουργῶν πάλιν ἥκουσα, ταχθήσεται ἐν τοῖς ὁμολογηταῖς, καὶ πᾶς, κ. τ. λ. (Bene ms., *παρὰ συλλειτουργῶν πάλιν ἥκουσα*, quippe quia paulo superius dixerit sanctus Pater, *ἔγραψάν μοι... συλλειτουργοί.* EDIT.)

Digitized by Google

bita, in ora illorum vinum infundebant ex libationibus, vel etiam ex idolo mactatis carnibus quidpiam illorum ori inserebant, ac thura ipsorum manibus injicientes, ipsos ad aram trahebant, et per vim comprehensis illorum manibus, aut thura aræ superfundebant; aut etiam carbones cum thure imponebant ipsorum manibus, ut ardoris cruciatum minime ferentes, thus cum carbonibus in aram effunderent; ab eisdem nempe detinebantur. Ejusmodi in sacro ministerio censeri posse affirmat, vel potius in confessorum ordine collocari. Neque enim sua sponte vel degustabant libationes, vel thus imponebant aræ, sed vi coacti, ratione illorum actioni minime consentiente : quemadmodum et quibus tormentorum necessitate resolutus fuerat vigor corporis, ut nec moveri nec loqui possent, nec vinum libationum in ora ipsorum per vim injicientibus obsistere, ii quoque locum inter confessores obtinebunt. Disserit autem mox de iis qui conscientiæ martyrium peragunt, ac eos quoque in confessorum numero locat.

A αὐτῶν ἐνέχεον οἶνον ἐκ τῶν σπονδῶν, ἢ καὶ ἐκ τῶν εἰδωλοθύτων κρεῶν ἐνέβαλον εἰς τὸ στόμα αὐτῶν, καὶ ταῖς χερσὶν αὐτῶν ἐπιτιθέντες λιβανωτὸν, εἵλκεον αὐτοὺς ἐπὶ τὸν βωμὸν, καὶ τὰς χεῖρας αὐτῶν κρατοῦντες βίᾳ, τὸν λιβανωτὸν ἐπέχεον τῷ βωμῷ, ἢ καὶ ἄνθρακας μετὰ λιβανωτοῦ ταῖς παλάμαις αὐτῶν ἐπετίθουν, ἵνα μὴ φέροντες τὴν ὀδύνην τὴν ἐκ τῆς καύσεως ἐπιχέωσι τὸν λιβανωτὸν σὺν τοῖς ἄνθραξι τῷ βωμῷ· κατείχοντο γὰρ παρ' αὐτῶν. Τοὺς τοιούτους φησὶ δύνασθαι εἶναι ἐν τῇ λειτουργίᾳ, ἢ μᾶλλον καὶ ἐν τοῖς ὁμολογηταῖς τετάχθαι· οὐ γὰρ οἰκείᾳ προαιρέσει ἢ τῶν σπονδῶν ἐγεύσαντο, ἢ τὸν λιβανωτὸν ἐπέβαλον τῷ βωμῷ, ἀλλ' ἢ βίᾳ, τοῦ λογισμοῦ αὐτῶν τῇ πράξει μὴ συγκατατιθεμένου. Ὥσπερ καὶ οἱ τῇ τῶν βασάνων ἀνάγκῃ παραλυθέντες τὸν τόνον τοῦ B σώματος, ὡς μήτε κινηθῆναι δύνασθαι, μήτε φθέγξασθαι, καὶ ἀντιστῆναι τοῖς βίᾳ εἰς τὰ στόματα αὐτῶν ἐκχέασι τὸν οἶνον τῶν σπονδῶν, κἀκεῖνοι τοῖς ὁμολογηταῖς συνταχθήσονται. Ἐξῆς δὲ περὶ τῶν διανυόντων τὸ τῆς συνειδήσεως μαρτύριον λέγει, κακείνους τοῖς ὁμολογηταῖς συναριθμῶν.

23 CANON XV.

« Non reprehendet nos quispiam, quartam et « sextam feriam observantes, in quibus nobis jeju- « nare secundum traditionem cum ratione præce- « ptum est. Quartam quidem propter initum a « Judæis consilium de proditione Domini : sextam « autem, quod ipse pro nobis passus sit. Diem enim « Dominicum lætitiæ diem agimus, quod in eo re- « surrexerit : in quo nec genua quidem flectere ac- C « cepimus. »

Bals. Consequenter sexagesimo quarto canoni apostolico, qui decernit non esse nobis jejunandum Sabbatis, præter unum Sabbatum, magnum scilicet; et sexagesimo nono qui valde punit eos qui sacra Quadragesima non jejunant, omnique quarta et sexta feria, præsens quoque decernit.

Zonar. Semper, inquit, quarta et sexta cujuslibet hebdomadæ feria jejunandum : nec nos quisquam jejunantes reprehendet : causasque subjungit Dominica vero die non est jejunandum, quippe quæ sit gaudii ob Domini resurrectionem. Neque vero, inquit, in ea genua flecti oportere accepimus. Observandum igitur verbum illud, *accepimus*, et illud, *nobis ex traditione præceptum est*. Nam D hinc quoque apparet inveteratam consuetudinem pro lege fuisse acceptam. Magnus porro Basilius causas quoque adnectit, ob quas Dominica die, et a Paschate ad Pentecosten usque, genua flectere vetitum est. Lege et sexagesimum sextum apostolicum canonem et sexagesimum nonum.

ΚΑΝΩΝ ΙΕ' (18).

« Οὐκ ἐγκαλέσει τις ἡμῖν παρατηρουμένοις τε- « τράδα καὶ παρασκευὴν, ἐν αἷς καὶ νηστεύειν ἡμῖν « κατὰ παράδοσιν εὐλόγως προσετέτακτο. Τὴν μὲν « γὰρ τετράδα (19) διὰ τὸ γενόμενον συμβούλιον ὑπὸ « τῶν Ἰουδαίων ἐπὶ τῇ προδοσίᾳ τοῦ Κυρίου· τὴν « δὲ παρασκευὴν, ὅτι αὐτὸς ὑπὲρ ἡμῶν ἔπαθε [67]. « Κυριακὴν δὲ χαρμοσύνης ἡμέραν ἄγομεν διὰ τὸν « ἀναστάντα ἐν αὐτῇ, ἐν ᾗ οὐδὲ γόνατα κλίνειν « παρειλήφαμεν. »

ΒΑΛΣ. Ἀκολούθως τῷ ξδ' ἀποστολικῷ κανόνι, τῷ διοριζομένῳ μὴ νηστεύειν ἡμᾶς κατὰ τὰ Σάββατα, πλὴν τοῦ ἑνὸς μόνου Σαββάτου, τοῦ μεγάλου δηλαδή· καὶ τῷ ξθ' κανόνι, τῷ κολάζοντι μεγάλως τοὺς μὴ νηστεύοντας τὴν ἁγίαν Τεσσαρακοστὴν, καὶ κατὰ πᾶσαν τετράδα καὶ παρασκευὴν, καὶ ὁ παρὼν κανὼν διατάττεται.

ΖΩΝΑΡ. Ἀεί φησι τὰς τετράδας καὶ τὰς παρασκευὰς ἑκάστης ἑβδομάδος νηστεύειν· καὶ οὐκ αἰτιάσεταί τις ἡμᾶς νηστεύοντας· καὶ τὰς αἰτίας προστίθησιν. Τὴν δὲ Κυριακὴν νηστεύειν οὐ δεῖ, χαρμόσυνον οὖσαν διὰ τὴν τοῦ Κυρίου ἀνάστασιν· οὐδὲ γόνυ κλίνειν ἐν αὐτῇ, φησὶ, παρειλήφαμεν. Σημειωτέον οὖν τὸ *παρειλήφαμεν*, καὶ τὸ *κατὰ παράδοσιν ἡμῖν προστέτα* Κἀντεῦθεν γὰρ φαίνεται, ὅτι τὸ ἐπὶ μακρὸν .ῆσαν ἔθος ἀντὶ νόμου λελόγισται. Ὁ δὲ μέγας Βασίλειος καὶ τὰς αἰτίας προστίθησι, δι' ἃς ἀπηγόρευται κλίνειν ἐν Κυριακῇ γόνυ καὶ ἀπὸ τοῦ Πάσχα μέχρι τῆς Πεντηκοστῆς. Ἀνάγνωθι καὶ τὸν ξς' ἀποστολικὸν κανόνα, καὶ ξθ'.

VARIÆ LECTIONES.

[67] διὰ τὸ πεπονθέναι αὐτὸν ὑπὲρ ἡμῶν.

(18) *Κανὼν ιε'*. In ms. regio 2038 præfigitur huic titulus huic canoni : *Τοῦ αὐτοῦ ἐκ τοῦ Λόγου τοῦ εἰς τὸ Πάσχα*. Hardouin.

(19) *Τὴν μὲν γὰρ τετρ.* Cotelerius ad *Const. apost.* lib. II, cap. 59, hunc canonem ex regiis mss. ita complet ac restituit : Τὴν μὲν τετράδα διὰ τὸ γενόμενον συμβούλιον ὑπὸ τῶν Ἰουδαίων ἐπὶ τῇ προδοσίᾳ τοῦ Κυρίου· τὴν δὲ παρασκευὴν, διὰ τὸ πεπονθέναι αὐτὸν ὑπὲρ ἡμῶν· τὴν γὰρ Κυριακὴν χαρμοσύνης ἡμέραν ἄγομεν διὰ τὸν ἀναστάντα ἐν αὐτῇ· ἐν ᾗ οὐδὲ γόνατα κλίνειν· παρειλήφαμεν. Atque ita partier ex laudato regio codice 2038 et aliis locum supplevit Harduinus.

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΚΑΝΟΝΙΚΗ

ΤΟΥ ΑΓΙΟΥ

ΓΡΗΓΟΡΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΝΕΟΚΑΙΣΑΡΕΙΑΣ

ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

Περὶ τῶν ἐν τῇ καταδρομῇ τῶν βαρβάρων εἰδωλόθυτα φαγόντων ἢ ἕτερά τινα πλημμεληκότων.

—

EPISTOLA CANONICA

SANCTI GREGORII

ARCHIEPISCOPI NEOCÆSARIENSIS

QUI THAUMATURGUS DICTUS EST

De iis qui in barbarorum incursione idolothyta comederant, et alia quædam peccata commiserant.

—

ΚΑΝΩΝ Α'.

« Οὐ τὰ βρώματα (32) ἡμᾶς βαρεῖ, ἱερώτατε Α
« Πάππα, εἰ ἔφαγον οἱ αἰχμάλωτοι ταῦτα ἅπερ παρ-
« ετέθεσαν αὐτοῖς οἱ κρατοῦντες αὐτῶν, μάλιστα
« ἐπειδὴ εἷς λόγος παρὰ πάντων, τοὺς καταδραμόντας
« τὰ ἡμέτερα μέρη βαρβάρους εἰδώλοις μὴ τεθυκέ-
« ναι. Ὁ δὲ Ἀπόστολός φησι· *Τὰ βρώματα τῇ κοι-*
« *λίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ Θεὸς καὶ*
« *ταύτην καὶ ταῦτα καταργήσει.* Ἀλλὰ καὶ ὁ Σω-
« τὴρ ὁ πάντα καθαρίζων τὰ βρώματα, *Οὐ τὸ εἰσ-*
« *πορευόμενον*, φησὶ, *κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ*
« *τὸ ἐκπορευόμενον.* Καὶ τὸ τὰς αἰχμαλώτους γυ-
« ναῖκας διαφθαρῆναι ἐξυβριζόντων τῶν βαρβάρων
« εἰς τὰ σώματα αὐτῶν. Ἀλλ' εἰ μὲν καὶ πρότερον
« κατέγνωστό τινος ὁ βίος πορευομένου ὀπίσω ὀφθαλ-
« μῶν τῶν ἐκπορνευόντων κατὰ τὸ γεγραμμένον, δη-
« λονότι ἡ πορνικὴ ἕξις ὑποπτος καὶ ἐν τῷ καιρῷ τῆς Β
« αἰχμαλωσίας. Καὶ οὐ προχείρως δεῖ ταῖς τοιαύταις

[1] I Cor. VI, 13. [2] Matth. XV, 11.

(32) *Οὐ τὰ βρώματα.* In codice Amerbachiano ad hunc canonem hæc observantur: Σημείωσαι τὴν κανονικὴν ἐπιστολὴν ταύτην, διὰ τοὺς μιαροφαγήσαντας ἐν αἰχμαλωσίᾳ, καὶ μὴ φαγόντας εἰδωλόθυτα. Ἴσως γὰρ εἴπῃς εἶναι διαφορὰν εἰδωλοθύτων καὶ ἄλλων βρωμάτων ὑπὸ τῶν αἱρετικῶν βιβρωσκομένων. Ὡσαύτως σημείωσαι τὴν ἐπιστολὴν διὰ τὰς ἐκοντὶ συναπτομένας τοῖς Ἀγαρηνοῖς. Καθ' ἑκάστην γὰρ γίνεται τοῦτο εἰς τὰς τῶν Τούρκων προνοίας καὶ εἰς τὴν χώραν Ἰβηρίας. *Nota hanc canonicam epistolam, propter eos qui in captivitate comederunt polluta, et idolothyta non comederunt. Aliquid enim discriminis forsitan dices esse inter idolothyta et alios cibos ab hæreticis comesos. Itidem nota epistolam, propter eas quæ Agarenis sponte conjunguntur. Hoc enim in Turcarum provinciis et Iberiæ regione in dies factum est.* BEVEREG.

24 CANON I.

« Non cibi nos gravant, sanctissime Papa, si ca-
« ptivi ea comederint, quæ qui in eos dominium
« obtinent, eis apposuerunt; maxime quando una
« de omnibus fama est, barbaros qui in nostras
« regiones incursiones fecerunt, idolis non sacrifi-
« casse. Dicit autem Apostolus: *Escæ ventri, et*
« *venter escis; Deus autem et hunc et hus destruet* [1].
« Sed Servator quoque omnes cibos mundans: *Non*
« *quod intrat*, inquit, *coinquinat hominem, sed quod*
« *egreditur* [2]. Et hoc quoque, quod captivæ mulie-
« res corruptæ fuerunt, barbaris earum corporibus
« insolenter abutentibus. Sed si prius quoque da-
« mnata vita fuerat, procul ab oculis abeuntibus
« fornicatoribus, ut scriptum est, fornicarius sci-
« licet habitus est etiam tempore captivitatis suspe-
« ctus. Et non oportet facile orationibus cum ejus-
« modi communicare. Sed siquidem aliqua quæ in

Digitized by Google

« summa continentia vixerit, et puram ab omnique A « suspicione alienam priorem vitam ostenderit, « nunc vi et necessitate ad probrum contumeliamve « lapsa sit; habemus exemplum quod est in Deu- « teronomio, de adolescentula, quam homo in agro « invenit, et ea vi compressa cum ipsa dormivit : « *Adolescentulæ*, inquit, *nihil facietis. non est adole-* « *scentulæ peccatum mortis : quia quemadmodum si* « *quis homo adversus proximum suum insurrexerit,* « *et ipsius animam morte affecerit, sic hæc res est ;* « *adolescentula exclamavit, et non erat qui ei opem* « *ferret* [3]. Hæc quidem certe ita se habent. »

Bals. Sanctus interrogatus quid oporteat fieri Christianis, qui a barbaris capti sunt, et quæ ipsis ab eis apponebantur idolothyta comederunt; respon- B dit : Illi cibi non gravant, id est, non grave damnum afferunt; et maxime quod unus est sermo apud omnes, sive quod omnes dicunt, idolis non sacrificasse barbaros, qui in nostra incursiones fecere. Adducit autem et ex Apostolo et ex Evangelio sententias. Ex Apostolo quidem : *Escæ ventri, et venter escis; Deus autem et eum et has destruet.* Qui quidem locus apostolicus loquitur de repletione et ingluvie : et escas quidem nominat ea quæ sunt supervacanea, ac delicias; ventrem autem, voracitatem dixit, non vero ventriculum. Per hæc autem dicit Apostolus, quod exsaturatio et luxus ad ingluviem pertinet, sed neque ad Deum deducit : luxui autem ingluviei vitium familiare redditur, et alterum alteri servit. Deus autem ea otiosa et inefficacia efficiet, ut nulli C ab eis lædantur. Ex Evangelio autem usus est verbis Evangelii quæ dicunt : *Quod intrat per os, non coinquinat hominem.* Deinde de captivis quoque mulieribus, quibus barbari stuprum intulerunt : et dicit, quod si prima quidem eorum vita esset condemnata, suspectas eas facit fornicarius habitus etiam tempore captivitatis. Et propterea non oportet facile cum eis orare, sed postquam pœnis videlicet impositis se submisissent. Est autem habitus longa consuetudo, quæ tempore quoque confirmata est, quæ ad naturam etiam similitudine quam proxime accedit. Quare quæ tales non sunt, violatæ, non peccarunt. Exemplo autem usus est lege quæ in Deuteronomio habetur, de virgine cui in solitu- D dine per vim probrum illatum est. Et quæ quidem ad canonem spectant in his consistunt. Videtur autem sanctus ex eo quod dixit, non inferri grave damnum **25** iis qui idolothyta comederunt, eis a barbaris apposita, et ex eo quod dicit, omnes plene compertum habere, barbaros idolis non sacrificasse, et ex eo quod utitur dictis apostolicis quæ de luxu et ingluvie disserunt, similiter et evangelicis, quæ eadem tractant, non fecisse simplicem responsionem, sed quæ dividitur in eos qui idolothyta per delicias sua sponte comederunt; in eos qui vi a barbaris coacti comederunt; in eos qui propter naturæ

[3] Deut. XXII, 26, 27.

« κοινωνεῖν τῶν εὐχῶν. Εἰ μέντοι τις ἐν ἄκρᾳ σω- « φροσύνῃ ζήσασα, καὶ καθαρὸν καὶ ἔξω πάσης ὑπο- « νοίας ἐπιδεδειγμένη βίον τὸν πρότερον, νῦν περι- « πέπτωκεν ἐκ βίας καὶ ἀνάγκης ὕβρει, ἔχομεν πα- « ράδειγμα τὸ ἐν τῷ *Δευτερονομίῳ* τὸ ἐπὶ τῇ νεά- « νιδι, ἣν ἐν τῷ πεδίῳ εὗρεν ἄνθρωπος, καὶ βιασάμε- « νος αὐτὴν, ἐκοιμήθη μετ' αὐτῆς· *Τῇ νεάνιδι οὐ* « *ποιήσετε*, φησὶν, *οὐδὲν· οὐκ ἔστι τῇ νεάνιδι* « *ἁμάρτημα θανάτου· ὅτι ὡς, εἴ τις ἀναστῇ ἄν-* « *θρωπος ἐπὶ τὸν πλησίον αὐτοῦ, καὶ θανατώσῃ* « *αὐτοῦ τὴν ψυχὴν, οὕτω τὸ πρᾶγμα τοῦτο·* « *ἐβόησεν ἡ νεᾶνις, καὶ ὁ βοηθῶν οὐκ ἦν αὐτῇ.* Ταῦτα μέντοι τοιαῦτα. »

ΒΑΛΣ. Ἐρωτηθεὶς ὁ ἅγιος περὶ τοῦ τί ὀφείλει γίνεσθαι εἰς τοὺς Χριστιανοὺς τοὺς αἰχμαλωτισθέν- τας παρὰ βαρβάρων, καὶ φαγόντας τὰ παρὰ τούτων αὐτοῖς παρατιθέμενα εἰδωλόθυτα· ἀπελογήσατο ὡς τὰ βρώματα ταῦτα οὐ βαρεῖ, ἀντὶ τοῦ, οὐ βαρεῖαν ἐμποιεῖ βλάβην· καὶ μᾶλλον ὅτι εἷς λόγος παρὰ πάν- των, ἤγουν ὅτι πάντες λέγουσι μὴ θῦσαι τοῖς εἰδώ- λοις τοὺς τὰ ἡμέτερα καταδραμόντας βαρβάρους. Παράγει δὲ καὶ ἐκ τοῦ Ἀποστόλου χρήσεις, καὶ ἐκ τοῦ Εὐαγγελίου· ἐκ μὲν τοῦ Ἀποστόλου τὸ, *Τὰ βρώ- ματα τῇ κοιλίᾳ καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει.* Ὁ δὴ ἀπο- στολικὸν χωρίον περὶ πλησμονῆς λέγει καὶ γαστρι- μαργίας· καὶ βρώματα μὲν, τὰ περιττὰ ὀνομάζει καὶ τὴν τρυφήν· κοιλίαν δὲ τὴν γαστριμαργίαν, ἀλλ' οὐχὶ τὴν γαστέρα. Διὰ δὲ τούτων ὁ Ἀπόστολος λέγει, ὅτι ἡ ἀδηφαγία καὶ ἡ τρυφὴ τῇ γαστριμαργίᾳ ἀνήκει, ἀλλ' οὐ πρὸς Θεὸν φέρει· καὶ τῇ τρυφῇ τὸ τῆς γα- στριμαργίας πάθος ὠκείωται, καὶ θάτερον θατέρῳ δουλεύει. Ὁ δὲ Θεὸς ἄπρακτα καὶ ἀργὰ ποιήσει ταῦ- τα, ὥστε μὴ ἐξ αὐτῶν τινας βλάπτεσθαι. Ἐκ δὲ τοῦ Εὐαγγελίου ἐχρήσατο τοῖς τοῦ Εὐαγγελίου ῥήμασι τοῖς λέγουσιν, ὅτι, *Οὐ τὸ εἰσπορευόμενον κοινοῖ τὸν ἄνθρωπον.* Εἶτα καὶ περὶ γυναικῶν αἰχμαλώτων αἷς οἱ βάρβαροι συνεφθάρησαν· καὶ φησιν, ὅτι, εἰ μὲν ὁ πρώην αὐτῶν βίος κατεγνωσμένος ἦν, ὑπόπτους αὐτὰς ποιεῖ ἡ πορνικὴ ἕξις καὶ ἐν τῷ καιρῷ τῆς αἰχμαλωσίας. Καὶ διὰ τοῦτο προχείρως αὐταῖς οὐ συνεύχεσθαι δεῖ, ἀλλὰ μετὰ τὸ δουλεῦσαι δηλαδὴ ἐπι- τιμίοις. Ἕξις δέ ἐστιν ἡ μακρὰ συνήθεια καὶ τῷ χρό- νῳ παγιωθεῖσα, ἥτις καὶ φύσει προσέοικεν· ὥστε αἱ μὴ τοιαῦται οὐχ ἡμάρτον βιασθεῖσαι. Καὶ παρα- δείγματι κέχρηται τῇ ἐν τῷ Δευτερονομίῳ θεσμοθε- σίᾳ τῇ περὶ τῆς ὑβρισθείσης παρθένου κατὰ βίαν ἐν ἐρημίᾳ. Καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις. Ἔοικε δὲ ὁ ἅγιος ἀπὸ τοῦ εἰπεῖν μὴ ἐπάγεσθαι βαρεῖαν βλά- βην τοῖς φαγοῦσι τὰ εἰδωλόθυτα παρατιθέμενα τού- τοις παρὰ τῶν βαρβάρων, καὶ ἀπὸ τοῦ λέγειν πλη- ροφορεῖσθαι πάντας μὴ γενέσθαι τοὺς βαρβάρους εἰδω- λοθύτας, καὶ ἀπὸ τοῦ χρήσασθαι τοῖς ἀποστολικοῖς ῥήμασι τοῖς διαλεγομένοις περὶ τρυφῆς καὶ ἀδηφα- γίας, ὡσαύτως καὶ τοῖς εὐαγγελικοῖς τὰ αὐτὰ δια- λαμβάνουσι, μὴ ἁπλῆν ποιῆσαι τὴν ἀπόκρισιν, ἀλλὰ διαιρουμένην εἰς φαγόντας εἰδωλόθυτα κατὰ τρυφὴν

Digitized by Google

ἑκοντὶ, εἰς τοὺς κατὰ βίαν τῶν βαρβάρων φαγόντας ταῦτα, εἰς τοὺς δι' ἀνάγκην τῆς φύσεως βρῶμα ποιησαμένους αὐτὰ, καὶ εἰς τοὺς βιασθέντας πρὸς τοῦτο παρὰ βαρβάρων, μὴ τεθυκότων τοῖς εἰδώλοις. Ὅθεν καὶ, ὡς ἐμοὶ δοκεῖ, οὐδὲ εἷς ἐκ τούτων ἀνεπιτίμητος ἔσται. Οἱ γὰρ διὰ τρυφὴν φαγόντες ταῦτα μείζοσιν ἐπιτιμίοις ὑποβληθήσονται· οἱ δι' ἀνάγκην καὶ ἀποτροφὴν τοῦ σώματος, ὡς μὴ ἔχοντες ἄλλως πῶς ἀποτραφῆναι, ἡττόνως κολασθήσονται. Καὶ οἱ λοιποὶ διὰ τὴν μιαροφαγίαν μετριώτερον ἐπιτιμηθήσονται, ὅτι καὶ ὁ ἅγιος οὐ βαρύ φησιν εἶναι τὸ φαγεῖν εἰδωλόθυτα παρὰ τῶν μὴ θυσάντων τοῖς εἰδώλοις παρατιθέμενα, οὐ μὴν καὶ πάντη ἀκατέγκλητον. Ἐρωτήσει δέ τις ὡς, τοῦ ιδ' κανόνος τοῦ μακαρίου Πέτρου ἀρχιεπισκόπου Ἀλεξανδρείας καὶ μάρτυρος διαλαμβάνοντος τοὺς κατὰ βίαν τυραννικὴν φαγόντας εἰδωλόθυτα, καὶ τοιουτοτρόπως θύσαντας, μὴ ἐπιτιμᾶσθαι, ἀλλὰ μᾶλλον καὶ ἐν τῷ κλήρῳ εἶναι, κληρικοὺς ὄντας, πῶς ἡ παροῦσα ἐπιστολὴ διορίζεται τοὺς φαγόντας εἰδωλόθυτα *μὴ βαρέως* βλάπτεσθαι, ὡς ἐκ τούτου ἐκφαίνεσθαι βλάπτεσθαι αὐτοὺς *μετρίως*; Λύσις. Ὁ ἱερομάρτυς Πέτρος ἐν τῷ ιδ' κανόνι αὐτοῦ καὶ περὶ αὐτὸ τὸ φαγεῖν τὰ εἰδωλόθυτα μαρτυρῆσαι τοὺς ἀθλητὰς διαλαμβάνει. Φησὶ γὰρ, ὅτι καὶ χάνος ἐνεβλήθη τῷ στόματι αὐτῶν καὶ αἱ χεῖρες τούτων κατεκάησαν, καὶ ἁπλῶς οὐδ' ὅλως συνέθεντο εἰς τὸ εἰδωλόθυτα φαγεῖν ἢ εἰς τὸ θῦσαι τοῖς εἰδώλοις. Ἡ δὲ παροῦσα κανονικὴ ἐπιστολὴ διαλαμβάνει κατὰ τὰς ἀρχὰς, κατὰ βίαν μὲν φαγεῖν τοὺς αἰχμαλώτους τὰ παρατιθέμενα αὐτοῖς εἰδωλόθυτα, οὐ μὴν καὶ κατ' αὐτὸ τὸ φαγεῖν τυραννηθῆναι, καὶ διὰ τοῦτο θέλει ὡς ὅλως ὑποκύψαντας τῷ θελήματι τοῦ τυράννου, μετρίως τιμωρηθῆναι. Νομίζω δὲ ἐγὼ, ὅτι, ὥσπερ οὐκ ἔστι πάντη ἀνεπιτίμητον τὸ φαγεῖν εἰδωλόθυτα κατὰ βίαν βαρβάρων μὴ ἐπιθυσάντων, οὕτως οὐδὲ τὸ ὑποστῆναι φθορὰν βαρβαρικὴν κατὰ βίαν· καὶ τοῦτο γὰρ μετρίως ἐπιτιμηθήσεται. Κἂν γὰρ καὶ ὁ πολιτικὸς νόμος φησὶν ἐν βιβλίῳ ξ' τίτλου λη' κεφαλ. ιβ' θέματι ἕκτῳ· Καὶ ἡ παρὰ τοῖς πολεμίοις μοιχευθεῖσα καὶ ὑποστρέψασα κατηγορεῖται παρὰ τοῦ ἀνδρὸς, οὐ δικαίῳ ἀνδρὸς, εἰ μὴ βίᾳ τοῦτο πέπονθε, καὶ τοιουτοτρόπως συγγινώσκει τὴν βιασθεῖσαν, καὶ τὸν γάμον οὐ διασπᾷ· ἀλλ' ὁ ἐκκλησιαστικὸς νόμος τὴν ὅλως ὑπὸ βαρβάρου μολυνθεῖσαν μὴ καθαριεῦσαι δι' ἐπιτιμίου οὐκ ἀνέξεται. Ἀνάγνωθι καὶ τὴν ργ' νεαρὰν τοῦ βασιλέως κυρίου Λέοντος τοῦ Σοφοῦ, λέγουσαν περὶ τὸ τέλος ταῦτα· Οὐδαμῶς οὖν θεσπίζομεν ἔτι πρὸς συνάφειαν ἑτέρου, τὸν ἀπείρατον μεμενηκότα τῆς αἰχμαλωσίας ἔρχεσθαι, καὶ τὰ ἑξῆς. Ἀναιρεῖ δὲ ἡ τοιαύτη νεαρὰ τὴν Ἰουστινιάνειον ριζ' νεαρὰν τὴν κειμένην ἐν βίβλῳ κη' τίτλου ζ' καὶ λέγουσαν, Ἔστιν ὅτε λύεσθαι τὸν τοιοῦτον γάμον· πλὴν ἡ τοιαύτη νεαρὰ χώραν ἔχει, ὅταν ἡ αἰχμαλωτισθεῖσα οὐκ ἐμιάνθη παρὰ τῶν βαρβάρων. Τοιούτου δέ τινος γεγονότος, χώραν ἔχουσι τὰ ἐν τῷ ῥηθέντι κεφαλαίῳ τοῦ ξ' βιβλίου.

ΖΩΝΑΡ. Βαρβάρων ἐπελθόντων χώραις Ῥωμαϊκαῖς, καὶ ληΐσαμένων αὐτὰς, οἱ παρ' αὐτῶν αἰχμαλωτισθέντες ἐγεύσαντο εἰδωλοθύτων, ἢ καὶ ἄλλων ἀπηγορευμένων βρωμάτων. Ἠρωτήθη οὖν περὶ τούτων

necessitatem eas escas fecerunt, et in eos qui ad hæc vi compulsi sunt a barbaris, qui idolis non sacrificarunt. Unde, ut mihi videtur, nullus eorum ab omni culpa immunis erit. Qui ea enim propter luxum et delicias comederunt, majoribus pœnis subjicientur; qui propter necessitatem, et corporis nutrimentum, et ut qui non possint aliter nutriri, minus punientur. Reliqui quoque propter esum execrabilem mitius punientur, eo quod sanctus quoque dicit non grave esse idolothyta comedere, quæ ab iis apponuntur qui idolis non sacrificarunt: non est tamen ab omni penitus reprehensione alienum. Interrogaverit autem quispiam: Cum XIV canon beati Petri archiepiscopi Alexandrini et martyris contineat, eos qui vi tyrannica compulsi idolothyta comederunt et itidem sacrificarunt, non puniri, sed potius esse etiam in clero, si sint clerici: quomodo decernit præsens hæc epistola, eos qui idolothyta comederunt, *non graviter lædi*: ut ex eo appareat, ipsos *mediocriter* lædi? Solutio. Sanctus martyr Petrus, in XIV suo canone, etiam in ipso immolatorum esu athletas martyres fuisse et testimonium præbuisse perhibet. Dicit enim quod etiam ferramentum in os ipsorum injectum est, et manus eorum ustæ sunt, et, ut semel dicam, ad immolatis vescendum nullo modo consenserunt, nec etiam ad idolis sacrificandum. Præsens autem canonica epistola tractat in principio, captivos quidem apposita sibi idolothyta vi comedisse, sed non etiam eo ipso tempore quo comedebant, tyrannica violentia compulsos fuisse; et ideo vult eos, ut qui omnino tyrannorum voluntati cesserint, moderate puniri. Existimo autem ego, quod quemadmodum idolothyta comedere, a barbaris qui non sacrificarunt, compulsum, non est ab omni reprehensione liberum; ita nec barbaricum stuprum vi perpessum esse: nam hoc quoque modice punietur. Etsi enim lex civilis dicit in lib. LX, tit. 38, c. 12, themate 6: Etiam ea quæ ab hostibus est adulterata, ac reversa, a viro (non rite viro) accusatur, nisi hoc vi passa est, et hoc modo ei cui vis allata est, ignoscitur, nec id et matrimonium dirimit: sed lex ecclesiastica, eam quæ omnino a barbaro polluta est, nisi per pœnam pura sit, non sinet. Lege et cum novellam imperatoris domini Leonis Sapientis, quæ hæc in fine prosequitur: Nullo ergo modo decernimus, eum qui captivitatem non expertus mansit, ad alterius conjunctionem venire, et cætera. Hæc autem novella tollit Justiniani CXVII novellam, quæ sita est in libro XXVIII, tit. 7, et dicit, nonnunquam solvi matrimonium: verum hæc novella locum habet, quando captiva a barbaris non est polluta. Si quid autem ejusmodi factum sit, locum habent, quæ sunt in dicto capite LX libri.

ZONAR. Cum in Romanas regiones barbari irruissent, easque fuissent depopulati, qui ab ipsis captivi sunt facti, idolothyta, vel alios quoque cibos vetitos degustarunt. De iis itaque rogatus fuit vir

Digitized by Google

sanctus, aitque si quæ a dominis ipsis apposita fuerant captivi comederunt, id non gravare, hoc est grave damnum minime afferre ; præsertim quod una apud omnes est fama. sive quod omnes idem hoc affirmant, barbaros qui nostras regiones incursionibus vastarunt, nequaquam idolis sacrificasse, ut proinde neque captivi idolothyta comederint. **26** Profert vero cum ex Apostolo, tum ex Evangelio deprompta oracula. Ex Apostolo quidem illud, *Esca ventri, et venter escis;* et quæ sequuntur. Qui sane locus de ingluvie ac helluatione est accipiendus. Ac escæ quidem nomine, supervacaneam cibi copiam, luxumque intelligit : per ventrem autem voracitatem, non ipsum ventriculum. Indicat igitur his verbis Apostolus, nimiam cibi copiam et luxum ad helluationem perducere, non ad Deum ferre ; luxumque plerumque vitium helluationis consequitur, alterumque alteri deservit ; Deus autem irrita hæc et cassa reddet, ut nihil ex ipsis damni cuiquam contingat. Videtur porro hic sanctus hoc loco usus apostolicis verbis, ut demonstraret quæ ob luxum ac edacitatem fiunt, damnata esse ac pœnis obnoxia, non item ea quæ vi ac necessitate corporis cogente admittuntur. Proinde etiamsi cibos aliquos vetitos captivi comederint, cum servi essent, ob alterius alimenti inopiam, cibum necessario exigente natura ; non est hoc eousque grave, ut et criminis loco ducatur. Ex Evangelio autem usus est illis Domini verbis : *Non quod intrat per os, coinquinat hominem ;* et ad eamdem hæc quoque sententiam referuntur. Hinc de mulieribus quoque captivis quæ a barbaris corruptæ sunt, disserit ; atque ita pronuntiat : si quidem illarum anteacta vita damnata fuerat, eas etiam captivitatis tempore fornicarius habitus suspectas facit, proindeque haud facile ipsis in precatione communicare oportet, nisi debita videlicet pœnitentiæ tempora expleverint. Est porro habitus, diuturna ac tempore confirmata consuetudo, quæ naturæ similis est, ut propterea ejusmodi mulieres nequaquam vi coactas peccasse putandum sit. Quod si priorem vitam caste ac citra offensionem egerunt, tum abductæ in servitutem ob captivitatem, ex violentia barbarorum contumeliam passæ sunt, immunes sunt a culpa : exemplumque adhibet, quod in Deuteronomii constitutionibus refertur, de virgine vim passa, quam in solitudine quispiam violavit : Non erit, inquit, adolescentulæ peccatum mortis.

A ὁ ἅγιος, καί φησιν, ὅτι εἰ ἔφαγον οἱ αἰχμάλωτοι τὰ παρὰ τῶν αἰχμαλωτησάντων αὐτοὺς παρατιθέμενα, τοῦτο οὐ βαρεῖ, ἀντὶ τοῦ, οὐ βαρεῖαν ἐμποιεῖ βλάβην· καὶ μᾶλλον ὅτι εἷς λόγος παρὰ πάντων, ἤγουν ὅτι πάντες τὸ αὐτὸ λέγουσιν, ὅτι οἱ τὰ ἡμέτερα καταδραμόντες βάρβαροι εἰδώλοις οὐκ ἔθυσαν, ὥστε οὐδὲ εἰδωλόθυτα ἔφαγον οἱ αἰχμάλωτοι. Παράγει δὲ καὶ ἐκ τοῦ Ἀποστόλου χρήσεις καὶ ἐκ τοῦ Εὐαγγελίου· ἐκ μὲν τοῦ Ἀποστόλου τὸ, *Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασι·* καὶ τὰ ἑξῆς. Ὁ δὲ χωρίον περὶ πλησμονῆς λέγει καὶ γαστριμαργίας. Καὶ βρώματα μὲν τὰ περιττὰ ὀνομάζει καὶ τὴν τρυφήν· κοιλίαν δὲ τὴν γαστριμαργίαν, ἀλλ' οὐχὶ τὴν γαστέρα. Διὰ δὲ τούτων ὁ Ἀπόστολος λέγει, ὅτι ἡ ἀδηφαγία καὶ ἡ τρυφὴ τῇ γαστριμαργίᾳ ἀνήκει, ἀλλ' οὐ πρὸς Θεὸν

B φέρει, καὶ τῇ τρυφῇ τὸ τῆς γαστριμαργίας πάθος ἕπεσθαι, καὶ θάτερον θατέρῳ δουλεύει· ὁ δὲ Θεὸς ἄπρακτα καὶ ἀργὰ ποιήσει τοῦτα, ὥστε μὴ ἐξ αὐτῶν τινὰς βλάπτεσθαι. Ἔοικε δὲ ὁ ἅγιος οὗτος χρήσασθαι τοῖς ἀποστολικοῖς ῥήμασιν ἐνταῦθα, δεικνὺς, ὅτι τὰ κατὰ τρυφὴν καὶ ἀδηφαγίαν γινόμενα διαβέβληνται, καὶ ἐπιτιμίων εἰσὶν ἄξια, οὐ τὰ δι' ἀνάγκην καὶ βίαν σωματικήν· ὥστε κἂν ἔφαγον οἱ αἰχμάλωτοί τινα βρώματα τῶν ἀπηγορευμένων, δοῦλοι ὄντες, δι' ἀπορίαν ἑτέρας τροφῆς, τῆς φύσεως τραφῆναι βιαζομένης, οὐ βαρὺ τοῦτο, ὡς καὶ ἁμάρτημα λογισθῆναι. Ἐκ δὲ τοῦ Εὐαγγελίου ἐχρήσατο τοῖς τοῦ Κυρίου ῥήμασι τοῖς λέγουσιν, ὅτι, *Οὐ τὸ εἰσπορευόμενον κοινοῖ τὸν ἄνθρωπον·* καὶ ταῦτα δὲ πρὸς τὴν εἰρημένην τείνουσιν ἔννοιαν. Εἶτα καὶ περὶ γυναικῶν φησιν

C αἰχμαλώτων αἷς οἱ βάρβαροι συνεφθάρησαν. Καὶ δίδωσι γνώμην, ὅτι, εἰ μὲν ὁ πρώην αὐτῶν βίος κατεγνωσμένος ἦν, ὑπόπτους αὐτὰς ποιεῖ ἡ πορνικὴ ἕξις, καὶ ἐν τῷ καιρῷ τῆς αἰχμαλωσίας· καὶ διὰ τοῦτο προχείρως αὐταῖς οὐ συνεύχεσθαι δεῖ, ἀλλὰ μετὰ τὸ δουλεῦσαι δηλαδὴ ἐπιτιμίοις. Ἕξις δ' ἐστὶν, ἡ χρονίσασα συνήθεια, καὶ τῷ χρόνῳ παγιωθεῖσα, ἥτις καὶ φύσει προσέοικεν, ὥστε αἱ μὴν τοιαῦται οὐχ ἁμαρτὸν βιασθεῖσαι. Εἰ δὲ ὁ πρότερος αὐτῶν βίος σώφρων καὶ ἀνεπίληπτος, δουλωθεῖσαι δὲ καὶ διὰ τῆς αἰχμαλωσίας, ἐκ βίας ὑπέμειναν τὴν τῶν βαρβάρων ὕβριν, ἀνέγκλητοί εἰσι. Καὶ παραδείγματι κέχρηται τῇ ἐν τῷ Δευτερονομίῳ θεσμοθεσίᾳ τῇ περὶ τῆς βιασθείσης παρθένου, ἣν ἐν ἐρημίᾳ ὁ βιασάμενος ἔφθειρε, λέγούσῃ· Οὐκ ἔσται τῇ νεάνιδι ἁμάρτημα θανάτου.

CANON II.

« Gravis est avaritia, nec possunt una epistola proponi Scripturæ, in quibus non solum prædari « fugiendum horrendumque prædicatur, sed plura « etiam concupiscere, et aliena propter turpe lucrum attingere : et quicunque est ejusmodi, is est « a Dei Ecclesia abdicatus. In tempore autem incursionis, in tanto luctu tantisque fletibus, ausos « esse aliquos tempus quod omnibus exitium afferebat, existimare esse sibi lucri tempus, est hominum impiorum et Deo invisorum, et quorum « improbitati nihil potest adjici. Unde omnes istius

ΚΑΝΩΝ Β'.

D « Δεινὴ ἡ πλεονεξία, καὶ οὐκ ἔστι δι' ἐπιστολῆς « μιᾶς παραθέσθαι τὰ θεῖα γράμματα, ἐν οἷς οὐ τὸ « ληστεύειν μόνον φρικτὸν καὶ φρικῶδες καταγγέλλε« ται, ἀλλὰ καθόλου τὸ πλεονεκτεῖν καὶ ἀλλοτρίων « ἐφάπτεσθαι ἐπὶ αἰσχροκερδείᾳ· καὶ πᾶς τοιοῦτος « ἐκκήρυκτος Ἐκκλησίας Θεοῦ. Τὸ δὲ ἐν καιρῷ τῆς « καταδρομῆς, ἐν τοσαύτῃ οἰμωγῇ καὶ τοσούτοις θρή« νοις τολμῆσαί τινας τὸν καιρὸν τὸν πᾶσιν ὄλεθρον « φέροντα νομίσαι ἑαυτοῖς καιρὸν εἶναι κέρδους, ἀν« θρώπων ἐστὶν ἀσεβῶν καὶ θεοστυγῶν, οὐδὲ ὑπερβο« λὴν ἀτοπίας ἐχόντων. Ὅθεν ἔδοξε τοὺς τοιούτους

Digitized by Google

« ἐκκηρύξαι, μήποτε ἐφ' ὅλον ἔλθῃ τὸν λαὸν ἡ ὀργὴ A « modi abdicare visum est, ne forte in totum popu-
« καὶ ἐπ' αὐτοὺς πρῶτον τοὺς προεστῶτας, τοὺς μὴ « lum ira veniat, et in eos primum qui præsunt, et
« ἐπιζητοῦντας. Φοβοῦμαι γὰρ, ὡς ἡ Γραφὴ λέγει, « non inquirunt. Vereor enim, ut ait Scriptura, ne
« μὴ συναπολέσῃ ἀσεβὴς τὸν δίκαιον. *Πορνεία γὰρ,* « impius justum una secum perdat [1]. *Fornicatio*
« φησὶ, *καὶ πλεονεξία, δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ* « *enim*, inquit, *et avaritia, per quæ venit ira Dei*
« *Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. Μὴ οὖν γί-* « *in filios inobedientiæ : ne sitis ergo eorum parti-*
« *νεσθε συμμέτοχοι αὐτῶν. Ἦτε γάρ ποτε σκότος,* « *cipes. Fuistis enim aliquando tenebræ : nunc autem*
« *νῦν δὲ φῶς ἐν Κυρίῳ. Ὡς τέκνα φωτὸς περιπα-* « *lux in Domino. Ut filii lucis ambulate* (*fructus*
« *τεῖτε* (*ὁ γὰρ καρπὸς τοῦ φωτὸς ἐν πάσῃ ἀγαθο-* « *enim lucis est in omni bonitate, et justitia, et veri-*
« *σύνῃ καὶ ἀληθείᾳ*), *δοκιμάζοντες τί εὐάρεστον* « *tate*), *probantes quod sit Deo acceptum : et ne*
« *τῷ Κυρίῳ, καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις* « *communicate infrugiferis operibus tenebrarum, sed*
« *τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ* « *potius etiam redarguite. Quæ enim ab ipsis fiunt*
« *ἐλέγχετε· τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν* « *clanculum, turpe est vel dicere. Omnia autem a*
« *αἰσχρόν ἐστι καὶ λέγειν. Τὰ δὲ πάντα ἐλεγχό-* « *luce convicta manifestantur* [2]. Hæc quidem Apo-
« *μενα ὑπὸ τοῦ φωτὸς φανεροῦται.* Τοιαῦτα μὲν ὁ « stolus. Si autem qui propter priorem plura ha-
« Ἀπόστολος. Ἐὰν δὲ, διὰ τὴν προτέραν πλεονεξίαν B « bendi cupiditatem, quæ in pace fuit, pœnam
« τὴν ἐν τῇ εἰρήνῃ γενομένην δίκην τινύντες, ἐν αὐτῷ « dant, in ipso iræ tempore rursus ad avaritiam
« τῷ καιρῷ τῆς ὀργῆς πάλιν πρὸς τὴν πλεονεξίαν « convertuntur, lucrifacientes ex sanguine et per-
« ἐκτραπῶσί τινες, κερδαίνοντες ἐξ αἵματος καὶ ὀλέ- « nicie eversorum hominum, captivorum, interfe-
« θρου ἀνθρώπων ἀναστάτων γενομένων ἢ αἰχμαλώ- « ctorum ; quid aliud exspectandum est, quam ut
« των, πεφονευμένων, τί ἕτερον προσδοκᾶν χρὴ ἢ ὡς « avaritia decertantes iram sibi et universo populo
« ἐπαγωνιζομένους τῇ πλεονεξίᾳ, ἐπισωρεῦσαι ὀργὴν « accumulent? »
« καὶ ἑαυτοῖς καὶ παντὶ τῷ λαῷ; »

ΒΑΛΣ. Ἐν τῷ καιρῷ τῆς τῶν βαρβάρων ἐπιδρομῆς, **27** Bals. In tempore incursionis, quidam ex or-
ἥρπασάν τινες τῶν ὀρθοδόξων τὰ τὴν λεηλασίαν δια- thodoxis corripuerunt res quæ captivorum depræda-
φυγόντα τῶν αἰχμαλωτισθέντων πράγματα. Περὶ tionem effugerunt. De his ergo interrogatus sanctus
τούτων οὖν ἐρωτηθεὶς ὁ ἅγιος, φησὶν, ὅτι πᾶς πλεο- dicit, quod quisquis est avarus, est ab Ecclesia ab-
νέκτης ἐκκήρυκτος τῆς Ἐκκλησίας ἐστὶν, ἀντὶ τοῦ, dicatus, id est, ejectus et alienus. Dicuntur enim
ἀπόβλητος καὶ ἀλλότριος. Ἀποκηρύσσεσθαι γὰρ λέ- abdicati filii quando propter aliqua crimina ab hæ-
γονται οἱ υἱοὶ ὅταν διά τινα αἰτιάματα ἐκ τῆς γονικῆς reditate paterna alienantur. In tempore autem talis
κληρονομίας ἀλλοτριῶνται. Τὸ δὲ ἐν καιρῷ συμφορᾶς C calamitatis audere aliquem facinus ejusmodi, et
τοιαύτης τολμῆσαί τινα τοιοῦτόν τι κακὸν, καὶ λογί- existimare aliorum calamitatem esse sui lucri oc-
σασθαι κέρδους ἀφορμὴν τὴν τῶν ἀδελφῶν συμφορὰν, casionem, est impiorum hominum et Deo invisorum
ἔργον ἐστὶν ἀνθρώπων ἀσεβῶν καὶ ὑπὸ τοῦ Θεοῦ μι- et qui omnem improbitatem superant. Unde visum
σουμένων, καὶ πάσης ἀτοπίας ἐπέκεινα. Ὅθεν ἔδοξε est eos abdicare, pro eo quod est, aperte Ecclesia
τοὺς τοιούτους ἐκκηρύξαι ἀντὶ τοῦ, φανερῶς ἐκδιῶξαι expellere, et a fidelium multitudine separare : ne
τῆς Ἐκκλησίας, καὶ χωρίσαι τοῦ πληρώματος τῶν propter ipsos Dei ira in omnes veniat, et ante alios
πιστῶν· ἵνα μὴ δι' αὐτοὺς ἡ ὀργὴ τοῦ Θεοῦ ἔλθῃ ἐπὶ in eos qui præsunt, qui ejusmodi homines non in-
πάντας, καὶ πρὸ τῶν ἄλλων ἐπὶ τοὺς προεστῶτας, μὴ quirunt et examinant. Deinde subjungit etiam testi-
ἐπιζητοῦντας καὶ ἐξετάζοντας τοὺς τοιούτους. Εἶτο monia Scripturæ, et circa finem infert : Si qui au-
ἐπάγει καὶ Γραφικὰς μαρτυρίας, καὶ περὶ τὸ τέλος tem propter suam avaritiam, quæ fuit tempore
ἐπιφέρει· Εἰ δέ τινες διὰ πλεονεξίαν γενομένην παρ' pacis, puniti, in barbarorum iterum incursione
αὐτῶν κατὰ τὸν τῆς εἰρήνης καιρὸν κολασθέντες, πάλιν καὶ εἰς τὴν τῶν βαρβάρων ἔφοδον τὰ αὐτὰ ἡμαρ- eadem peccaverint, ii, inquit, non solum Dei iram in se attrahunt, sed etiam adversus omnem popu-
τον, οἱ τοιοῦτοι, φησὶν, οὐ μόνον καθ' ἑαυτῶν τὴν D lum. Hæc cum ita se habeant, nota ex hac præsenti
ὀργὴν τοῦ Θεοῦ ἐφέλκουσιν, ἀλλὰ καὶ κατὰ παντὸς epistola, quod episcopis permittitur avarorum plu-
τοῦ λαοῦ. Τούτων οὕτως ἐχόντων σημαίνουσι, ὅτι raque habendi cupidorum potentiam pœnis impo-
καὶ ἀπὸ τῆς παρούσης ἐπιστολῆς ἐφεῖται τοῖς ἐπι- sitis coercere : et eos quidem, qui, quæ ex capti-
σκόποις τὰς τῶν πλεονεκτῶν δυναστείας ἀναστέλλειν vitate relicta sunt fidelibus, rapiunt, magnis eccle-
διὰ ἐπιτιμίων· καὶ τοὺς μὲν ἁρπάζοντας τὰ ἀπὸ τῆς siasticis animadversionibus castigare ; qui non sunt
αἰχμαλωσίας περιλειφθέντα πράγματα τῶν ὀρθοδόξων autem ejusmodi rapaces, mediocriter punire.
διὰ μεγάλων ἐκκλησιαστικῶν σωφρονίζειν κολάσεων· Quamobrem ex his de hujusmodi causis laicos
τοὺς δὲ μὴ τοιούτους ἁρπαγας μετριωτέρως ἐπιτιμᾷν· quoque episcopi rite judicent. Quomodo enim eos
ὥστε ἀπὸ τοιούτων περὶ τοιούτων ὑποθέσεων καὶ punient, si non prius veritas apparuerit? Propter
λαϊκοὺς ἐνδυνάμως ἵνα δικάσωσιν οἱ ἐπίσκοποι. Πῶς avaritiam autem a fidelium communione aliquem ab-
γὰρ ἐπιτιμήσουσι τούτους τῆς ἀληθείας μὴ ἀναφα- dicari, magnum est, et væ avaris! Lex vero civilis,
νείσης πρότερον; Τὸ δὲ διὰ πλεονεξίαν ἀποκηρύσσε- eum qui rapit ex incendio vel ex ruina ædium,

[1] Gen. xviii, 23, 25. [2] Ephes. v, 5-13.

Digitized by Google

intra annum quidem in quadruplum condemnat: post annum autem in simplum. Et lege primum cap. tit. 20 lib. LX Similiter autem puniuntur in pœna pecuniaria, qui ab expugnata domo rapiunt. Dicit enim secundum thema cap. 3 ejusdem tituli et libri hæc expresse: Si a domo vel vico qui oppugnatur raptum quid fuerit, legi locus est.

A σθαί τινα ἐκ τῆς κοινωνίας τῶν πιστῶν μέγα ἐστί, καὶ οὐαὶ τοῖς πλεονεκτοῦσιν. Ὁ μέντοι πολιτικὸς νόμος τὸν ἁρπάζοντα ἀπὸ ἐμπρησμοῦ ἢ καταπασούσης οἰκίας εἴσω μὲν ἐνιαυτοῦ εἰς τὸ τετραπλοῦν καταδικάζει· μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν. Καὶ ἀνάγνωθι τὸ πρῶτον κεφάλ. τοῦ κ' τίτλου τοῦ ξ' βιβλίου. Παρομοίως δὲ καλάζονται κατὰ τὴν χρηματικὴν ποινὴν καὶ οἱ ἀπὸ οἰκίας καταπολεμηθείσης ἁρπάζοντες. Φησὶ γὰρ τὸ δεύτερον θέμα τοῦ γ' κεφάλ. τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου ταῦτα ῥητῶς· Κἂν ἀπὸ οἰκίας ἢ κώμης καταπολεμουμένης ἁρπαγῇ τι, χώρα τῷ νόμῳ.

Zonar. Qua tempestate in martyres populatio exercebatur, nonnulli ex iis qui effugerant, captivorum invasere domos, quæque a barbaris relicta fuerant, diripuere. Dē his itaque rogatus hic magnus Pater, omnem avaritiam asserit divinis litteris interdictam, nec fieri posse ut quæcunque sacræ paginæ de avaritia disserunt, una epistola comprehendantur. Breviter autem ait avarum quemlibet esse ab Ecclesia abdicatum, hoc est, ejectum et alienum. Abdicari namque dicuntur filii, cum ob aliquod crimen a paterna hæreditate ejiciuntur, omnique cognationis jure privati censentur. Porro calamitatis tempore, cum in luctu homines versarentur, alii quidem captivi ipsimet facti, alii vero ob consanguineos in servitutem abductos, alii denique ob rerum suarum jacturam; ausos fuisse quosdam ejusmodi tempus, lucri sibi occasionem ducere, hominum est impiorum, et Deo invisorum, sive Deo exosorum, quodque omnem superat pravitatem. Placuit itaque ejusmodi homines abdicare, id est, palam extrudere ab Ecclesia, atque a fidelium multitudine segregare, ne propter ipsos ira Dei in omnes descendat, præcipueque in eos qui præsunt, nec in ejusmodi homines inquirunt, aut vindicant. Mox Scripturæ testimonia profert, additque. Si qui ob exacti temporis avaritiam, et quam ante incursionem barbarorum exercuerant, pœnas persolventes, non modo non resipuerunt (hoc vero duplicem sensum admittit, aut enim *pœnas persolventes* intelligit ob supplicium a Deo inflictum, qui ad vindicandum superioris temporis injuriam immiserit barbaros, aut *solventes pœnas*, hoc est, episcopalibus mulctis ob superiorem avaritiam castigati minime resipuerunt), quin potius ipsomet tempore **28** divinæ iracundiæ, ob quam irruere barbari, ipsi se ad avaritiam converterunt, *lucrum sibi comparantes ex sanguine*, et pernicie hominum quorum eversæ fortunæ sunt, vel captivorum qui sunt interfecti; ut autem illud explicaret, lucrum sibi comparantes ex sanguine, subjecit quæ mox sequuntur: Vel enim, inquit, hominum qui in servitutem abducti sunt, quod est pernicies, vel interfectorum hominum bona diripiunt: quid aliud sperandum est, nisi propter avaritiam, sibi ipsis ac universo populo iram accumulare, hoc est, sibi ipsis et populo Dei iracundiam conciliare? Atque exemplum ex antiqua historia adducit, in quo ob unius peccatum plures supplicio affecti sunt.

ΖΩΝΑΡ. Ἐν τῷ καιρῷ τῆς τῶν μαρτύρων λεηλασίας, τινὲς τῶν διαφυγόντων ἐπῆλθον ταῖς οἰκίαις τῶν αἰχμαλωτισθέντων, καὶ ἥρπασαν τὰ παρὰ τῶν βαρβάρων καταλειφθέντα. Περὶ τούτων οὖν ἐρωτηθεὶς ὁ μέγας οὗτος Πατὴρ, φησὶν, ὅτι πᾶσα πλεονεξία τῇ θείᾳ Γραφῇ ἀπηγόρευται, καὶ οὐ δυνατὸν ἐν μιᾷ ἐπιστολῇ περιλαβεῖν ὅσα περὶ πλεονεξίας ἡ Γραφὴ διέξεισι· συντόμως δέ φησιν, ὅτι πᾶς πλεονέκτης ἐκκήρυκτος τῆς Ἐκκλησίας ἐστίν· ἀντὶ τοῦ, ἀπόβλητος καὶ ἀλλότριος. Ἀποκηρύσσεσθαι γὰρ λέγονται οἱ υἱοὶ, ὅταν δι' αἰτίαμα τῆς γονικῆς κληρονομίας ἐκβάλλωνται, καὶ ἀλλοτριῶνται τῆς συγγενείας. Τὸ δὲ, ἐν καιρῷ συμφορᾶς, ὅταν ἐθρήνουν οἱ ἄνθρωποι, οἱ μὲν αἰχμαλωτισθέντες, οἱ δὲ διὰ τοὺς οἰκείους εἰς δουλείαν ἀγομένους, οἱ δὲ διὰ τὴν στέρησιν πραγμάτων· τολμῆσαί τινας τὸν τοιοῦτον καιρὸν λογίσασθαι κέρδους καιρὸν, ἀστεῶν ἐστιν ἀνθρώπων καὶ θεοστυγῶν, ἤγουν ὑπὸ Θεοῦ μισουμένων καὶ πάσης ἀτοπίας ἐπέκεινα. Ὅθεν ἔδοξε τοὺς τοιούτους ἐκκηρύξαι, ἀντὶ τοῦ, φανερῶς ἐκδιῶξαι τῆς Ἐκκλησίας, καὶ χωρίσαι τοῦ πληρώματος τῶν πιστῶν, ἵνα μὴ δι' αὐτοὺς ἡ ὀργὴ τοῦ Θεοῦ ἔλθῃ ἐπὶ πάντας, καὶ πρὸ τῶν ἄλλων ἐπὶ τοὺς προεστῶτας, μὴ ἐπιζητοῦντας καὶ ἐξετάζοντας τοὺς τοιούτους. Καὶ Γραφικὰς μαρτυρίας παράγει, εἶτα ἐπάγει· ὅτι, Ἐάν τινες, διὰ πλεονεξίαν προλαβοῦσαν, καὶ πρὸ τῆς τῶν βαρβάρων ἐπιδρομῆς γενομένην, δίκην τινυνύντες, οὐ μόνον οὐκ ἐσωφρονίσθησαν (τοῦτο δὲ διττὴν ἔννοιαν ὑποβάλλει· ἢ γὰρ *δίκην τινύντες* λέγει ἀντὶ τοῦ, τιμωρούμενοι παρὰ τοῦ Θεοῦ, διὰ ἀδικίας προλαβούσας τοὺς βαρβάρους εἰς τιμωρίαν κινήσαντος· ἢ *δίκην τινύντες* ἀντὶ τοῦ, δι' ἐπιτιμημάτων ἐπισκόπων κολαζόμενοι διὰ προλαβούσας πλεονεξίας οὐκ ἐσωφρονίσθησαν)· ἀλλὰ καὶ ἐν τῷ καιρῷ τῆς ὀργῆς τοῦ Θεοῦ, δι' ἣν ἐπῆλθον οἱ βάρβαροι, αὐτῆς· εἰς πλεονεξίαν ἐκτραπῶσι κερδαίνοντες ἐξ αἵματος ὀλέθρου ἀνθρώπων ἀναστάτων γενομένων, ἢ αἰχμαλώτων πεφονευμένων· τὸ δὲ *ἐξ αἵματος κερδαίνοντες* ἑρμηνεύων, ἐπήγαγε τὰ ἑξῆς· Ἢ γὰρ, φησὶν, ἀνθρώπων εἰς αἰχμαλωσίαν ἀπαγομένων, ὅπερ ὀλεθρός ἐστιν, ἢ ἀναιρεθέντων ἀνθρώπων πράγματα διαρπάζουσι· τί ἄλλο χρὴ ἐλπίζειν, ἢ διὰ τὴν πλεονεξίαν ἐπισωρεῦσαι ὀργὴν ἑαυτοῖς καὶ παντὶ τῷ λαῷ, ἤγουν ἑλκύσαι τὴν τοῦ Θεοῦ ἐφ' ἑαυτοὺς καὶ ἐπὶ τὸν λαόν; Καὶ ἐξ ἱστορίας δὲ παλαιᾶς ὑπόδειγμα παρατίθησιν, ὅτι ἑνὸς ἁμαρτήσαντος πολλοὶ ἐκολάσθησαν.

CANON III.

« Amnon ecce Achar Zare filius [1] in eo quod

[1] Jos. VII.

ΚΑΝΩΝ Γ'.

« Οὐκ ἰδοὺ Ἀχὰρ ὁ Ζαρὲ πλημμελείᾳ ἐπλημμέ-

Digitized by Google

« λησε. ἀπὸ τοῦ ἀναθέματος, καὶ ἐπὶ πᾶσαν συν- A « dedicatum erat, peccavit : et in omnem Israel
« αγωγὴν Ἰσραὴλ ἐγενήθη ἡ ὀργή; Καὶ εἷς μό- « synagogam ira pervenit? Atque hic unus solus
« νος οὗτος ἥμαρτε, μὴ μόνος ἀπέθανεν ἐν τῇ ἁμαρ- « peccavit, sed non solus in suo peccato est mor-
« τίᾳ αὐτοῦ. Ἡμῖν δὲ πᾶν τὸ μὴ ἡμέτερον, ἀλλα « tuus. Nobis autem quidquid non nostrum, sed
« ἀλλότριον, τῷ καιρῷ τούτῳ κέρδος, ἀνάθεμα νενο- « alienum est, hoc tempore lucrum, Deo dedica-
« μίσθαι προσήκει. Κἀκεῖνος μὲν γὰρ ὁ Ἄχαρ ἐκ « tum esse existimandum est. Nam et ille quidem
« τῆς προνομῆς ἔλαβε· καὶ αὐτοὶ νῦν ἐκ προνομῆς· « Achar ex præda accepit, et ipsi nunc ex præda
« κἀκεῖνος μὲν τὰ τῶν πολεμίων, οἱ δὲ νῦν τὰ τῶν « accipiunt. Ac ille quidem, ea quæ erant hostium :
« ἀδελφῶν, κερδαίνοντες ὀλέθριον κέρδος. » « qui vero nunc sunt, ea quæ sunt fratrum, pernicioso
« lucro lucrifacientes. »

ΒΑΛΣ. Εἰπὼν ὁ ἅγιος ἀποκηρύττεσθαι ἐκ τῶν πιστῶν τοὺς ἁρπάσαντας τὰ τοῖς αἰχμαλωτισθεῖσι διαφέροντα, καὶ ἀπὸ τῆς βαρβαρικῆς λῃλασίας περιλειφθέντα, καὶ ὅτι διὰ τοὺς οὕτω πολλάκις πταίσαντας καὶ μὴ διορθωθέντας, καὶ εἰς τὸν λαὸν ἡ ὀργὴ τοῦ Θεοῦ ἐπεσωρεύθη, ἐπιφέρει πρὸς κατασκευὴν B τούτων τὴν ἐν τῇ βίβλῳ τοῦ Ἰησοῦ τοῦ Ναυῆ γεγραμμένην ἱστορίαν περὶ τοῦ Ἄχαρ. Ἱστορεῖται γὰρ ὡς τοῦ Ἰησοῦ ἐπαγγειλαμένου ἀνατεθειμένα εἶναι τῷ Θεῷ πάντα τὰ ἀπὸ τῆς Ἱεριχοῦντος σκυλευθησόμενα, ὁ Ἄχαρ μετὰ τὴν ἅλωσιν τῆς πόλεως Ἱεριχοῦντος, γλῶτταν χρυσῆν καὶ ὕφασμά τι ὑφελόμενος, κατέχωσεν αὐτὰ ἐν τῇ σκηνῇ αὐτοῦ. Ὀργισθέντος δὲ τοῦ Θεοῦ διὰ τοῦτο, ἡττήθησαν ἐν τῷ πολέμῳ οἱ Ἰσραηλῖται. Ὅτι δὲ ἄδηλος ἦν ἡ αἰτία τῆς ὀργῆς τοῦ Θεοῦ, γέγονε κλῆρος, καὶ ἔπεσεν ἐπὶ τὸν Ἄχαρ. Κἀκεῖνος, ἀνακρινόμενος, ὡμολόγησε τὸ κλέμμα καὶ τὰ κλαπέντα προσήνεγκε· καὶ ἐλιθοβολήθη αὐτός τε καὶ πάντες οἱ περὶ αὐτὸν, καὶ τὰ ζῶα, καὶ πᾶσα ἡ ὑποσκευὴ αὐτοῦ. Καί φησιν, Ἰδοὺ εἷς ἥμαρτε, καὶ ὠφείλετο ἀπὸ τοῦ ἀναθέματος τῷ C Θεῷ, καὶ διὰ τὴν ἁμαρτίαν ἐκείνου ἀπώλοντο ἐν τῷ πολέμῳ πολλοὶ ἐκ τῆς συναγωγῆς τῶν Ἰσραηλιτῶν· καὶ αὖθις ἡ ἐκδίκησις γέγονεν οὐκ εἰς ἐκεῖνον μόνον, ἀλλὰ καὶ εἰς πάντας τοὺς ἐκείνου. Πρὸς δὲ τὸν ἴσως εἰπόντα διαφορὰν εἶναι τῶν ἀνατεθειμένων τῷ Θεῷ καὶ τῶν διαφερόντων ἰδιώταις, ἀντικαθίσταται ὁ ἅγιος, καὶ κατασκευάζει χείρονα ἐκείνης τῆς πλεονεξίας εἶναι τὴν παροῦσαν ἁρπαγήν ὅτι τε τὰ ἐν τῷ καιρῷ τῆς λῃλασίας τῶν βαρβάρων περιλειφθέντα πράγματα τῶν ἀδελφῶν, ὡς ἀνατεθειμένα τῷ Θεῷ λογίζονται· καὶ ὅτι κἂν ἰσότητα ἔχωσι τὰ παρὰ τῶν Ἄχαρ ἀποσυληθέντα καὶ τὰ παρὰ τούτων ἁρπαγέντα, διὰ τὸ ἐκ προνομῆς ἤτοι αἰχμαλωσίας καὶ ἀμφότερα ἀποκερδανθῆναι, ἀλλ' ἡ ἐκ τούτων αἰτία D μείζων ἐστίν. Ὁ μὲν γὰρ Ἄχαρ τῶν πολεμίων ὑφείλετο· οἱ δὲ νῦν πλεονεκτήσαντες τὰ τῶν ἀδελφῶν ἥρπαζον, τὴν συμφορὰν τούτων κέρδος ὀλέθριον ἡγησάμενοι. Σημείωσαι τὰ παρόντα διὰ τοὺς ἁρπάζοντας τὰ τῶν Ἐκκλησιῶν καὶ τὰ τῶν μοναστηρίων, καὶ ἁπλῶς διὰ τοὺς ἰδιουμένους πάντα τὰ ἀνατεθειμένα τῷ Θεῷ.

ΒΑLS. Cum dixisset sanctus a fidelibus abdicari eos qui rapiunt quæ ad captivos pertinent, et ex barbarica præda relicta fuerunt; et quod propter eos qui sic sæpe lapsi et minime correpti sunt, in populum quoque ira Dei accumulata sit; ad eorum confirmationem inducit Achar historiam in libro Jesu Nave descriptam. Narrat enim quod cum Jesus pronuntiasset omnia Deo esse dedicata spolia, quæ ex Jericho capta essent, Achar postquam urbs Jericho capta esset, aureu lingua et aliqua veste surrepta, ea infodit in suo tentorio. Cum autem Deus propterea succensuisset, in eo bello Israelitæ victi sunt. Quia autem non manifesta erat iræ Dei causa, missa est sors, et cecidit super Achar. Ille autem interrogatus, furtum confessus est, et quæ surrepta sunt, protulit; et lapidibus obrutus est ipse, et omnes sui, et animalia, et tota ejus supellex. Et dicit : Ecce unus peccavit, et ex eo quod Deo dedicatum est, sustulit; et propter illius peccatum, multi perierunt in bello, ex synagoga seu cœtu Israclitarum : et rursus ultio facta est, non in illum solum, sed in omnes suos. Eis autem qui forte dixerant, esse differentiam eorum quæ Deo dedicata fuerant, et eorum quæ ad privatos aliquos pertinent, resistit sanctus; et ostendit hanc rapinam esse illa avaritia deteriorem : et quod eo tempore quo prædæ ab hostibus aguntur, res fratrum relictæ, tanquam Deo dedicatæ reputantur : et quod, quamvis æqualitatem habeant, quæ ab Achar direpta fuere, et quæ ab eis rapta sunt, propterea quod et utraque ex prædatione vel captivitate comparata sunt; corum tamen culpa major est. Achar enim res hostium abstulit : ii autem quos plura habendi libido nunc invasit, bona fratrum rapuerunt; eorum calamitatem, lucrum perniciosum rati. Nota præsentem canonem propter eos qui res Ecclesiarum et monasteriorum rapiunt, et, ut semel dicam, propter eos qui quæ sunt Deo dedicata, tanquam propria vindicant.

ΖΩΝΑΡ. Ἐν τῇ βίβλῳ Ἰησοῦ τοῦ Ναυῆ γέγραπται, ὅτι πολιορκῶν ὁ Ἰησοῦς οὗτος τὴν Ἱεριχῶ, πάντα τὰ ἐν αὐτῇ ἀνάθεμα ἐπηγγείλατο εἶναι Θεῷ. Ἁλωκυίας δὲ τῆς πόλεως, ὁ Ἄχαρ, χρυσὸν καί τι ὕφασμα ἀφελόμενος, κατέχωσεν αὐτὰ ἐν τῇ σκηνῇ αὐτοῦ. Ὀργισθέντος δὲ τοῦ Θεοῦ διὰ τοῦτο, ἡττήθησαν μετὰ ταῦτα ἐν πολέμῳ οἱ Ἰσραηλῖται, καὶ ἔπεσον πολλοί. Ζητουμένου δὲ αἰτίου τῆς τοῦ Θεοῦ ὀρ-

ZONAR. Scriptum est in libro Jesu Nave, quod cum obsideret Jesus Jericho, quæcunque in illa erant, Deo dedicata pronuntiavit. Expugnata autem urbe, Achar sublato auro ac quodam indumento, illa in suo tabernaculo defodit. Quam ob causam irato Deo, victi sunt in bello post hæc Israelitæ, multique cecidere. Porro cum divinæ iracundiæ causa quæreretur, missis sortibus Achar est designatus : ac

Digitized by Google

is quæstione habita furtum confessus est, eaque quæ furatus fuerat protulit, ipseque cum uxore et liberis, ejusque tabernaculum, et jumenta 29 lapidibus obruta sunt. Ecce igitur, inquit, unus peccavit, perierunteque in bello Israelitæ multi, ac illi omnes. Amplificat porro hic magnus Pater illius temporis avaritiam, ac utrumque comparans, crimen hoc gravius quam quod ab Achar admissum est demonstrat. Ex præda siquidem, inquit, Achar ea sustulit quæ furatus est, ac isti pariter ex præda : cæterum ille res hostium rapuit, hi vero fratrum ; quod gravius malum efficit. Infert deinde, quippe dicentibus quibusdam se hæc invenisse projecta, cum nemo forte illa sibi assereret, neque quorum essent novisse; ac ipsis quæ in Deuteronomio et Exodo habentur opponit, ac dicit ; eis qui ejusmodi loquebantur sic ait Pater :

A γῆς, ὁ κλῆρος ἐπὶ τοῦ Ἄχαρ ἔπεσε· κἀκεῖνος ἀναχρινόμενος ὡμολόγησε τὸ κλέμμα, καὶ τὰ κλαπέντα προσήνεγκε· καὶ ἐλιθοβολήθη αὐτὸς καὶ ἡ γυνὴ, καὶ οἱ παῖδες αὐτοῦ, καὶ ἡ σκηνὴ, καὶ τὰ ζῶα. Ἰδοὺ οὖν, φησὶ, εἷς ἥμαρτε, καὶ ἀπώλοντο ἐν τῷ πολέμῳ Ἰσραηλῖται πολλοί· οἱ ἐκεῖνοι πάντες. Εἶτα καὶ ἐξαίρει ὁ μέγας οὗτος Πατὴρ τὴν τότε πλεονεξίαν· καὶ χείρονα εἶναι κατασκευάζει ἁμαρτίαν παρὰ τὴν τοῦ Ἄχαρ, συγκρίνων ἄμφω. Καὶ γὰρ ὁ Ἄχαρ, φησὶν, ἐκ προνομῆς ἔλαβεν ἃ ὑφείλετο, καὶ οὗτοι ὁμοίως ἐκ προνομῆς· ἀλλ' ἐκεῖνος μὲν τὰ τῶν πολεμίων ἔλαβεν, οὗτοι δὲ τὰ τῶν ἀδελφῶν· ὅπερ μεῖζον ποιεῖ τὸ κακόν. Εἶτα ἐπιφέρει, ὥς τινων λεγόντων ὅτι Εὕρομεν ταῦτα ἐρριμμένα τυχὸν, μή τινος ἀντιποιουμένου αὐτῶν, καὶ οὐδὲ ἤδειμεν τίνων ἦσαν, καὶ ἀντιτίθησιν αὐ- B τοῖς τὰ τοῦ Δευτερονομίου καὶ τὰ τῆς Ἐξόδου· καὶ φησὶν πρὸς τοὺς (32') λέγοντας τὰ εἰρημένα φησὶν ὁ Πατήρ·

CANON IV.

« Nemo seipsum seducat, neque tanquam invenerit : neque enim fas est ei qui invenit lucrifacere. Dixit enim Deuteronomium : *Viso fratris tui vitulo, et ove errante in via, ea ne despexeris, sed ea restitutione restitues fratri tuo. Sin autem frater tuus ad te non approximet, neque ipsum noveris, coges ea et apud te erunt, donec ea frater tuus quæsierit, et reddes ea ; et sic facies de ejus asino, et sic facies de ejus veste ; et sic facies post omnem perditionem fratris, quæcunque ipsi perierint, et tu ea inveneris* [1]. Hæc Deuteronomium. In Exodo autem, non solum si quis res fratris, sed etiam C inimici invenerit, *Restitutione*, inquit, *restitues ipsa domui domini ipsorum* [2]. Si autem ab eo qui in pace et in otio delicate vitam transfigit, nec de suis est sollicitus, sive frater sit, sive inimicus, non licet lucrari; quanto magis ab eo qui rebus adversis premitur, et hostes fugit, et necessitate coactus propria relinquit? »

ΚΑΝΩΝ Δ'.

« Μηδεὶς ἐξαπατάτω ἑαυτὸν, μήτε ὡς εὑρών· οὔτε « γὰρ εὑρόντα κερδαίνειν ἔξεστι. Φησὶ γὰρ τὸ Δευτε« ρονόμιον· *Μὴ, ἰδὼν τὸν μόσχον τοῦ ἀδελφοῦ σου « καὶ τὸ πρόβατον πλανώμενα ἐν τῇ ὁδῷ, πε« ριΐδῃς αὐτὰ, ἀποστροφῇ ἀποστρέψεις αὐτὰ τῷ « ἀδελφῷ σου. Ἐὰν δὲ μὴ ἐγγίζῃ ὁ ἀδελφός « σου πρὸς σὲ, μηδὲ ἐπίστασαι αὐτὸν, συν« άξεις αὐτὰ, καὶ ἔσται μετὰ σοῦ, ἕως ἂν ἐκ« ζητήσῃ αὐτὰ ὁ ἀδελφός σου, καὶ ἀποδώσεις « αὐτά. Καὶ οὕτω ποιήσεις τὸν ὄνον αὐτοῦ, καὶ « οὕτω ποιήσεις τὸ ἱμάτιον αὐτοῦ, καὶ οὕτω ποιή« σεις μετὰ πᾶσαν (33) ἀπώλειαν τοῦ ἀδελφοῦ « σου, ὅσα ἂν ἀπόληται παρ' αὐτοῦ, καὶ εὑρή« σῃς αὐτά.* Ταῦτα τὸ Δευτερονόμιον. Ἐν δὲ τῇ « Ἐξόδῳ, οὐ μόνον ἐὰν τὰ τοῦ ἀδελφοῦ τις εὕρῃ, « ἀλλὰ καὶ ἐχθροῦ, *Ἀποστροφῇ*, φησὶν, *ἀποστρέ« ψεις αὐτὰ εἰς τὸν οἶκον τοῦ κυρίου αὐτῶν.* Εἰ « δὲ ἐν εἰρήνῃ ῥᾳθυμοῦντος καὶ τρυφῶντος καὶ τῶν « ἰδίων ἀμελοῦντος ἀδελφοῦ ἢ ἐχθροῦ, κερδᾶναι οὐκ « ἔξεστιν, πόσῳ μᾶλλον δυστυχοῦντος καὶ πολεμίους « φεύγοντος, καὶ κατὰ ἀνάγκην τὰ ἴδια ἐγκαταλι« πόντος ; »

Bals.—Est verisimile dixisse aliquos se non rapuisse res fratrum suorum captivorum : sed eas, inquiebant, disjectas invenimus, nec sciebamus cujusnam erant, et propterea nulla in nos cadit reprehensio. Adversus eos ergo opponit sanctus Deuteronomium et Exodum : et dicit, quod etiamsi aliquis disjectas neglectuique habitas eo tempore res invenerit, ipsarum autem dominum ignoraverit, ne sic quidem eas lucrari permittitur. Debet enim eas servare, donec earum dominus illas cognoverit et quæsierit. Deinde infert, quod si lege Mosaica nulli licet, ea quæ ad alios pertinent, tanquam sua sibi propria ascribere, sive ii sint amici, sive inimici, etiamsi tempore pacis neglectui habita sint, sed cogitur ea dominis ipsorum restituere, quamvis luxuriose et delicate vivant, nec proprias res invenire

ΒΑΛΣ. Εἰκὸς ἦν εἰπεῖν τινὰς ὅτι Οὐχ ἡρπάσαμεν τὰ τῶν αἰχμαλωτισθέντων ἀδελφῶν, ἀλλ' εὑρομεν αὐτὰ ἐρριμμένα, καὶ οὐκ ἤδειμεν τίνων ἦσαν, καὶ διὰ τοῦτο ἀκαταιτίατοι νομιζόμεθα. Πρὸς γοῦν τούτους ἀντιτίθησιν ὁ ἅγιος τὰ τοῦ Δευτερονομίου καὶ τὰ τῆς Ἐξό- D δου, καὶ φησιν, ὡς κἂν ἐρριμμένα καὶ ἀνεπιμέλητα καὶ ἐν καιρῷ τοιούτῳ εὑρήσῃ τις πράγματα, ἀγνοῇ δὲ καὶ τὸν δεσπότην αὐτῶν, οὐδὲ οὕτως ἐκχωρεῖται κερδᾶναι αὐτά. Χρεωστεῖ γὰρ φυλάξαι αὐτὰ, ἕως ἂν ὁ κύριος αὐτῶν γνῷ καὶ ζητήσῃ αὐτά. Εἶτα προσεπάγει ὅτι, ἐὰν κατὰ τὴν Μωσαϊκὴν νομοθεσίαν οὐκ ἔξεστί τινι ἰδιοῦσθαι τὰ ἑτέροις ἀνήκοντα πράγματα, κἂν φίλοι ὦσιν οὗτοι, κἂν ἐχθροὶ, κἂν ἀνεπιμέλητα ὦσι, καὶ ταῦτα ἐν καιρῷ εἰρήνης, ἀλλὰ ἀναγκάζεται ἀποκαθιστᾷν αὐτὰ πρὸς τοὺς δεσπότας τούτων καὶ τρυφῶντας, καὶ μηδὲ ἐπιστρεφομένους τῆς τῶν ἰδίων

[1] Deut. xxii, 1, 3. [2] Exod. xxiii, 4.

(32') *Καὶ φησὶν· πρὸς τούς.* Forte legendum : καὶ πρὸς τούς. Edit. Patrol.
(33) *Μετὰ πᾶσαν* LXX, *κατὰ πᾶσαν ἀπώλειαν.*

Digitized by Google

εὑρέσεως· πόσῳ μᾶλλον ὀφείλει ὁ εὑρὼν ἀδελφοῦ δυστυχοῦντος καὶ αἰχμαλωτισθέντος ἢ καὶ φεύγοντος τοὺς βαρβάρους, πράγματα, καὶ κατὰ τοσαύτην ἀνάγκην ἀτημέλητα καταλιπόντος τὰ οἰκεῖα, ἀποκαθιστᾷν αὐτὰ πρὸς τὸ μέρος τοῦ οὕτω δυσπραγοῦντος ἀνθρώπου; Καὶ ὁ μὲν ἅγιος ταῦτα ἐθέσπισε· καὶ ἐφεξῆς διδάσκει πῶς ὀφείλουσιν ἐπιτιμᾶσθαι οἵ τε ἁρπάσαντες τὰ τοιαῦτα πράγματα, καὶ οἱ μὴ ἁρπάζοντες, ἀλλὰ εὑρόντες· πρὸς δὲ καὶ οἱ μετὰ τὴν εὕρεσιν μὴ ἀποκαθιστῶντες αὐτά. Ὁ δὲ πολιτικὸς νόμος φησὶν ἐν θέματι ε', τοῦ μγ' κεφαλαίου, τοῦ ιβ' τίτλου, τοῦ ξ' βιβλίου, ταῦτα ῥητῶς· Ὃ τὸ ἀλλότριον πρᾶγμα ἐρριμμένον λαμβάνων ἐπὶ τῷ κερδᾶναι, κἂν ἀγνοῇ τίνος ἐστὶν, ὑπόκειται τῇ περὶ κλοπῆς ἀγωγῇ· εἰ μὴ ἄρα ἀπρονόητον ὁ δεσπότης εἶασεν αὐτό· τότε γὰρ κἂν ὡς κλέπτων αὐτὸ ἔλαβεν, ἐπειδὴ ἐπαύσατο αὐτοῦ εἶναι, οὐχ ὑπόκειται. Κλοπὴ γὰρ οὐ γίνεται μὴ ὄντος τοῦ κλοπὴν ὑφισταμένου. Εἰ δὲ τὸ μὴ ὂν ἀπρονόητον ἐνόμισεν ἀπρονόητον, οὐκ ἔστι κλέπτης· εἰ δὲ μὴ ἦν ἀπρονόητον, μήτε ἐνόμισεν, ἔλαβε δὲ, ἐπὶ τῷ δοῦναι τῷ εὑρισκομένῳ δεσπότῃ, οὐχ ὑπόκειται τῇ περὶ κλοπῆς ἀγωγῇ, κἂν εὕρετρα λάβῃ. Ὡσαύτως καὶ τὸ ξα' κεφ. τοῦ γ' τίτλου τοῦ ε' βιβλίου οὕτω διαλαμβάνει· Ἐάν τις ἀπόντος πρᾶγμα κατέσχε σχολάζον, οὐκ ἐνήγετο τὸ παλαιὸν ἢ τῷ περὶ βίας παραγγέλματι, ἢ τῷ, Ὅπερ βίᾳ ἢ λάθρᾳ, εἰ μὴ ἄρα τῇ τὰ ἴδια ἐκδικούσῃ ἀγωγῇ, ἐν ᾧ δεσπότης ἦν ὁ ἀπών. Ἡμεῖς οὖν, ὡς νομέα ὄντα, βουλόμεθα κρατεῖσθαι τῷ περὶ βίας γενικῷ παραγγέλματι· γελοῖον γὰρ ἐστι τὸ λέγειν, ὅτι ἐνόμιζον ἴδιον τὸ ἀλλότριον· ὥσπερ οὖν καὶ ἐπὶ τῆς περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγῆς εἴπομεν, ὅτι ὁ παρὰ γνώμην τοῦ δεσπότου ψηλαφῶν κλοπὴν ἁμαρτάνει. Ταῦτα δέ φαμεν, ἐὰν μὴ τριακονταετία παρῆλθεν ἐξ οὗ τῆς νομῆς ἐπελάβετο. Σημείωσαι τὰ ἐνταῦθα γεγραμμένα περὶ τῶν πραγμάτων τῶν αἰχμαλώτων. Ἀνάγνωθι καὶ βιβλ. λδ', τιτ. α', κεφ. ιζ', λέγον· Τοὺς ἀναληφθέντας παρὰ τῶν πολεμίων ἀγροὺς οἱ πρώην ἀναλαμβάνουσι δεσπόται· οὐ γὰρ ἐν τάξει πραίδας εἰσὶν οὐδὲ δημόσιοι γίνονται. Οὐ γὰρ τῶν πολεμίων λαμβανόμενοι, γίνονται δημόσιοι. Σημείωσαι οὖν, ὅτι καὶ ἀπὸ τῶν κανόνων καὶ ἀπὸ τῶν νόμων οὐ μόνοι οἱ τὰ τῶν αἰχμαλωτισθέντων ἀποσυλῶντες ἢ ἁρπάζοντες κολάζονται καὶ ἐνέχονται, ἀλλὰ καὶ οἱ εὑρεμά τι ἢ ἀκίνητον σχολάζον λέγοντες ἐφευρεῖν, καὶ μὴ αὐτίκα τὸ πρᾶγμα κατάδηλον ποιούμενοι, καὶ φυλάττοντες αὐτὸ εἰς δνομα τοῦ δεσπότου, κατὰ μὲν τὸν ἐκκλησιαστικὸν νόμον ἐπιτιμηθήσονται, κατὰ δὲ τὸν πολιτικὸν ἢ ὡς κλέπται τιμωρηθήσονται, ἐάν ἐστι τὸ πρᾶγμα κινητὸν, ἢ τῷ περὶ βίας παραγγέλματι, ἐάν ἐστιν ἀκίνητον. Ὅταν δὲ ἀπρονόητόν ἐστι τὸ εὑρεθὲν, τὸ παρὰ τοῖς νόμοις καλούμενον προδερέλικτον, οὐ κολάζεται παρομοίως ὁ τοῦτο κατασχών· ἀλλ' εἰ μὲν κινητόν ἐστιν, ἀναγκάζεται αὐτὸ ἀποδοῦναι, καὶ μόνον, εἰ μὴ ἐδέσποσεν αὐτὸ, ὡς καλῇ πίστει νομεὺς. ἐντὸς τριετίας· εἰ δὲ ἀκίνητον, αὐτὸ ἐκεῖνο τὸ κατασχεθὲν ὡς προδερέλικτον, εἰ μὴ γέγονε τούτου δεσπότης, ἐντὸς δεκαετίας. Σχολάζοντος δὲ καὶ ἀπρονοήτου μεγάλη διαφορά. Τὸ μὲν γὰρ

curent : quanto magis debet is qui res invenit fratris adversa fortuna utentis, et in captivitatem abducti, vel barbaros fugientis, et qui in tanta necessitate sua neglecta reliquit, eas tam infortunato homini restituere? Atque hæc quidem sanctus describit : et docet deinceps quomodo puniri debeant, et qui res eas rapuerunt, et qui non rapuerunt, sed invenerunt, et qui postquam invenerunt eas non restituerunt. Lex autem civilis hæc expresse dicit in themate 5, cap. 43, tit. 12, lib. LX : Qui rem alienam abjectam accipit, ut eam lucretur, etiamsi ignorat cujus sit, est furti actioni obnoxius : nisi forte dominus eam ita reliquerit, ut cujus nullam curam gerat. Tunc enim etiamsi ut ea furans ceperit, quoniam ipsius esse desiit, furti non tenetur. Non enim fit furtum, nisi sit cui furtum fiat. Si autem quod non est pro derelicto habitum, pro derelicto esse habitum existimavit, non est fur; si autem nec pro derelicto habebatur, nec pro derelicto haberi existimavit, accepit autem ut domino invento redderet, actione furti non tenetur, etiamsi 30 pro inventione pretium acceperit. Similiter et 61 cap., 3 tit., L lib. sic habet : Si quis absentis rem vacantem detinuisset, non tenebatur olim vel interdicto de vi, vel interdicto, Quod vi aut clam, nisi utique rei vindicatione, quatenus absens erat dominus. Nos ergo volumus eum ut qui sit possessor, generali de vi interdicto teneri. Est enim ridiculum dicere quod proprium existimabant id quod est alienum : quemadmodum et de furti in duplum actione diximus, quod qui præter domini sententiam ac voluntatem contrectat, furtum committit. Hæc autem dicimus nisi XXX annorum spatium præterierit, ex quo possessionem apprehendit. Nota quæ hic de captivorum rebus scripta sunt. Lege etiam lib. XXXIV, tit. 1, cap. 17, dicens : Receptos ab hostibus agros, qui prius erant domini recipiunt ; non enim loco prædæ sunt, neque publicantur. Qui ex hostibus enim rapiuntur, non fiunt publici. Nota ergo quod etiam et canonibus et legibus, non solum qui captivorum res deprædantur et diripiunt, puniuntur et tenentur; sed etiam ii qui rem immobilem vacantem invenisse se dicunt, et non statim rem aperiunt, et eam nomine domini possident; secundum legem quidem ecclesiasticam eis pœnitentia injungetur ; secundum civilem autem, vel ut fures puniuntur, si res erit mobilis, vel interdicto de vi, si erit immobilis. Quando autem, quod inventum neglectum est, quod a legibus proderelictum nuncupatur, non similiter punitur, qui id detinuit. Sed si sit quidem res mobilis, cogitur eam domino restituere, et solum nisi ejus dominium assecutus sit, ut bonæ fidei possessor, intra triennium; si autem illud immobile, quod pro derelicto detentum est, nisi ejus factus sit dominus, intra decennium. Vacantis autem, et ejus quod pro derelicto habetur, magna est differentia. Quod enim vacat, animo possidemus, etiamsi id naturaliter non possidemus; quod autem pro derelicto, nec civiliter, nec naturaliter possidemus; et ideo a bonæ

Digitized by Google

fidei posse sore ejus dominium acquiritur. Hæc autem locum non habent in iis quæ ad captivos pertinent; et ideo qui ea detinent, et non restituunt, ut superius dictum, citra ullam distinctionem, et tenentur, et puniuntur.

Α σχολάζον ψυχῇ νεμόμεθα, κἂν φυσικῶς αὐτὸ σὸ κατέχομεν· τὸ δὲ προδερέλικτον οὐδὲ νομίμως οὐδὲ φυσικῶς κατέχομεν· καὶ διὰ τοῦτο δεσπόζεται παρὰ τοῦ καλῇ πίστει νεμηθέντος αὐτό. Ταῦτα δὲ χώραν οὐκ ἔχουσιν ἐπὶ τῶν ἀνηκόντων τοῖς αἰχμαλωτισθεῖσι· καὶ διὰ τοῦτο οἱ κατέχοντες αὐτὰ καὶ μὴ ἀποκαθιστῶντες, ὡς ἄνωθεν εἴρηται, ἀδιαστίκτως καὶ ἐνέχονται καὶ κολάζονται.

Zonar. Ne quispiam se ipsum seducat, quasi rem fratris projectam fortasse planeque neglectam invenerit. Nam etsi ita inveniat ipsam, lucrari haud fas est, sibique rem alienam vindicare, etiamsi forte ignoret dominum; sed illam sumere oportet, ac usque illam dominus norit ac requirat, servare. Tum Deuteronomii ac Exodi locos profert, ita disserens: Si pacis tempore frater tuus, aut inimicus tuus ex negligentia rem suam perdat, haud fas est, si eam invenieris, tibi propriam vindicare, sed ei qui perdidit servari antiqua lex jubet; quanto magis si res inveneris fratris tui qui aufugit, aut in servitutem abductus est, ab ipso relictas, servare illas ac infortuniis presso reddere oportebit?

ΖΩΝΑΡ. Ὅτι μὴ ἐξαπατάτω τις ἑαυτὸν, ὡς εὑρὼν τὸ τοῦ ἀδελφοῦ πρᾶγμα ἐῤῥιμμένον ἴσως καὶ ἀνεπιμέλητον κείμενον. Κἂν γὰρ οὕτως εὕρῃ αὐτὸ, οὐκ ἔξεστι κερδῆσαι αὐτὸ καὶ οἰκειώσασθαι τὸ ἀλλότριον κἂν ἴσως ἀγνοῇ τὸν δεσπότην τοῦ πράγματος· χρεωστεῖ γὰρ λαβεῖν αὐτὸ, καὶ φυλάξαι ἕως ὁ κύριος αὐτοῦ γνῷ καὶ ζητήσῃ αὐτό. Καὶ τὰ τοῦ Δευτερονομίου καὶ τὰ τῆς Ἐξόδου ἐπάγει λέγων ὅτι, Ἐὰν ἐν καιρῷ Β εἰρήνης ὁ ἀδελφός σου ἢ ὁ ἐχθρός σου ἐκ ῥᾳθυμίας ἀπολέσῃ τὸ ἴδιον, οὐκ ἔξεστί σοι εὑρόντι αὐτὸ κέρδος ἴδιον ποιήσασθαι, ἀλλὰ ἐπανασῶσαι τῷ ἀπολέσαντι αὐτὸ ἀπαιτῇ κατὰ τὸν νόμον τὸν παλαιόν· πόσῳ μᾶλλον, ἐὰν τοῦ φεύγοντος ἀδελφοῦ σου ἢ τοῦ αἰχμαλωτισθέντος εὑρήσεις πράγματα παρ' αὐτῶν ἐγκαταλειφθέντα, χρή σε φυλάξαι αὐτὰ καὶ ἀποδοῦναι τῷ δυσπραγοῦντι;

CANON V.

« Alii autem seipsos seducunt, pro propriis quæ « perierunt, aliena quæ invenerunt, detinentes: « ut quoniam Boradi et Gothi eis hostilia fecerunt, « ipsi sint aliis Boradi et Gothi. Propterea ergo « fratrem et consenem nostrum Euphrosynum ad « vos misimus, ut secundum formam quæ hic est, « et ipse det similiter, et quorum accusationes ad- C « mittere oporteat, et quos a precibus abdicare. »

ΚΑΝΩΝ Ε'.

« Ἄλλοι δὲ ἑαυτοὺς ἐξαπατῶσιν, ἀντὶ τῶν ἰδίων « τῶν ἀπολομένων ἃ εὗρον ἀλλότρια κατέχοντες· ἵνα « ἐπειδὴ αὐτοῖς Βοράδοι καὶ Γότθοι τὰ τοῦ πολέμου « εἰργάσαντο, αὐτοὶ ἄλλοις Βοράδοι καὶ Γότθοι γί- « νωνται. Ἀπεστείλαμεν οὖν τὸν ἀδελφὸν καὶ συγγέ- « ροντα Εὐφρόσυνον διὰ ταῦτα πρὸς ὑμᾶς, ἵνα κα- « τὰ τὸν ἐνθάδε τύπον καὶ αὐτὸς δῴῃ ὁμοίως καὶ « ὧν δεῖ τὰς κατηγορίας προσίεσθαι, καὶ οὓς δεῖ ἐκ- « κηρύξαι τῶν εὐχῶν.»

Bals. Postquam sanctus, quæ erant consentanea respondit iis qui dicebant se ut dejectas et neglectui habitas res captivorum invenisse et propterea ea sibi vindicasse; nunc iis respondet, qui, quæ ad captivos pertinebant, pro iis quæ sibi ab hostibus prius ablata fuerant, vindicabant. Dicit enim et hoc esse fraudem et 31 inanem prætextum. Neque enim æquum est, ut qui ex bello barbarico detrimentum acceperint, non toleranter ferant, sed sint ipsi hostes fratrum, et alii in ipsos barbari appellentur. Propterea, inquit, misimus ad vos fratrem Euphrosynum, ut juxta formam hic traditam, seu quemadmodum hic fecimus, isthic quoque det formam ut sic vos faciatis. Deinde dicit: Euphrosynus vos docebit quosnam et adversus quos accusantes admittere, et quosnam ab Ecclesia et fidelium communione abdicare oporteat.

ΒΑΛΣ. Ἀπολογησάμενος ὁ ἅγιος τὰ εἰκότα πρὸς τοὺς λέγοντας, ὡς ἐῤῥιμμένα καὶ ἀτημέλητα εὑρεῖν τὰ τῶν αἰχμαλωτισθέντων πράγματα, καὶ διὰ τοῦτο ἰδιώσασθαι αὐτά· ἄρτι ἀπολογεῖται πρὸς τοὺς ἀντιποιουμένους τῶν διαφερόντων τοῖς αἰχμαλωτισθεῖσιν ἀντὶ τῶν φθασάντων παρὰ τῶν πολεμίων ἁφαιρεθῆναι πραγμάτων αὐτῶν. Φησὶ γὰρ ὡς καὶ τοῦτο ἀπάτη ἐστὶ καὶ ματαία πρόφασις. Οὐδὲ γὰρ δίκαιόν ἐστι τούτους γεγονότας παρανάλωμα πολεμίου βαρβαρικοῦ μὴ καρτερῆσαι, ἀλλὰ γενέσθαι αὐτοὺς πολεμίους τῶν ἀδελφῶν, καὶ χρηματίσαι εἰς τούτους ἄλλους D βαρβάρους. Διὰ ταῦτα ἀπεστείλαμεν, λέγει, τὸν ἀδελφὸν Εὐφρόσυνον πρὸς ὑμᾶς, ἵνα κατὰ τὸν ἐνταῦθα τύπον, ἤγουν, καθὼς ἡμεῖς ἐνταῦθα ἐποιήσαμεν, δῴῃ τύπον καὶ αὐτόθι ὥστε οὕτω ποιεῖν ὑμᾶς. Εἶτά φησιν ὡς ὁ αὐτὸς Εὐφρόσυνος ἀναδιδάξει τίνας δεῖ προσδέχεσθαι κατηγοροῦντας κατά τινων, καὶ τίνας χρὴ ἀποκηρύττειν τῆς Ἐκκλησίας καὶ τῆς κοινωνίας τῶν πιστῶν.

Zonar. Nonnulli, inquit, amissis rebus suis, ac aliena invenientes, pro iis quæ amiserunt ea detinere se asserunt, seipsos decipientes. Quod enim, ait, illis fuere hostes barbari, hoc ipsi fiunt fratribus. Barbari res illorum rapuerunt, ac illi fratrum. Propterea, inquit, [Euphrosynum] ad vos misimus, ut secundum formam hic observatam vos quoque

ΖΩΝΑΡ. Τινὲς, φησὶν, ἀπολέσαντες οἰκεῖα πράγματα, καὶ εὑρόντες ἀλλότρια, λέγουσι κατέχειν αὐτὰ, ἀνθ' ὧν ἀπώλεσαν, ἐξαπατῶντες ἑαυτούς. Ὅπερ γὰρ, φησὶν, ἐγένοντο ἐκείνοις οἱ πολέμιοι βάρβαροι, τοῦτο γίνονται αὐτοὶ τοῖς ἀδελφοῖς. Ἥρπασαν οἱ βάρβαροι τὰ ἐκείνων, κἀκεῖνοι τὰ τῶν ἀδελφῶν. Διὰ ταῦτα ἀπεστείλαμεν, λέγει, ἵνα κατὰ τὸν ἐνταῦθα τύπον,

Digitized by Google

καὶ αὐτόθι ὥστε οὕτως ὑμᾶς ποιεῖν, καὶ τίνας δεῖ κατηγοροῦντάς τινων προσδέχεσθαι, καὶ οὓς ἐκκηρύξαι, ἤγουν τίνας τῆς Ἐκκλησίας ἐξῶσαι, καὶ τῶν πιστῶν χωρίσαι, ὥστε μὴ συνεύχεσθαι αὐτοῖς. Τίνας δὲ δεῖ κατηγοροῦντας προσδέχεσθαι, τὸ ἕκτον κεφάλαιον τῆς δευτέρας οἰκουμενικῆς συνόδου διδάσκει. Ἀναγνωστέον καὶ τὰ ἐκεῖ γεγραμμένα.

A illic faciatis, et quorum accusationes et contra quos oporteat admittatis, et quos decet abdicetis, hoc est ejiciatis ab Ecclesia, atque a fidelibus segregetis, ne cum ipsis una precentur. Porro quorumnam accusationes admittendæ sint, sextum secundæ œcumenicæ synodi caput docet. Legantur etiam quæ ibi scripsimus.

ΚΑΝΩΝ Ϛ'.

« Περὶ τῶν βίᾳ κατεχόντων τοὺς ἐκ τῶν βαρβάρων « αἰχμαλώτους. Ἀπηγγέλθη δέ τι ἡμῖν καὶ ἄπιστον « ἐν τῇ χώρᾳ ὑμῶν γενόμενον, πάντως που ὑπὸ « ἀπίστων καὶ ἀσεβῶν καὶ μὴ εἰδότων μηδὲ ὄνομα « Κυρίου, ὅτι ἄρα εἰς τοσοῦτόν τινες ὠμότητος καὶ « ἀπανθρωπίας προεχώρησαν, ὥστε τινὰς τοὺς διαφυγόντας αἰχμαλώτους βίᾳ κατέχειν. Ἀποστείλατέ « τινας εἰς τὴν χώραν, μὴ καὶ σκηπτοὶ πέσωσιν ἐπὶ B « τοὺς τὰ τοιαῦτα πράσσοντας. »

CANON VI.

« De iis qui captivos ex barbaris fugientes vi detinent. Denuntiatum autem est nobis quidpiam incredibile in vestra regione factum esse, omnino « ab infidelibus et impiis, et qui ne nomen quidem « Domini novere; quod nonnulli eo inhumanitatis « crudelitatisque processere, ut captivos aliquos qui « effugerunt, vi retineant Mittite aliquos in regionem, ne vel fulmina in eos cadant qui hæc « agunt. »

ΒΑΛΣ. Ἔμαθεν ὁ ἅγιος ὡς τινες ὀρθόδοξοι αἰχμάλωτοι, τὰς βαρβαρικὰς χεῖρας διαφυγόντες, κατέχονται ὑπό τινων κατὰ βίαν, καὶ οὐ παραχωροῦνται οἴκαδε ὑποστρέφαι. Φησὶν οὖν πρὸς οὓς ἀπεστάλη τὸ ἐπιστολιμαῖον τοῦτο γράμμα, ὡς τοῦτο καὶ ἄπιστον ἐλογίσθη αὐτῷ· ἔργον γάρ ἐστιν ἀπίστων καὶ ἀσεβῶν. Εἰ δὲ γέγονεν, ἀνεκδίκητον οὐκ ἔσται. Διὸ καὶ ὀφείλουσι τὰ περὶ τούτου πολυπραγμονηθῆναι, καὶ ἀποστεῖλαι εἰς τὴν χώραν καὶ ἐρευνῆσαι. Νομίζει γὰρ ὡς καὶ σκηπτὸς, ἤγουν πῦρ, ἐκ τοῦ οὐρανοῦ ἔπεσε, καὶ κατέφλεξε τοὺς ταῦτα πράσσοντας.

Balsamon. Accepit sanctus quod quidam captivi orthodoxi, postquam manus barbaricas evasere, vi a quibusdam detinentur, nec domum reverti sinuntur. Dicit ergo iis, ad quos scriptum hoc epistolare missum est, quod hoc ei incredibile visum est: est enim infidelium et impiorum opus. Sin autem factum est, non remanebit impunitum. Et ideo debent hæc diligenter inquiri, et mitti in regionem qui hæc perscrutentur. Existimat enim, quod etiam fulmen seu ignis sit casurus, et eos qui hæc agunt exusturus.

ΖΩΝΑΡ. Τινὲς, φησὶν ὡς ἐμάθομεν, αἰχμαλώτους διαφυγόντας τοὺς πολεμίους, βίᾳ κατέχουσιν· οἵτινες πάντως ἄπιστοί εἰσι καὶ ἀσεβεῖς, καὶ οὐδὲ Θεοῦ ἐπίγνωσιν ἔχουσιν. Ἀπαιτεῖ οὖν ὁ ἅγιος τοὺς πρὸς οὓς γράφει, ἀποστεῖλαι εἰς τὴν χώραν καὶ ἐρευνῆσαι περὶ τοῦ πράγματος, ἵνα μὴ πῦρ, φησὶν, ἐξ οὐρανοῦ πέσῃ καὶ καταφλέξῃ τοὺς ταῦτα πράσσοντας. Τοῦτο δὲ εἶπε, τὴν ἀτοπίαν δεικνύων τῆς πράξεως.

Zonar. Nonnulli, inquit, ut didicimus, captivos ex hostibus diffugientes vi retinent: qui sunt omnino infideles et impii, neque vel Deum norunt. Proinde sanctus vir ab iis ad quos scribit, postulat mitti homines qui de hac re inquirant; ne, inquit, ignis cadat cœlitus, ac eos qui hæc agunt absumat. Hoc autem dixit, facinoris gravitatem indicans.

ΚΑΝΩΝ Ζ'.

« Περὶ τῶν ἐγκαταλεχθέντων τοῖς βαρβάροις, καὶ « ἄτοπά τινα κατὰ τῶν ὁμοφύλων τολμησάντων. Τοὺς « μὲν οὖν ἐγκαταλεχθέντας τοῖς βαρβάροις καὶ μετ' « αὐτῶν ἐν αἰχμαλωσίᾳ ἐπελθόντας, ἐπιλαθομένους, « ὅτι ἦσαν Ποντικοὶ καὶ Χριστιανοὶ, ἐκβαρβαρωθέντας δὲ ὡς καὶ φονεύειν τοὺς ὁμοφύλους ἢ ξύλῳ ἢ « ἀγχόνῃ, ὑποδεικνύναι δὲ ἢ ὁδοὺς ἢ οἰκίας ἀγνοοῦσι « τοῖς βαρβάροις· καὶ τῆς ἀκροάσεως ἀπεῖρξαι δεῖ, D « μέχρις ἂν κοινῇ περὶ αὐτῶν τι δόξῃ συνελθοῦσι τοῖς « ἁγίοις, καὶ πρὸ αὐτῶν τῷ ἁγίῳ Πνεύματι. »

32 CANON VII.

« De iis qui inter barbaros annumerati sunt, et « absurda quædam in eos qui sui generis fecerunt. Eos itaque qui inter barbaros enumerati « sunt, et cum eis in captivitate invaserunt, obliti « se esse Ponticos et Christianos, efferati autem « barbarique redditi, ut et eos qui sui sunt generis, « vel ligno vel suffocatione interficiant, vias autem « vel domos nescientibus barbaris ostendant; etiam « ab auditione arcere oportet, donec de iis congregatis sanctis aliquid communiter visum fuerit, « et ante eos sancto Spiritui. »

ΒΑΛΣ. Τοὺς μέντοι μετὰ τὸ αἰχμαλωτισθῆναι τοῖς βαρβάροις ὁμοφρονήσαντας, καὶ μετ' αὐτῶν οἷον βαρβαρωθέντας, καὶ τοὺς ὁμοφύλους Χριστιανοὺς φονεύσαντας, ἢ ὁδοὺς ἀγνοουμένας τοῖς βαρβάροις, καὶ ἀπαγούσας εἰς Χριστιανοὺς ὑποδείξαντας, ἢ οἰκίας τούτων καταδήλους τοῖς πολεμίοις ποιήσαντας, μηδὲ εἰς ἀκρόασιν τῶν θείων δοξολογιῶν παραδεχθῆναι διορίζεται· ἀλλὰ ἔξω παντελῶς τῆς ἐκκλησίας ἱστασθαι αὐτοὺς ἐν τόπῳ προσκλαιόντων πάντως μετὰ τὴν ἐξομολόγησιν ἢ τὴν καταδίκην, ἕως ἂν σκοπήσωσιν οἱ ἅγιοι περὶ αὐτῶν κοινῇ συνελθόντες. Ἁγίους

Balsamon. Eos quidem qui postquam captivi facti sunt, barbaris consenserunt, et cum eis veluti barbari effecti sunt, et sui generis Christianos interfecerunt, vel vias barbaris ignotas vel ad Christianos ducentes ostenderunt, vel eorum ædes hostibus manifestas fecerunt, ne ad divinarum quidem laudum auditionem admittendos esse decernit: sed eos omnino extra ecclesiam statui in loco deflentium, post confessionem scilicet vel condemnationem, donec sancti simul congregati de iis communiter statuerint. Sanctos autem episcopos appel-

Digitized by Google

lat. Illud autem, *ante ipsos sancto Spiritui*, subjunxit, ostendens, quod quæcunque in communi consideratione ab episcopis dispensantur et statuuntur, Spiritus sanctus ea suggerit. Et lex quidem ecclesiastica ipsos sic punit. Lex vero civilis eos majestatis crimini subjicit. Dicit enim primum caput, 36 tit., LX lib. : Lex majestatis similis est legi de sacrilegio. Et tenetur ea, qui adversus populum Romanum commisit, et qui dolo malo curavit injussu principis obsides interimi; vel ut armati homines in urbe sint adversus rempublicam, vel ut loca aut templa occupentur, vel seditiosus fiat conventus, vel ut occidatur magistratus, et ad hostes nuntium vel litteras misit, vel signa eis dedit, aliove modo eis tulit auxilium, et qui sollicitavit vel concitavit milites ad seditionem vel turbam contra rempublicam. Et cap. 3 ejusdem tit. et lib. : Qui hostes sollicitavit, et eis rempublicam tradidit, capite punitur. Et deinceps disserit caput de aliis quibusdam similibus. Et hæc quidem de iis qui in captivitatem abducti sunt, et hostibus consenserunt, et de iis itidem qui non in captivitatem abducti sunt, cum hostibus tamen consenserunt, et adversus Romanum imperium conspirarunt. Qui autem cum iis qui terram mareque depopulantur, una deprædati sunt, magis, ut mihi videtur, punientur, quia major est eorum improbitas. Hostes enim aperta fronte, et nudo, ut aiunt, capite bellum comparant; latrones autem clam et occulte inopinatam cædem moliuntur. Quanto ergo prævisi periculi pugna levior est inopinato malo, tanto hostium insultus est tolerabilior latronum insidiis.

A δὲ τοὺς ἐπισκόπους καλεῖ. Τὸ δὲ, *πρὸ αὐτῶν τῷ ἁγίῳ Πνεύματι*, ἐπήγαγε, δεικνὺς, ὅτι ὅσα ἐν κοινῇ διασκέψει οἰκονομοῦνται παρὰ τῶν ἐπισκόπων, τὸ ἅγιον Πνεῦμα ὑποτίθησιν αὐτά. Καὶ ὁ μὲν ἐκκλησιαστικὸς νόμος οὕτω τούτους κολάζει· ὁ δὲ πολιτικὸς τῷ περὶ καθοσιώσεως ἐγκλήματι καθυποβάλλει τοὺς τοιούτους. Φησὶ γὰρ κεφάλ. α' τοῦ λς' τίτλου τοῦ ξ' βιβλίου· Ὁ περὶ τῶν ἐπιβούλων νόμος ὁμοιάς ἐστι τῷ περὶ ἱεροσυλίας. Καὶ ἐνέχεται αὐτῷ ὁ κατὰ τοῦ Ῥωμαϊκοῦ δήμου πλημμελήσας, καὶ σπουδάσας κατὰ δόλον παρὰ κέλευσιν βασιλέως ἀναιρεθῆναι τοὺς ὁμήρους· ἢ ἵνα ἔνοπλοι ἄνθρωποι ἐν πόλει κατὰ τῆς πολιτείας ὦσιν, ἢ ἵνα τόπος ἢ ἱερὰ κατασχεθῶσιν, ἢ στασιώδης γένηται σύνοδος, ἢ ἵνα φονευθῇ ὁ ἄρχων· καὶ ὁ πρὸς τοὺς πολεμίους γράμμα ἢ ἄγγελον πέμψας ἢ σημεῖον B αὐτοῖς δεδωκὼς, ἢ ἄλλως βοηθήσας αὐτοῖς, καὶ ὑπονοθεύσας στρατιώτας πρὸς στάσιν ἢ θόρυβον κατὰ τῆς πολιτείας. Καὶ κεφάλ. γ', τοῦ αὐτοῦ τιτλου καὶ βιβλίου· Ὁ τοὺς πολεμίους ἐρεθίσας, ἢ παραδοὺς αὐτοῖς πόλιν, εἰς κεφαλὴν τιμωρεῖται. Καὶ ἑφεξῆς διαλέγεται τὸ κεφάλαιον περὶ ἄλλων τινῶν ὁμοίων. Καὶ ταῦτα μὲν περὶ τῶν αἰχμαλωτισθέντων καὶ ὁμοφωνησάντων τοῖς πολεμίοις, καὶ περὶ τῶν μὴ αἰχμαλωτισθέντων, ὅμως μέντοι τοῖς πολεμίοις ὁμογνωμονησάντων, καὶ φρονησάντων κατὰ τῆς Ῥωμαϊκῆς ἐξουσίας. Οἱ δὲ τοῖς κατὰ χέρσον καὶ θάλατταν λῃστεύουσι συλληστεύσαντες, πλειόνως, ὡς ἐμοὶ δοκεῖ, κολασθήσονται· ὅτι καὶ μείζων ἐστὶ τούτων ἡ κακία. Οἱ μὲν γὰρ πολέμιοι κατὰ πρόσωπον καὶ γυμνῇ κεφαλῇ, τὸ λεγόμενον, τὸν πόλεμον συνιστῶσιν· οἱ δὲ λῃσταὶ ἀοράτως καὶ ἀφανῶς ἀπροσδόκητον μελετῶσι C φόνον. Ὅσον οὖν τοῦ προκειμένου κατ' ὄψιν κινδύνου ἡ μάχη κουφοτέρα ἐστὶ τοῦ ἀπροσδοκήτου κακοῦ, τοσοῦτον καὶ ἡ τῶν πολεμίων ἔφοδος ἀνεκτοτέρα ἐστὶ τῆς τῶν λῃστευόντων ἐπιβουλῆς.

Zonar. Quicunque quidem, ait, aliquando in servitutem abducti se barbaris adjunxerunt, et una cum iis grassati sunt morum barbariem induentes, ac velut obliti se ex Ponto Christianos esse, eos qui ejusdem sunt generis interfecere, vel barbaris ignotas monstravere vias, domosve ipsis occultas; hi ne ad auditionem quidem admittantur, pœnitentiam agentes; hoc est, extra ecclesiam omnino consistant, in loco videlicet flentium, donec in communi conventu sancti de ipsius deliberent. Sanctos porro aut episcopos vocat, aut simpliciter fideles, magni Pauli apostoli exemplo D Illa autem verba, *ante ipsos Spiritui sancto*, ideo adjunxit, ut quæcunque in communi consilio ab episcopis, vel etiam a quibuscunque fidelibus decernuntur, Spiritum sanctum ea deliberantibus suggerere demonstret.

ΖΩΝΑΡ. Ὅσοι μὲν οὖν, φησὶν, αἰχμαλωτισθέντες ποτὲ, συγκατετάγησαν τοῖς βαρβάροις, καὶ μετ' αὐτῶν ἐπῆλθον βαρβαρωθέντες τὰ ἤθη· καὶ ὥσπερ ἐπιλαθόμενοι, ὅτι ἐκ τοῦ Πόντου ἦσαν Χριστιανοὶ, ὁμοφύλους ἐφόνευσαν, ἢ ὁδοὺς ὑπεδείκνυον τοῖς βαρβάροις ἀγνοουμένας αὐτοῖς, ἢ οἰκίας λανθανούσας αὐτούς· οὗτοι μηδὲ εἰς ἀκρόασιν παραδεχθήτωσαν μετανοοῦντες· τουτέστιν ἔξω παντελῶς τῆς ἐκκλησίας ἑστηκέτωσαν, ἐν τόπῳ δηλαδὴ προσκλαιόντων, ἕως ἂν σκοπήσωσιν οἱ ἅγιοι περὶ αὐτῶν κοινῇ συνελθόντες. Ἁγίους δὲ ἢ τοὺς ἐπισκόπους καλεῖ, ἢ τοὺς πιστοὺς ἁπλῶς κατὰ τὸν μέγαν ἀπόστολον Παῦλον. Τὸ δὲ, *πρὸ αὐτῶν τῷ ἁγίῳ Πνεύματι*, ἐπήγαγε, δεικνὺς, ὅτι ὅσα ἐν κοινῇ διασκέψει οἰκονομοῦνται παρὰ ἐπισκόπων, ἢ καὶ ἁπλῶς τῶν πιστῶν, τὸ ἅγιον Πνεῦμα ὑποτίθησιν αὐτὰ τοῖς περὶ αὐτῶν διασκεπτομένοις.

33 CANON VIII.

« De iis qui alienas domos hostiliter ingredi ausi « sunt in barbarorum incursione. Eos autem qui « alienas domos invadere ausi fuerint, si accusati « quidem convicti fuerint, nec auditione dignos « existimare. Sin autem indicarint se ipsos ac red- « diderint, in eorum qui convertuntur ordinem « substerni. »

ΚΑΝΩΝ Η'.

« Περὶ τῶν οἴκοις ἀλλοτρίοις ἐπελθεῖν τολμησάν- « των ἐν τῇ τῶν βαρβάρων ἐπιδρομῇ. Τοὺς δὲ οἴκοις « ἀλλοτρίοις ἐπελθεῖν τολμήσαντας, ἐὰν μὲν κατη- « γορηθέντες ἐλεγχθῶσι, μηδὲ τῆς ἀκροάσεως ἀξιῶ- « σαι· ἐὰν δὲ αὐτοὺς ἐξείπωσι καὶ ἀποδῶσιν, ἐν τῇ « τῶν ὑποστρεφόντων τάξει ὑποπίπτειν. »

Digitized by Google

ΒΑΛΣ. Παχυμερῶς διαλαβὼν ὁ ἅγιος περὶ τῶν ἁρπασάντων ἢ εὑρηκότων πράγματά τινων αἰχμαλωτισθέντων, ὅσον τέως εἰς τὸν λόγον τῶν ἐπιτιμίων· ἄρτι καὶ τὰ εἴδη τῆς μετανοίας ἤτοι τῶν ἐκκλησιαστικῶν ἐπιτιμίων ἄρχεται λέγειν. Καὶ αὐτίκα διορίζεται, ἵνα μηδὲ μετὰ τῶν ἀκροωμένων ἱστῶνται, ἀλλὰ μετὰ τῶν προσκλαιόντων ἔξωθεν τῆς ἐκκλησίας, οἱ ἁρπάσαντες τοιοῦτόν τι πρᾶγμα αἰχμαλώτου, καὶ μὴ ἀντιστρέψαντες αὐτὸ, ἀλλὰ ἀναμείναντες κατηγορίαν καὶ ἔλεγχον διὰ τὴν ἄρνησιν. Τοὺς δὲ ἑαυτοὺς προσαγγείλαντας καὶ δόντας καλοθελῶς πρὸ ἀναγωγῆς ἃ ἀφείλοντο, διορίζεται διὰ τὴν μεταμέλειαν συνεύχεσθαι, ἧγουν συνίστασθαι, μετὰ τῶν πιστῶν· ὑποπίπτειν δὲ αὐτῶν διὰ τὸ ἀναγκάζεσθαι ἐξέρχεσθαι μετὰ τῶν κατηχουμένων. Καὶ ὁ μὲν ἐκκλησιαστικὸς νόμος οὕτω τούτους κολάζει· ὁ δὲ πολιτικὸς τοὺς ἁρπαγας καὶ πρὸ καταδίκης προσάγοντας τὸ ὑπ' αὐτῶν ἁρπαγὲν οὐ προσδέχεται, ἀλλ' εἰς τὸ τετραπλάσιον καταδικάζει. Φησὶ γὰρ κεφ. ς', τοῦ ιζ' τίτλου, τοῦ ξ' βιβλίου· Ὁ ἁρπαξ οὐκ ἀπαλλάττεται τῆς ποινῆς πρὸ τῆς δίκης προσάγων τὸ πρᾶγμα. Καὶ θεμα ζ', τοῦ β' κεφαλ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου· Εἴσω ἐνιαυτοῦ τὸ ἀληθὲς τοῦ πράγματος τίμημα τετραπλασιάζεται, οὐ μὴν τὸ διαφέρον. Ὅπερ δέ φησιν ἐνταῦθα ὁ ἅγιος χάριν τῶν πρὸ καταδίκης καὶ κατηγορίας διδόντων τὸ ἀφαιρεθὲν, τοῦτο ὁ νόμος παρακελεύεται γίνεσθαι εἰς τοὺς κατὰ φόβον λαβόντας τι ἐκ τινός. Φησὶ γὰρ τὸ ε' θέμα, τοῦ ιγ' κεφαλ., τοῦ β' τίτλου, τοῦ δεκάτου βιβλίου· Ἡ διὰ φόβον αἰτίασις αἱρετή ἐστι· καὶ ἔξεστι τῷ ἐναγομένῳ μέχρι ψήφου ἀποκαταστῆσαι τὸ πρᾶγμα, καὶ μὴ δοῦναι τὸ τετραπλοῦν. Ἔστι δὲ καὶ ἑτέρα διαφορὰ τῶν βιαίως ἀφαιρουμένων πράγματα καὶ τῶν κατὰ φόβον λαμβανόντων τι ἀπό τινος· οἱ μὲν γὰρ ἁρπαγες σὺν τῇ ἀποδόσει τοῦ τετραπλοῦ καὶ ἀτιμοῦνται· οἱ δὲ φόβον ἐπαγαγόντες, σπιλοῦνται μόνον κατὰ τὴν ὑπόληψιν.

ΖΩΝΑΡ. Οἵ τινες δὲ ἐπῆλθον οἴκοις ἀλλοτρίοις καὶ ἥρπασαν ἐκεῖθεν χρήματα, οὗτοι, φησὶν, εἰ μὲν, κατηγορηθέντες καὶ ἀρνούμενοι, ἐλεγχθῶσιν, ὁμοίως τοῖς προειρημένοις καὶ τῆς ἀκροάσεως κωλυέσθωσαν, καὶ μετὰ τῶν προσκλαιόντων τετάχθωσαν· εἰ δὲ ἑαυτοὺς ἐξείπωσιν, ἢ πρὸ τοῦ κατηγορηθῆναι ὁμολογήσωσιν ἀγνοούμενον τὸ ἁμάρτημα, καὶ ἀποδοῖεν ἃ ἀφείλοντο, ἑστωσαν ἐν τοῖς ὑποστρέφουσιν ἀπὸ ἁμαρτίας, τουτέστι τῆς τάξεως τῶν ὑποπιπτόντων, οἵτινες ὑποσυνεύχονται μὲν τοῖς πιστοῖς εἰσιόντες εἰς τὸν ναὸν, ἐξέρχονται δὲ ὡς οἱ κατηχούμενοι.

ΚΑΝΩΝ Θ'.

« Περὶ τῶν ἐν τῷ πεδίῳ ἢ ἐν τοῖς ἰδίοις οἴκοις « εὑρόντων τὰ ὑπὸ τῶν βαρβάρων καταλειφθέντα. « Τοὺς δὲ ἐν πεδίῳ εὑρόντας τι ἢ ἐν ταῖς ἑαυτῶν « οἰκίαις καταλειφθὲν ὑπὸ τῶν βαρβάρων, ἐὰν μὲν « κατηγορηθέντες ἐλεγχθῶσιν, ὁμοίως ἐν τοῖς ὑπο- « πίπτουσιν· ἐὰν δὲ ἑαυτοὺς ἐξείπωσι καὶ ἀποδῶσι, « καὶ τῆς εὐχῆς ἀξιῶσαι. »

ΒΑΛΣ. Εἴρηται ὄπισθεν περὶ τῶν λεγόντων εὑρεῖν ἀνεπιμέλητα τὰ τῶν αἰχμαλωτισθέντων πράγματα, καὶ ἰδιώσασθαι αὐτά. Καὶ νῦν δὲ διορίζεται ὁ ἅγιος τοὺς ἐν ταῖς οἰκίαις τῶν αἰχμαλωτισθέντων εὑρόντας

A Bals. Postquam sanctus fusius tractaverit de iis qui rapuerunt, vel quorumdam captivorum res invenerunt, quod ad pœnarum rationem attinet; nunc quoque species pœnitentiæ, sive ecclesiasticarum pœnarum incipit dicere. Et statim decernit ut nec stent cum audientibus, sed cum deflentibus, extra ecclesiam, qui rem captivi rapuerunt, et eam non restituerunt, sed accusationem et probationem exspectarunt propter initiationem. Eos autem qui se ipsos detulerunt, et sua sponte quæ abstulere, ante actionem dederunt, statuit ut propter pœnitentiam comprecentur, seu consistant cum fidelibus; substernantur autem illis, eo quod coguntur egredi cum catechumenis. Ac lex quidem ecclesiastica eos sic punit. Lex vero civilis raptores quod ab ipsis raptum est etiam ante condemnationem offerentes, non admittit, sed condemnat in quadruplum. Dicit enim cap. 6, 17 tit., LX lib.: Raptor pœna non liberatur oblatione rei ante litem. Et thema 7, cap. 2 ejusdem lib. et tit.: Intra annum verum pretium quadruplatur, non autem id quod interest. Quod autem hic dicit sanctus de iis qui ante condemnationem et accusationem rem restituunt, lex jubet id fieri in eos qui aliquid ex aliquo metu acceperunt. Dicit enim 5 thema, 13 cap., 2 tit., x lib.: Actio cujus metus causa, est libera; et licet ei adversus quem agitur, ad sententiam usque rem restituere, et non dare quadruplum. Est autem et alia differentia eorum qui vi res auferunt, et eorum qui aliquid ab aliquo metu accipiunt. Raptores enim una cum quadrupli retributione etiam infamantur; qui autem metum intulerunt, in existimatione tantum labem aliquam contrahunt.

Zonar. Qui vero alienas domos invaserunt resque inde surripuere, illi, inquit, si quidem accusati ac pernegantes convicti fuerint, cum iis pariter quos supra diximus ab auditione quoque prohibeantur, atque in flentium ordinem relegentur; sin autem se ipsos detexerint, aut ante accusationem occultum crimen confessi fuerint, resque ablatas reddiderint, constituantur in eorum ordine qui a peccato convertuntur, hoc est, ordine substratorum, qui cum fidelibus quidem precantur templum intrantes, cæterum more catechumenorum egrediuntur.

CANON IX.

« De iis qui in agro vel in ædibus suis ea, quæ a « barbaris relicta sunt, invenerunt. Eos autem qui « in campo aliquid invenerunt, vel in suis ædibus « a barbaris relictum, si accusati quidem convicti « fuerint, sint similiter inter eos qui substernuntur; « sin autem se ipsos detulerint et reddiderint, etiam « precibus digni habeantur. »

Bals. Dictum est superius de iis qui dicunt se invenisse res captivorum neglectui habitas, et earum sibi proprietatem vindicasse. Nunc autem decernit sanctus, eos qui res captivorum in domibus invene-

Digitized by Google

runt, utpote non a barbaris ablatas, vel in viis abjectas, fortasse propter pondus, inventas quidem bona fide restituentes, in 34 perfecto gradu stare debere cum fidelibus. Sin autem condemnati fuerint, collocari cum iis qui substernuntur, scilicet egredi cum catechumenis. Hæc cum ita se habeant, dixerit quispiam, eos sic puniri, qui pro re inventa restituenda condemnationem exspectant, esse justissimum, quoniam furti quoque actione tenentur, secundum legem, quæ dicit: Fur est qui rem alienam contrectat præter domini voluntatem, sciens id illi molestum esse. Cum fidelibus autem consistere, et sacramentis tantum non dignari eum qui se ipsum detulerit, et probe rem inventam dederit, novum est; est enim potius Eucharistia dignus, ut qui rem captivi servaverit, et ipsam restituerit. Et ideo dicunt nonnulli, cum fidelibus consistentiam, sacramentorum quoque participationem tacite consequi.

A πράγματα, ὡς μὴ παρὰ τῶν βαρβάρων ἁφαιρεθέντα, ἢ καὶ κατὰ τὰς ὁδοὺς ῥιφέντα, διὰ τὸ βάρος τυχόν, ἀποκαθιστῶντας μὲν εὐγνωμόνως τὰ εὑρεθέντα, εἰς τὸν τόπον ἱστασθαι τὸν τέλειον μετὰ τῶν πιστῶν· εἰ δὲ καταδικασθῶσι, τάττεσθαι σὺν τοῖς ὑποπίπτουσιν, ἤγουν ἐξέρχεσθαι μετὰ τῶν κατηχουμένων. Τούτων οὕτως ἐχόντων, εἴποι τις, ὡς τὸ οὕτω κολάζεσθαι τοὺς ἀναμένοντας καταδίκην χάριν ἀντιστροφῆς τοῦ εὑρέματος, δικαιότατόν ἐστιν, ὅτι καὶ τῇ περὶ κλοπῆς ἀγωγῇ ἐνέχονται, κατὰ τὸν νόμον τὸν λέγοντα· Κλέπτης ἐστὶν ὁ τὸ ἀλλότριον πρᾶγμα ψηλαφῶν παρὰ γνώμην τοῦ δεσπότου ἐν εἰδήσει τοῦ λυπῆσαι αὐτόν. Τὸ δὲ συνίστασθαι τοῖς πιστοῖς, καὶ μόνον μὴ ἀξιοῦσθαι δὲ τῶν ἁγιασμάτων τὸν προσαγγείλαντα ἑαυτὸν καὶ εὐγνωμόνως δόντα τὸ εὕρεμα, B καινόν ἐστιν· ἄξιος γὰρ μᾶλλον Εὐχαριστίας ἐστὶν, ὡς τὸ πρᾶγμα τοῦ αἰχμαλωτισθέντος φυλάξας καὶ ἀποκαταστήσας αὐτό. Διὸ καὶ λέγουσί τινες συνέπεσθαι τῇ μετὰ τῶν πιστῶν συστάσει, καὶ τὴν τῶν ἁγιασμάτων μέθεξιν σιωπηρῶς.

Zonar. Barbari, cum depopularentur regionem, res quasdam rapuerunt; moxque vel obvii facti melioribus, vel gravati pondere, cum quæ rapuerant ferre minime possent, partim per campos abjecere, partim in aliquorum ædibus, in quibus meliora forte repererant, deposuere. Quicunque igitur, inquit, aut in campis aut in suis domibus aliqua invenerunt, illi si quidem accusati et convicti fuerint, inter eos qui substernuntur locum accipiant. Si vero se ipsos detulerint, ac ea quæ invenere reddiderint, C precatione quoque digni habeantur: hoc est, ad finem usque precationis cum fidelibus consistant, ac a sancta communione tantummodo arceantur; videlicet usquedum pœnitentiam ostenderint, et hac quoque digni existimentur.

ΖΩΝΑΡ. Οἱ βάρβαροι, λεηλατοῦντες τὴν χώραν, ἥρπαζον πράγματα· καὶ ἢ κρείττοσι μετὰ ταῦτα ἐντυγχάνοντες, ἢ διὰ βάρος μὴ δυνάμενοι φέρειν ὅσα ἥρπασαν, τὰ μὲν ἐν τῷ πεδίῳ ἔρριπτον, τὰ δὲ καὶ ἐν οἰκίαις τινῶν, ἐν αἷς ἴσως καλλίονα εὗρισκον. Ὅσοι γοῦν, φησὶν, εὑρόν τινα ἐν τῷ πεδίῳ ἢ ἐν ταῖς ἑαυτῶν οἰκίαις, οὗτοι, εἰ μὲν κατηγορηθῶσι καὶ ἐλεγχθῶσι, ταττέσθωσαν ἐν τοῖς ὑποπίπτουσιν· ἐὰν δὲ ἑαυτοὺς προσαγγείλωσι, καὶ ἀποδῶσιν ἃ εὗρον, καὶ τῆς εὐχῆς ἀξιούσθωσαν· ἤγουν μέχρι τέλους τῆς εὐχῆς συνεστηκέτωσαν τοῖς πιστοῖς, μόνης τῆς ἁγίας μεταλήψεως κωλυόμενοι· ἤγουν μέχρις ἂν μετάνοιαν ἐπιδείξωνται, καὶ ταύτης ἀξιωθῶσι.

CANON X.

« Eos autem qui servant mandata, absque omni « turpi lucro servare oportet; nec indicii vel cu- « stodiæ, vel inventionis pretium, vel quocunque « nomine hoc appellant, exigentes. »

ΚΑΝΩΝ Ι'.

« Τοὺς δὲ τὴν ἐντολὴν πληροῦντας ἐκτὸς πάσης « αἰσχροκερδείας πληροῦν δεῖ, μήτε μήνυτρα ἢ σῶ- « στρα, ἢ εὕρετρα, ἢ ᾧ ὀνόματι ταῦτα καλοῦσιν, « ἀπαιτοῦντας. »

Bals. Cum admisisset sanctus bonam eorum voluntatem, qui se ipsos detulerunt et inventum benevole reddiderunt, adjicit, quod si ii velint mandati Dei observatores videri, debent absque quovis turpi lucro rem inventam reddere. Definitum autem est, D non exigere oportere eum qui invenit, ab eo qui captivus fuit, vel indicii, vel custodiæ, vel inventionis pretium, vel aliquid aliud; eo quod non ex negligentia dominorum, vel etiam fortuito res amissa sit, sed magna calamitate et barbarica incursione. Qui enim res dominorum negligentia vel fortuito perditas invenerunt et eas restituunt, inventionis pretium recte exigunt, quemadmodum hoc ex legibus superius positis apparet.

ΒΑΛΣ. Ἀποδεξάμενος τὴν ἀγαθοθέλειαν τῶν προσαγγειλάντων ἑαυτοὺς καὶ ἀποδόντων εὐγνωμόνως τὸ εὕρεμα, προστίθησιν ὁ Ἅγιος, ὡς, εἰ θέλουσιν οὗτοι λογισθῆναι πληρωταὶ τῆς ἐντολῆς τοῦ Θεοῦ, D ὀφείλουσι χωρὶς αἰσχροῦ κέρδους οἱῳδήτινος τὴν ἀπόδοσιν τοῦ εὑρέματος ποιεῖν. Ὡρίσθη δὲ μὴ ἀπαιτεῖσθαι παρὰ τοῦ εὑρηκότος ἐκ τοῦ μέρους τοῦ αἰχμαλώτου μήνυτρα ἢ σῶστρα ἢ εὕρετρα, ἢ ἄλλο τι, διὰ τὸ μὴ ἐξ ἀμελείας τῶν δεσποτῶν ἢ καὶ τυχαίως γενέσθαι τὴν ἀπώλειαν, ἀλλὰ ἀπὸ περιστάσεως μεγάλης καὶ ἐπιδρομῆς βαρβαρικῆς. Οἱ γὰρ εὑρηκότες πράγματα ἐξ ἀμελείας τῶν δεσποτῶν ἢ τύχης ἀπολεσθέντα, καὶ ἀποκαθιστῶντες ταῦτα, ἀπαιτοῦσιν εὕρετρα, καθὼς τοῦτο ἀναφαίνεται ἀπὸ τῶν ὅτισθεν καταστρωθέντων νόμων.

Zonar. Cum iis qui rem alienam a se inventam deferunt, benignius agendum esse vir sanctus

ΖΩΝΑΡ. Τοῖς ὁμολογοῦσι τὸ εὕρεμα τὸ ἀλλότριον (34) συγγνωμονέστερον διατίθεσθαι ὁ Ἅγιος

(34) *Τὸ ἀλλότριον*. Scribe τῶν ἀλλοτρίων.

Digitized by Google

διετάξατο. Ἵνα δὲ μὴ οἱ ὁμολογοῦντες ἀπαιτῶσιν εὑρέτρα, ἢ τι τοιοῦτον ὡς ἂν καλοῖτο, ἐπήγαγεν ὅτι οὐ δεῖ τι ἀπαιτεῖν τὸν ἀποδιδόντα εὐγνωμόνως τὰ ἀλλότρια, ἀλλὰ χωρὶς αἰσχροῦ κέρδους τὴν ἐντολὴν ἐκπληροῦν. Αἰσχρὸν γὰρ ὄντως κέρδος ἐστὶ τὸ ἀπαιτεῖν τι ἀπὸ τοῦ ἀπολέσαντος τὰ οἰκεῖα ἐν καιρῷ περιστάσεως, καὶ μὴ ἀποδιδόναι αὐτὰ ἀμισθί. A

constituit. Verum ne denuntiantes pretia ob rem inventam, vel aliud quocunque illud nomine vocitetur, exigant, subjecit, non esse quidquam exigendum ab eo qui aliena benigne reddit, sed mandatum absque turpi lucro implendum. Turpe namque lucrum est revera quidpiam ab eo exigere qui res suas turbulentis temporibus perdidit, nec illas gratuito reddere.

35 ΚΑΝΩΝ ΙΑ'.

« Ἡ πρόσκλαυσις ἔξω τῆς πύλης τοῦ εὐκτηρίου « ἐστίν· ἔνθα ἑστῶτα τὸν ἁμαρτάνοντα χρὴ τῶν « εἰσιόντων δεῖσθαι πιστῶν, ὑπὲρ αὐτοῦ εὔχεσθαι. « Ἡ ἀκρόασις ἔνδοθι τῆς πύλης ἐν τῷ νάρθηκι, « ἔνθα ἑστάναι χρὴ τὸν ἡμαρτηκότα ἕως τῶν κατη- « χουμένων, καὶ ἐντεῦθεν ἐξέρχεσθαι. Ἀκούων γὰρ, « φησὶ, τῶν Γραφῶν καὶ τῆς διδασκαλίας, ἐκβαλλέ- B « σθω, καὶ μὴ ἀξιούσθω προσευχῆς. Ἡ δὲ ὑπόπτω- « σις, ἵνα, ἔσωθεν τῆς πύλης τοῦ ναοῦ ἱστάμενος, « μετὰ τῶν κατηχουμένων ἐξέρχηται. Ἡ σύστασις, « ἵνα συνιστᾶται τοῖς πιστοῖς, καὶ μὴ ἐξέρχηται « μετὰ τῶν κατηχουμένων· τελευταῖον ἡ μέθεξις « τῶν ἁγιασμάτων. »

CANON XI.

« Fletus seu luctus, est extra portam oratorii, « ubi peccatorem stantem oportet fideles ingredien- « tes orare, ut pro se precentur. Auditio est intra « portam in porticu, ubi oportet eum qui peccavit, « stare. usque ad catechumenos, et illinc egredi. « Audiens enim, inquit, Scripturas et doctrinam, « ejiciatur, et precatione indignus censeatur. Sub- « jectio autem seu substratio est, ut intra templi « portam stans, cum catechumenis egrediatur. Con- « gregatio seu consistentia est, ut cum fidelibus con- « sistat, et cum catechumenis non egrediatur; po- « stremo est participatio sacramentorum. »

ΒΑΛΣ. Ὁ μὲν παρὼν ἅγιος, πέντε τόπους μετανοούντων ὑποτυπώσας, οὐ παρεδήλωσε τοὺς καιροὺς τῆς ἐργασίας αὐτῶν, οὔτε μὴν τὰ ἁμαρτήματα δι' ἃ ἡ μετάνοια ὡρίσθη. Ὁ δὲ μέγας Βασίλειος ἐν ταῖς κανονικαῖς ἐπιστολαῖς αὐτοῦ ταῦτα μετὰ ἀκριβείας παρέδωκε. Πλὴν καὶ οὗτος εἰς τὴν ἐπισκοπικὴν διάκρισιν τὴν διὰ τῶν ἐπιτιμίων θεραπείαν ἀνήρτησεν. C

Bals. Præsens quidem sanctus, declaratis quinque locis eorum qui agunt pœnitentiam, nec eorum exercitii tempora declaravit, nec peccata propter quæ pœnitentia definita est. Magnus autem Basilius, in suis canonicis epistolis, hæc omnia exacte tradidit. Verum hic quoque pœnarum medelam episcopali arbitrio reliquit.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΑΘΑΝΑΣΙΟΥ
ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ,
ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΑΜΟΥΝ ΜΟΝΑΖΟΝΤΑ.

36 S. P. N. ATHANASII,
ARCHIEPISCOPI ALEXANDRIÆ,
EPISTOLA AD AMUNEM MONACHUM.

Πάντα μὲν καλὰ καὶ καθαρὰ τοῦ Θεοῦ ποιήματα· οὐδὲν γὰρ ἄχρηστον ἢ ἀκάθαρτον ὁ τοῦ Θεοῦ πεποίηκε Λόγος· *Χριστοῦ γὰρ εὐωδία ἐσμὲν ἐν τοῖς σωζομένοις*, κατὰ τὸν Ἀπόστολον· ἐπειδὴ δὲ ποικίλα καὶ πολύτροπα τὰ τοῦ διαβόλου βέλη, καὶ τοὺς ἀκεραιοτέρους τῇ γνώμῃ παρασκευάζει ταράττεσθαι, κωλύει τε τῆς συνήθους γυμνασίας τοὺς ἀδελφοὺς, ὑποσπείρων αὐτοῖς λογισμοὺς [illegible] D

Opificia Dei omnia bona puraque sunt; inutile quippe nihil aut impurum Dei Verbum condidit. Nam *Christi bonus odor sumus in iis qui salvi fiunt*, ut ait Apostolus[1]. Cumautem varia callidaque sint diaboli tela, qui id curat ut simpliciores animo in perturbationem conjiciat, fratresque a consuetis exercitiis deterreat, dum impuras inserit obscenas- que cogitationes, age, paucis maligni fraudes, per

Digitized by Google

Salvatoris nostri gratiam, depellamus, simplicio-A rumque mentem confirmemus. *Omnia* quidem *munda mundis* [1] : sed impurorum tum conscientia, tum cætera omnia immunda sunt. Miror autem diaboli vafritiem, qui tametsi corruptio luesque est, cogitationes suggerit specie quidem puritate plenas. Quod agit ille insidiarum potius causa, quam experimenti. Quo enim, ut supra dixi, ascetas a consueta et salutari meditatione avertat, atque hac in re superior evadat, hujusmodi quædam insusurrat, quæ nihil vitæ commodi afferunt : sed vanas quæstiones et nugas, a nobis sane repudiandas. Quid enim, quæso, dilecte ac piissime, peccati aut impuri naturali inest excremento? Ecquis vitio vertere velit mucorem e naribus ejectum, vel sputa ore emissa? quibus plurima possemus addere, ventris nimirum excrementa, quæ animali ad vitam necessaria sunt. Ad hæc, si hominem esse manuum Dei opus secundum Scripturas credimus, quomodo ex pura poten- B tia opus contaminatum prodire valuit? Et si, ut in Actibus apostolorum legitur, genus Dei sumus [2], nihil sane in nobis impurum habemus. Tunc enim solum inquinamur, cum pessimi odoris opus, peccatum scilicet, operamur. At cum præter voluntatem naturale quodpiam excrementum emittitur, tunc naturæ necessitate, ut supra diximu , hæc cum cæteris toleramus. Sed quia ii, quibus una probe dictis, imo a Deo gestis rebus repugnandi inest cura, dictum illud evangelicum detorquent : Non quæ ingrediuntur, sed quæ egrediuntur coinquinant hominem [3]; hanc eorum insaniam, ne dicam quæstionem, confutemus. Primum enim Scripturas pro sua ignorantia, instabiles sane homines, depravant [4]. Porro divinum oraculum sic habet : cum quidam enim, quemadmodum isti, de cibis ambigerent, ipse Dominus, ut eorum levaret ignorantiam, dolumque cunctis retegeret, ait, Non ea quæ ingrediuntur hominem coinquinare, sed quæ egrediuntur. Addit post hæc, et undenam egrediuntur : ex corde. Quod probe nosset illic profanarum cogitationum aliorumque scelerum malos inesse thesauros. Brevius autem Apostolus ipsum docuit hisce verbis : *Esca non nos commendat Deo* [5]. Jam aliquis opportune dixerit : Naturale excrementum nulli nos supplicio addicit. Et fortasse ipsi medici (ut hinc homines illi vel ab extraneis pudore afficiantur) nobiscum defendent, animali datos esse quosdam necessarios meatus, D ad humores qui in singulis habentur membris nostris egerendos : qualia sunt capitis excrementa, pili, aquositates quæ ex capite emittuntur : ventris item secessus, illaque spermaticorum meatuum superfluitas. Ecquodnam hac in re peccatum in Deum, senex religiosissime, cum ipse Dominus qui animal condidit, id curarit effeceritque, ut hæc membra essent ejusmodi meatibus instructa. Cæterum quia prævertenda sunt improborum argumenta : fortasse enim dixerint : Ergo nec verus eorum usus est

φέρε, διὰ βραχέων καὶ τὴν τοῦ πονηροῦ πλάνην ἀπελάσωμεν τῇ τοῦ Σωτῆρος ἡμῶν χάριτι, καὶ τὴν τῶν ἀπλουστέρων γνώμην στηρίξωμεν. *Πάντα* μὲν γὰρ *καθαρὰ τοῖς καθαροῖς*· τῶν δὲ ἀκαθάρτων καὶ ἡ συνείδησις καὶ τὰ πάντα μεμόλυνται. Ἄγαμαι δὲ τοῦ διαβόλου τὸ σόφισμα, ὅτιπερ, φθορὰ καὶ λύμη ὑπάρχων, λογισμοὺς ὑποβάλλει τῷ δοκεῖν μὲν καθαρότητος· ἔστι δὲ τὸ γιγνόμενον ἐνέδρα μᾶλλον ἢ δοκιμασία. Ἵνα γὰρ, ὡς προεῖπον, ἀπασχολήσῃ τοὺς ἀσκητὰς τῆς ἐθίμου καὶ σωτηριώδους μελέτης, καὶ δόξῃ κρατεῖν· κατὰ τοῦτο τοιαῦτά τινα κινεῖ βομβύκια, ἅτινα φέρει μὲν οὐδὲν τῷ βίῳ χρήσιμον, κενὰς δὲ ζητήσεις καὶ φλυαρίας, ἃς δεῖ παραιτεῖσθαι. Τί γάρ, εἰπέ μοι, ὦ ἀγαπητὲ καὶ εὐλαβέστατε, ἔχει ἁμάρτημα ἢ ἀκάθαρτον φυσικὴ τις ἔκκρισις; ὡς εἴ τις ἐθέλοι ποιεῖσθαι ἔγκλημα καὶ τὰς διὰ ῥινῶν ἐκπεμπομένας μύξας καὶ τὰ διὰ στόματος πτύσματα· ἔτι δὲ καὶ τούτων ἔχομεν λέγειν πλείονα, τὰς διὰ γαστέρων ἐκκρίσεις, ἅπερ τῷ ζώῳ πρὸς τὸ ζῆν ἀναγκαῖα καθέστηκεν. Ἔτι τε, εἰ τῶν τοῦ Θεοῦ χειρῶν ἔργον εἶναι πιστεύομεν τὸν ἄνθρωπον, κατὰ τὰς θείας Γραφὰς, πῶς ἠδύνατο ἐκ καθαρᾶς δυνάμεως ἔργον τι γίνεσθαι μεμολυσμένον; Καὶ εἰ γένος τοῦ Θεοῦ ὑπάρχομεν κατὰ τὰς θείας τῶν ἀποστόλων Πράξεις, οὐδὲν ἔχομεν ἐν ἑαυτοῖς ἀκάθαρτον. Τότε γὰρ μόνον μεμολύσμεθα, ὅτε τὴν δυσωδεστάτην ἁμαρτίαν ἐργαζόμεθα. Ὅτε δὲ φυσικὴ τις ἔκκρισις ἀβουλήτως γίνεται, τότε τῇ τῆς φύσεως ἀνάγκῃ μετὰ τῶν ἄλλων, ὡς προεῖπομεν, καὶ τοῦτο ὑπομένομεν. Ἀλλ' ἐπειδήπερ οἱ θέλοντες μόνον ἀντιλέγειν τοῖς ὀρθῶς λεγομένοις, μᾶλλον δὲ παρὰ Θεοῦ πεποιημένοις, παραφέρουσι καὶ ῥητὸν εὐαγγελικόν· ὡς ὅτι Οὐ τὰ εἰσερχόμενα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα· C ἀναγκαίως αὐτῶν καὶ ταύτην τὴν ἀλογίαν· οὐ γὰρ ἂν εἴποιμεν ζήτησιν, ἐλέγξομεν. Πρῶτον μὲν γὰρ τὰς Γραφὰς κατὰ τὰς ἰδίας ἀμαθίας ἀστήρικτοι ὄντες βιάζονται. Ἔχει δὲ τὸ θεῖον οὕτω λόγιον· Τινῶν γὰρ πάλιν τούτοις ὁμοίως ἐνδυαστῶς ἐχόντων περὶ βρωμάτων, αὐτὸς ὁ Κύριος λύων αὐτῶν τὴν ἄγνοιαν, ἤ γ' οὖν τὴν ἀπάτην δημοσιεύων, φησὶ, Μὴ τὰ εἰσερχόμενα κοινοῦν· τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα. Εἶτα ἐπάγει, καὶ πόθεν ἐξερχόμενα· τὰ ἀπὸ καρδίας. Ἐκεῖ γὰρ εἶναι τοὺς πονηροὺς θησαυροὺς τῶν βεβήλων λογισμῶν καὶ τῶν ἄλλων ἁμαρτημάτων γινώσκει. Συντομώτερον δὲ ὁ Ἀπόστολος αὐτὸ δεδιδαγμένος φησί· *Βρῶμα δὲ ἡμᾶς οὐ παραστήσει* τῷ Θεῷ. Φαίη δ' ἄν τις καὶ νῦν εὐλόγως· Φυσική τις ἔκκρισις D ἡμᾶς οὐ παραστήσει πρὸς τιμωρίαν. Τάχα δὲ καὶ παῖδες ἰατρῶν, ἵνα κἂν ἐκ τῶν ἔξωθεν δυσωπηθῶσιν, ὑπὲρ τούτου ἀπολογήσονται· ὅτι τῷ ζώῳ δέδονται τινες ἀναγκαῖαι διέξοδοι κατὰ τῶν ἐν ἡμῖν ἑκάστῳ μελῶν τρεφομένων τὸ περιττὸν ἀποπέμπειν· οἷον κεφαλῆς περιττώματα, τρίχες, καὶ τὰ ἀπὸ κεφαλῆς ὑδατώδη πεμπόμενα, καὶ γαστρὸς διαχωρήματα, καὶ τοίνυν τῶν σπερματικῶν πόρων ἐκεῖνο περίττωμα. Ποίᾳ τοίνυν ἐστὶ πρὸς Θεοῦ, ὦ πρεσβῦτα θεοφιλέστατε, ἁμαρτία, αὐτοῦ τοῦ πλάσαντος τὸ ζῶν Δεσπότου θελήσαντος καὶ ποιήσαντος; ταῦτα τὰ μέλη τοιαύτας ἔχειν

[1] Tit. I, 15. [2] Act. XVII, 28. [3] Matth. XV, 20. [4] II Petr. III, 16. [5] I Cor. VIII, 8.

Digitized by Google

διεξόδους; Ἐπειδὴ δὲ δεῖ προσλαμβάνειν τὰ τῶν πονηρῶν ἐναντιώματα, εἴποιεν γὰρ ἄν· Οὐκ οὖν οὐκ ἔστιν ἁμαρτία οὐδὲ ἡ ἀληθὴς χρῆσις, εἰ τὰ ὄργανα παρὰ τοῦ Δημιουργοῦ διαπέπλασται. Πρὸς τοῦτο ἐρωτηματικῶς αὐτοὺς παύσωμεν φάσκοντες· Ποίαν λέγεις χρῆσιν, τὴν ἔννομον, ἣν καὶ ὁ Θεὸς ἐπέτρεψεν, *Αὐξάνεσθε*, λέγων, *καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν*· ἣν ὁ Ἀπόστολος ἀποδέξατο εἰπών· *Τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος*· ἢ τὴν δημώδη μὲν, λαθραίως δὲ καὶ μοιχικῶς ἐπιτελουμένην; Ἐπεὶ καὶ τῶν ἄλλων, τῶν ἐν τῷ βίῳ γινομένων, εὑρήσομεν τὰς διαφορὰς κατά τι γινομένας· οἷον φονεύειν οὐκ ἔξεστιν, ἀλλ' ἐν πολέμοις ἀναιρεῖν τοὺς ἀντιπάλους καὶ ἔννομον καὶ ἐπαίνου ἄξιον. Οὕτω γοῦν καὶ τιμῶν μεγάλων οἱ κατὰ πόλεμον ἀριστεύσαντες ἀξιοῦνται, καὶ στῆλαι τούτων ἐγείρονται κηρύττουσαι τὰ κατορθώματα. Ὥστε τὸ αὐτὸ κατά τι μὲν καὶ κατὰ καιρὸν οὐκ ἔξεστι, κατά τι δὲ καὶ εὐκαίρως ἀφίεται καὶ συγχεχώρηται. Ὁ αὐτὸς τοίνυν λόγος καὶ περὶ τῆς μίξεως· Μακάριος ὃς ἐν νεότητι, ζυγὸν ἔχων ἐλεύθερον, τῇ φύσει πρὸς παιδοποιΐαν κέχρηται· εἰ δὲ πρὸς ἀσέλγειαν, πόρνους καὶ μοιχοὺς ἡ παρὰ τῷ Ἀποστόλῳ γραφεῖσα τιμωρία ἐκδέξεται. Δύο γὰρ οὐσῶν ὁδῶν ἐν τῷ βίῳ περὶ τούτων, μιᾶς μὲν μετριωτέρας καὶ βιωτικῆς, τοῦ γάμου λέγω· τῆς δὲ ἑτέρας ἀγγελικῆς καὶ ἀνυπερβλήτου, τῆς παρθενίας· εἰ μέν τις τὴν κοσμικὴν, τοῦτ' ἔστι τὸν γάμον, ἕλοιτο, μέμψιν μὲν οὐκ ἔχει· τοσαῦτα δὲ χαρίσματα οὐ λήψεται. Λήψεται γὰρ, ἐπείπερ φέρει καὶ αὐτὸς καρπὸν τῶν τριάκοντα. Εἰ δὲ τὴν ἀγνὴν τις καὶ ὑπερκόσμιον ἀσπάσοιτο, εἰ καὶ τραχεῖα παρὰ τὴν πρώτην καὶ δυσκατόρθωτος ἡ ὁδὸς, ὅμως ἔχει χαρίσματα θαυμασιώτερα· τὸν γὰρ τέλειον καρπὸν τὴν ἑκατοντάδα ἐβλάστησεν. Ὥστε τὰ ἀκάθαρτα αὐτῶν καὶ πονηρὰ ζητήματα λύσεις ἰδίας ἔσχε καὶ παρὰ τῶν θείων Γραφῶν πάλαι προλυθείσας. Ὑποστήριζε τοίνυν, ὦ Πάτερ, τὰς ὑπὸ σαυτὸν ἀγέλας, ἐκ τῶν ἀποστολικῶν παρακαλῶν, ἐκ τῶν εὐαγγελικῶν ψυχαγωγῶν, ἐκ τῶν ψαλμῶν συμβουλεύων· *Ζῆσόν με*, λέγων, *κατὰ τὸ λόγιόν σου*· λόγιον δὲ αὐτοῦ τὸ ἐκ καθαρᾶς καρδίας λατρεύειν αὐτῷ. Τοῦτο γὰρ εἰδὼς ὁ αὐτὸς Προφήτης, ὥσπερ ἑαυτὸν μεταφράζων, λέγει· *Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός*· ἵνα μὴ ῥυπώδεις λογισμοί με ταράξωσι. Πάλιν Δαβίδ· *Καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με*· ἵνα, κἂν ποτε λογισμοί με θορυβήσωσιν, ἰσχυρά τις παρὰ σοῦ δύναμις στηρίξῃ με, ὥσπερ κρηπὶς τυγχάνουσα. Αὐτὸς τοίνυν, ταῦτα καὶ τὰ τοιαῦτα συμβουλεύων, λέγε πρὸς τοὺς βράδιον τῇ ἀληθείᾳ πειθομένους· *Διδάξω ἀνόμους τὰς ὁδούς σου*· καὶ θαῤῥῶν Κυρίῳ, ὅτι πείσεις ἀποσχέσθαι τῆς τοιαύτης κακίας, ψάλλε· *Καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιτρέψουσι*. Γένοιτο δὲ τοὺς μὲν κακοήθως ζητοῦντας παύσασθαι τῆς τοιαύτης ματαιοπονίας· τοὺς δὲ δι' εὐήθειαν ἐνδυαστῶς ἔχοντας, ἡγεμονικῷ Πνεύματι κρατυνθῆναι· ὅσοι δὲ βεβαίως τὴν ἀλήθειαν ἐπίστασθε, ἀῤῥαγῆ ταύτην κατέχετε καὶ ἀσάλευτον ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ δόξα καὶ τὸ κράτος σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

peccatum, siquidem organa a conditore facta sunt; ita loquentibus illis hac interrogatione silentium imponamus: Quem dicis usum, legitimumne, quem Deus his permisit verbis: *Crescite, et multiplicamini, et replete terram* [1]: quem et ipse probavit Apostolus, cum dixit: *Honorabile connubium et thorus immaculatus* [2]; an publicum illum qui clanculum et libidinose exercetur? Nam in cæteris quoque, per hanc vitam agi solitis, quædam occurrunt agendi discrimina: quale occidere non licet; at in bello adversarios interficere, et legitimum, et laude dignum est. Sic magnis donantur præmiis qui se in bello strenue gerunt, cippique eriguntur, quæ præclara eorum celebrent facinora. Itaque idipsum quodam modo, et quodam tempore non licet: quadam autem ratione et opportunitate permittitur conceditur que. Eadem igitur est de coitu ratio: Beatus qui in juventute libero junctus matrimonio, natura ad liberorum procreationem usus est: quod si ad libidinem, fornicatores et mœchos, quod apud Apostolum memoratur, supplicium excipiet. Nam duplex cum sit via in vita, alia quidem inferior vulgariorque, matrimonii scilicet; alia vero angelica et suprema omnium, nempe virginitatis; si quis mundanam, nuptias nimirum elegerit, culpa quidem vacat, sed tot tantaque non consequetur dona. Consequetur tamen aliqua, si quidem et ipse fert fructum tricesimum. Si quis vero castam mundoque superiorem amplexus fuerit vitam, tametsi hæc altera asperior et difficilior via est, at excellentioribus ille muneribus donandus est: perfectum quippe fructum, nempe centesimum produxit. Itaque obscenæ illorum atque malignæ quæstiones, proprias habent solutiones ex divinis Scripturis jam olim allatas. Confirma ergo, Pater, greges tuos, apostolicisque verbis hortare. Evangelicis demulce, ex psalmis da consilium: *Vivifica me*, dicens, *secundum eloquium tuum* [3]: eloquium autem ejus illud est, ut ex puro corde serviamus illi. Hoc cum non ignoret ipse Propheta, sese quasi interpretatur dicens: *Cor mundum crea in me, Deus* [4], ne me obscenæ cogitationes conturbent. Rursus ipse David: *Et Spiritu principali confirma me* [5], ut si quando me cogitationes conturbent, valida ex te virtus me quasi basis fulciat. Hæc igitur et talia consulendo, dic iis qui tarde veritati obtemperant, *Docebo iniquos vias tuas*, in Dominoque confidens, te suasurum illis ut ab hujusmodi vitio abstineant, psalle, *et impii ad te convertentur* [6]. Utinam qui malo animo hasce movent quæstiones, in cassum laborandi finem faciant: qui vero ob animi simplicitatem in dubitatione versantur, Spiritu principali confirmentur: quotquot autem veritatem firmiter nostis, eam infractam et inconcussam retineatis in Christo Jesu Domino nostro: quicum Patri gloria et imperium cum Spiritu sancto in sæcula. Amen.

[1] Genes. I, 28. [2] Hebr. XIII, 4. [3] Psal. CXVIII, 107. [4] Psal. L, 12. [5] Ibid. 14. [6] Psal. L, 15.

Digitized by Google

Salvatoris nostri gratiam, depellamus, simplicio-A rumque mentem confirmemus. *Omnia* quidem *munda mundis* [1] : sed impurorum tum conscientia, tum cætera omnia immunda sunt. Miror autem diaboli vafritiem, qui tametsi corruptio luesque est, cogitationes suggerit specie quidem puritate plenas. Quod agit ille insidiarum potius causa, quam experimenti. Quo enim, ut supra dixi, ascetas a consueta et salutari meditatione avertat, atque hac in re superior evadat, hujusmodi quædam insusurrat, quæ nihil vitæ commodi afferunt : sed vanas quæstiones et nugas, a nobis sane repudiandas. Quid enim, quæso, dilecte ac piissime, peccati aut impuri naturali inest excremento? Ecquis vitio vertere velit mucorem e naribus ejectum, vel sputa ore emissa? quibus plurima possemus addere, ventris nimirum excrementa, quæ animali ad vitam necessaria sunt. Ad hæc, si hominem esse manuum Dei opus secundum Scripturas credimus, quomodo ex pura poten- B tia opus contaminatum prodire valuit? Et si, ut in Actibus apostolorum legitur, genus Dei sumus [2], nihil sane in nobis impurum habemus. Tunc enim solum inquinamur, cum pessimi odoris opus, peccatum scilicet, operamur. At cum præter voluntatem naturale quodpiam excrementum emittitur, tunc naturæ necessitate, ut supra diximu , hæc cum cæteris toleramus. Sed quia ii, quibus una probe dictis, imo a Deo gestis rebus repugnandi inest cura, dictum illud evangelicum detorquent : Non quæ ingrediuntur, sed quæ egrediuntur coinquinant hominem [3]; hanc eorum insaniam, ne dicam quæstionem, confutemus. Primum enim Scripturas pro sua ignorantia, instabiles sane homines, depravant [4]. Porro divinum oraculum sic habet : cum quidam enim, quemadmodum isti, de cibis ambigerent, ipse Dominus, ut eorum levaret ignorantiam, dolumque cunctis retegeret, ait, Non ea quæ ingrediuntur hominem coinquinare, sed quæ egrediuntur. Addit post hæc, et undenam egrediuntur : ex corde. Quod probe nosset illic profanarum cogitationum aliorumque scelerum malos inesse thesauros. Brevius autem Apostolus ipsum docuit hisce verbis : *Esca non nos commendat Deo* [5]. Jam aliquis opportune dixerit : Naturale excrementum nulli nos supplicio addicit. Et fortasse ipsi medici (ut hinc homines illi vel ab extraneis pudore afficiantur) nobiscum defendent, animali datos esse quosdam necessarios meatus, D ad humores qui in singulis habentur membris nostris egerendos : quales sunt capitis excrementa, pili, aquositates quæ ex capite emittuntur : ventris item secessus, illaque spermaticorum meatuum superfluitas. Ecquodnam hac in re peccatum in Deum, senex religiosissime, cum ipse Dominus qui animal condidit, id curarit effeceritque, ut hæc membra essent ejusmodi meatibus instructa. Cæterum quia prævertenda sunt improborum argumenta : fortasse enim dixerint : Ergo nec verus eorum usus est

φέρε, διὰ βραχέων καὶ τὴν τοῦ πονηροῦ πλάνην ἀπελάσωμεν τῇ τοῦ Σωτῆρος ἡμῶν χάριτι, καὶ τὴν τῶν ἁπλουστέρων γνώμην στηρίξωμεν. *Πάντα* μὲν γὰρ *καθαρὰ τοῖς καθαροῖς*· τῶν δὲ ἀκαθάρτων καὶ ἡ συνείδησις καὶ τὰ πάντα μεμόλυνται. Ἄγαμαι δὲ τοῦ διαβόλου τὸ σόφισμα, ὅτιπερ, φθορὰ καὶ λύμη ὑπάρχων, λογισμοὺς ὑποβάλλει τῷ δοκεῖν μὲν καθαρότητος· ἔστι δὲ τὸ γιγνόμενον ἐνέδρα μᾶλλον ἢ δοκιμασία. Ἵνα γὰρ, ὡς προεῖπον, ἀπασχολήσῃ τοὺς ἀσκητὰς τῆς ἐθίμου καὶ σωτηριώδους μελέτης, καὶ δόξῃ κρατεῖν· κατὰ τοῦτο τοιαῦτά τινα κινεῖ βομβύκια, ἅτινα φέρει μὲν οὐδὲν τῷ βίῳ χρήσιμον, κενὰς δὲ ζητήσεις καὶ φλυαρίας, ἃς δεῖ παραιτεῖσθαι. Τί γὰρ, εἰπέ μοι, ὦ ἀγαπητὲ καὶ εὐλαβέστατε, ἔχει ἁμάρτημα ἢ ἀκάθαρτον φυσικὴ τις ἔκκρισις; ὡς εἴ τις ἐθέλοι ποιεῖσθαι ἔγκλημα καὶ τὰς διὰ ῥινῶν ἐκπεμπομένας μύξας καὶ τὰ διὰ στόματος πτύσματα· ἔτι δὲ καὶ τούτων ἔχομεν λέγειν πλείονα, τὰς διὰ γαστέρων B ἐκκρίσεις, ἅπερ τῷ ζώῳ πρὸς τὸ ζῆν ἀναγκαῖα καθέστηκεν. Ἔτι τε, εἰ τῶν τοῦ Θεοῦ χειρῶν ἔργον εἶναι πιστεύομεν τὸν ἄνθρωπον, κατὰ τὰς θείας Γραφὰς, πῶς ἠδύνατο ἐκ καθαρᾶς δυνάμεως ἔργον τι γίνεσθαι μεμολυσμένον; Καὶ εἰ γένος τοῦ Θεοῦ ὑπάρχομεν κατὰ τὰς θείας τῶν ἀποστόλων Πράξεις, οὐδὲν ἔχομεν ἐν ἑαυτοῖς ἀκάθαρτον. Τότε γὰρ μόνον μεμολύσμεθα, ὅτε τὴν δυσωδεστάτην ἁμαρτίαν ἐργαζόμεθα. Ὅτε δὲ φυσικὴ τις ἔκκρισις ἀβουλήτως γίνεται, τότε τῇ τῆς φύσεως ἀνάγκῃ μετὰ τῶν ἄλλων, ὡς προεῖπομεν, καὶ τοῦτο ὑπομένομεν. Ἀλλ' ἐπειδήπερ οἱ θέλοντες μόνον ἀντιλέγειν τοῖς ὀρθῶς λεγομένοις, μᾶλλον δὲ παρὰ Θεοῦ πεποιημένοις, παραφέρουσι καὶ ῥητὸν εὐαγγελικόν· ὡς ὅτι Οὐ τὰ εἰσερ- C χόμενα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα· ἀναγκαίως αὐτῶν καὶ ταύτην τὴν ἀλογίαν· οὐ γὰρ ἂν εἴποιμεν ζήτησιν, ἐλέγξομεν. Πρῶτον μὲν γὰρ τὰς Γραφὰς κατὰ τὰς ἰδίας ἀμαθίας ἀστήρικτοι ὄντες βιάζονται. Ἔχει δὲ τὸ θεῖον οὕτω λόγιον· Τινῶν γὰρ πάλιν τούτοις ὁμοίως ἐνδυναστῶν ἐχόντων περὶ βρωμάτων, αὐτὸς ὁ Κύριος λύων αὐτῶν τὴν ἄγνοιαν, ἣ γ' οὖν τὴν ἀπάτην δημοσιεύων, φησὶ, Μὴ τὰ εἰσερχόμενα κοινοῦν τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα. Εἶτα ἐπάγει, καὶ πόθεν ἐξερχόμενα· τὰ ἀπὸ καρδίας. Ἐκεῖ γὰρ εἶναι τοὺς πονηροὺς θησαυροὺς τῶν βεβήλων λογισμῶν καὶ τῶν ἄλλων ἁμαρτημάτων γινώσκει. Συντομώτερον δὲ ὁ Ἀπόστολος αὐτὸ δεδιδαγμένος φησί· *Βρῶμα δὲ ἡμᾶς οὐ παραστήσει* τῷ Θεῷ. Φαίη δ' ἄν τις καὶ νῦν εὐλόγως· Φυσικὴ τις ἔκκρισις D ἡμᾶς οὐ παραστήσει πρὸς τιμωρίαν. Τάχα δὲ καὶ παῖδες ἰατρῶν, ἵνα κἂν ἐκ τῶν ἔξωθεν δυσωπηθῶσιν, ὑπὲρ τούτου ἀπολογήσονται· ὅτι τῷ ζώῳ δέδονταί τινες ἀναγκαῖαι διέξοδοι κατὰ τῶν ἐν ἡμῖν ἑκάστῳ μελῶν τρεφομένων τὸ περιττὸν ἀποπέμπειν· οἷον κεφαλῆς περιττώματα, τρίχες, καὶ τὰ ἀπὸ κεφαλῆς ὑδατώδη πεμπόμενα. καὶ γαστρὸς διαχωρήματα, καὶ τοίνυν τῶν σπερματικῶν πόρων ἐκεῖνο περίττωμα. Ποίᾳ τοίνυν ἐστὶ πρὸς Θεοῦ, ὦ πρεσβῦτα θεοφιλέστατε, ἁμαρτία, αὐτοῦ τοῦ πλάσαντος τὸ ζῶν δεσπότου θελήσαντος καὶ ποιήσαντος; ταῦτα τὰ μέλη τοιαύτας ἔχειν

[1] Tit. I, 15. [2] Act. XVII, 28. [3] Matth. XV, 20. [4] II Petr. III, 16. [5] I Cor. VIII, 8.

Digitized by Google

διεξόδους; Ἐπειδὴ δὲ δεῖ προσλαμβάνειν τὰ τῶν πονηρῶν ἐναντιώματα, εἰποιεν γὰρ ἄν· Οὐκ οὖν οὐκ ἔστιν ἁμαρτία οὐδὲ ἡ ἀληθὴς χρῆσις, εἰ τὰ ὄργανα παρὰ τοῦ Δημιουργοῦ διαπέπλασται. Πρὸς τοῦτο ἐρωτηματικῶς αὐτοὺς παύσωμεν φάσκοντες· Ποίαν λέγεις χρῆσιν, τὴν ἔννομον, ἣν καὶ ὁ Θεὸς ἐπέτρεψεν, *Αὐξάνεσθε*, λέγων, *καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν*· ἣν ὁ Ἀπόστολος ἀπεδέξατο εἰπών· *Τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος*· ἢ τὴν δημώδη μὲν, λαθραίως δὲ καὶ μοιχικῶς ἐπιτελουμένην; Ἐπεὶ καὶ τῶν ἄλλων, τῶν ἐν τῷ βίῳ γινομένων, εὑρήσομεν τὰς διαφορὰς κατά τι γινομένας· οἷον φονεύειν οὐκ ἔξεστιν, ἀλλ' ἐν πολέμοις ἀναιρεῖν τοὺς ἀντιπάλους καὶ ἔννομον καὶ ἐπαίνου ἄξιον. Οὕτω γοῦν καὶ τιμῶν μεγάλων οἱ κατὰ πόλεμον ἀριστεύσαντες ἀξιοῦνται, καὶ στῆλαι τούτων ἐγείρονται κηρύττουσαι τὰ κατορθώματα. Ὥστε τὸ αὐτὸ κατά τι μὲν καὶ κατὰ καιρὸν οὐκ ἔξεστι, κατά τι δὲ καὶ εὐκαίρως ἀφίεται καὶ συγκεχώρηται. Ὁ αὐτὸς τοίνυν λόγος καὶ περὶ τῆς μίξεως· Μακάριος ὃς ἐν νεότητι ζυγὸν ἔχων ἐλεύθερον, τῇ φύσει πρὸς παιδοποιΐαν κέχρηται· εἰ δὲ πρὸς ἀσέλγειαν, πόρνους καὶ μοιχοὺς ἡ παρὰ τῷ Ἀποστόλῳ γραφεῖσα τιμωρία ἐκδέξεται. Δύο γὰρ οὐσῶν ὁδῶν ἐν τῷ βίῳ περὶ τούτων, μιᾶς μὲν μετριωτέρας καὶ βιωτικῆς, τοῦ γάμου λέγω· τῆς δὲ ἑτέρας ἀγγελικῆς καὶ ἀνυπερβλήτου, τῆς παρθενίας· εἰ μέν τις τὴν κοσμικὴν, τοῦτ' ἔστι τὸν γάμον, ἑλόιτο, μέμψιν μὲν οὐκ ἔχει· τοσαῦτα δὲ χαρίσματα οὐ λήψεται. Λήψεται γὰρ, ἐπείπερ φέρει καὶ αὐτὸς καρπὸν τῶν τριάκοντα. Εἰ δὲ τὴν ἀγνήν τις καὶ ὑπερκόσμιον ἀσπάσοιτο, εἰ καὶ τραχεῖα παρὰ τὴν πρώτην καὶ δυσκατόρθωτος ἡ ὁδὸς, ὅμως ἔχει χαρίσματα θαυμασιώτερα· τὸν γὰρ τέλειον καρπὸν τὴν ἑκατοντάδα ἐβλάστησεν. Ὥστε τὰ ἀκάθαρτα αὐτῶν καὶ πονηρὰ ζητήματα λύσεις ἰδίας ἔσχε καὶ παρὰ τῶν θείων Γραφῶν πάλαι προλυθείσας. Ὑποστήριζε τοίνυν, ὦ Πάτερ, τὰς ὑπὸ σαυτὸν ἀγέλας, ἐκ τῶν ἀποστολικῶν παρακαλῶν, ἐκ τῶν εὐαγγελικῶν ψυχαγωγῶν, ἐκ τῶν ψαλμῶν συμβουλεύων· *Ζῆσόν με*, λέγων, *κατὰ τὸ λόγιόν σου*· λόγιον δὲ αὐτοῦ τὸ ἐκ καθαρᾶς καρδίας λατρεύειν αὐτῷ. Τοῦτο γὰρ εἰδὼς ὁ αὐτὸς Προφήτης, ὥσπερ ἑαυτὸν μεταφράζων, λέγει· *Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός*· ἵνα μὴ ῥυπώδεις λογισμοί με ταράξωσι. Πάλιν Δαβίδ· *Καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με*· ἵνα, κἂν ποτε λογισμοί με θορυβήσωσιν, ἰσχυρά τις παρὰ σοῦ δύναμις στηρίξῃ με, ὥσπερ κρηπὶς τυγχάνουσα. Αὐτὸς τοίνυν, ταῦτα καὶ τὰ τοιαῦτα συμβουλεύων, λέγε πρὸς τοὺς βράδιον τῇ ἀληθείᾳ πειθομένους· *Διδάξω ἀνόμους τὰς ὁδούς σου*· καὶ θαῤῥῶν Κυρίῳ, ὅτι πείσεις ἀποσχέσθαι τῆς τοιαύτης κακίας, ψάλλε· *Καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιτρέψουσι*. Γένοιτο δὲ τοὺς μὲν κακοήθως ζητοῦντας παύσασθαι τῆς τοιαύτης ματαιοπονίας· τοὺς δὲ δι' εὐήθειαν ἐνδυαστῶς ἔχοντας, ἡγεμονικῷ Πνεύματι κρατυνθῆναι· ὅσοι δὲ βεβαίως τὴν ἀλήθειαν ἐπίστασθε, ἀῤῥαγῆ ταύτην κατέχετε καὶ ἀσάλευτον ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ δόξα καὶ τὸ κράτος σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

peccatum, siquidem organa a conditore facta sunt; ita loquentibus illis hac interrogatione silentium imponamus: Quem dicis usum, legitimumne, quem Deus his permisit verbis: *Crescite, et multiplicamini, et replete terram* [1]: quem et ipse probavit Apostolus, cum dixit: *Honorabile connubium et thorus immaculatus* [2]; an publicum illum qui clanculum et libidinose exercetur? Nam in cæteris quoque, per hanc vitam agi solitis, quædam occurrunt agendi discrimina: quale occidere non licet; at in bello adversarios interficere, et legitimum, et laude dignum est. Sic magnis donantur præmiis qui se in bello strenue gerunt, cippique eriguntur, quæ præclara eorum celebrent facinora. Itaque idipsum quodam modo, et quodam tempore non licet: quadam autem ratione et opportunitate permittitur conceditque. Eadem igitur est de coitu ratio: Beatus qui in juventute libero junctus matrimonio, natura ad liberorum procreationem usus est: quod si ad libidinem, fornicatores et mœchos, quod apud Apostolum memoratur, supplicium excipiet. Nam duplex cum sit via in vita, alia quidem inferior vulgariorque, matrimonii scilicet; alia vero angelica et suprema omnium, nempe virginitatis; si quis mundanam, nuptias nimirum elegerit, culpa quidem vacat, sed tot tantaque non consequetur dona. Consequetur tamen aliqua, si quidem et ipse fert fructum tricesimum. Si quis vero castam mundoque superiorem amplexus fuerit vitam, tametsi hæc altera asperior et difficilior via est, at excellentioribus ille muneribus donandus est: perfectum quippe fructum, nempe centesimum produxit. Itaque obscenæ illorum atque malignæ quæstiones, proprias habent solutiones ex divinis Scripturis jam olim allatas. Confirma ergo, Pater, greges tuos, apostolicisque verbis hortare. Evangelicis demulce, ex psalmis da consilium: *Vivifica me*, dicens, *secundum eloquium tuum* [3]: eloquium autem ejus illud est, ut ex puro corde serviamus illi. Hoc cum non ignoret ipse Propheta, sese quasi interpretatur dicens: *Cor mundum crea in me, Deus* [4], ne me obscenæ cogitationes conturbent. Rursus ipse David: *Et Spiritu principali confirma me* [5], ut si quando me cogitationes conturbent, valida ex te virtus me quasi basis fulciat. Hæc igitur et talia consulendo, dic iis qui tarde veritati obtemperant, *Docebo iniquos vias tuas*, in Dominoque confidens, te suasurum illis ut ab hujusmodi vitio abstineant, psalle, *et impii ad te convertentur* [6]. Utinam qui malo animo hasce movent quæstiones, in cassum laborandi finem faciant: qui vero ob animi simplicitatem in dubitatione versantur, Spiritu principali confirmentur: quotquot autem veritatem firmiter nostis, eam infractam et inconcussam retineatis in Christo Jesu Domino nostro: qui cum Patri gloria et imperium cum Spiritu sancto in sæcula. Amen.

[1] Genes. I, 28. [2] Hebr. XIII, 4. [3] Psal. CXVIII, 107. [4] Psal. L, 12. [5] Ibid. 14. [6] Psal. L, 15.

Digitized by Google

BALS. Hanc epistolam quæ tractat non esse immundam naturalem excretionem seminis, quæ scilicet fit vel morbo, vel nocturna visione non spontanea, a nullaque perturbatione orta, excellentissimus ille Zonaras, sapienter et apte, et ita ut nemo melius dicere possit, interpretatus est : et propterea de eo nos scribere supervacaneum existimavimus. Breviter autem dicimus, quod si naturalis quidem seminis fluxus ex non spontanea nocturna visione, et sine ulla prævia vehementi cupiditate fiat, nihil penitus affert præjudicii. Sicut et sancti Dionysii ad Basilidem tractat epistola, quæ superius annexa fuit. **38** Si autem aliqua perturbatione ex mala fortasse cupiditate assensuque processit, immunda est, et qui eam sustinuit a sacramentis arcebitur, et pro animæ ejus medici arbitratu ei medicina dabitur. Cum enim tria sint per quæ a Satana oppugnamur, applicatio, seu primus motus, assensus, et effectus ; si ex solo quidem primo motu nocturna fuerit facta visio, levius puniemur : si autem cum primo motu diurnus quoque fuit assensus, et sic nocturna visio consecuta est, et excretionis effectus, magis puniemur, secundum sanctam Scripturam quæ dicit, *Qui desideravit mulierem in corde suo, eam jam adulteravit* [1]. Si autem sic punitur qui fit ex consensu, in nocturna imaginatione, fluxus seminis, multo magis quæ per mollitiem fit excretio punietur, inter vigilandum, non autem in somniando facta. Seminis autem fluxio, quæ fit ex morbo nephritico, cujusmodi sunt gonorrhœa, et calculus, ab omni culpa immunis est. Etsi enim a lege Mosaica, qui seminis fluxu laborabant, immundi reputabantur, alio tamen modo, quod ad legem nostram attinet, puri existimantur : quoniam qui et lepræ morbo laborarunt, juxta legem antiquam ut immundi dimittebantur, apud nos autem in ecclesia versantur, et comprecantur, a morbo nihil impediti, sed eo potius recepti. Zonaræ autem interpretatio non hic subjuncta est, quod ad verborum Scripturæ interpretationem magis respiciat, et non ad canonicam doctrinam. Nobis autem in hac interpretatione, nec curæ fuit rhetorica compositio, nec verborum ornatus et elegantia, sed Scripturæ verborum interpretatio, sed canonica legalisque doctrina, et interpretatio legum et canonum, qui videntur contrarii, reliqua prætermittentibus, ut quæ non sint præsentis temporis et instituti. Qui vult ergo invenire interpretationem et declarationem dictorum apostolorum, aliorumve ad Scripturam pertinentium, is adeat Zonaram, vel etiam alios interpretes.

ZONAR. Rogatus hic magnus Pater de naturali seminis excretione, num sit impura, respondit interrogationi, nihil eorum quæ a Deo facta sunt impurum esse. Quia vero subseminantur, hoc est, immittuntur cogitationes a malo dæmone, ac siuce-

[1] Matth. v. 28.

ΒΑΛΣ. Τὴν ἐπιστολὴν ταύτην διαλαμβάνουσα, μὴ εἶναι ἀκάθαρτον τὴν φυσικὴν ἔκκρισιν τοῦ σπέρματος τὴν ἀπὸ νόσου δηλαδὴ γινομένην ἢ ἀπὸ φαντασίας νυκτερινῆς ἀπροαιρέτου καὶ ἀπαθοῦς, ὑπερφυέστατος ἐκεῖνος Ζωναρᾶς σοφῶς καὶ ὑπερδεξίως, καὶ ὡς οὐκ ἂν τις κρειττόνως, ἡρμήνευσε· καὶ διὰ τοῦτο περιττὸν ἡμῖν ἔδοξε γράψαι τι περὶ ταύτης. Συναγαγόντες δὲ λέγομεν ὡς ἡ φυσικὴ ἔκρυσις τοῦ σπέρματος εἰ μὲν ἐξ ἀπροαιρέτου φαντασίας νυκτερινῆς καὶ ἄνευ προϋποκειμένης ἐμπαθοῦς ἐπιθυμίας γένηται, ἀποκριματιστός ἐστι παντάπασι, καθὼς καὶ ἡ πρὸς τὸν Βασιλείδην ἐπιστολὴ τοῦ ἁγίου Διονυσίου διαλαμβάνει, ἥτις κατεστρώθη ὄπιθεν. Εἰ δὲ ἐμπάθειά τις προηγήσατο ἐκ πονηρᾶς ἐπιθυμίας ἴσως καὶ συγκαταθέσεως, ἀκάθαρτός ἐστι, καὶ ὁ ταύτην ὑποστὰς τῶν ἁγιασμάτων ἐμποδισθήσεται, καὶ κατὰ τὸ δοκοῦν τῷ ψυχικῷ αὐτοῦ ἰατρῷ, θεραπευθήσεται. Τριῶν γὰρ ὄντων τρόπων δι' ὧν παρὰ τοῦ Σατανᾶ πολεμούμεθα, προσβολῆς, συγκαταθέσεως, καὶ ἀποτελέσματος, εἰ μὲν ἀπὸ μόνης προσβολῆς φαντασία γένηται νυκτερινή, μετριώτερον ἐπιτιμηθῶμεν· εἰ δὲ σὺν τῇ προσβολῇ γέγονε καὶ συγκατάθεσις ἡμερινή, καὶ οὕτω παρηκολούθησε καὶ φαντασία νυκτερινή, καὶ ἔκκρισεως ἀποτέλεσμα, ἐπὶ πλέον κολασθησόμεθα, κατὰ τὸ γράμμα τὸ ἱερὸν τὸ λέγον· *Ὁ ἐπιθυμήσας γυναῖκα ἐν τῇ καρδίᾳ αὐτοῦ, ἤδη ἐμοίχευσεν αὐτήν*· εἰ δὲ οὕτω κολάζεται ἡ ἀπὸ συγκαταθέσεως διὰ νύκτερινῆς φαντασίας ἔκρυσις τοῦ σπέρματος, πολλῷ πλέον ἡ διὰ μαλακίας ἔκκρισις ἐπιτιμηθήσεται ὑπερ καὶ οὐκ ἐξ ὀνειρώσεως γινομένη. Ἡ δὲ ἀπὸ νόσου νεφριτικῆς γινομένη ἔκρυσις τοῦ σπέρματος, οἷα ἐστὶν ἡ τῶν γονορροϊκῶν καὶ τῆς λιθιάσεως, πάντῃ ἐστὶν ἀκατέγκλητος. Κἂν γὰρ ἀπὸ τοῦ Μωσαϊκοῦ νόμου οἱ γονορροεῖς ἀκάθαρτοι ἐλογίζοντο, ἀλλὰ καθ' ἕτερον τρόπον ὅσον πρὸς τὸν ἡμέτερον νόμον καθαροὶ λογίζονται. Ὅτι καὶ οἱ λέπραν νοσήσαντες, παρὰ μὲν τῷ παλαιῷ νόμῳ ὡς ἀκάθαρτοι ἀπεπέμποντο· μεθ' ἡμῶν δὲ καὶ ἐκκλησιάζουσι καὶ συνεύχονται, ἀπὸ τῆς νόσου μηδὲν ἐμποδιζόμενοι, ἀλλὰ μᾶλλον καὶ οἰκειούμενοι. Ἡ μέντοι ἑρμηνεία τοῦ Ζωναρᾶ οὐ κατεστρώθη ὧδε, διὰ τὸ πρὸς ἐξήγησιν γραφικῶν ῥημάτων μάλιστα ἀποβλέπειν καὶ μὴ πρὸς κανονικὴν διδασκαλίαν. Ἡμῖν δὲ οὐκ ἐμέλησεν ὅλως ἐν τῇ παρούσῃ ἐξηγήσει συνθήκης ῥητορικῆς ἢ εὐεπείας λέξεων ἢ ῥημάτων γραφικῶν ἑρμηνεία, ἀλλὰ κανονικῆς καὶ νομικῆς διδασκαλίας καὶ ἑρμηνείας τῶν δοκούντων ἐναντιοφανῶν νόμων τε καὶ κανόνων, τὰ λοιπὰ παραδραμοῦσιν, ὡς μὴ τοῦ παρόντος ὄντα καιροῦ. Ὁ γοῦν θέλων εὑρεῖν τὴν ἑρμηνείαν καὶ τὴν σαφήνειαν τῶν ἀποστολικῶν ῥημάτων ἢ καὶ τῶν ἄλλων γραφικῶν, ἐντυγχανέτω τῷ Ζωναρᾷ ἢ καὶ τοῖς ἄλλοις ἐξηγηταῖς αὐτῶν.

ΖΩΝΑΡ. Ἐρωτηθεὶς ὁ μέγας οὗτος Πατὴρ περὶ τῆς φυσικῆς ἐκκρίσεως, τῆς γονῆς, εἰ ἀκάθαρτός ἐστιν, ἀπεκρίθη πρὸς τὸ ἐρώτημα ὅτι οὐδὲν τῶν παρὰ Θεοῦ γενομένων ἀκάθαρτον. Ὅτι δὲ ὑποσπείρει, ἤγουν ὑποβάλλει λογισμοὺς ὁ πονηρὸς, καὶ τε-

Digitized by Google

ράσσει τοὺς ἀκεραιοτέρους τὴν γνώμην, ἤτοι τοὺς ἁπλουστέρους· φέρε δι' ὀλίγων λόγων ἀπελάσωμεν ἐν Θεῷ τὴν τοῦ πονηροῦ πλάνην, ἀντὶ τοῦ τῷ Θεῷ θαῤῥοῦντες, καὶ τὴν γνώμην τῶν ἁπλουστέρων στηρίξωμεν. Ἄρχεται οὖν τοῦ λόγου, χρῆσιν παράγων ἐκ τῆς πρὸς Τίτον ἐπιστολῆς τοῦ ἁγίου Παύλου, καὶ φησιν ὅτι πάντα καθαρὰ τοῖς καθαροῖς, τῶν δὲ ἀκαθάρτων καὶ ἡ συνείδησις μεμόλυνται. Ταῦτα δὲ ὁ μακάριος Παῦλος περὶ τῆς ἐν βρώμασιν Ἰουδαϊκῆς λέγει παρατηρήσεως, ὅτι τῶν ὑπὸ Θεοῦ κτισθέντων, οὐδὲν ἀκάθαρτον κατὰ τὴν ἑαυτοῦ φύσιν· οὐδὲν δὲ τοῖς μεμιασμένοις καθαρὸν, ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις· μεμίανται δὲ τῇ ἁμαρτίᾳ καὶ τῷ λογίζεσθαι τὰ μὴ πρέποντα. Διὰ τούτων οὖν τῶν λόγων προκατασκευάσας ὁ μέγας Ἀθανάσιος τὴν οἰκείαν γραφὴν ἐπάγει· Ἄγαμαι δὲ, ἤτοι θαυμάζω, τοῦ διαβόλου τὸ σόφισμα, τὴν ἀπάτην δηλαδὴ, ὅτι φθορὰ ὢν καὶ λύμη ἐνθυμίζει λογισμοὺς δοκοῦντας εἶναι καθαρότητος. Τὸ δὲ παρ' ἐκείνου γινόμενον ἐνέδρα ἐστὶν, ἤγουν κρυφία ἐπιβουλὴ, ἀλλ' οὐχὶ δοκιμασία. Ἵνα γὰρ ἀπαγάγῃ τοὺς ἀσκητὰς τῆς ἐθίμου, τουτέστι τῆς συνήθους καὶ ὠφελίμου φροντίδος, καὶ ἕξῃ νικᾷν αὐτούς· κατὰ τοῦτο (διὰ τοῦτο) τοιαῦτα κινεῖ βομβύκια, ἤτοι φόβητρα, βόμβους μόνον ἐμποιοῦντα. Τί γὰρ, φησὶν, ἔχει ἁμάρτημα ἡ ἀκάθαρτον ἡ φυσικὴ ἔκκρισις; ὥσπερ ἐάν τις αἰτιᾶται τοὺς ἀνθρώπους καὶ διὰ τὰς ἄλλας ἐκκρίσεις, οἷον διὰ τὰς μύξας καὶ τὰ πτύσματα, καὶ ὅσα διὰ γαστέρων ἐκκρίνονται, ἤγουν ἐκβάλλονται καὶ κενοῦνται, ἅτινα ἐκκρινόμενα ὠφελοῦσι πρὸς τὴν ζωήν. Ἐπιχειρεῖ δὲ καὶ ἐτέμωθεν. Εἰ γὰρ πιστεύομεν, φησὶ, τῶν χειρῶν τοῦ Θεοῦ ποίημα εἶναι τὸν ἄνθρωπον, πῶς ἐστι δυνατὸν ἐκ τοῦ Θεοῦ ἀκάθαρτόν τι γενέσθαι καὶ μεμολυσμένον; Καὶ εἰ γένος Θεοῦ ὑπάρχομεν κατὰ τὰς τῶν θείων ἀποστόλων Πράξεις, οὐδὲν ἔχομεν ἐν ἑαυτοῖς ἀκάθαρτον. Ἐν γὰρ τῇ βίβλῳ τῶν Πράξεων ἱστόρηται ὁ μέγας Παῦλος τοῖς Ἀθηναίοις διαλεγόμενος, καὶ πρὸς τοῖς ἄλλοις καὶ ταῦτα λέγων περὶ Θεοῦ· *Ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα, καὶ ἐσμεν, ὡς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασι· Τοῦ γὰρ γένος ἐσμέν.* Τοῦτο δὲ τῷ Ἀράτῳ εἴρηται περὶ τοῦ Διός· ὁ δὲ Ἀπόστολος εἰς τὸν ὄντως Θεὸν τὸ νόημα ἥρμοσε μᾶλλον. Τούτῳ τοίνυν εἰς κατασκευὴν τοῦ οἰκείου λόγου ὁ μέγας ἐχρήσατο Ἀθανάσιος· ὡς εἰ γένος Θεοῦ ἐσμὲν, ὡς ἐν ταῖς Πράξεσιν εἴρηται, οὐδὲν ἔχομεν μεμολυσμένον ἢ μιαρόν. Τότε γὰρ μεμολύσμεθα, ὅτε ἁμαρτάνομεν· ἡ δὲ φυσικὴ ἔκκρισις, γινομένη ἐξ ἀνάγκης τῆς φύσεως, οὐ μιαίνει. Ὡς τινῶν δὲ ἀντιλεγόντων καὶ παραγόντων ῥητὰ εὐαγγελικὰ τὰ λέγοντα, *Οὐ τὰ εἰσερχόμενα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα*· ἵσταται καὶ πρὸς τοῦτο δεικνὺς μὴ καλῶς νοούμενα τὰ ῥητὰ παρὰ τῶν ἀντιλεγόντων· καὶ φησι ὅτι περὶ βρωμάτων ἐνδοιαστῶς ἐχόντων τινῶν ἤτοι δειλιώντων, ἀμφιβαλλόντων, ὡς μολυνόντων τοὺς χρωμένους αὐτοῖς, λύων αὐτῶν τὴν ἄγνοιαν ὁ Κύριός φησι μὴ τὰ εἰσερχόμενα κοινοῦν, ἤγουν μιαίνειν, μολύνειν, ἀλλὰ τὰ ἐξερχό-

A riores animo, simpliciores videlicet perturbantur : age brevi sermone (id est, Deo fidentes) disjiciamus in Deo diaboli fraudes, ac simpliciorum animos confirmemus. Sermonem itaque auspicatur, divi Pauli sententiam proferens ex Epistola ad Titum, aitque omnia munda mundis, impurorum vero conscientiam quoque esse pollutam. Hæc vero beatus Paulus de Judaica observatione in cibis asserit, illorum quæ a Deo creata sunt natura sua nihil esse impurum : neque vero pollutis quidquam esse mundum, sed ipsorum quoque mentem, et conscientiam pollutam esse. Polluti sunt enim peccato, et ea quæ indecora sunt, cogitando. Per hæc igitur verba constituto suæ scriptionis proœmio magnus Athanasius subjicit : Miror autem, sive cum admiratione B specto diaboli calliditatem, fraudes videlicet : qui cum corruptio sit et lues, cogitationes tamen, quæ puræ videntur esse, in animum insinuat. Quod vero ab illo fit insidiæ sunt, hoc est, occultæ machinationes, non probandæ constantiæ experimentum. Ut enim eos, qui in rerum divinarum meditatione se exercent, a consueta, hoc est, usitata ipsis, et fructuosa abducat cogitatione, atque ipsos superare videatur, secundum hoc (sive hanc ob causam) ejusmodi movet bombycia, seu terriculamenta quæ solummodo bombos cient. Quid est enim, ait, in naturali excretione criminis, aut impuritatis? veluti si quis homines ob alia quoque excrementa accuset, ut ob mucorem narium, et sputa, et quæcunque C per ventriculum excernuntur, hoc est, ejiciuntur ac exonerantur, quæ quidem per excretionem **39** emissa ad vitam juvant. Aliam vero præterea probationem aggreditur. Si enim, inquit, opus Dei manuum esse hominem credimus, qui fieri potest ut a Deo impurum quidpiam pollutumque procreetur? Ac siquidem Dei genus sumus, ut in Actis divinorum apostolorum legitur, nihil in nobis ipsis immundum habemus. Commemoratur namque in libro Actorum magnus Paulus ad Athenienses disserens, ac præter alia hæc quoque effatur de Deo : *In ipso enim vivimus, movemur, et sumus, ut etiam vestrorum poetarum quidam dixerunt, Ipsius namque genus sumus* [1]. Hoc vero dixit Aratus de Jove : Apostolus autem ad verum Deum sententiam accom- D modavit. Eo igitur ad suæ orationis confirmationem magnus usus est Athanasius dicens, siquidem Dei genus sumus, ut in Actis dicitur, nihil habere nos pollutum, aut immundum. Tunc namque polluimur cum peccamus. Naturalis autem excretio, quæ ex naturæ necessitate fit, minime polluit. Cæterum cum nonnulli contradicerent, ac Evangelica illa verba proferrent, *Non quæ intrant coinquinant hominem, sed quæ exeunt* [2], ad hoc quoque respondet, ab iis qui contra arguunt non bene intelligi verba illa demonstrans; aitque cum de cibis quidam dubitarent, sive timidiuscule hæsitarent, acsi utentes ipsis polluerent, eorum ignorationem Dominus sol-

[1] Act. xvii, 28. [2] Matth. xv, 11.

Digitized by Google

vens, ait. Non ea quæ intrant inquinare, hoc est, polluere, inficere, sed quæ exeunt, quæ a corde videlicet progrediuntur. Ait vero etiam apostolus, *Esca nos non commendat Deo* [1]. Postquam hisce rationibus suum sermonem magnus hic Pater confirmavit, subjicit deinde : Dixerit autem forte nunc quoque aliquis probabiliter, Naturalis quædam excretio nos ad supplicium haudquaquam adducit. Et vero medici quoque, ait, hac de re respondebunt, naturam, velut excrementum quoddam, semen expellere. Animanti siquidem dati sunt meatus, ut per hos unumquodque membrum, quod superfluum est, ejiciat. Capitis quidem, inquit, excrementa sunt pili, quique per nares, atque os emittuntur humores; et ventris, aut totius etiam corporis, egestiones : seminariorum autem meatuum excrementum est semen. Quodnam ergo, inquit, in ea peccatum fuerit, cum hoc semen egeritur eo modo, quo, qui efformavit hominem, Deus voluit ac constituit? Verum ne quis ad hæc objiceret: Quoniam, ut ais, nullum est peccatum in seminis fluxu, quippe qui naturaliter contingit : nec verus quidem usus, coitio nimirum, ducetur in crimine; quia quæ illi deserviunt organa a Deo efformata sunt : contradicentem scilicet interrogat; Qualem tu dicis usum? legitimumne, an eum qui occulte, libidinoseque exercetur? Legitimum siquidem Deus permisit, dicens, *Crescite et multiplicamini* [2], et concessit magnus Paulus dicens, *Honorabile connubium, et torus immaculatus* [3] : alius vero usus interdictus est. Hoc vero, inquit, in aliis quoque multis hujus vitæ actionibus facile inveniemus. Occidere nempe vetitum est; at in bello interficere hostes laudabile, ac magnis honoribus dignum habetur. Proinde eadem res ex aliquo capite haud licet, ex alio vero conceditur, ac differentiam temporum, personarum modorumque aliorum admittit. Eadem igitur est de coitu ratio. Tum oracula ex sacris Litteris hac de re profert : mox de nuptiis quoque, ac virginitate disserit, duasque ait esse vias, matrimonium videlicet, et virginitatem; si quis igitur matrimonium elegerit, reprehensionem non habet, neque ex hoc condemnabitur. Cæterum non tanta dona, quanta is qui virginitatem amplexus fuerit, accipiet. Accipiet enim, inquit, et ille, fructum siquidem fert tricesimum. Si namque ex magni Pauli sententia, *Honorabile matrimonium et torus immaculatus;* qui in conjugio caste vixit, ac liberis operam dando Dei præcepto obtemperavit, dicenti, *Crescite et multiplicamini*, 40 tum prolis causa curas laboresque suscipiens, ut illam nutriat erudiatque in disciplina et institutione Domini, fructum is quoque fert tricesimum. Quemadmodum beatus quoque Paulus asserit, fore ut salventur mulieres liberos gignentes. Si quis vero, ait, puram ac cœlestem viam fuerit amplexus, admirabiliora dona accipiet; quoniam aspera primo aditu difficilisque admodum est via.

μενα, τὰ ἀπὸ καρδίας δηλαδὴ προϊόντα· καὶ ὁ Ἀπόστολος δέ φησι· *Βρῶμα ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ*. Τούτοις τὸν οἰκεῖον λόγον κρατύνας ὁ μέγας οὗτος Πατὴρ, ἐπάγει· Εἴποι δ' ἄν τις καὶ νῦν εὐλόγως· Φυσική τις ἔκκρισις ἡμᾶς οὐ παρίστησι πρὸς τιμωρίαν. Καὶ ἰατροὶ δὲ, φησὶ, περὶ τούτου ἀπολογήσονται ὅτι ἡ φύσις ὡς περίττωμα διώκει τὸ σπέρμα. Τῷ γὰρ ζώῳ δέδονται πόροι, ἵνα διὰ τούτων ἕκαστον μέλος ἀποπέμπῃ τὸ περιττόν. Τῆς μὲν οὖν κεφαλῆς, φησὶ, περιττώματά εἰσιν αἱ τρίχες, καὶ τὰ διὰ ῥινῶν καὶ στόματος ὑγρὰ, καὶ γαστρὸς διαχωρήματα, ἢ καὶ ὅλου τοῦ σώματος· τῶν δὲ σπερματικῶν πόρων περίττωμα τὸ σπέρμα. Ποῖα οὖν ἐστι, φησὶν, ἁμαρτία κενουμένου τοῦ σπέρματος τούτου, ὡς ὁ Θεὸς ὁ πλάσας τὸν ἄνθρωπον ἠθέλησε, καὶ ᾠκονόμησεν; Ἵνα δὲ μή τις πρὸς ταῦτα ἀντιθήσει ὅτι, Ἐπεὶ ὁ λέγεις οὐκ ἔστιν ἁμαρτία ἡ τοῦ σπέρματος ἐκροὴ ὡς φυσικῶς γινομένη, οὐδὲ ἡ ἀληθὴς χρῆσις, ἤγουν ἡ μίξις λογισθήσεται ἁμαρτία· ὅτι τὰ ὄργανα τὰ πρὸς αὐτὴν ἐνεργοῦντα, παρὰ τοῦ Θεοῦ ἐπλάσθησαν· ἐρωτᾷ τὸν ἀντιλέγοντα δῆθεν· Ποίαν λέγεις χρῆσιν; τὴν ἔννομον, ἢ τὴν κρυφίως καὶ μοιχικῶς γινομένην; τὴν γὰρ ἔννομον ὁ Θεὸς ἐπέτρεψεν εἰπών· *Αὐξάνεσθε καὶ πληθύνεσθε*, καὶ ὁ μέγας Παῦλος ἐκκεχώρηκε λέγων· *Τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος*· ἡ δὲ ἄλλη χρῆσις κεκώλυται. Τοῦτο γὰρ, φησὶ, καὶ ἐν ἄλλοις πολλοῖς βιωτικοῖς εὑρήσομεν αὐτίκα. Τὸ φονεύειν ἀπηγόρευται, ἀλλ' ἐν πολέμῳ ἀναιρεῖν τοὺς πολεμίους ἐπαινετὸν, καὶ τιμῶν μεγάλων ἄξιον. Ὥστε τὸ αὐτὸ κατά τι μὲν οὐκ ἔξεστι· κατά τι δὲ ἔξεστι, καὶ ἐν διαφορᾷ ἐστι καὶ καιρῶν καὶ προσώπων καὶ τρόπων ἄλλων. Οὕτως οὖν καὶ ἡ μίξις. Καὶ χρήσεις γραφικὰς παρεγει πρὸς τοῦτο. Εἶτα καὶ περὶ γάμου καὶ παρθενίας διαλέγεται· καὶ δύο φησὶν ὁδοὺς εἶναι, τὸν γάμον καὶ τὴν ἁγνείαν. Εἰ μὲν οὖν τις τὸν γάμον ἕλοιτο, μέμψιν οὐκ ἔχει, οὐδὲ κατακριθήσεται διὰ τοῦτο. Οὐ μὴν τοσαῦτα χαρίσματα λήψεται ὅσα ὁ παρθενίᾳ συζήσας. Λήψεται γὰρ, φησὶ, κἀκεῖνος, ἐπείπερ φέρει καρπὸν τὸν τριάκοντα. Εἰ γὰρ, κατὰ τὸν μέγαν Παῦλον, *Τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος*, ὁ σωφρόνως ἐν τῇ συζυγίᾳ βεβιωκὼς, καὶ ὑπηρετήσας τῇ τοῦ Θεοῦ προστάξει διὰ τῆς παιδοποιίας, εἰπόντος, *Αὐξάνεσθε καὶ πληθύνεσθε*, καὶ ἀνεχόμενος φροντίδων καὶ κόπων διὰ τὰ ἔγγονα, ἵνα θρέψῃ αὐτὰ καὶ παιδεύσῃ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου, καρπὸν κἀκεῖνος τὸν τριάκοντα φέρει· καθὸ καὶ ὁ μακάριος Παῦλος λέγει σωθήσεσθαι τὰς γυναῖκας διὰ τῆς τεκνογονίας. Εἰ δέ τις τὴν ἁγνὴν, φησὶ, καὶ ὑπερκόσμιον ὁδὸν ἀσπάσοιτο, χαρίσματα θαυμασιώτερα λήψεται· ὅτι τραχεῖα παρὰ τὴν πρώτην καὶ δυσκατόρθωτος ἡ ὁδός. Τὸ δὲ παρὰ τὴν πρώτην ἢ παρὰ τὴν ἧδη ῥηθεῖσαν ὁδὸν τὴν τοῦ γάμου νοητέον, ἢ παρὰ τὴν ἀρχήν. Ὁ γὰρ ἑλόμενος παρθενεύειν τῆς σαρκὸς εὐκαταφόρου τυγχανούσης πρὸς ἡδονὰς καὶ μάλιστα περὶ τὰς τῆς μίξεως παρὰ τὴν ἀρχὴν ἀνάγκην ὑφίσταται, τῆς φύσεως ὀργώσης πρὸς τὸ πάθος· καὶ πλέον ὅτε νεάζει ὁ ἄνθρωπος καὶ

[1] I Cor. VIII, 8. [2] Gen. I, 28. [3] Hebr. XIII, 4.

Digitized by Google

σφριγᾷ· διὸ παρὰ τὴν πρώτην εἴρηται. Ὅτε δὲ πρὸς γῆρας ἀπονεύσει, εἰ καὶ μηδὲ τότε σβέννυται τὸ πῦρ ἐκ τῶν παθῶν, ἀλλά γε μαλθακώτερον γίνεται. Ταῦτα εἰπὼν ἐπάγει ὅτι τὰ ζητήματα αὐτῶν τὰ ἀκάθαρτα προλέλυνται παρὰ τῶν θείων Γραφῶν, καὶ παραινεῖ τὸν ἐρωτήσαντα ὑποστηρίζειν τοὺς ὑπ' αὐτὸν, καὶ χρήσεσι κέχρηται γραφικαῖς διαφόροις· εἶτα καὶ εἰς εὐχὴν τρέψας τὸν λόγον τελειοῖ τὴν ἐπιστολήν. Ταῦτα μὲν οὖν ὁ μέγας φησὶν Ἀθανάσιος περὶ τῆς φυσικῆς ἐκκρίσεως τῆς γονῆς. Ὁ δὲ Ἀλεξανδρείας Διονύσιος ἐν τῇ πρὸς Βασιλείδην ἐπιστολῇ ταῦτά φησιν· Οἱ δὲ ἐν ἀπροαιρέτῳ νυκτερινῇ ῥύσει γενόμενοι τῷ οἰκείῳ συνειδότι κατακολουθείτωσαν· καὶ ἑαυτοὺς εἴτε διακρίνονται, εἴτε μή, σκοπείτωσαν. Ὡς ἐπὶ τῶν βρωμάτων ὁ διακρινόμενος, φησὶν, ἐὰν φάγῃ, κατακέκριται· καὶ ἐν τούτοις εὐσυνείδητος ἔστω καὶ εὐπαρρησίαστος κατὰ τὸ ἴδιον ἐνθύμιον πᾶς ὁ προσιὼν τῷ Θεῷ. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ὅτι Ὁ τὴν τοῦ σπέρματος ὑποστὰς ῥεῦσιν, ἑαυτὸν ἀνακρινέτω· καὶ εἰ μὲν ἐμπάθειά τις προηγήσατο ἐκ τοῦ πονηροῦ ἴσως ἐνθυμίου καὶ συγκαταθέσεως, καὶ οὕτως ἡ τῆς γονῆς ἐπηκολούθησε ῥεῦσις, οὐκ ἀμίαντος ὁ ταύτην παθών· εἰ δ' οὐδὲν τοιοῦτον προηγήσατο, οὐδὲ διακρίνεται διά τι τοιοῦτον, καὶ οὐ μεμόλυνται αὐτῷ ὁ λογισμὸς, προσίτω τοῖς ἁγιάσμασι. Τινὲς δὲ τὸν μέγαν Βασιλειόν φασιν ἀπείργειν τοὺς τοιοῦτόν τι παθόντας τῆς τῶν ἁγιασμάτων μεταλήψεως. Ἐρωτηθεὶς γὰρ ὁ ἅγιος οὗτος, ὡς ἐν τοῖς ἀσκητικοῖς αὐτοῦ ἀναγέγραπται, εἰ τῶν συνήθων καὶ κατὰ φύσιν γινομένων τινὶ χρὴ τολμᾷν εἰς κοινωνίαν τῶν ἁγίων παραδέχεσθαι, ἀπεκρίθη, Κρεῖττονα τῆς φύσεως καὶ τῆς συνηθείας ἐδίδαξεν ὁ Ἀπόστολος εἶναι τὸν ἐν τῷ βαπτίσματι συνταφέντα Χριστῷ· ποτὲ μὲν εἰπὼν ὅτι *Ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μὴ δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ*· ποτὲ δὲ παραγγέλλας, *Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς· πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία, δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας*· ποτὲ δὲ ὄρον ἐκθέμενος ἐν τῷ εἰπεῖν· *Οἱ δὲ τοῦ Χριστοῦ Ἰησοῦ ἐσταύρωσαν τὴν σάρκα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις*. Ἐγὼ δὲ ἔγνων ὅτι ταῦτα κατωρθώθη Χριστοῦ χάριτι καὶ ἐν ἀνδράσι καὶ γυναιξὶ πίστει τῇ εἰς τὸν Κύριον γνησίᾳ· τοῦ δὲ ἐν ἀκαθαρσίᾳ ὄντα τινὰ ἐγγίζειν τοῖς ἁγίοις καὶ ἐκ τῆς Παλαιᾶς Διαθήκης φοβερὸν διδασκόμεθα τὸ κρῖμα. Εἰ δὲ πλεῖον τοῦ ἱεροῦ ὧδε, φοβερώτερον δηλονότι. Παιδεύσει δὲ ἡμᾶς ὁ Ἀπόστολος εἰπών· *Ὁ ἐσθίων καὶ πίνων ἀναξίως κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει*. Ἐκ τοῦν τῆς ἀποκρίσεως ταύτης οἴονταί τινες τὸν μέγαν Βασίλειον ἀκαθαρσίαν ἡγεῖσθαι τὴν τοῦ σπέρματος ἐκροήν· ἀλλ' οὐκ ἔστι τοῦτο. Οὐ γὰρ περὶ ἀφαντάστου φησὶ ῥύσεως, ἀλλ' οὐδὲ μετὰ φαντασίας γενομένης, ἄνευ μέντοι ἐμπαθείας, ἧς ἐπιθυμία οὐ προηγήσατο· ἢ κἂν προηγήσατο, ἀλλ' οὐκ ἐνέμεινεν, ἀλλ' ἀπεπέμφθη τοῦ κρείττονος ἐπικρατή-

A Illud vero (παρὰ τὴν πρώτην) aut de prædicta via conjugali intelligendum est, aut de initio. Qui enim virginitatem amplectitur, cum caro ad voluptates, maximeque venereas sit proclivis; conflictatur initio difficultatibus, natura ad libidinem inclinante, idque præsertim dum in ætatis flore versatur, ac viget; quam ob causam verba illa (primo aditu) sunt dicta. Ubi vero ad senectutem vergit, etiamsi ne tunc quidem exstinguatur cupiditatum flamma, lenior tamen evadit. Iis dictis subjicit, illorum impuras quæstiones jam ante ex sacris Litteris fuisse solutas, monetque interrogantem, ut sibi subditos confirmet, variisque Scripturæ sententiis utitur; tum ad precationem conversa oratione epistolam absolvit. Hæc ergo magnus loquitur Athanasius de naturali
B seminis excretione. Dionysius porro Alexandrinus in epistola ad Basilidem hæc habet: Qui vero in non voluntario nocturno fluxu fuere, propriam sequantur conscientiam, et secum, an de eo dubitant, necne, considerent. Quemadmodum in cibis, qui dubitat, inquit, condemnatus est, si comederit, in his quoque bonæ sit conscientiæ, et libere loquatur, juxta conceptam animo cogitationem, omnis qui accedit ad Deum. Quod vero ait ejusmodi est, ut qui seminis fluxum est passus seipsum examinet, ac siquidem affectio aliqua præcessit, ex prava forte cogitatione atque consensu, et hoc pacto seminis fluxus est consecutus, cui is contigit haudquaquam purus existimabitur: sin nihil tale præcessit, nec
C de aliqua ejusmodi re ambigit, nec ulla rationi adhæsit macula, ad sacra illi mysteria liceat accedere. Nonnulli vero, magni Basilii sententia, qui aliquid ejusmodi passi sunt, a sacrorum mysteriorum perceptione arceri asserunt. Rogatus namque hic vir sanctus (uti in ipsius Asceticis est scriptum) an eum, cui ex consuetudine aut natura quidpiam evenit, audere oporteat ad sacrorum communicationem admittere? respondit: Superiorem naturæ et consuetudini docuit Apostolus esse eum, qui in baptismo consepultus est Christo: nunc quidem dicens, *Quod vetus noster homo cum eo crucifixus est, ut aboleatur corpus peccati, ne nos amplius serviamus peccato* [1]: alibi vero præcipiens, *Mortificate igitur membra vestra terrestria, scortationem, impu-*
D *ritatem, mollitiem, cupiditatem malam, et avaritiam, quæ est idololatria, ob quæ venit ira Dei super homines contumaces* [2]: alibi autem regulam exponens, dum ait, *Qui enim sunt Christi, carnem crucifixerunt cum affectibus et cupiditatibus* [3]. Ego vero scio emendata hæc fuisse per Christi gratiam in viris et mulieribus, sincera in Dominum fide: de eo vero qui impuritate pollutus accessit ad sancta, ex Veteri quoque Testamento horrendum edocemur judicium. Quod si plus templo hic est, sane et formidabilius. Idem nos erudiet Apostolus dicens, *Qui manducat et bibit indigne, judicium sibi manducat et bibit* [4]. Ex hoc igitur responso quidam opinati

[1] Rom. VI, 6. [2] Coloss. III, 5, 6. [3] Galat. V, 24. [4] 1 Cor. XI, 27.

Digitized by Google

sunt magnum Basilium impuritatis loco ducere seminis fluxum; sed non est ita. Non enim de eo fluxu loquitur, qui sine imaginatione fit, imo nec de eo, quem imaginatio comitatur, sine ulla tamen animi affectione, quam cupiditas non præcesserit; aut si præcessit, haud diu tamen substitit, sed exturbata est potioris imperio rationis; ita ut neque assensio sit consecuta, nec aliqua per illam macula rationi adhæserit. Idque ex ipsamet magni Patris illius scriptione animadvertenti facile erit cognoscere. Apostoli namque verba, quibus ille ad suæ sententiæ confirmationem est usus, peccati meminere impuritatisque, et concupiscentiæ malæ, ex quibus ille suam stabilivit sententiam, dicens, Aliquem vero impuritate pollutum ad sancta **41** accedere, etc. Neque vero impuritatis nomine seminis excretionem, quæ absque animi perturbatione contingit, magnum Basilium intellexisse quispiam dixerit : est hoc namque accusare carnem. Atqui ille in pluribus suis orationibus disseruit, haud malum esse corpus, nec mali principium, ut nonnulli existimarunt. Nec illum contraria magno Athanasio disserere quispiam arbitretur, cujus dicta omnes sancti Patres in primis venerantur, sed plane nomine impuritatis magnus Basilius non excretionem seminis, sed pravam cupiditatem significat, quæ ubi dominatur, peccatum quoque in cogitatione perficitur ex consensu, atque hoc pacto concipiuntur imagines per somnum, seminisque fluxio contingit. Quin ex illis verbis, ego vero scio emendata hæc fuisse Dei gratia in viris et mulieribus; aperte ostenditur, de seminis excretione, quam imaginatio comitatur, ipsum loqui, quamque prava affectio et peccatum cogitatione conceptum præcessit. Est enim præclarum facinus assensionem fugere, et quæ per ipsam rationi macula adhæret : non autem excludere cupiditatem, quod est animum ad illam nullo pacto adjicere. Hoc namque est a natura aut stoliditate. Verum peccatum cogitatione perficere, hoc virtutis opus est facinusque præclarum. Neque quod alicui nunquam seminis excretio contigerit, egregium facinus existimabitur. Hoc enim naturale est : propterea cum accidit, culpa caret. Imo vero nec naturalem hanc fluxionem quisquam penitus, nisi admodum stupidus fuerit, ut opinor, effugiet.

A σαντος λογισμοῦ· ὥστε μηδὲ συγκατάθεσιν γενέσθαι, μηδὲ μολυνθῆναι ταύτῃ τὸν λογισμόν. Καὶ τοῦτο ἐξ αὐτῆς τῆς γραφῆς τοῦ μεγάλου Πατρὸς ἐκείνου καταληφθήσεται τῷ προσέχοντι. Τὰ γὰρ τοῦ Ἀποστόλου ῥήματα οἷς ἐκεῖνος εἰς κατασκευὴν ἐχρήσατο τοῦ εἰκείου λόγου, ἁμαρτίας μέμνηται καὶ ἀκαθαρσίας, καὶ ἐπιθυμίας κακῆς. Πρὸς ἅπερ ἐκεῖνος στηρίζει τὴν γνώμην τὴν ἑαυτοῦ, λέγων· Τὸ δὲ ἐν ἀκαθαρσίᾳ ὄντα τινὰ ἐγγίζειν τοῖς ἁγίοις, καὶ τὰ λοιπά. Οὐκ ἂν δέ τις εἴποι ἀκαθαρσίαν ὀνομάσαι τὸν μέγαν Βασίλειον τὴν σπερματικὴν ἔκκρισιν ἀπαθῶς γινομένην. Τοῦτο γὰρ διαβολὴ τῆς σαρκός· ὁ δὲ ἐν πλείοσι λόγοις ἐφιλοσόφησεν, ὡς οὐ κακὸν τὸ σῶμα, οὐδὲ κακίας ἀρχή, καθὼς ἔδοξέ τισιν. Οὐδ' ἐναντία λέγειν αὐτὸν τῷ μεγάλῳ Ἀθανασίῳ λογίσαιτό τις, οὗ τοὺς B λόγους ἅπαντες οἱ ἱεροὶ Πατέρες ἐξόχως σεβάζονται. Ἀλλὰ πάντως ἀκαθαρσίαν ὁ μέγας Βασίλειος οὐ τὴν σπερματικὴν ὠνόμασεν ἔκκρισιν, ἀλλὰ τὴν πονηρὰν ἐπιθυμίαν· ἧς ἡγουμένης, καὶ ἡ κατὰ διάνοιαν ἁμαρτία τελεῖται διὰ συγκαταθέσεως. Καὶ οὕτως γίνεται φαντασία καθ' ὕπνους καὶ τοῦ σπέρματος ἐκροή. Καὶ ἐκ τοῦ φάναι δὲ ὅτι Ἐγὼ ἔγνων ὅτι ταῦτα κατωρθώθη Θεοῦ χάριτι καὶ ἀνδράσι καὶ γυναιξί, δείκνυται ἐναργῶς ὅτι περὶ ἐκκρίσεως σπέρματος μετὰ φαντασίας γινομένης φησὶν, ἧς ἐμπάθεια προηγήσατο καὶ ἡ κατὰ διάνοιαν ἁμαρτία. Τοῦτο γάρ ἐστι κατόρθωμα τὸ τὴν συγκατάθεσιν ἐκφυγεῖν, καὶ τὸν δι' αὐτῆς τοῦ λογισμοῦ μολυσμὸν, ἀλλ' οὐχὶ τὸ μὴ ἐπιθυμῆσαι, ὅ ἐστι τὸ μὴ προσβαλεῖν λογισμόν. Τοῦτο γὰρ τῆς φύσεως ἢ ἠλιθιότητος· τὸ δὲ μὴ ὑποκλιθῆναι τῇ ἐπι- C θυμίᾳ, μηδὲ συγκαταθέσθαι τῷ λογισμῷ, μηδὲ τὴν κατὰ διάνοιαν ἁμαρτίαν ἐκτελεσθῆναι καὶ ἀρετή ἐστι καὶ κατόρθωμα. Οὐδὲ τὸ μὴ γενέσθαι τινὶ τοῦ σπέρματος ἔκκρισιν καθόρθωσις λογισθήσεται. Φυσικὸν γὰρ τοῦτο· διὸ καὶ γινόμενον ἀνέγκλητον· ἀλλ' οὐδέ τις οἶμαι τὴν φυσικὴν ῥεῦσιν δι' ὅλου φεύξεται, εἰ μή τις εἴη λίαν ἠλίθιος.

42 *Ejusdem ex tricesima nona epistola festali, initio mutila.*

At quandoquidem de hæreticis tanquam mortuis mentionem fecimus, de nobis autem, ut qui divinas ad salutem litteras habeamus, et quia vereor ne, ut ad Corinthios Paulus scripsit [1], ex simplicioribus pauci, a simplicitate puritateque sua, per quorumdam hominum vafritiem avertantur : neve deinceps libros alios legant, qui apocryphi vocantur, nominum similitudine decepti, qua cum veris libris conveniunt; æquo, quæso, ferte animo si de quibus probe nostis, de iisdem ego scribo, quod ex re utilitateque Ecclesiæ fore existimem. Illa autem memoraturus, ad audacis propositi mei confirmationem, evangelistæ Lucæ forma utar [2], dicendo : *Quoniam quidem aliqui conati sunt*, quæ dicuntur

Τοῦ αὐτοῦ ἐκ τῆς λθ' ἑορταστικῆς ἐπιστολῆς.

D Ἀλλ' ἐπειδὴ περὶ μὲν τῶν αἱρετικῶν ἐμνήσθημεν ὡς νεκρῶν· περὶ δὲ ἡμῶν ὡς ἐχόντων πρὸς σωτηρίαν τὰς θείας Γραφάς· καὶ φοβοῦμαι μήπως, ὡς ἔγραψε Κορινθίοις Παῦλος, ὀλίγοι τῶν ἀκεραίων ἀπὸ τῆς ἁπλότητος καὶ τῆς ἀγνότητος πλανηθῶσιν ἀπὸ τῆς πανουργίας τινῶν ἀνθρώπων, καὶ λοιπὸν ἐντυγχάνειν ἑτέροις ἄρξωνται, τοῖς λεγομένοις ἀποκρύφοις, ἀπατώμενοι τῇ ὁμωνυμίᾳ τῶν ἀληθινῶν (80) βιβλίων· παρακαλῶ ἀνέχεσθαι, εἰ περὶ ὧν ἐπίστασθε, περὶ τούτων κἀγὼ μνημονεύων γράφω, διά τε τὴν ἀνάγκην καὶ τὸ χρήσιμον τῆς Ἐκκλησίας. Μέλλων δὲ τούτων μνημονεύειν, χρήσομαι πρὸς σύστασιν τῆς ἐμαυτοῦ τόλμης τῷ τύπῳ τοῦ εὐαγγελιστοῦ Λουκᾶ, λέγων καὶ αὐτός· Ἐπειδήπερ τινὲς

[1] II Cor. xi, 3. [2] Luc. i, 1.

Digitized by Google

ἐπεχείρησαν ἀνατάξασθαι ἑαυτοῖς τὰ λεγόμενα ἀπόκρυφα, καὶ ἐπιμίξαι ταῦτα τῇ θεοπνεύστῳ Γραφῇ, περὶ ἧς ἐπληροφορήθημεν, καθὼς παρέδοσαν τοῖς Πατράσιν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου· ἔδοξε κἀμοὶ, προτραπέντι παρὰ γνησίων ἀδελφῶν, καὶ μαθόντι ἄνωθεν, ἐξῆς ἐκθέσθαι τὰ κανονιζόμενα καὶ παραδοθέντα, πιστευθέντα τε θεῖα εἶναι βιβλία· ἵνα ἕκαστος, εἰ μὲν ἠπατήθη, καταγνῷ τῶν πλανησάντων· ὁ δὲ καθαρὸς διαμείνας χαίρῃ πάλιν ὑπομιμνησκόμενος. Ἔστι τοίνυν τῆς μὲν Παλαιᾶς Διαθήκης βιβλία τῷ ἀριθμῷ τὰ πάντα εἰκοσιδύο· τοσαῦτα γάρ, ὡς ἤκουσα, καὶ τὰ στοιχεῖα τὰ παρ' Ἑβραίοις εἶναι παραδέδοται· τῇ δὲ τάξει καὶ τῷ ὀνόματί ἐστιν ἕκαστον οὕτως· Πρῶτον Γένεσις, εἶτα Ἔξοδος, εἶτα Λευϊτικόν, καὶ μετὰ τοῦτο Ἀριθμοί, καὶ λοιπὸν τὸ Δευτερονόμιον. Ἑξῆς δὲ τούτοις ἐστὶν Ἰησοῦς ὁ τοῦ Ναυῆ, καὶ Κριταί· καὶ μετὰ τοῦτο ἡ Ῥούθ· καὶ πάλιν ἑξῆς Βασιλειῶν τέσσαρα βιβλία, καὶ τούτων τὸ μὲν πρῶτον καὶ δεύτερον εἰς ἓν βιβλίον ἀριθμεῖται· τὸ δὲ τρίτον καὶ τέταρτον ὁμοίως εἰς ἕν. Μετὰ δὲ ταῦτα Παραλειπομένων α' καὶ β' ὁμοίως εἰς ἓν βιβλίον πάλιν ἀριθμούμενα· εἶτα Ἔσδρας α' καὶ β' ὁμοίως εἰς ἕν. Μετὰ δὲ ταῦτα βίβλος Ψαλμῶν, καὶ ἑξῆς Παροιμίαι· εἶτα Ἐκκλησιαστής, καὶ Ἆσμα ἀσμάτων. Πρὸς τούτοις ἐστὶ καὶ Ἰὼβ, καὶ λοιπὸν προφῆται· οἱ μὲν δώδεκά εἰς ἓν βιβλίον ἀριθμούμενοι· εἶτα Ἡσαΐας, Ἱερεμίας, καὶ σὺν αὐτῷ Βαρούχ, Θρῆνοι, Ἐπιστολή· καὶ μετ' αὐτὸν Ἰεζεκιὴλ καὶ Δανιήλ. Ἄχρι τούτων τὰ τῆς Παλαιᾶς Διαθήκης ἵσταται. Τὰ δὲ τῆς Καινῆς πάλιν οὐκ ὀκνητέον εἰπεῖν· ἔστι γὰρ ταῦτα· Εὐαγγέλια τέσσαρα· κατὰ Ματθαῖον, κατὰ Μάρκον, κατὰ Λουκᾶν, κατὰ Ἰωάννην. Εἶτα μετὰ ταῦτα Πράξεις ἀποστόλων, καὶ Ἐπιστολαὶ Καθολικαὶ καλούμεναι τῶν ἀποστόλων ἑπτά· οὕτω μὲν Ἰακώβου α', Πέτρου δὲ β', εἶτα Ἰωάννου γ', καὶ μετὰ ταύτας Ἰούδα α'. Πρὸς τούτοις Παύλου ἀποστόλου εἰσὶν ἐπιστολαὶ δεκατέσσαρες, τῇ τάξει γραφόμεναι οὕτως· πρώτη πρὸς Ῥωμαίους· εἶτα πρὸς Κορινθίους δύο· καὶ μετὰ ταῦτα πρὸς Γαλάτας· καὶ ἑξῆς πρὸς Ἐφεσίους· εἶτα πρὸς Φιλιππησίους, καὶ πρὸς Κολασσαεῖς· καὶ μετὰ ταύτας πρὸς Θεσσαλονικεῖς δύο, καὶ ἡ πρὸς Ἑβραίους· καὶ εὐθὺς πρὸς μὲν Τιμόθεον δύο, πρὸς δὲ Τίτον μία· καὶ τελευταία ἡ πρὸς Φιλήμονα· καὶ πάλιν Ἰωάννου Ἀποκάλυψις. Ταῦτα πηγαὶ τοῦ σωτηρίου, ὥστε τὸν διψῶντα τῶν ἐν τούτοις ἐμφορεῖσθαι λογίων· ἐν τούτοις μόνοις τὸ τῆς εὐσεβείας διδασκαλεῖον εὐαγγελίζεται. Μηδεὶς τούτοις ἐπιβαλλέτω, μηδὲ τούτων ἀφαιρείσθω τι. Περὶ δὲ τούτων ὁ Κύριος Σαδδουκαίους μὲν ἐδυσώπει, λέγων· *Πλανᾶσθε μὴ εἰδότες τὰς Γραφάς*· τοῖς δὲ Ἰουδαίοις παρῄνει· *Ἐρευνᾶτε τὰς Γραφάς· ὅτι αὐταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ*. Ἀλλ' ἕνεκά γε πλείονος ἀκριβείας προστίθημι καὶ τοῦτο γράφων ἀναγκαίως, ὡς ὅτι ἐστὶ καὶ ἕτερα βιβλία τούτων ἔξωθεν· οὐ κανονιζόμενα μὲν, τετυπωμένα δὲ παρὰ τῶν Πατέ-

A apocrypha in suum ordinem redigere, eaque miscere Scripturæ a Deo inspiratæ, quam certis accepimus testimoniis, quemadmodum Patribus tradidere qui ab initio ipsi viderunt, et ministri fuerunt sermonis: visum est et mihi, adhortantibus germanis fratribus, prout didici, ab initio et ordine libros recensere, quos divinos esse, canonice scriptum, traditum et creditum est: ut quisque si seductus quidem fuerit, eos coarguat qui se seduxerint; sin purus permanserit, lætus hæc monita accipiat. Sunt itaque Veteris Testamenti libri omnes numero viginti duo. Tot enim, ut audivi, elementa apud Hebræos esse traditum est. Singuli autem hoc ordine, hoc nomine sunt: Primum Genesis, deinde Exodus, hinc Leviticus, postea Numeri, exinde Deuteronomium. Hos excipiunt, Jesus filius Nave, Judices, et postea Ruth. Hinc rursum Regnorum libri quatuor: ex quibus primus et secundus pro uno numerantur libro; tertius et quartus pro uno similiter. Post hæc Paralipomenon primus et secundus pro uno pariter libro censentur. Hinc Esdræ primus et secundus, pro uno similiter: postea liber Psalmorum, deinceps Proverbia, tum Ecclesiastes, et Canticum canticorum. Ad hæc Job, ac deinceps prophetæ, ex quibus duodecim pro uno libro numerantur. Hinc Isaias, Jeremias et cum ipso Baruch, Lamentationes, Epistola: postea Ezechiel et Daniel. Hactenus Veteris Testamenti libri. Novi autem Testamenti libros referre ne pigeat. Sunt enim hi: Evangelia quatuor, secundum Matthæum, secundum Marcum, secundum Lucam, secundum Joannem. Postea Acta apostolorum, et Epistolæ Catholicæ, quæ Apostolorum vocantur, numero septem nempe, Jacobi una, Petri duæ, Joannis tres, Judæ una. Ad hæc Pauli apostoli quatuordecim sunt Epistolæ, sic ordine descriptæ: prima, ad Romanos: tum duæ ad Corinthios: dehinc, ad Galatas: postea, ad Ephesios: deinde, ad Philippenses: tum, ad Colossenses: postea, ad Thessalonicenses duæ, et ea quæ ad Hebræos dirigitur: deinde ad Timotheum duæ: ad Titum una: ultimo, ad Philemonem una: ad hæc Joannis Apocalypsis. Hi sunt salutis fontes, ut qui sitit, eorum eloquiis impleatur: in his solis pietatis doctrina docetur. Nemo iis addat, aut aliquid ab illis detrahat. De his Dominus Sadducæos pudore afficiebat, his verbis: *Erratis nescientes Scripturas* [1]: Judæos vero hortabatur dicens: *Scrutamini Scripturas, quia illæ sunt quæ testimonium perhibent de me* [2]. Sed majoris accurationis causa illud quoque scripto addere necesse duxi; esse nimirum alios libros præter istos, non in canonem quidem redactos, sed quos a Patribus decretum est, legendos ab iis esse qui nuper ediscendi pietatis verbi gratia accesserint. Sapientia Salomonis, et sapientia Sirach, Esther, Judith, Tobias, Doctrina, ut vocant, apostolorum, et Pastor. Attamen, dilecti,

[1] Matth. xxii, 29. [2] Joan. v, 39.

Digitized by Google

cum illi in canonem redacti sint, hi legantur, nusquam apocryphorum mentio habetur (92); sed li sunt hæreticorum commentum, qui arbitratu suo libros conscribunt, quibus assignant tempora, ut ea quam ipsis ascribunt antiquitatis specie, occasionem capient simpliciores fallendi.

ἀλλὰ αἱρετικῶν ἐστιν ἐπίνοια, γραφόντων μὲν ὅτε αὐτοῖ; χρόνους, ἵν', ὡς παλαιὰ προφέροντες, πρόφασιν

BALS. Postremus canon apostolicus enumerat libros qui legi debent, et Veteris Testamenti, et Novi. Hic autem sanctus, cum rescivisset (ut est verisimile) quod nonnulli, volentes eos, qui sunt in pietate ac religione integri (quibus scilicet nihil deficit, nec quid habent compositum, vel contortum, sed sunt simplices) seducere, dicunt esse alios quosdam libros, qui quidem sunt perversorum dogmatum, et dicuntur apocrypha; scripsit et ipse, libros quos legi oporteat. Ne mireris autem, si inveneris canonem apostolicum, qui alios quoque libros enumerat: sed lege quæ in dicto apostolico canone scripta sunt.

ZONAR. Hic magnus Athanasius Veteris Novæque Scripturæ libros enumerat, qui a fidelibus legi debent; ne qui decepti libros apocryphos dictos legant, qui non recte se habent, et ἀκέραιοι, hoc est, simplices et decepta faciles exinde incommodo afficiuntur. Eos autem et canon 85 SS. apostolorum antea recensuit. Hic autem Pater, quantum ad numerum eorum spectat, ultimo isti apostolico canoni in omnibus non convenit. Apostoli enim Esther et Sapientiam Sirach et libros Maccabæorum connumerarunt: hic autem eos prætermisit. In Novæ etiam Scripturæ libris, divini quidem apostoli constitutiones suas a Clemente conscriptas enumerarunt: hic autem eas omisit. Addidit vero Theologi Apocalypsim. Post libros autem enumeratos, ait, quod alii sint præter eos libri, in canonem quidem non relati, legendi tamen; quos dicit esse Sapientiam Salomonis, et Sapientiam Sirach, Esther, Judith, et Tobit, et doctrinam apostolorum dictam, quas asserunt esse Constitutiones apostolorum a Clemente conscriptas; quas ea quæ sexta dicitur synodus legi non permittit, ut adulteratas et corruptas ab hæreticis. Qui autem apocryphi, inquit, vocantur libri, neque inter eos, qui extra istos legendi constituuntur, qui scilicet in canonem non referuntur. Canonicos autem sive in canonem relatos libros sanctus denominat ex canone sive regula, quod lignum est, quo artifices utuntur ad lignorum aut lapidum rectitudinem. Regulam enim iis, quæ operantur, apponentes, per eam si quas inveniunt in istis obliquitates, imminentias et prominentias, ad rectitudinem abradunt et sic opus rectificant. Hoc itaque in istis libris ratio tanquam regula effecit, illos distinguens ab istis, qui non recte se habent, sed perversi sunt: et hos quidem admittens, et approbans, et piis legendos proponens; illos au-

ρων ἀναγινώσκεσθαι τοῖς ἄρτι προσερχομένοις καὶ βουλομένοις κατηχεῖσθαι τὸν τῆς εὐσεβείας λόγον· Σοφία Σολομῶντος, καὶ Σοφία Σιρὰχ, καὶ Ἐσθὴρ, καὶ Ἰουδὶθ, καὶ Τωβίας, καὶ Διδαχὴ καλουμένη τῶν ἀποστόλων, καὶ ὁ Ποιμήν. Καὶ ὅμως, ἀγαπητοὶ, κἀκείνων κανονιζομένων καὶ τούτων ἀναγινωσκομένων, οὐδαμοῦ τῶν ἀποκρύφων μνήμη· θέλουσιν αὐτὰ, χαριζομένων δὲ καὶ προστιθέντων ἔχωσιν ἀπατᾷν ἐκ τούτου τοὺς ἀκεραίους.

ΒΑΛΣ. Ὁ τελευταῖος ἀποστολικὸς κανὼν ἀπαριθμεῖται τὰ ὀφείλοντα ἀναγινώσκεσθαι βιβλία τῆς Παλαιᾶς Διαθήκης καὶ τῆς Νέας. Ἐνταῦθα δὲ ὁ ἅγιος, ὡς ἔοικε, μαθὼν ὅτι τινὲς θέλοντες ἀπατᾷν τοὺς ἀκεραίους κατὰ τὴν εὐσέβειαν, ἤγουν τοὺς μὴ ἔχοντας ἐλλιπές τι ἢ σύνθετον καὶ σκολιὸν, ἀλλὰ ὄντας ἁπλοῦς, λέγουσιν εἶναι καὶ ἕτερά τινα βιβλία, διεστραμμένων μὲν ὄντα δογμάτων, ἀπόκρυφα δὲ λεγόμενα, ἔγραψε δὲ αὐτὸς τὰ ὀφείλοντα ἀναγινώσκεσθαι βιβλία. Μὴ θαυμάσῃς δὲ εὑρίσκων τὸν ἀποστολικὸν κανόνα καὶ ἑτέρων βιβλίων ἀπαρίθμησιν ποιούμενον· ἀλλὰ ἀνάγνωθι τὰ ἐν τῷ ῥηθέντι ἀποστολικῷ κανόνι γραφέντα.

μετέχειν τῶν ἁγιασμάτων τὴν ἐκπεπτωκότα ἱερωσύνης· εἰ δὲ καὶ μετὰ τὴν ἔκπτωσιν ἔτι ἁμαρτάνει, ἔκτοτε ὡς λαϊκὸς ἁμαρτάνων ἐπιτιμηθήσεται, ἀλλὰ καὶ τῆς μετὰ τῶν πιστῶν συστάσεως ἐκβληθήσεται, ἢ καὶ μείζονα ἔξει τινὰ ἐπιτίμησιν. *Summatim autem sanctus Pater medicinam vocat a peccato recessum, ut qui sacerdotio dejicitur, sacramentorum particeps sit. Quod si et post depositionem adhuc peccet, tunc ut laicus peccans punietur, et non solum a communione arcebitur, sed etiam ex fidelium consistentia ejicietur, vel et majorem aliquam pœnam persolvet.*

(4) *Περὶ τριγάμων.* Scholiastes Harmenopuli: Ὁ τῆς ἑνώσεως λεγόμενος τόμος περὶ τοῦ τρίτου γάμου ταῦτά φησι. Τοὺς τεσσαρακοντούτεις τριγαμοῦντας, οἷα ῥύπη τῆς Ἐκκλησίας ἀκοινωνήτους εἶναι μέχρι πενταετίας, καὶ τοῦ χρόνου τούτου ἐξήκοντος ἅπαξ τοῦ ἔτους τῇ κοινωνίᾳ προσιέναι, κατὰ τὴν σεβασμίαν τοῦ σωτηρίου Πάσχα ἡμέραν, ἐν τῇ πρὸ ταύτης νηστείᾳ καθ' ὅσον οἱόντε ἀποκαθαίροντας ἑαυτούς. Ταῦτα δέ φαμεν, ὅταν μὴ τέκνα τούτοις ἐκ τῶν προτέρων γάμων παρῇ· εἰ δ' οὖν, ἀσυγχώρητος αὐτοῖς ἡ τριγαμία. Εἰ δέ τις τριακοντούτης ὤν, καὶ τοῦ γένους ἔχων ἐκ τῶν φθασάντων διαδοχὴν γάμων, τρίτῃ συναχθείῃ γυναικὶ, ἐπὶ τετραετίαν ἀκοινώνητος ἔστω, εἶθ' οὕτω τρὶς τοῦ ἐνιαυτοῦ μεταλαμβανέτω, ἐν τῇ ἀναστασίμῳ τοῦ Πάσχα ἡμέρᾳ, ἐν τῇ κοιμήσει τῆς Θεοτόκου, καὶ ἐν τῇ γενεθλίῳ τοῦ Κυρίου ἑορτῇ, τῶν πρὸ τούτου νηστειῶν τὸ πλεῖστον τῆς κηλίδος ἀποσμήχειν πιστευομένων. Εἰ δὲ ἅπαις εἴη, συγγνώμης ἀξιοῦται, δι' ἣν ἔφεσιν παιδοποιΐας τὸν τρίτον γάμον αἱρούμενος, καὶ τῷ συνήθει ἐπιτιμίῳ θεραπευθήσεται, ἐπὶ τρισὶ χρόνοις, τῆς κοινωνίας εἰργόμενος. *Tomus ille unionis dictus de tertiis nuptiis hæc tradit. Qui annorum 40 sunt, et tertias nuptias contrahunt, velut inquinamenta Ecclesiæ communionis exsortes sint ad quinquennium. Quo tempore elapso, semel in anno communionem adeant, venerabili scilicet Paschatis salutaris die, præcedente cum jejunio, quantum fieri poterit, se purgantes. Hæc autem dicimus, cum nulli de prioribus matrimoniis exstent liberi: alioquin autem, tertium eis conjugium non permittendum est. Quod si quis annos 30 natus, et liberos ex prioribus conjugiis susceptos habens, uxori tertiæ copulatus fuerit, ad quadriennium communionis exsors esto; ac deinceps ter in anno participabit, die scilicet resurrectionis Paschali, et in obdormitione Deiparæ, festoque Domini natalitio, quod verisimile sit, præcedentia jejunia majorem partem hujusce labis abstergere: sin nulla sit illi proles, veniam consequitur, quod desiderio procreandi liberos tertias amplexus sit nuptias, consuetaque pœna sanabitur, dum per tres annos a communione arcetur.* Harmenop. epit. can. sect. 5, tit. 3.

Digitized by Google

μὴ εἶναι γάμον τὴν τριγαμίαν, ἐπήγαγε καὶ ταύτην ἐπιτιμᾶσθαι ἀναλόγως τῇ διγαμίᾳ· ὡς ἐντεῦθεν ἀ φαίνεσθαι καὶ τὴν τριγαμίαν ἐπίσης τῇ διγαμίᾳ μὴ διασπᾶσθαι, ἀλλὰ ἐπιτιμᾶσθαι. Πλὴν μὲν τὴν δίγαμίαν διὰ δύο ἐτῶν, τὴν δὲ τριγαμίαν διὰ πέντε. Ἱστασθαι δὲ εἰς τὸν τόπον τῶν ἀκροωμένων ἐν ἔτεσι τρισὶ, καὶ μετὰ ταῦτα συνίστασθαι τοῖς πιστοῖς μέχρις ὅλης πενταετίας τοὺς τριγάμους. Καὶ ἔκτοτε καρποὺς ἀξίους ἐπιδειξαμένους τῆς μετανοίας, ἀποκαθιστᾶν εἰς τὸν τόπον τῆς κοινωνίας, καὶ ὁ μὲν ἅγιος ταῦτα· ὁ δὲ τόμος τῆς ἑνώσεως, ὁ γεγονὼς ἐπὶ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου καὶ Ῥωμανοῦ· τοῦ μὲν Κωνσταντίνου βασιλεύοντος, τοῦ δὲ πενθεροῦ αὐτοῦ Ῥωμανοῦ, τῷ τοῦ βασιλέως πατρὶ ἐμπρέποντος· ἀξιώματι ἐν ἔτει ϛυκη', ἰνδικτιῶνι η', καὶ ἀναγινωσκόμενος ἐτησίως ἐπ' ἄμβωνος κατὰ τὸν Ἰούλιον μῆνα, τάδε περὶ τὸ τέλος φησί· Καὶ λοιπὸν ἀποφαινόμεθα κοινῇ γνώμῃ καὶ κρίσει ἀπό γε τοῦ παρόντος ἔτους, ὅ ἐστιν ἔτος ϛυκη', ἰνδικτιῶνι η', τέταρτον γάμον μηδενὶ τολμᾶσθαι, ἀλλ' εἶναι ἀπόβλητον παντελῶς· καὶ τὸν εἴ τις ἐπὶ τοιοῦτον ἐλθεῖν συνοικέσιον προθυμηθῇ, πάσης ἀπεστερημένον εἶναι συνάξεως ἐκκλησιαστικῆς, καὶ αὐτῆς τῆς πρὸς τὸν ἅγιον ναὸν εἰσόδου ἀλλότριον, μέχρις ἂν ἐπιμείνῃ τῷ συνοικεσίῳ. Τοῦτο γὰρ καὶ τοῖς πρὸ ἡμῶν ἁγίοις ἔδοξε Πατράσι. Καὶ ἡμεῖς δὲ τὴν γνώμην ἐκδηλοτέραν ποιοῦντες, ὡς ἀλλότριον αὐτὸν τῆς Χριστιανικῆς πολιτείας ἀποκηρύττομεν. Ἀλλ' οὕτω μὲν ἐπὶ τοῦ τετάρτου γάμου· ἵνα δὲ καὶ τὰ τῶν ἄλλων γάμων εὐσχημονέστερον τυπωθῇ, καὶ τοῦ τῶν Χριστιανῶν βίου μὴ ἀνάξιον ἔχῃ τὴν προσαγωγήν, καὶ περὶ τοῦ τρίτου ὁρίζομεν γάμου, ὥστε μηδὲ ἁπλῶς, μηδὲ ὡς ἔτυχεν, ἐπιτελεῖσθαι αὐτό. Καὶ γὰρ συγχεχώρηται μὲν ὡς ῥύπασμα τοῖς Πατράσιν, οὕπω τότε, καθὼς νῦν, γινομένου τοῦ πράγματος ἀπηρυθριασμένως, οὐδὲ εἰς πλάτος ἐξηπλωμένου· ἀλλ' ὥσπερ εἴ τις ἐν οἴκῳ παραπεπτωκὼς ἐν γωνίᾳ παρίδῃ πολλάκις κείμενον ῥύπασμα· νῦν δὲ ὅταν χώραν ἔλαβε παῤῥησίας, καὶ ὡς οὐδὲν ἔχων εἰς ἀσχημοσύνην, οὐδὲ ῥυπαίνων λογίζεται ἐκ τοῦ προβῆναι εἰς πληθυσμόν, καλῶς ἔδοξεν ἀνακαθαίρειν αὐτόν· ὥσπερ καὶ αἶσχος οὐκ ἐν γωνίᾳ παρεῤῥιμμένον, ἀλλ' ἐπὶ τῆς οἰκίας ἐνηπλωμένον οὐδαμῶς ἐῶμεν, ἀλλὰ καθαίρομεν, καὶ τὸ ἐκ τούτου ἀηδὲς ἀποβάλλομεν· καὶ τῇ ἀνθρωπίνῃ συνυπείκοντες ἀσθενείᾳ, καὶ τῆς πρεπούσης εὐσχημοσύνης φροντίδα ποιούμενοι τῇ Χριστιανικῇ ζωῇ, τοῦτο ἐπὶ τῶν τρίτων γάμων παραφυλάττεσθαι διορίζομεν. Ὥστε, εἴ τις πρὸς τεσσαρακοστὸν ἔτος ἀναβεβηκὼς, καὶ μήτε τὴν φύσιν αἰδούμενος, μήτε τῆς ὀφειλομένης Χριστιανοῖς εὐκόσμου ζωῆς φροντίδα ποιούμενος, ἀλλὰ μόνῃ τῆς ἐμπαθοῦς ἐπιθυμίας γινόμενος, πρὸς τρίτον ἑαυτὸν ἐπιῤῥίπτει γάμον, τοῦτον μετὰ πάσης ἀκριβείας καὶ παρατηρήσεως μέχρι πενταετίας ἀμέτοχον εἶναι τῆς τοῦ ἁγιασμοῦ μεταλήψεως· καὶ μηδαμῶς ἐπ' αὐτῷ συντέμνεσθαι τὸν χρόνον. Ὅς γὰρ μετὰ τεσσαρακοστὸν ἔτος τὸ ῥύπασμα ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ εἶναι ἢ λέγεσθαι ἠγάπησε, τίνα παρέξει πληροφορίαν τῆς περὶ τὸν βίον αὐτοῦ

A basset, trigamiam non esse matrimonium, subjunxit, eam quoque instar digamiæ, proportione utriusque habita, puniri, ut ex hoc loco appareat, trigamiam, sicut et digamiam, non separari, sed puniri. Sed digamiam quidem duobus annis, trigamiam vero quinque; stare autem in loco audientium tribus annis, et postea cum fidelibus consistere ad quinquennium usque trigamos, et ab eo tempore ostensis fructibus pœnitentia dignis in communionis locum restituere. Atque hæc quidem sanctus. Unionis vero tomus, qui factus est sub Constantino Porphyrogenneta et Romano, Constantino quidem imperante, socero autem ejus Romano patre imperatoris auctoritatem ac dignitatem obtinente, anno 6428, indictione VIII, et qui singulis annis legitur in suggestu, mense B Julio, hæc dicit circa finem: Deinceps autem communi sententia ac judicio pronuntiamus, ex præsenti anno, qui est 6428, indict. VIII, nemiuem oportere se quarto matrimonio jungere, sed esse omnino rejiciendum: et si quis ad ejusmodi connubium venire voluerit, eum esse omni ecclesiastica congregatione privatum, et ab ipso in sanctum templum ingressu alienum, donec in conjugio permanserit. Hoc enim etiam sanctis Patribus, qui nos præcesserunt, visum est. Nos vero etiam sententiam apertiorem reddentes, ipsum ut a Christiana republica alienum abdicamus. Ac sic quidem de quarto matrimonio. Ut autem, quæ ad alia quoque matrimonia pertinent, decentius constituantur, et Christiana vita non indignam institutionem habeat, de C tertio quoque matrimonio definimus, ut non absolute, neque temere perficiatur. Etenim a Patribus quidem, ut sordes, permissum est, non tunc temporis quidem, sicut nunc, re citra ullam ruborem impudenter peracta, et indiscriminatim contracta: sed quemadmodum si quis qui in domo in angulum incidit, multas sæpe sordes sitas viderit, nunc autem quando libertatem accepit, et perinde ac si nihil habeat dedecoris **55** nec contaminator ex eo, quod ad multiplicationem procedit, reputatur, recte visum est eam repugnare: quemadmodum et turpitudinem non in angulum conjectam, sed in ædibus diffusam, nullo modo permittimus, sed repurgamus, et quod molestum est et indecorum ab eo rejicimus; et humanæ ce- D dentes infirmati, honestatis autem Christianæ vitæ convenientis curam gerentes, hoc in tertiis nuptiis servandum statuimus. Ut si quis, qui annum quadragesimum excesserit, et nec naturam reveritus, nec honestæ vitæ, quæ a Christianis debetur, ullam curam gerens, sed sola libidinis perturbatione victus, se in tertium matrimonium projecerit, is cum omni diligentia et observatione sit usque ad quinquennium sacramenti communionis minime particeps, et nec hoc tempus illi contrahatur. Qui enim post annum quadragesimum in Christi Ecclesia esse vel dici amavit, quod melioris vitæ argumentum præbebit, propter quod tempus sacramentorum participationis ei contrahatur? Sed et postquam impolluta participatione dignus habitus fuerit,

Digitized by Google

non erit ei permissum in alio tempore ad participationem accedere, quam in sola salutari Christi et Domini nostri resurrectione, propter repurgationem, ut possibile est, ex præcedente jejuniorum abstinentia. Hæc autem dicimus, quando ex prioribus matrimoniis non fuerint liberi iis, qui post annum quadragesimum tertiam uxorem ducere voluerint: nam si liberos habuerint, eis nullo modo tertium permittitur matrimonium. Est enim valde iniquum intempestivæ libidini indulgere, priorum autem matrimoniorum liberis non prospicere, ut sint securi, et a molestia et perturbatione remoti, et a reliquis, quæ solent evenire hominibus ex filiorum multorum susceptione. Quod si quis triginta annos natus, et ex prioribus matrimoniis habens liberos, tertiæ mulieri conjunctus fuerit, is quoque, nulla ei venia data, ad quartum usque annum communionis sacramentorum sit expers, quia manifestum est eum sola intemperantia motum, et quod sit carnalis libidinis servus, ad hoc se matrimonium conferre: et postquam etiam sacramentorum participationem assecutus est, ter tantum in anno fruitione dignus habebitur: semel quidem in salutari Christi et Domini nostri resurrectione; secundo autem in dormitione immaculatæ Dominæ nostræ Deiparæ: et tertio in natali Christi et Dei nostri, quod in his præcedat jejunium, et ejus utilitas: sin autem non supersint liberi, quia liberorum susceptionem desiderare non est indignum venia; tunc tale matrimonium venia dignum judicabitur, et sola ea pœna, quæ ab initio et hucusque servata est, sanabitur. Hæc etiam de tertio matrimonio. Atque nec secundum, nec primum absque cautione data relinquimus, sed et illa sic contrahi statuimus, ut nullam malam causam habeant, vel ex raptu, vel ex præcedente clandestino concubitu; sed legitime, et ab iis, qui ab ejusmodi inquinamentis et fornicatoria impuritate mundi sunt. Si quis ergo, prædictis constitutionibus neglectis, ad matrimonii consuetudinem primam vel secundam processerit, eum Christi Ecclesia, quæ est pura, immaculata et sine ruga, salutaribus examinationibus subjicit, nec prius ad divinorum mysteriorum participationem admittet, quam tempus in fornicatione definitum ipsum diligenter explevisse didicerit (nisi forte necessarius e vita excessus urgeat), donec scilicet septimus annus completus fuerit. Sacerdos autem, qui ausus fuerit, præter id quod statutum est, divina participatione aliquem ejusmodi dignari, de proprio gradu in periculum veniet; eo videlicet, qui præter formam communione dignus est habitus, ad excommunicationem iterum redacto, usque ad septimi anni complementum. Sed hæc quidem, ut ostensum est, ab iis qui olim imperavere, facta sunt. Nunc autem Patris et Filii et sancti Spiritus beneplacito et gratia, et purissimis Deique Matris **56** et magni cœlestis militiæ Principis intercessionibus, eos qui nonaginta ante annis pro causa et occasione prius ostensa ablati erant sacerdotes, et monachos, egregium a

A σπουδῆς, δι' ἣν ὁ χρόνος τῆς μεταλήψεως τῶν ἁγιασμάτων αὐτῷ συντμηθήσεται; Ἀλλὰ καὶ μετὰ τὸ ἀξιωθῆναι τῆς ἀχράντου μεταλήψεως οὐκ ἔσται συγκεχωρημένον αὐτῷ ἐν ἄλλῳ καιρῷ τῇ μεταλήψει προσιέναι ἢ ἐν μόνῃ τῇ σωτηρίῳ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ἀναστάσει διὰ τὴν ἐκ τῆς προηγουμένης ἐγκρατείας τῶν νηστειῶν, ὡς δυνατὸν, ἀνακάθαρσιν. Ταῦτα δέ φαμεν, ὅταν μὴ τέκνα παρῇ ἐκ τῶν πρωτέρων γάμων τοῖς ἤδη μετὰ τὸ τεσσαρακοστὸν ἔτος τρίτην ἄγεσθαι προῃρημένοις γυναῖκα· ἐπεὶ, ἐὰν τέκνα παρῇ, ἀσυγχώρητος αὐτοῖς ἡ τριγαμία. Λίαν γάρ ἐστι ἄδικον τὸν μὲν χαρίζεσθαι τῇ ἐξώρῳ ἐπιθυμίᾳ, τοῖς δὲ παισὶ τῶν πρωτέρων γάμων μὴ προνοεῖσθαι τὸ ἀσφαλὲς καὶ ἄλυπον καὶ ἀτάραχον, καὶ ὅσα τὸ ἀνθρώπινον καταλαμβάνει ἐκ τῆς πολυσπόρου τεκνώσεως. Καὶ εἴ τις δὲ τριακονταετὴς ὢν, καὶ τέκνα ἔχων ἐκ τῶν προλαβόντων γάμων, τρίτῃ γυναικὶ συνάπτοιτο, καὶ οὗτος ἀσυγχώρητος μέχρι τετάρτου ἔτους τῆς κοινωνίας τῶν ἁγιασμάτων ἀμέτοχος ἔσται· διότι δῆλός ἐστιν ἐξ οὐδενὸς ἑτέρου ἀλλ' ἢ ὑπὸ ἀκρασίας κινούμενος, καὶ τοῦ δοῦλον εἶναι σαρκικῆς ἐπιθυμίας ἐπὶ τὸν τοιοῦτον γάμον ἐλθεῖν. Καὶ μετὰ τὸ τυχεῖν δὲ τῆς μεταλήψεως τῶν μυστηρίων, τρὶς τοῦ ἐνιαυτοῦ μόνου ἀξιωθήσεται τῆς ἀπολαύσεως, ἅπαξ μὲν ἐν τῇ σωτηρίῳ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ἀναστάσει, δεύτερον δὲ ἐν τῇ κοιμήσει τῆς ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου, καὶ τρίτον ἐν τῇ γενεθλίῳ ἡμέρᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, διὰ τὸ καὶ ἐν ταύταις προηγεῖσθαι νηστείαν, καὶ τὸ ἐκ ταύτης ὄφελος. Εἰ δὲ παῖδες μὴ περίεισιν, ἐπειδὴ τὸ τεκνογονίας ἐπιθυμεῖν οὐκ ἀσύγγνωστον, τὸ τηνικαῦτα συγγνώμης ἀξιωθήσεται ὁ τοιοῦτος γάμος, καὶ μόνῳ τῷ ἐξαρχῆς καὶ μέχρι τοῦ νῦν κρατήσαντι ἐπιτιμίῳ θεραπευθήσεται. Ταῦτα μὲν καὶ περὶ τρίτου γάμου. Οὐ μὴν οὐδὲ τὸν δεύτερον, οὐδὲ τὸν πρῶτον ἐκτὸς ἀσφαλείας ἐῶμεν· ἀλλὰ κἀκείνους ὁρίζομεν οὕτω συνίστασθαι, ὥστε μηδεμίαν ἔχειν πονηρὰν αἰτίαν ἢ ἐξ ἁρπαγῆς ἢ ἐκ προηγησαμένης λαθραίου φθορᾶς, ἀλλὰ νομίμως καὶ καθαρεύοντως τῶν τοιούτων μολυσμάτων καὶ πορνικῆς ἀκαθαρσίας. Εἴ τις οὖν, τῶν εἰρημένων καταφρονήσας τύπων, πρὸς γαμικὴν ὁμιλίαν πρώτην ἢ δευτέραν συνέλθῃ, τοῦτον ἡ τοῦ Χριστοῦ Ἐκκλησία ἡ καθαρὰ καὶ μηδένα σπίλον ἔχουσα ἢ ῥυτίδα, τοῖς σωτηρίοις ὑποβάλλουσα ἐτασμοῖς, οὐ πρὶν εἰς μετάληψιν παραδέξεται τῶν θείων μυστηρίων, ἢ τὸν ὡρισμένον ἐπὶ τῇ πορνείᾳ χρόνον μάθοι ἀκριβῶς αὐτὸν ἐκπληρῶσαι· εἰ μὴ ἄρα ἡ τοῦ βίου ἀναγκαία κατεπείγει ἀναχώρησις, τουτέστι μέχρις ἂν τὸ ἕβδομον ἐκπληρωθῇ ἔτος. Ὁ δὲ τολμῶν ἱερεὺς παρὰ τὸν διατετυπωμένον ὅρον μεταλήψεως θείας τινὰ τούτων ἀξιῶσαι περὶ τὸν ἴδιον κινδυνεύσει βαθμὸν, δηλονότι τοῦ ἀξιωθέντος παρὰ τὸν ὡρισμένον τύπον τῆς θείας κοινωνίας πάλιν εἰς τὸ ἀκοινώνητον περιισταμένου μέχρι συμπληρώσεως τοῦ ἑβδόμου ἔτους. Ἀλλὰ ταῦτα μὲν, ὡς δεδήλωται, ὑπὸ τῶν πάλαι βασιλευσάντων ἐπράχθησαν· νῦν δὲ τῇ τοῦ

Digitized by Google

Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος εὐδοκίᾳ καὶ χάριτι, καὶ ταῖς τῆς παναγίου καὶ Θεομήτορος καὶ τοῦ μεγάλου ἀρχιστρατήγου πρεσβείαις, τοὺς ἤδη πρὸ ἐνενήκοντα χρόνων ἕνεκεν τῆς προδηλωθείσης αἰτίας καὶ ἀφορμῆς ἀπορραγέντας ἱερεῖς καὶ μονάζοντας ἡ παγκάλη βασιλεία τῶν θεοστεφῶν βασιλέων ἡμῶν Ῥωμανοῦ καὶ Κωνσταντίνου συνῆψέ τε καὶ συνήνωσε, καὶ μίαν καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν εἰργάσατο· ὅθεν χρεὼν ἀναχηρύττεσθαί τε καὶ μεγαλύνεσθαι τοὺς τοιοῦτον θεοφιλὲς καὶ ἀξιόλογον ἔργον πεπληρωκότας. Ταῦτα τοῦ κανόνος καὶ τῆς Νεαρᾶς νομοθετησάντων, ἡ Ἐκκλησία τέως ἐπὶ τῶν ἡμερῶν τῶν ἡμετέρων τρίτου γάμου ποίησιν οὐκ ἐπέτρεψε.

A Deo coronatorum imperatorum nostrorum, Romani et Constantini imperium conjunxit et uniit, unamque fecit catholicam et apostolicam Ecclesiam: unde merito sunt prædicandi et laudandi, qui tam pium opus et tam dignum compleverint. Cum canon et novella hæc statuerint, Ecclesia hucusque nostris temporibus tertium matrimonium fieri non permisit.

ΖΩΝΑΡ. Τὴν τριγαμίαν ὁ μέγας οὗτος Πατὴρ τοὺς ἀρχαίους Πατέρας μὴ γάμον ὀνομάσαι φησίν, ἀλλὰ πολυγαμίαν, ἢ μᾶλλον πορνείαν κεκολασμένην, ἤγουν οὐκ ἐκκεχυμένην καὶ ἀδιάφορον, ἀλλὰ συνεσταλμένην καὶ περιγεγραμμένην μιᾷ γυναικί. Ὃν γοῦν ὥρισε κανόνα ἐπὶ τῶν διγάμων, τοῦτον λέγει ἀναλόγως ὁρίσαι καὶ ἐπὶ τῆς τριγαμίας· τὸ δὲ « ἀναλόγως » τοῦτό ἐστιν· ὅτι ἐπὶ τῆς διγαμίας ἐνιαυτὸς ὡρίσθη εἰς μετάνοιαν· ἑτέροις δὲ διετία. Ἐπὶ δὲ τῆς τριγαμίας, ἐπεὶ μείζων ἐστὶν ἡ αἰτία αὕτη, ἀνάλογον καὶ τὸ ἐπιτίμιον ὥρισται· ἤγουν ἐπὶ πενταετίαν ἀφορισμός. Τοὺς γὰρ ὑπερβάντας τὴν διγαμίαν μὴ δεῖν ὀνομάζεσθαί φησι παρὰ τῶν γυναικῶν, αἷς συμφθείρονται, ἄνδρας· μήτε τὰς γυναῖκας λέγεσθαι παρὰ τῶν τοιούτων ἀνδρῶν γυναῖκας ἑαυτῶν· καὶ ἐκ τοῦ Εὐαγγελίου μαρτυρίαν ἐπάγει, εἰπόντος τοῦ Χριστοῦ πρὸς τὴν Σαμαρείτιδα ὅτι *Ὃν ἔχεις οὐκ ἔστι σου ἀνήρ· πέντε γὰρ ἔσχες*. Εἰ δὲ καὶ ἔφθη εἰπεῖν ὁ ἅγιος ὅτι ἐν τρισὶ καὶ τέσσαρσιν ἔτεσιν ἀφορίζεσθαι τοὺς τριγάμους, ἀλλ' οὐκ ἐνέμεινε τῷ τύπῳ ἐκείνῳ· ἐπέτεινε δὲ αὐτὸς τὸν χρόνον τοῦ ἐπιτιμίου μέχρι πενταετίας, διατάξάμενος μὴ ἐξωθεῖσθαι τοὺς τοιούτους τῆς Ἐκκλησίας, ὥστε οὐκ εἰς τόπον προσκλαιόντος ἵστασθαι, ἀλλ' εἰς τόπον ἀκροωμένων ἐν ἔτεσι δυσὶν ἢ τρισί· μετὰ δὲ τὸν εἰρημένον χρόνον ἐπιτρέπειν αὐτοῖς τὴν μετὰ τῶν πιστῶν σύστασιν· τῆς δὲ κοινωνίας ἀπέχεσθαι. Καὶ οὕτω καρπὸν ἐπιδειξαμένους μετανοίας, ἤγουν συντριβὴν καρδίας, καὶ δάκρυα, καὶ εἴ τι τούτοις ἑπόμενον, οὕτω δέχεσθαι αὐτοὺς εἰς κοινωνίαν.

ZONAR. Trigamiam magnus hic Pater ab antiquis Patribus conjugii nomine minime appellatam fuisse asserit, sed illam dixisse polygamiam, potius fornicationem castigatam, hoc est, non effusam, et promiscuam, sed contractam, et in una tantummodo circumscriptam muliere. Quem ergo canonem de digamis promulgavit, hunc in trigamia quoque proportione servari jubet; proportione autem, id est, quia in digamia annus præscriptus est ad pœnitentiam; aliis vero biennium: porro in trigamia, quoniam ipsamet culpa fit gravior, proportione quoque respondens statuitur pœna, quinquennalis videlicet segregatio. Qui namque digamiæ terminos supergressi sunt, negat amplius ab iis, cum quibus commiscentur, mulieribus viros dici oportere, nec mulieres ab ejusmodi hominibus uxorum nomine appellari: atque ex Evangelio testimonium adducit, dicente Christo ad Samaritidem, *Quoniam quem habes non est tuus vir; quinque enim habuisti*[a]. Nam etsi prius dixerat sanctus, tribus aut quatuor annis trigamos esse segregandos, non tamen in illo decreto perstitit: verum multæ tempus ad quinquennium ipsemet extendit, statuens nequaquam hujusmodi ab ecclesiis expellendos, ita ut non in loco flentium consistant, sed in loco audientium duobus aut tribus annis, eoque elapso tempore permittendum ipsis, ut cum fidelibus consistant, a communione autem abstineant. Atque hoc pacto, si fructum pœnitentiæ ostenderint, nempe contritionem cordis et lacrymas, et si quid hisce adjungi solet, ita demum ad communionem admittantur.

ΑΡΙΣΤ. Ἕνα χρόνον ἢ δύο ἀφορίζεται ὁ δίγαμος· τρεῖς δὲ καὶ τέσσαρας ὁ τρίγαμος· καὶ πέντε κατὰ τὴν ἄρτι συνήθειαν.

ARIST. Bigamus unum vel duos annos excommunicatur, tres vero et quatuor trigamus, atque etiam quinque juxta consuetudinem quæ jam obtinet.

Οὐκ ἀπὸ κανόνος, ἀλλὰ ἀπὸ συνηθείας καταλαβὼν ὁ μέγας Βασίλειος τοὺς τριγάμους ἐπὶ πενταετίαν ἀφοριζομένους, δέχεται τοῦτο καὶ αὐτός· πλὴν προστάττει μὴ παντελῶς αὐτοὺς ἐξωθεῖν τῆς Ἐκκλησίας, καὶ μετὰ τῶν προσκλαιόντων συντάττειν· ἀλλ' ἐν δυσὶν ἔτεσιν, ἢ καὶ τρισί, τῆς τῶν θείων Γραφῶν ἀκροάσεως ἀξιοῦν. Εἶτα ἐπιτρέπει συστήκειν αὐτοὺς μετὰ τῶν πιστῶν, καὶ τῶν εὐχῶν μόνων συγκοινωνεῖν αὐτοῖς· τῆς δὲ κοινωνίας τοῦ

Non a canone, sed a consuetudine accipiens magnus Basilius, trigamos quinquennio segregatos esse, et ipse illud admittit. Sed mandat, eos ab ecclesia non omnino extrudere, et cum deflentibus collocare, sed duobus vel etiam tribus annis divinarum Scripturarum auditione eos dignari. Deinde eis permittit cum fidelibus consistere et in precibus solis communicare. A boni autem communione abstinere, et sic fructum aliquem pœnitentiæ osten-

[a] Joan. IV. 18.

Digitized by Google

dentes, ad locum eorum, qui corporis et sanguinis Dominici sunt participes, restitui.

ἀγαθοῦ ἀπέχεσθαι· καὶ οὕτω καιρόν τινα μετανοίας ἐπιδειξαμένους, εἰς τὸν τόπον τῶν μεταλαμβανόντων τοῦ δεσποτικοῦ σώματός τε καὶ αἵματος ἀποκαθίστασθαι.

CANON V.

Hæreticos, qui in excessu e vita pœnitentiam agunt, recipere oportet; recipere autem, non sine judicio, sed examinantes an veram pœnitentiam ostendant, et si fructus habeant, qui salutis studium testificentur.

BALS. Præsens quidem canon statuit hæreticos, qui in fine vitæ fuerint, et pœnitentiam petiverint, admitti, prius examinatos, an vere agant pœnitentiam; scilicet, an suis dogmatis desciscant et fructus pœnitentiæ ostendant. Alii autem canones, etiam hæreticos, 57 qui sani sunt, accedentes, et examinatos, similiter admitti jubent.

ZONAR. Dubitabant quidam, an hæretici, qui in exitu vitæ esse dicuntur, ac pœnitentiam quærunt, essent admittendi. Ad quam quæstionem respondit sanctus, admittendos esse, non quacunque ratione, verum examinantes an vere pœniteant; hoc est, num a propriis dogmatis abscedant, ac pœnitentiæ fructus ostendant.

ARIST. Hæreticus in vitæ exitu resipiscens, discretione adhibita suscipiendus.

Hæreticum in extremo vitæ venientem et resipiscentem sine judicio et examine admittere non oportet, sed resipiscentiam ejus explorare, num vera sit, et an fructus proferat qui salutis studium testificentur; ut si de hæresi ejus triumphet, peccata sua cum lacrymis et contrito corde confiteatur, eleemosynas faciat, et alia ejusmodi salutaria ostendat.

CANON VI.

Canonicorum fornicationes pro matrimonio non reputentur, sed eorum conjunctio omnino divellatur: hoc enim et Ecclesiæ ad securitatem est utile, et non dabit hæreticis adversus nos ansam, quod propter peccandi libertatem ad nos attrahamus.

BALS. Canonicos eos dicit, qui in canone enumerantur, clericos scilicet, monachos, monachas, et quæ virginitatem professæ sunt. Si quis ergo ex his fornicatus fuerit, non permittitur ei deinceps peccare. Est enim verisimile canonicum, qui peccaverat, sacerdotio motum ob fornicationem dixisse, Quoniam a dignitate excidi, voluptate certe perfruar: et sit mihi mulier, cum qua peccavi, in consortio conjugali. Lex enim dicit in lib. XXVIII, tit. 4, cap. 16: Qui cum libera, quæ non quæstus gratia facit sui corporis potestatem, habet consuetudinem, ipsam non concubinam, sed uxorem habere videtur. Hoc, inquit, non est permittendum, sed eorum conjunctio est omnino separanda, et ipsi a se invicem sejungendi, quoniam leges in laicis locum habent, et hoc est Ecclesiæ utile. Si ipsi

ΚΑΝΩΝ Ε'.

Τοὺς δὲ ἐπὶ ἐξόδῳ μετανοοῦντας τῶν αἱρετικῶν δέχεσθαι χρή· δέχεσθαι δέ, δηλονότι οὐχ ἁπλῶς, ἀλλὰ δοκιμάζοντας εἰ ἀληθινὴν ἐπιδείκνυνται μετάνοιαν, καὶ εἰ τοὺς καρποὺς ἔχουσι μαρτυροῦντας τῇ πρὸς τὸ σωθῆναι σπουδῇ.

ΒΑΛΣ. Ὁ μὲν παρὼν κανὼν διορίζεται τοὺς αἱρετικοὺς ἐν τέλει γινομένους τοῦ βίου, καὶ ζητοῦντας μετάνοιαν, δέχεσθαι, ἐξεταζομένους πρότερον εἰ ἀληθῶς μετανοοῦσιν· ἤγουν εἰ ἀφίστανται τῶν οἰκείων δογμάτων, καὶ ἐπιδείκνυνται καρποὺς μετανοίας· ἕτεροι δὲ κανόνες καὶ τοὺς ἐν ὑγείᾳ ὄντας, αἱρετικοὺς προσερχομένους, καὶ ἐξεταζομένους, ὁμοίως δέχεσθαι παρακελεύονται.

ΖΩΝΑΡ. Ἀμφέβαλλόν τινες εἰ χρὴ τοὺς αἱρετικοὺς ἐν τέλει λεγομένους τοῦ βίου καὶ ζητοῦντας μετάνοιαν δέχεσθαι. Πρὸς ὅπερ ὁ ἅγιος ἀπεκρίθη δεῖν αὐτοὺς δέχεσθαι, οὐχ ὡς ἔτυχε δέ, ἀλλὰ ἐξετάζοντας, εἰ ἀληθῶς μετανοοῦσιν· ἤγουν εἰ ἀφίστανται τῶν οἰκείων δογμάτων, καὶ ἐπιδείκνυνται καρποὺς μετανοίας.

ΑΡΙΣΤ. Αἱρετικὸς τῷ τέλει μετανοῶν δεκτέος μετ' ἐπικρίσεως.

Τὸν ἐν τῷ τέλει τοῦ βίου ἐλθόντα αἱρετικὸν, καὶ μετανοοῦντα, οὐκ ἁπλῶς καὶ ἀδασανίστως δέχεσθαι χρὴ, ἀλλὰ δοκιμάζειν τὴν μετάνοιαν αὐτοῦ, εἰ ἀληθής ἐστι, καὶ εἰ τοὺς καρποὺς ἔχει μαρτυροῦντας τῇ πρὸς τὸ σωθῆναι σπουδῇ· τί γάρ; Ὅτι θριαμβεύει αὐτοῦ τὴν αἵρεσιν, τὰς ἁμαρτίας αὐτοῦ μετὰ δακρύων καὶ συντετριμμένης καρδίας ἐξαγορεύει, ἐλεημοσύνας ποιεῖ, καὶ ἄλλα τοιαῦτα σωτηριώδη ἐνδείκνυται.

ΚΑΝΩΝ Ϛ'.

Τῶν κανονικῶν τὰς πορνείας εἰς γάμον μὴ καταλογίζεσθαι, ἀλλὰ παντὶ τρόπῳ διασπᾶν αὐτῶν τὴν συνάφειαν. Τοῦτο γὰρ καὶ τῇ Ἐκκλησίᾳ πρὸς ἀσφάλειαν λυσιτελὲς, καὶ τοῖς αἱρετικοῖς οὐ δώσει καθ' ἡμῶν λαβὴν, ὡς διὰ τὴν τοῦ ἁμαρτάνειν ἄδειαν ἐπισπωμένων πρὸς ἑαυτούς.

ΒΑΛΣ. Κανονικοὺς τοὺς ἐν τῷ κανόνι ἐξεταζομένους φησὶν, ἤγουν κληρικοὺς, μοναχοὺς, μοναστρίας, καὶ τὰς παρθενίαν ἐπαγγειλαμένας. Εἰ γοῦν τις ἐκ τούτων πορνεύσει, οὐ παραχωρηθήσεται καὶ ἐφεξῆς ἁμαρτάνειν. Εἰκὸς γὰρ ἦν τὸν ἡμαρτηκότα κανονικὸν τῆς ἱερωσύνης ἐκπεσόντα διὰ τὴν πορνείαν λέγειν ὅτι Ἐπεὶ τῆς ἀξίας ἐκπέπτωκα, κἂν ἀπολαύσω τῆς ἡδονῆς· καὶ ἔστω μοι ἡ γυνὴ μεθ' ἧς ἥμαρτον εἰς συμβίωσιν γαμικήν. Ὅτι καὶ ὁ νόμος φησὶν ἐν βίβλῳ κη', τίτλῳ δ', κεφαλαίῳ ις'· Ὁ πρὸς τὴν ἐλευθέραν μὴ ποιησαμένην πόρον ἐκ τοῦ ἰδίου σώματος ἔχων συνήθειαν, οὐ παλλακὴν, ἀλλὰ γαμετὴν αὐτὴν ἔχειν δοκεῖ. Τοῦτο οὖν, φησὶ, παραχωρεῖσθαι οὐ χρὴ, ἀλλ' ἐκ παντὸς διασπᾶσθαι τὴν συνάφειαν αὐτῶν, καὶ χωρίζεσθαι ἀπ' ἀλλήλων· ὅτι τε τὰ τοῦ νόμου εἰς λαϊκοὺς χώραν ἔχουσι, καὶ

Digitized by Google

τι τῇ Ἐκκλησίᾳ λυσιτελές ἐστιν. Εἰ γὰρ αὐτοὶ τῆς ἐπιθυμίας ἀποξενωθῶσιν, οὐδὲ ἕτεροι τολμήσουσι τοιοῦτόν τι, ὡς μὴ παραχωρούμενοι ἁμαρτάνειν μετὰ τὴν ἀναίρεσιν τῆς ἐκκλησιαστικῆς τιμῆς. Ἀλλὰ καὶ τοῖς αἱρετικοῖς οὐ δοθήσεται ἀφορμὴ καθ' ἡμῶν εἰς τὸ λέγειν ὅτι διὰ τοῦτο μετὰ τὴν πορνείαν παραχωροῦνται οἱ πορνεύοντες ἁμαρτάνειν, ἵνα καὶ οἱ ἐξ ἑτέρων θρησκειῶν διὰ τὴν ἡδονὴν τοῦ σώματος ἐπισπῶνται καὶ ἐπισύρωνται πρὸς τὰ ἡμέτερα. Καὶ τοῦτο μὲν θεματίζεται καλῶς ὅσον εἰς τοὺς κληρικούς. Εἰς δὲ τὰς μοναστρίας καὶ τὰς παρθένους, καὶ τοὺς μοναχοὺς τοὺς μὴ ἱερωμένους, ἐπεὶ ἀφαίρεσις τιμῆς οὐκ ἐπάγεται, μᾶλλον εἴποι τις ἐκαιολογεῖσθαι τούτους, τὰ τοῦ καταστρωθέντος ἄνωθεν νόμου καὶ εἰς ἐκτροπὴν τοῦ λόγου αὐτῶν ὁρισθῆναι τὰ τοῦ παρόντος κανόνος. Περὶ δὲ πορνείας μοναχῶν καὶ παρθένων ἀνατεθειμένων τῷ Θεῷ ἀνάγνωθι συνόδου ἕκτης κανόνα τέταρτον, τοῦ ἁγίου Βασιλείου κανόνα ιη', κ', ξ', καὶ βιβλίου δ' τῶν Βασιλικῶν τίτλον α', κεφ. ε', ὅπερ κατεστρώθη εἰς λ' κεφάλαιον τοῦ θ' τίτλου τοῦ παρόντος συντάγματος· ἀνάγνωθι καὶ κεφ. οη' τοῦ λζ' τίτλου ξ βιβλίου.

A enim a libidine alienati fuerint, nec alii audebunt tale quid facere, ut quibus non sit peccare permissum post ecclesiasticæ dignitatis ademptionem. Sed hæreticis quoque non dabitur adversus nos ansa, ut dicant, quod propterea post fornicationem permittitur fornicatoribus peccare, ut ab aliis sectis propter corporis voluptatem ad nostra attrahantur et alliciantur. Et hæc quidem facti species recte ponitur, quod ad clericos attinet. Quod ad monachas autem, et virgines, et monachos sacris ordinibus non initiatos attinet, quoniam eis honoris ablatio non inducitur, et eos dixerit quispiam legem superius positam magis posse pro se adducere, et ad evertendam eorum rationem præsentem canonem constitui. De monachorum autem fornicatione, et virginum Deo dedicatarum, lege syn. sextæ can. 4, sancti Basilii can. 18, 20, 60 et l. IV Basilic. tit. pr. cap. 5, quod positum est in cap. 33 noni tit. præsentis operis. Lege et cap. 78 tit. 37 lib. LX.

ΖΩΝΑΡ. Κανονικοὺς τοὺς ἐν τῷ κανόνι ἐξεταζομένους φησὶν, ἤγουν κληρικοὺς, καὶ μοναχοὺς, καὶ μοναστρίας, καὶ τὰς παρθενίαν ἐπαγγειλαμένας κόρας, κατὰ τὸν ς' καὶ μδ' κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου. Εἴ γοῦν τοιοῦτός τις πορνεύσει, οὐκ ἐπιτρέπεται συμφθείρεσθαι τῇ μεθ' ἧς ἥμαρτεν, ὡς τάχα γάμου τῆς ἀθέσμου μίξεως λογισθείσης. Εἰκὸς γὰρ τὸν κληρικὸν τῆς ἱερωσύνης διὰ τὴν ἁμαρτίαν ἐκπεσόντα εἰπεῖν ὅτι Ἐπεὶ τῆς ἀξίας ἤδη ἐκπέπτωκα, κἂν ἀπολαύσω τῆς ἡδονῆς· καὶ ἔστω μοι ἡ γυνὴ μεθ' ἧς ἥμαρτον εἰς συμβίωσιν γαμικήν. Τοῦτο οὖν, φησὶ, παραχωρεῖσθαι οὐ χρὴ, ἀλλ' ἐκ παντὸς διασπᾶσθαι τὴν συνάφειαν αὐτῶν, καὶ χωρίζεσθαι ἀπ' ἀλλήλων τοὺς τοιούτους. Τοῦτο γὰρ καὶ τῇ Ἐκκλησίᾳ λυσιτελὲς, ἀποκοπτομένων καὶ τῶν λοιπῶν μὴ τοιαῦτα τολμᾷν. Λογίζονται γὰρ ὅτι Οὐδὲν ἔσται ἡμῖν ὄφελος, κἂν ἁμάρτωμεν, μὴ παραχωρουμένοις, κἂν τῆς τιμῆς ἐκπέσωμεν, συμβιοῦν τῇ γυναικὶ ᾗ συνεφθάρημεν· καὶ οἱ αἱρετικοὶ οὐχ ἕξουσι λαβὴν καθ' ἡμῶν λέγειν ὅτι Διὰ τοῦτο παραχωροῦσι τοῖ; ἁμαρτάνουσι συζῆν ταῖς γυναιξὶ μεθ' ὧν ἥμαρτον, καὶ ὡς γαμεταῖς κεχρῆσθαι αὐταῖς διδόασιν ἄδειαν αὐτοῖς· ἵνα οὕτως ἐπισπῶνταί τινας τῶν ἐξ ἑτέρας θρησκείας, ἤγουν ὑποσύρωσιν, ἐφέλκωνται, ὡς ἐῶντες ἐμμένειν τῇ ἁμαρτίᾳ, καὶ μὴ λύοντες τοὺς ἀθέσμους γάμους, ὧν προηγήσατο πορνεία.

ZONAR. Canonicos eos, qui in canone recensentur, nominat, clericos nimirum, monachos et monachas, et virginitatem professas puellas, ut habetur sexto et quadragesimo quarto canone synodi Carthaginensis. Si quis igitur ejusmodi fornicatus fuerit, haud permittetur cum ea cum qua peccavit, corrumpi, quasi forte illicita commistio nuptiarum instar existimetur. Probabile **58** namque est clericum, qui sacri ordinis dignitate ob admissam culpam exciderat, dixisse, Quandoquidem sacro ordine motus sum, fruar saltem voluptate, et sit mihi mulier hæc, cum qua peccavi, matrimonii societate conjuncta. Hoc ergo, inquit, permittere haud oportet, sed illorum societatem penitus dirimere, atque ab invicem ejusmodi segregare. Hoc siquidem et Ecclesiæ utile fuerit, dum alii quoque, ne ejusmodi audeant, reprimentur. Ita namque cogitabant, Nihil nobis proderit, etiamsi peccemus, siquidem cum ea muliere, cum qua corrupti sumus, quamvis honore exciderimus, ætatem agere haud liceat: nec habebunt hæretici ansam contra nos dicendi, nos ea de causa delinquentibus permittere, ut cum iis mulieribus vivant, quibuscum peccaverunt, easque uxorum loco retinendi facultatem ipsis dare, ut hac ratione aliquos ex iis, qui diversæ religioni addicti sunt, attrahant; hoc est, subducant, alliciant; quippe illis in peccato degere permittentes, nec illegitimas nuptias, quas fornicatio præcessit, solventes.

ΑΡΙΣΤ. Ἡ κανονικὴ, εἴ που καὶ ζεύγνυται, διαζεύγνυται.

Ἡ παρθενίαν ὁμολογήσασα καὶ ἀποταξαμένη τῷ γάμῳ, καὶ τὸν ἐν ἁγιασμῷ προτιμήσασα βίον, εἰ τὰς ὁμολογίας αὐτῆς ἀθετήτασα ἡδοναῖς ἀκολάστοις ἑαυτὴν ἐκδῷ, καὶ νόμῳ δῆθεν γάμου ἀνδρὶ συναφθῇ, οὐ γάμος τοῦτο κριθήσεται, ἀλλὰ πορνεία· ἢ μᾶλλον. κατὰ τὸν ὀκτωκαιδέκατον κανόνα τούτου δὲ

ARIST. Canonica, si matrimonio juncta fuerit, disjungitur.

Quæ virginitatem professa est, et matrimonio renuntiavit, et vitam in sanctimonia actam prætulit, si professiones suas vilipendens, libidinosis se dederit voluptatibus, et matrimonii nimirum lege viro conjuncta fuerit, istud matrimonium non judicabitur, sed fornicatio: aut potius secundum

Digitized by Google

dentes, ad locum eorum, qui corporis et sanguinis Dominici sunt participes, restitui.

ἀγαθοῦ ἀπέχεσθαι· καὶ οὕτω καιρόν τινα μετανοίας ἐπιδεξαμένους, εἰς τὸν τόπον τῶν μεταλαμβανόντων τοῦ δεσποτικοῦ σώματός τε καὶ αἵματος ἀποκαθίστασθαι.

CANON V.

Hæreticos, qui in excessu e vita pœnitentiam agunt, recipere oportet; recipere autem, non sine judicio, sed examinantes an veram pœnitentiam ostendant, et si fructus habeant, qui salutis studium testificentur.

BALS. Præsens quidem canon statuit hæreticos, qui in fine vitæ fuerint, et pœnitentiam petiverint, admitti, prius examinatos, an vere agant pœnitentiam; scilicet, an suis dogmatis desciscant et fructus pœnitentiæ ostendant. Alii autem canones, etiam hæreticos, 57 qui sani sunt, accedentes, et examinatos, similiter admitti jubent.

ΚΑΝΩΝ Ε'.

Τοὺς δὲ ἐπὶ ἐξόδῳ μετανοοῦντας τῶν αἱρετικῶν δέχεσθαι χρή· δέχεσθαι δὲ, δηλονότι οὐχ ἁπλῶς, ἀλλὰ δοκιμάζοντας εἰ ἀληθινὴν ἐπιδείκνυνται μετάνοιαν, καὶ εἰ τοὺς καρποὺς ἔχουσι μαρτυροῦντας τῇ πρὸς τὸ σωθῆναι σπουδῇ.

ΒΑΛΣ. Ὁ μὲν παρὼν κανὼν διορίζεται τοὺς αἱρετικοὺς ἐν τέλει γινομένους τοῦ βίου, καὶ ζητοῦντας μετάνοιαν, δέχεσθαι, ἐξεταζομένους πρότερον εἰ ἀληθῶς μετανοοῦσιν· ἤγουν εἰ ἀφίστανται τῶν οἰκείων δογμάτων, καὶ ἐπιδείκνυνται καρποὺς μετανοίας· ἕτεροι δὲ κανόνες καὶ τοὺς ἐν ὑγείᾳ ὄντας, αἱρετικοὺς προσερχομένους, καὶ ἐξεταζομένους, ὁμοίως δέχεσθαι παρακελεύονται.

ZONAR. Dubitabant quidam, an hæretici, qui in exitu vitæ esse dicuntur, ac pœnitentiam quærunt, essent admittendi. Ad quam quæstionem respondit sanctus, admittendos esse, non quacunque ratione, verum examinantes an vere pœniteant; hoc est, num a propriis dogmatis abscedant, ac pœnitentiæ fructus ostendant.

ΖΩΝΑΡ. Ἀμφίβαλλόν τινες εἰ χρὴ τοὺς αἱρετικοὺς ἐν τέλει λεγομένους τοῦ βίου καὶ ζητοῦντας μετάνοιαν δέχεσθαι. Πρὸς ὅπερ ὁ ἅγιος ἀπεκρίθη δεῖν αὐτοὺς δέχεσθαι, οὐχ ὡς ἔτυχε δὲ, ἀλλὰ ἐξετάζοντας, εἰ ἀληθῶς μετανοοῦσιν· ἤγουν εἰ ἀφίστανται τῶν οἰκείων δογμάτων, καὶ ἐπιδείκνυνται καρποὺς μετανοίας.

ARIST. Hæreticus in vitæ exitu resipiscens, discretione adhibita suscipiendus.

ΑΡΙΣΤ. Αἱρετικὸς τῷ τέλει μετανοῶν δεκτέος; μετ' ἐπικρίσεως.

Hæreticum in extremo vitæ venientem et resipiscentem sine judicio et examine admittere non oportet, sed resipiscentiam ejus explorare, num vera sit, et an fructus proferat qui salutis studium testificentur; ut si de hæresi ejus triumphet, peccata sua cum lacrymis et contrito corde confiteatur, eleemosynas faciat, et alia ejusmodi salutaria ostendat.

Τὸν ἐν τῷ τέλει τοῦ βίου ἐλθόντα αἱρετικὸν, καὶ μετανοοῦντα, οὐκ ἀκρίτως καὶ ἀβασανίστως δέχεσθαι χρὴ, ἀλλὰ δοκιμάζειν τὴν μετάνοιαν αὐτοῦ, εἰ ἀληθής ἐστι, καὶ εἰ τοὺς καρποὺς ἔχει μαρτυροῦντας τῇ πρὸς τὸ σωθῆναι σπουδῇ· τί γάρ; Ὅτι θριαμβεύει αὐτοῦ τὴν αἵρεσιν, τὰς ἁμαρτίας αὐτοῦ μετὰ δακρύων καὶ συντετριμμένης καρδίας ἐξαγορεύει, ἐλεημοσύνας ποιεῖ, καὶ ἄλλα τοιαῦτα σωτηριώδη ἐνδείκνυται.

CANON VI.

Canonicorum fornicationes pro matrimonio non reputentur, sed eorum conjunctio omnino divellatur: hoc enim et Ecclesiæ ad securitatem est utile, et non dabit hæreticis adversus nos ansam, quod propter peccandi libertatem ad nos attrahamus.

ΚΑΝΩΝ Ϛ'.

Τῶν κανονικῶν τὰς πορνείας εἰς γάμον μὴ καταλογίζεσθαι, ἀλλὰ παντὶ τρόπῳ διασπᾷν αὐτῶν τὴν συνάφειαν. Τοῦτο γὰρ καὶ τῇ Ἐκκλησίᾳ πρὸς ἀσφάλειαν λυσιτελὲς, καὶ τοῖς αἱρετικοῖς οὐ δώσει καθ' ἡμῶν λαβὴν, ὡς διὰ τὴν τοῦ ἁμαρτάνειν ἄδειαν ἐπισπωμένων πρὸς ἑαυτούς.

BALS. Canonicos eos dicit, qui in canone enumerantur, clericos scilicet, monachos, monachas, et quæ virginitatem professæ sunt. Si quis ergo ex his fornicatus fuerit, non permittitur ei deinceps peccare. Est enim verisimile canonicum, qui peccaverat, sacerdotio motum ob fornicationem dixisse, Quoniam a dignitate excidi, voluptate certe perfruar: et sit mihi mulier, cum qua peccavi, in consortio conjugali. Lex enim dicit in lib. XXVIII, tit. 4, cap. 16: Qui cum libera, quæ non quæstus gratia facit sui corporis potestatem, habet consuetudinem, ipsam non concubinam, sed uxorem habere videtur. Hoc, inquit, non est permittendum, sed eorum conjunctio est omnino separanda, et ipsi a se invicem sejungendi, quoniam leges in laicis locum habent, et hoc est Ecclesiæ utile. Si ipsi

ΒΑΛΣ. Κανονικοὺς τοὺς ἐν τῷ κανόνι ἐξεταζομένους φησὶν, ἤγουν κληρικοὺς, μοναχοὺς, μοναστρίας, καὶ τὰς παρθενίαν ἐπαγγειλαμένας. Εἰ οὖν τις ἐκ τούτων πορνεύσει, οὐ παραχωρηθήσεται καὶ ἐφεξῆς ἁμαρτάνειν. Εἰκὸς γὰρ ἦν τὸν ἡμαρτηκότα κανονικὸν τῆς ἱερωσύνης ἐκπεσόντα διὰ τὴν πορνείαν λέγειν ὅτι Ἐπεὶ τῆς ἀξίας ἐκπέπτωκα, κἂν ἀπολαύσω τῆς ἡδονῆς· καὶ ἔστω μοι ἡ γυνὴ μεθ' ἧς ἥμαρτον εἰς συμβίωσιν γαμικήν. Ὅτι καὶ ὁ νόμος φησὶν ἐν βίβλῳ κη', τίτλῳ δ', κεφαλαίῳ ις'· Ὁ πρὸς τὴν ἐλευθέραν μὴ ποιησαμένην πόρον ἐκ τοῦ ἰδίου σώματος ἔχων συνήθειαν, οὐ παλλακὴν, ἀλλὰ γαμετὴν αὐτὴν ἔχειν δοκεῖ. Τοῦτο οὖν, φησὶ, παραχωρεῖσθαι οὐ χρὴ, ἀλλ' ἐκ παντὸς διασπᾶσθαι τὴν συνάφειαν αὐτῶν, καὶ χωρίζεσθαι ἀπ' ἀλλήλων· ὅτι τε τὰ τοῦ νόμου εἰς λαϊκοὺς χώραν ἔχουσι, καὶ

Digitized by Google

τι τῇ Ἐκκλησίᾳ λυσιτελές ἐστιν. Εἰ γὰρ αὐτοὶ τῆς ἐπιθυμίας ἀποξενωθῶσιν, οὐδὲ ἕτεροι τολμήσουσι τοιοῦτόν τι, ὡς μὴ παραχωρούμενοι ἁμαρτάνειν μετὰ τὴν ἀναίρεσιν τῆς ἐκκλησιαστικῆς τιμῆς. Ἀλλὰ καὶ τοῖς αἱρετικοῖς οὐ δοθήσεται ἀφορμὴ καθ' ἡμῶν εἰς τὸ λέγειν ὅτι διὰ τοῦτο μετὰ τὴν πορνείαν παραχωροῦνται οἱ πορνεύοντες ἁμαρτάνειν, ἵνα καὶ οἱ ἐξ ἑτέρων θρησκειῶν διὰ τὴν ἡδονὴν τοῦ σώματος ἐπισπῶνται καὶ ἐπισύρωνται πρὸς τὰ ἡμέτερα. Καὶ τοῦτο μὲν θεματίζεται καλῶς ὅσον εἰς τοὺς κληρικούς. Εἰς δὲ τὰς μοναστρίας καὶ τὰς παρθένους, καὶ τοὺς μοναχοὺς τοὺς μὴ ἱερωμένους, ἐπεὶ ἀφαίρεσις τιμῆς οὐκ ἐπάγεται, μᾶλλον εἴποι τις ἐικαιολογεῖσθαι τούτους, τὰ τοῦ καταστρωθέντος ἄνωθεν νόμου καὶ εἰς ἐκτροπὴν τοῦ λόγου αὐτῶν ὁρισθῆναι τὰ τοῦ παρόντος κανόνος. Περὶ δὲ πορνείας μοναχῶν καὶ παρθένων ἀνατεθειμένων τῷ Θεῷ ἀνάγνωθι συνόδου ἕκτης κανόνα τέταρτον, τοῦ ἁγίου Βασιλείου κανόνα ιη', κ', ξ', καὶ βιβλίου δ' τῶν Βασιλικῶν τίτλον α', κεφ. ε', ὅπερ κατεστρώθη εἰς λ' κεφάλαιον τοῦ θ' τίτλου τοῦ παρόντος συντάγματος· ἀνάγνωθι καὶ κεφ. οη' τοῦ λζ' τίτλου ξ βιβλίου.

enim a libidine alienati fuerint, nec alii audebunt tale quid facere, ut quibus non sit peccare permissum post ecclesiasticæ dignitatis ademptionem. Sed hæreticis quoque non dabitur adversus nos ansa, ut dicant, quod propterea post fornicationem permittitur fornicatoribus peccare, ut ab aliis sectis propter corporis voluptatem ad nostra attrahantur et allicientur. Et hæc quidem facti species recte ponitur, quod ad clericos attinet. Quod ad monachas autem, et virgines, et monachos sacris ordinibus non initiatos attinet, quoniam eis honoris ablatio non inducitur, et eos dixerit quispiam legem superius positam magis posse pro se adducere, et ad evertendam eorum rationem præsentem canonem constitui. De monachorum autem fornicatione, et virginum Deo dedicatarum, lege syn. sextæ can. 4, sancti Basilii can. 18, 20, 60 et l. IV Basilic. tit. pr. cap. 5, quod positum est in cap. 33 noni tit. præsentis operis. Lege et cap. 78 tit. 37 lib. LX.

ΖΩΝΑΡ. Κανονικοὺς τοὺς ἐν τῷ κανόνι ἐξεταζομένους φησὶν, ἤγουν κληρικοὺς, καὶ μοναχοὺς, καὶ μοναστρίας, καὶ τὰς παρθενίαν ἐπαγγειλαμένας κόρας, κατὰ τὸν ς' καὶ μδ' κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου. Εἴ γοῦν τοιοῦτός τις πορνεύσει, οὐκ ἐιθήσεται συμφθείρεσθαι τῇ μεθ' ἧς ἥμαρτεν, ὡς τάχα γάμου τῆς ἀθέσμου μίξεως λογισθείσης. Εἰκὸς γὰρ τὸν κληρικὸν τῆς ἱερωσύνης διὰ τὴν ἁμαρτίαν ἐκπεσόντα εἰπεῖν ὅτι Ἐπεὶ τῆς ἀξίας ἤδη ἐκπέπτωκα, κἂν ἀπολαύσω τῆς ἡδονῆς· καὶ ἔστω μοι ἡ γυνὴ μεθ' ἧς ἥμαρτον εἰς συμβίωσιν γαμικήν. Τοῦτο οὖν, φησὶ, παραχωρεῖσθαι οὐ χρὴ, ἀλλ' ἐκ παντὸς διασπᾶσθαι τὴν συνάφειαν αὐτῶν, καὶ χωρίζεσθαι ἀπ' ἀλλήλων τοὺς τοιούτους. Τοῦτο γὰρ καὶ τῇ Ἐκκλησίᾳ λυσιτελὲς, ἀποκοπτομένων καὶ τῶν λοιπῶν μὴ τοιαῦτα τολμᾷν. Λογίζονται γὰρ ὅτι Οὐδὲν ἔσται ἡμῖν ὄφελος, κἂν ἁμάρτωμεν, μὴ παραχωρουμένοις, κἂν τῆς τιμῆς ἐκπέσωμεν, συμβιοῦν τῇ γυναικὶ ᾗ συνεφθάρημεν· καὶ οἱ αἱρετικοὶ οὐχ ἕξουσι λαβὴν καθ' ἡμῶν λέγειν ὅτι Διὰ τοῦτο παραχωροῦσι τοῖς ἁμαρτάνουσι συζῆν ταῖς γυναιξὶ μεθ' ὧν ἥμαρτον, καὶ ὡς γαμεταῖς κεχρῆσθαι αὐταῖς δίδόασιν ἄδειαν αὐτοῖς· ἵνα οὕτως ἐπισπῶνται τινας τῶν ἐξ ἑτέρας θρησκείας, ἤγουν ὑποσύρωσιν, ἐφέλκωνται, ὡς ἰῶντες ἐμμένειν τῇ ἁμαρτίᾳ, καὶ μὴ λύοντες τοὺς ἀθέσμους γάμους, ὧν προηγήσατο πορνεία.

ZONAR. Canonicos eos, qui in canone recensentur, nominat, clericos nimirum, monachos et monachas, et virginitatem professas puellas, ut habetur sexto et quadragesimo quarto canone synodi Carthaginensis. Si quis igitur ejusmodi fornicatus fuerit, haud permittetur cum ea cum qua peccavit, corrumpi, quasi forte illicita commistio nuptiarum instar existimetur. Probabile 58 namque est clericum, qui sacri ordinis dignitate ob admissam culpam exciderat, dixisse, Quandoquidem sacro ordine motus sum, fruar saltem voluptate, et sit mihi mulier hæc, cum qua peccavi, matrimonii societate conjuncta. Hoc ergo, inquit, permittere haud oportet, sed illorum societatem penitus dirimere, atque ab invicem ejusmodi segregare. Hoc siquidem et Ecclesiæ utile fuerit, dum alii quoque, ne ejusmodi audeant, reprimentur. Ita namque cogitabant, Nihil nobis proderit, etiamsi peccemus, siquidem cum ea muliere, cum qua corrupti sumus, quamvis honore exciderimus, ætatem agere haud liceat: nec habebunt hæretici ansam contra nos dicendi, nos ea de causa delinquentibus permittere, ut cum iis mulieribus vivant, quibuscum peccaverunt, easque uxorum loco retinendi facultatem ipsis dare, ut hac ratione aliquos ex iis, qui diversæ religioni addicti sunt, attrahant, hoc est, subducant, alliciant; quippe illis in peccato degere permittentes, nec illegitimas nuptias, quas fornicatio præcessit, solventes.

ΑΡΙΣΤ. Ἡ κανονικὴ, εἴ που καὶ ζεύγνυται, διαζεύγνυται.

Ἡ παρθενίαν ὁμολογήσασα καὶ ἀποταξαμένη τῷ γάμῳ, καὶ τὸν ἐν ἁγιασμῷ προτιμήσασα βίον, εἰ τὰς ὁμολογίας αὐτῆς ἀθετήτασα ἡδοναῖς ἀκολάστοις ἑαυτὴν ἐκδῷ, καὶ νόμῳ δῆθεν γάμου ἀνδρὶ συναφθῇ, οὐ γάμος τοῦτο κριθήσεται, ἀλλὰ πορνεία· ἢ μᾶλλον. κατὰ τὸν ὀκτωκαιδέκατον κανόνα τούτου δὲ

ARIST. Canonica, si matrimonio juncta fuerit, disjungitur.

Quæ virginitatem professa est, et matrimonio renuntiavit, et vitam in sanctimonia actam prætulit, si professiones suas vilipendens, libidinosis se dederit voluptatibus, et matrimonii nimirum lege viro conjuncta fuerit, istud matrimonium non judicabitur, sed fornicatio: aut potius secundum

Digitized by Google

magni Basilii canonem, adulterium. Propterea itaque eorum conjunctio omni modo distrahetur.

A τοῦ μεγάλου Βασιλείου, μοιχεία. Διὰ τοῦτο τοῦν παντὶ τρόπῳ καὶ διασπασθήσεται αὐτῶν ἡ συνάφεια.

CANON VII.

Masculorum et animalium initores, et homicidæ, et venefici, et adulteri, et idololatræ, eadem condemnatione digni habentur. Quare, quam in aliis habes formam, in iis quoque serva. Eos autem, qui triginta annos propter immunditiam pœnitentiam egerunt, quam ex ignorantia fecerunt, nos quidem nec eos esse recipiendos dubitare oportebat. Nam et ignorantia eos venia dignos facit, et spontanea confessio, et tanta temporis diuturnitas: fere enim tota hominis ætate Satanæ traditi sunt: ut discant non se turpiter gerere. Quamobrem jube eos absque dilatione suscipi, maxime si lacrymas habeant, quæ tuam clementiam moveant, et vitam misericordia dignam ostendant.

ΚΑΝΩΝ Ζ'.

Ἀρρενοφθόροι (5) καὶ ζωοφθόροι, καὶ φονεῖς, καὶ φαρμακοὶ, καὶ μοιχοὶ, καὶ εἰδωλολάτραι τῆς αὐτῆς καταδίκης εἰσὶν ἠξιωμένοι. Ὥστε ὃν ἔχεις ἐπὶ τῶν ἄλλων τύπον, καὶ ἐπὶ τούτων φύλαξον. Τοὺς δὲ ἐν τριάκοντα ἔτεσι μετανοήσαντας ἐπὶ τῇ ἀκαθαρσίᾳ, ἣν ἐν ἀγνοίᾳ ἔπραξαν, οὐκ ἀμφιβάλλειν ἡμᾶς προσῆκεν εἰς τὸ παραδέξασθαι. Ἥ τε γὰρ ἄγνοια συγγνώμης ἀξίους αὐτοὺς ποιεῖ, καὶ τὸ ἑκούσιον τῆς ἐξαγορεύσεως, καὶ ἡ παράτασις ἐν τοσούτῳ χρόνῳ γενομένη· σχεδὸν γὰρ ὅλην γενεὰν ἀνθρώπου παρεδόθησαν τῷ Σατανᾷ· ἵνα παιδευθῶσι μὴ ἀσχημονεῖν. Ὥστε κέλευσον αὐτοὺς ἀνυπερθέντως δεχθῆναι, μάλιστα εἰ καὶ δάκρυα ἔχουσι δυσωποῦντά σου τὴν εὐσπλαγχνίαν, καὶ βίον ἐπιδείκνυνται ἄξιον συμπαθείας.

B

BALS. Alii sancti Patris canones sic definiunt, quomodo et quot annis puniri debeant, qui in præsenti can. comprehenduntur. Præsens autem canon, etiamsi dicit eos eadem condemnatione dignos, non tamen de pœnarum generibus intelligendus est: alio enim et alio modo puniuntur: et clarum, quod ipsorum condemnationem in formam, quæ consecuta est, distulit. Eos autem eadem condemnatione dignos esse habitos dictum est, quod omnes quatuor pœnarum locis subjiciantur, et ea in re similiter puniantur. Quoniam autem nonnulli qui incestum per ignorantiam commiserunt (hæc est enim immunditia, quæ in canone comprehenditur, et non reliqua peccata, ut quæ nec sua natura possint per ignorantiam committi), cum triginta annis pœnitentiam egissent, admitti volebant, dicit sanctus exinde eos esse recipiendos, probabiles quoque causas afferens. Debes autem idololatras hic intelligere præstigiatores; Christiani enim, qui idolis sua sponte sacrificarunt, debent tota vita pœnitentiam agere. Illi autem dicuntur traditi esse Satanæ, qui a Christianorum communione separantur. Qui tanto ergo tempore separati fuere, Satanæ veluti traditi sunt.

C

ΒΑΛΣ. Ἕτεροι κανόνες τοῦ ἁγίου Πατρὸς διορίζονται, ὅπως καὶ ἐπὶ πόσοις ἔτεσιν ὀφείλουσιν ἐπιτιμᾶσθαι οἱ ἐν τῷ παρόντι κανόνι περιεχόμενοι. Ὁ δὲ παρὼν κανὼν, εἰ καί φησι τούτους τῆς αὐτῆς καταδίκης ἀξιοῦσθαι, ἀλλ' οὐ πρὸς τὰ εἴδη τῶν ἐπιτιμίων ἐξεφωνήθη· ἄλλως γὰρ καὶ ἄλλως θεραπεύονται· καὶ δῆλον ὅτι καὶ τὴν καταδίκην αὐτῶν εἰς τὸν παρακολουθήσαντα τύπον ἀνήρτησε. Τὸ δὲ τῆς αὐτῆς καταδίκης τούτους ἀξιοῦσθαι ἐῤῥέθη. διὰ τὸ πάντας ὑποκεῖσθαι τοῖς τέταρσι τόποις τῶν ἐπιτιμίων, καὶ κατὰ τοῦτο ὁμοίως κολάζεσθαι. Ἐπεὶ δὲ καί τινες ἐν ἀγνοίᾳ τολμήσαντες αἱμομιξίαν, (αὕτη γάρ ἐστιν ἡ ἐν τῷ κανόνι περιεχομένη ἀκαθαρσία, καὶ οὐχὶ τὰ λοιπὰ ἁμαρτήματα, ὡς μηδὲ πεφυκότα κατὰ ἄγνοιαν γίνεσθαι), ἐπὶ τριάκοντα χρόνοις μετανοήσαντες, ἤθελον παραδεχθῆναι, φησὶν ὁ ἅγιος ἀπεντεῦθεν αὐτοὺς δίχεσθαι, ἐπάγων καὶ αἰτίας εὐλόγους. Εἰδωλολάτρας δὲ ὀφείλεις νοεῖν ἐνταῦθα τοὺς γόητας. Οἱ γὰρ τοῖς εἰδώλοις ἑκοντὶ θύσαντες Χριστιανοὶ διὰ βίου μετανοεῖν ὀφείλουσιν· ἐκεῖνοι δὲ λέγονται παραδοθῆναι τῷ Σατανᾷ, οἱ χωριζόμενοι ἀπὸ τῆς κοινωνίας τῶν πιστῶν. Οἱ γοῦν ἐπὶ τοσοῦτον χρόνον ἀφορισθέντες ὡσανεὶ τῷ Σατανᾷ παρεδόθησαν.

D

ZONAR. Qui masculos mutasve bestias ineunt, et 59 adulteri, quindecim annorum multa puniuntur; voluntarii autem homicidæ, et venefici, viginti. Idololatras porro non eos dicit, qui idolis

ΖΩΝΑΡ. Οἱ μὲν ἀῤῥενοφθόροι καὶ ζωοφθόροι καὶ μοιχοὶ ἐπὶ πεντεκαίδεκα χρόνους ἐπιτιμῶνται· οἱ δέ γε ἑκούσιοι φονεῖς καὶ οἱ φαρμακοὶ ἐπὶ εἰκοσαετίαν. Εἰδωλολάτρας δὲ, οὐ τοὺς εἰδώλοις θύοντας

Guill. Beveregii notæ.

(5) *Ἀῤῥενοφθόροι.* Scholium in codice Amerbachiano, Οἱ μὲν ἀῤῥενοφθόροι καὶ ζωοφθόροι καὶ μοιχοὶ τῇ πεντεκαιδεκαετίᾳ ὑποπίπτουσιν, οἱ δὲ φονεῖς καὶ φαρμακοὶ τῇ εἰκοστετίᾳ. Εἰδωλολάτρας δὲ οἶμαι λέγειν αὐτὸν τοὺς γόητας καὶ τοὺς μάντεις, τρόπον τινὰ καὶ αὐτοῖς εἰδωλολατροῦσιν, ἐπικλήτεις χρωμένοις δαιμονίοις, ἐπεὶ οἱ μὲν ἀπ' ἀρχῆς εἰδωλολάτραι, μετανοοῦντες καὶ βαπτιζόμενοι, αὐτίκα δεκτοί εἰσιν· οἱ δὲ τὸν Χριστὸν ἀδιάστως ἀρνησάμενοι καὶ εἰδωλολατρήσαντες ἐν ὅλῃ τῇ αὐτῶν ζωῇ προσκλαίειν ὀφείλουσιν· *Masculorum et animalium initores et adulteri quindecim annorum spatio substernuntur: homicidæ autem et venefici annis viginti. Idololatras autem eum dicere opinor præstigiatores et divinatores; si quidem et ipsi aliquo modo idololatræ sunt, dæmoniorum appellationibus utentes; quoniam qui ab initio idololatræ fuerunt, pœnitentia ducti et baptizati, protinus recipiendi sunt: qui autem Christum sine violentia abnegarunt, et idololatræ facti sunt, tota ipsorum vita lugere debent.*

Digitized by Google

λέγει. Ἢ γὰρ ἀρχῆθεν ἦσαν τὰ εἴδωλα σέβοντες, καὶ προσελθόντες τῇ πίστει καὶ βαπτισθέντες, εὐθὺς τοῖς πιστοῖς συναριθμοῦνται, καὶ τῶν ἁγιασμάτων μετέχουσιν· ἢ Χριστιανοὶ ὄντες, εἰδώλοις ἔθυσαν, καὶ διὰ βίου μετανοεῖν ὀφείλουσιν. Οὐ περὶ τοιούτων οὖν εἰδωλολατρῶν ἔοικε λέγειν ὁ ἅγιος, ἀλλὰ τοὺς γόητας καὶ τοὺς τὰ περίεργα ποιοῦντας εἰδωλολάτρας ἐκάλεσεν· ὡς ἐπικλήσεις δαιμόνων ποιουμένους ἐν ταῖς γοητείαις, καὶ ἐξ ἐκείνων ζητοῦντας ἐπικουρίαν, κἀντεῦθεν δοκοῦντας τιμᾷν καὶ θεραπεύειν αὐτούς. Εἰπὼν δὲ ὅτι τῆς αὐτῆς καταδίκης εἰσὶν ἠξιωμένοι, οὐ τοῦτο λέγει, ὅτι ἰσαρίθμοις ἐπιτιμῶνται ἑνιαυτοῖς, ἀλλ' ὅτι πολυετεῖ ἐπιτιμίῳ ὑπόκεινται, ἕκαστοι δὲ κατὰ τοὺς ἰδίους ὅρους. Ὅσοι δὲ ἐπὶ τριάκοντα ἔτεσι μετενόησαν ἐφ' ᾗ ἔπραξαν ἀκαθαρσίᾳ ἐν ἀγνοίᾳ (ἀγνοῶν γάρ τις τυχὸν συγγενεῖ ἐμίγη μὴ εἰδὼς τὴν συγγένειαν, ἢ γυναικί τινι, μὴ εἰδὼς ὅτι καὶ ὁ πατὴρ αὐτοῦ ἐχρήσατο ἐκείνῃ), τοὺς τοιούτους οὐδὲ ἀμφιβάλλειν ἐχρῆν, φησὶν, εἰς τὸ παραδέξασθαι, πολλὰ ἔχοντας δίκαια εἰς τὸ συγγνωμονηθῆναι, τὴν ἄγνοιαν, τὸ ἑκούσιον τῆς ἐξαγορεύσεως (ἀγνοούμενον γὰρ τὸ ἁμάρτημα ἐκόντες ἐξωμολογήσαντο)· καὶ τὴν τοῦ χρόνου παράτασιν. Σχεδὸν γὰρ ὅλην γενεὰν ἀνθρώπου παρεδόθησαν τῷ Σατανᾷ, ἵνα παιδευθῶσι μὴ ἀσχημονεῖν. Διὰ ταῦτα τοίνυν δεκτοὺς ἡγεῖσθαι αὐτούς.

sacrificant. Nam vel inde ab initio idolorum cultui fuere addicti, atque ad fidem accedentes, et baptismo expiati, confestim cum fidelibus adnumerantur, sacrisque mysteriis communicant; vel cum Christiani essent, idolis immolavere, ac per integram vitam pœnitentiam agere debent. Nequaquam igitur de ejusmodi idololatris sanctus hic loqui videtur: sed præstigiatores, ac ejusmodi inanitatibus curam impendentes, idololatras nominavit: quippe qui dæmonum invocationes adhibent ad præstigias, tum ex iis auxilium petunt, ac proinde venerantium ipsos et colentium quamdam speciem præbent. Cum vero eadem condemnatione dignos habendos esse ait, non ita intelligendus est, quasi æquali annorum numero puniantur, sed quia plurium annorum multæ sint obnoxii, singuli tamen juxta proprios terminos. Qui vero triginta annis ob impuritatem, quam ignorantes admiserunt, in pœnitentia versati sunt (aliquis enim forte per ignorationem cum cognata rem habuit, ignorans cognationem, aut cum alia muliere, cum patrem quoque suum illa usum fuisse ignoraret), de ejusmodi, inquit, ne dubitandum est quidem, quin admittantur, cum multas habeant excusationes, ob quas eis venia concedi possit: ignorationem nimirum, spontaneam confessionem (ignoratum namque crimen sponte confessi sunt) ac temporis diuturnitatem. Tota namque fere hominis ætate Satanæ traditi sunt, ut a turpibus abstinere discant. Ob hæc igitur facile ipsos admittendos esse arbitratur.

Οὐκ ἄκαιρον δὲ καὶ τι παρενεῖραι τῷ λόγῳ, καὶ λῦσαι ἀμφιβαλλόμενον τί τισιν· ὁ μέγας Ἀπόστολος Κορινθίοις ἐπιστέλλων, καὶ περὶ τοῦ πεπορνευκότος εἰς τὴν ἰδίαν μητρυιὰν γράφων· *Παράδοτε αὐτὸν*, φησὶ, τῷ *Σατανᾷ, ἵνα τὸ πνεῦμα σωθῇ*. Τινὲς μὲν οὖν δαίμονι κάτοχον γενέσθαι τὸν πορνεύσαντα λέγουσι, τινὲς δὲ νόσου μάστιγι ἐκδοθῆναι· καίτοι ἐξ αὐτῶν τῶν πρὸς Κορινθίους Ἐπιστολῶν λυομένου τοῦ ἀμφιβόλου, καὶ δηλουμένου ὅτι τὸ παραδοθῆναι τῷ Σατανᾷ ἀφορισθῆναί ἐστι, καὶ τῆς τῶν πιστῶν μερίδος ἐκκηρυχθῆναι. Ἐν μὲν γὰρ τῇ πρώτῃ, ἔνθα καὶ παραδοθῆναι τῷ Σατανᾷ τὸν ἁμαρτήσαντα κατεδίκασε, φησί· *Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐξ ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας*. Τὸ δὲ, *ἐξαρθῇ ἐξ ὑμῶν*, τί ἄλλο ἐστὶν ἢ ὅτι, ἵνα ἐκκοπῇ καὶ ἀλλοτριωθῇ ἀφ' ὑμῶν; Ἐκκόπτεται δὲ ὁ ἀφορισθεὶς καὶ μὴ τῇ τῶν πιστῶν συνενούμενος μοίρᾳ. Ἐν δὲ τῇ δευτέρᾳ Ἐπιστολῇ φησι· *Κυρώσατε εἰς αὐτὸν ἀγάπην*. Πῶς οὖν πρὸς τὸν δαιμονιζόμενον ἔμελλον κυρῶσαι ἀγάπην· ἢ πρὸς τὸν πάθει λέπρας, ἢ τινὶ τοιούτῳ ταλαιπωρούμενον; Ἐλεεῖσθαι γὰρ μᾶλλον ὤφειλεν ὁ οὕτω πάσχων, οὐχὶ μισεῖσθαι. Ἀλλὰ τοῦτο ἔλεγε πάντως, ὅτι Ὃν ἀπεστράφητε διὰ τὸ ἁμάρτημα, καὶ τῆς Ἐκκλησίας ἠλλοτριώσατε, δέξασθε πάλιν, ἵνα μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ. Καὶ ἑρμηνεύει, ὡς γοῦν εἴρηται, αὐτὸς ἑαυτὸν ὁ Ἀπόστολος, καὶ σαφηνίζει. Εἰ δέ τις φιλονεικότερον ἀνθίσταται, πεισάτω τοῦτον ὁ σοφὸς οὗτος καὶ μέγας

B ΒΑΛΣ. Τινὲς εἰς τὸ χειροτονηθῆναι μετακαλούμενοι, ἐξωμνύοντο μὴ καταδέξασθαι τὴν χειροτονίαν. Τοὺς οὖν τοιούτους λέγει ὁ ἅγιος μὴ δεῖν ἀναγκάζεσθαι ἐπιορκεῖν. Κἂν γὰρ δοκῇ, φησὶν, ἐξεῖναι τοῖς ἀφ' ἑαυτῶν ὁμόσασιν ἢ δεσμόν τινα ἑαυτοῖς ἐπιβαλοῦσιν, ὡς μὴ φαγεῖν κρέας, ἢ πιεῖν οἶνον, ἢ μὴ τάδε ποιῆσαι, λύειν πάλιν ἀφ' ἑαυτῶν τὸν δεσμὸν, καὶ τοῦ ὅρκου ἀφίστασθαι· ἀλλ' ἐκ πείρας ἐμάθομεν ὅτι παρορκήσαντες οὐκ εὐοδοῦνται, ἀλλ' ὑπὸ τοῦ Θεοῦ παραχωροῦνται πειρασθῆναι διὰ τὴν ἐπιορκίαν. Δεῖ δὲ, φησὶν, ἐπὶ τῶν τοιούτων καὶ τὸ εἶδος, τοῦ ὅρκου σκοπεῖν, εἴτ' οὖν εἰ Θεὸν ὠνόμασεν ὁ ὀμνύων, ἢ ἄλλο τι, καὶ τὰ ῥήματα τοῦ ὁμόσαντος καὶ τὴν διάθεσιν ἀφ' ἧς ὤμοσε, καὶ τὰς κατὰ λεπτὸν ἐν τοῖς ῥήμασι προσθήκας. Ὅ εἰκὸς γάρ ἐστιν ἐκ C τῆς τοῦ ὅρκου ποιότητος, καὶ ἐκ τῶν ῥημάτων καὶ τῆς διαθέσεως (εἰ τυχὸν ἐκ μικροψυχίας, καὶ οὐκ ἐξ ἀμεταθέτου γνώμης ὤμοσε), καταλαβεῖν τοὺς σκοποῦντας, μὴ κωλύεσθαι τὸν ὁμόσαντα ἀποστῆναι τοῦ ὅρκου. Εἰ δὲ τούτων σκοπουμένων οὐκ ἔστιν εὑρεῖν παραμυθίαν τινὰ εἰ; τὸ ἀποστῆναι τοῦ ὅρκου, χρὴ τοὺς τοιούτους ἐᾷν, ἵνα μὴ ἐπιορκῶσι. Τὸ δὲ κατὰ τὸν Σεβῆρον πρᾶγμα, ἤτοι ἡ πρᾶξις καὶ ἡ ὑπόθεσις, τοιοῦτον ἦν. Λογγῖνός τις εἶχεν ἀγρὸν Μίνδανα καλούμενον τῇ ἐπισκοπῇ τῆς Μισθείας ὑποκείμενον· Σεβῆρος δὲ Μασάδων ἐπίσκοπος ὢν D ἐχειροτόνησε Κυριακόν τινα εἰς τὸν ἐν τῷ ἀγρῷ ναὸν πρεσβύτερον, ὁμόσαντα παραμένειν τῷ ναῷ, ἢ μᾶλλον τῇ ἐπισκοπῇ ὑποτελεῖν. Ἀλλ' ὁ τῆς ἐνορίας ἐπίσκοπος, ᾗ ὑπέκειτο ὁ ἀγρὸς, ἐκώλυσε τὸν Κυριακὸν ἱερουργεῖν ἐν ἐκκλησίᾳ διαφερούσῃ αὐτῷ, παρ' ἑτέρου χειροτονηθέντα. Διὸ καὶ καταλιπὼν αὐτὴν ὁ Κυριακὸς, μετετέθη ἀλλαχοῦ. Καὶ ὁ Λογγῖνος διὰ τοῦτο λυπούμενος ἠπείλει ἐρημῶσαι τὴν ἐκκλησίαν. Ἐρωτηθεὶς γοῦν ὁ μέγας Βασίλειος περὶ τούτου, ἀπεκρίνατο, τὸν ἀγρὸν, ᾧ ἐπεκηρύχθη ὁ Κυριακὸς, ἧγουν εἰς ὃν ὠνομάσθη πρεσβύτερος, ὑποτεθῆναι τῇ ἐπισκοπῇ τῶν Μασάδων, εἰ καὶ ἑτέρας ἦν ἐνορίας, καὶ τὸν Κυριακὸν αὖθις ἐπαναστρέψαι ἐκεῖ. Οὕτω γὰρ, φησὶν, οὔτε ἐκεῖνος παρὰ τὸν ὅρκον ποιήσει, οὔτε ὁ Λογγῖνος τὴν ἐκκλησίαν ἐρημώσει, ἀντὶ τοῦ ἔρημον καταλείψει, ἢ καὶ καθελεῖ, οὐδὲ τὴν ἑαυτοῦ ψυχὴν ταῖς ἀργίαις καταδικάσει, ἤγουν ὑποβαλεῖ, τῷ μὴ σχολάζειν εὐχαῖς καὶ τοῖς

Digitized by Google

θείοις ὕμνοις, ἀλλὰ ἀργεῖν. Ἐκ τούτων καὶ ἡμεῖς, φησὶν, οἰκονομοῦντες τὰ κατὰ τὸν Κυριακὸν, καὶ ἐπιστρέψαι αὐτὸν εἰς τὴν ἐκκλησίαν, ᾗ ὤμοσεν ἐγχαρτερεῖν, ἐπιτρέποντες, οὐ δόξομεν παρὰ κανόνα ποιεῖν, οὐδὲ ἐκεῖνος παραβαίνειν τὸν ὅρκον κριθείη. Ἐπανερχόμενος γὰρ δοκεῖ φυλάσσειν τὸν ὅρκον, ὅτι οὐδὲ πρόσκειται τῷ ὅρκῳ, οὐδὲ πρὸς βραχὺ ἀναχωρήσειν τοῦ ἀγροῦ τῶν Μινδάνων. Ὅρα οὖν πῶς ἐκ τῆς τῶν ῥημάτων ἐξετάσεως καὶ κατασκοπῆσεως ἐθήρευσεν ὁ ἅγιος νοῦν, ὥστε μὴ δοκεῖν ἐπιορκεῖν τὸν ὀμόσαντα. Ταῦτα μὲν οὖν περὶ τοῦ Κυριακοῦ. Ὁ δὲ Σεβῆρος, αἰτιώμενος, ὅτι εἰς ἀγρὸν ἀλλοτρίᾳ ὑποτελοῦντα ἐνορίᾳ ἐχειροτόνησεν, ἔλεγε κατὰ λήθην τοῦτο ποιῆσαι, ἀγνοήσας ἑτέρῳ τὸν ἀγρὸν ὑποκεῖσθαι. Ἐπεὶ οὖν, φησὶ, τὴν λήθην προβάλλεται, δεῖ αὐτὸν συγχωρηθῆναι καὶ εἰς τὴν κρίσιν ἀναρτῆσαι αὐτὸν τοῦ Θεοῦ. Ὅτι γὰρ οὐκ ἐσμὲν καρδιογνῶσται, ἀλλ' ὡς ἀκούομεν, κρίνομεν, δῶμεν τὴν ἐκδίκησιν τῷ Θεῷ, συγγνωμονήσαντες διὰ τὴν λήθην, ἥτις ἐστὶ πάθος ἀνθρώπινον. Καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις. Σὺ δὲ ἀνάγνωθι τὸ ιῃ' κεφ. τοῦ ιγ' τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ εἰς τὴν ἑρμηνείαν αὐτοῦ γραφέντα χάριν ἀναψηλαφήσεως ὅρκων. Ἔχε δὲ ἐπὶ μνήμης καὶ τὸ παρὰ τοῦ ἁγίου ὁρισθὲν χάριν τοῦ παρεμπεσόντος φάκτου ἐπὶ τῇ χειροτονίᾳ τοῦ Κυριακοῦ, καὶ τῇ γενομένῃ παρὰ τούτου ὅθεν ἐπιορκίᾳ. Καὶ σημείωσαι ὅτι διὰ τούτου συγγινώσκονται, ὡς ἔοικεν, οἱ κατά τινας πατριαρχικὰς ἐκκλησίας ἱερουργοῦντες ἐγχώριοι ἀρχιερεῖς. Εἰ γὰρ μὴ τὸ τῆς ἀγνοίας πρόβλημα ἐβοήθησε τῷ Σεβήρῳ, καθῃρέθη ἄν, διὰ τὸ παρ' ἐνορίαν ποιῆσαι χειροτονίαν. Περὶ δὲ ἱερέων ψευδῶς μαρτυρησάντων ἀνάγνωθι τὴν ος' Νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Φιλοσόφου, διαλαμβάνουσαν ὡς, εἰ μὲν ἔνορκον ψευδομαρτυρίαν ποιήσει ὁ ἱερεὺς, καθαιρεῖται. Ὅρκου δὲ μὴ παραζευγνυμένου, ἀφορίζεται ἐπὶ τριετῆ χρόνον εἰς μοναστήριον, καὶ οὕτως εἰς τὴν ἰδίαν τάξιν ἀποκαθίσταται.

A quoque, inquit, quæ ad Cyriacum pertinent, dispensantes, et permittentes ut redeat ad ecclesiam, in qua se perseverare juravit, non videbimur facere præter canones, nec ille jusjurandum transgredi videbitur : revertens enim videtur servare jusjurandum, quia jurijurando adjectum non est, se non ad breve tempus excessurum ex agro Mindanorum. **67** Vide ergo quomodo ex verborum examinatione et consideratione sanctus sententiam venatur, ut is qui juravit, non videatur pejerare. Hæc ergo de Cyriaco. Severus autem accusatus, quod in agrum, qui erat alii regioni subjectus, ordinasset, dicebat se hoc oblivione fecisse, nescientem agrum alii esse subjectum. Quoniam ergo, inquit, ad sui defensionem ignorantiam allegat, B oportet ei ignosci, eumque Dei judicio relinquere : cum enim cordium cognitores non sumus, sed ut audimus, judicamus, demus Deo vindictam, condonantes propter oblivionem, quæ est humanum vitium. Et canon quidem in his consistit. Tu autem lege cap. 18, cap. 13 tit. 13 præsentis operis, et quæ in ejus interpretatione scripta sunt de tractatione juramentorum. Tu autem habe in memoria id quoque, quod a sancto scriptum est de facto quod incidit in ordinatione Cyriaci, et de perjurio quod ab eo commissum est : et nota quod propterea, ut est verisimile, ignoscitur regionis antistitibus, qui in quibusdam patriarchalibus ecclesiis sacra celebrant. Nisi enim ignorantiæ prætextus Severo C auxilium tulisset, depositus esset, quod ultra suam diœcesim ordinationem fecisset. De sacerdotibus autem falso testificatis, lege imperatoris domini Leonis Sapientis novellam 76, quæ continet, quod si sacerdos falsum testimonium juratus dixerit, deponitur. Quod si jusjurandum non accesserit, in monasterium ad triennium separetur, et sic pristino ordini restituatur.

ΖΩΝΑΡ. Τινὲς εἰς τὸ χειροτονηθῆναι καλούμενοι ἐξώμνυντο μὴ καταδέξασθαι τὴν χειροτονίαν. Τοὺς οὖν τοιούτους λέγει ὁ κανὼν μὴ δεῖν ἀναγκάζεσθαι ἐπιορκεῖν. Κἂν δοκῇ, φησὶν, ἐξεῖναι τοῖς ἀφ' ἑαυτῶν ὀμόσασιν, ἢ δεσμόν τινα ἑαυτοῖς ἐπιβαλοῦσιν, οἷον μὴ φαγεῖν κρέας, ἢ μὴ πιεῖν οἶνον, ἢ μὴ τόδε ἢ τόδε ποιῆσαι, λύειν πάλιν ἀφ' ἑαυτῶν τὸν δεσμὸν, καὶ D τοῦ ὅρκου ἀφίστασθαι· ἀλλ' ἐκ πείρας ἐμάθομεν ὅτι οἱ παροργήσαντες, ἤγουν οἱ παρὰ τοὺς ὅρκους ποιήσαντες, οὐκ εὐδοκοῦνται, ἀντὶ τοῦ, οὐ θελητοὶ τῷ Θεῷ εἰσιν, ἢ οὐκ εὐδόκιμοι αὐτῷ, οὐ δ' εὐάρεστοι κρίνονται. Δεῖ δὲ, φησὶν, ἐπὶ τῶν τοιούτων καὶ τὸ εἶδος τοῦ ὅρκου σκοπεῖν· εἴτουν, εἰ Θεὸν ὠνόμασεν ὀμνύων, ἢ ἄλλο τι, καὶ τὰ ῥήματα τοῦ ὀμόσαντος, καὶ τὴν διάθεσιν ἀφ' ἧς ὤμοσε, καὶ τὰς κατὰ λεπτὸν ἐν τοῖς ῥήμασι προσθήκας. Εἰκὸς γάρ ἐστιν ἐκ τῆς τοῦ ὅρκου ποιότητος, καὶ ἐκ τῶν ῥημάτων καὶ ἐκ τῆς διαθέσεως· εἰ τυχὸν ἐκ μικροψυχίας, καὶ οὐκ ἐξ ἀμέτρου γνώμης ὤμοσε, καταλαβεῖν τοὺς σκοποῦντας, μὴ κωλύεσθαι τὸν ὀμόσαντα ἀποστῆναι τοῦ ὅρκου. Εἰ δὲ, τούτων σκοπουμένων, οὐκ ἔστιν

ZONAR. Quidam vocati ut ordinarentur, jurarunt se ordinationem non admissuros. Ejusmodi ergo homines, ait canon, non esse ad perjurium adigendos. Etiamsi videatur, inquit, licere iis, qui sua sponte jurarunt, aut aliquod vinculum sibi injecerunt; velut abstinere a carnibus, aut a vino, aut hoc vel illud omittere; vinculum illud rursum propria auctoritate dissolvere, et a jurejurando deficere : verumtamen experientia didicimus, eos qui perjurarunt, hoc est, qui contra id quod juraverunt, quippiam fecerunt, non placere, hoc est, minime acceptos esse Deo, vel haudquaquam probos, amicosque ab ipso judicari. Oportet vero, inquit, in hisce hominibus genus quoque jurisjurandi considerare, Deumne appellaverit jurans, an aliud quidpiam. tum jurantis verba, animique affectum quo juravit, ac minutas quasque additiones in verbis. Probabile enim est, ex jurisjurandi forma, ex verbis pariter, et ex animi affectione, si forte ex pusillanimitate, non autem ex constanti proposito juravit, deprehendi posse ab iis, qui attentius cogitaverint,

Digitized by Google

non impediri jurantem, quo minus a jurejurando deficiat. Verumtamen, si hisce animadversis, nullam licet invenire excusationem, per quam jurejurando solvuntur, ejusmodi oportet dimittere, ne sese perjurio adstringant. Quod autem de Severo narratur negotium, sive actio, vel argumentum, ejusmodi est. Longinus quidam habebat agrum, cui Mindana nomen erat, Misthiæ episcopatui subjectum. Severus autem, cum Masadarum esset episcopus, Cyriacum quemdam templi, quod in agro positum erat, presbyterum constituit, qui etiam juravit, se in templo permansurum, vel potius illius episcopatui fore subjectum : verum illius regionis episcopus, cui ager subjectus erat, Cyriacum a sacris muneribus obeundis in ecclesia, quæ sui juris esset, arcebat, quippe qui ab alio sacris ordinibus foret insignitus. Ex quo illa relicta Cyriacus alio concessit : tum Longinus quoque ea de causa mœrens, desertam se ecclesiam redditurum minabatur. Rogatus itaque magnus Basilius, ad hoc respondit, agrum cui renuntiatus est Cyriacus, hoc est, cujus presbyter nominatus est, Masadarum episcopatui subjici, etiamsi alterius regionis esset, ac rursus illuc redire Cyriacum. Ita namque, ait, neque ille violabit jusjurandum, neque Longinus ecclesiam desolabit, hoc est, desertam relinquet, aut etiam abolebit : neque suammet **68** animam inertiis damnabit, hoc est, subjiciet, quod non precationibus ac divinis laudibus vacet, sed ab iis plane cesset. Ac nos, inquit, hæc de Cyriaco decernentes, ac redire ipsum ad ecclesiam, in qua se permansurum juravit, permittentes, non videbimur adversus canones agere, neque ille violare jusjurandum judicabitur. Illud namque observare videbitur revertens, quoniam neque juramento adjectum est, ne brevi quidem temporis spatio a Mindanorum agro secessurum. Vide igitur quomodo ex ipsa verborum inspectione et animadversione sententiam sanctus vir indagavit, ex qua, qui se jurejurando obstrinxerat, a perjurio liber esse videretur. Hæc igitur de Cyriaco. Severus porro accusatus, quod agro qui alienæ provinciæ subjectus erat, quempiam præfecisset, causabatur se id propter oblivionem fecisse, quod agrum in alterius ditione positum ignoraret. Quoniam ergo, inquit, oblivionem prætexit, oportet ipsi ignoscere ipsumque ad divinum judicium transmittere : quandoquidem cum non simus cordium scrutatores, sed judicemus ex eis quæ audimus, adjudicemus ultionem Deo, ignoscentes propter oblivionem, quæ humanum est vitium.

ARIST. Non coges eum, qui se non ordinatum fore juraverit.

Eum, qui electus est episcopus, et propter incidentem aliquam causam jurat se ordinationem non suscepturum, ordinari non coges. Oportet autem considerare et juramenti speciem, et verba, et affectionem a qua juravit, et quæ subtiliter in verbis facta sunt additamenta. Et si quæ sit alicunde juramenti excusatio, perjurium apparens ei condonare, eumque ordinare permittit. Si autem nullum sit omnino refugium, sed omnimodo pejerans inveniatur, si ordinari permitteretur, talem omnino prætermittere oportet.

A εὑρεῖν παραμυθίαν τινὰ εἰς τὸ ἀποστῆναι τοῦ ὅρκου, χρὴ τοὺς τοιούτους ἐᾶν, ἵνα μὴ ἐπιορκῶσι. Τὸ δὲ κατὰ τὸν Σεῦῆρον πρᾶγμα, ἤτοι ἡ πρᾶξις καὶ ἡ ὑπόθεσις, τοιοῦτόν τι ἦν. Λογγῖνός τις εἶχεν ἀγρὸν καλούμενον Μίνδανα, τῇ ἐπισκοπῇ τῆς Μισθείας ὑποκείμενον. Σεῦῆρος δὲ Μασάδων ἐπίσκοπος ὢν ἐχειροτόνησε Κυριακόν τινα εἰς τὸν ἐν τῷ ἀγρῷ ναὸν πρεσβύτερον, ὀμόσαντα παραμένειν τῷ ναῷ, ἢ μᾶλλον τῇ ἐπισκοπῇ αὐτοῦ ὑποτελεῖν. Ἀλλ' ὁ τῆς ἐνορίας ἐπίσκοπος ᾗ ὑπέκειτο ὁ ἀγρὸς, ἐκώλυε τὸν Κυριακὸν ἱερουργεῖν ἐν ἐκκλησίᾳ διαφερούσῃ αὐτῷ, παρ' ἑτέρου χειροτονηθέντα. Διὸ καὶ καταλιπὼν αὐτὴν ὁ Κυριακὸς, μετετέθη ἀλλαχοῦ· καὶ ὁ Λογγῖνος διὰ τοῦτο λυπούμενος ἠπείλει ἐρημῶσαι τὴν ἐκκλησίαν. Ἐρωτηθεὶς οὖν ὁ μέγας Βασίλειος περὶ τούτου B ἀπεκρίνατο τὸν ἀγρὸν ᾧ ἐπακηρύχθη ὁ Κυριακὸς, ἤγουν εἰς ὃν ὠνομάσθη πρεσβύτερος, ὑποτεθῆναι τῇ ἐπισκοπῇ τῶν Μασάδων, εἰ καὶ ἑτέρας ἦν ἐνορίας, καὶ τὸν Κυριακὸν αὖθις ἐπαναστρέψαι ἐκεῖ. Οὔτω γὰρ, φησὶν, οὔτε ἐκεῖνος παρὰ τὸν ὅρκον ποιήσει, οὔτε ὁ Λογγῖνος τὴν ἐκκλησίαν ἐρημώσει, ἀντὶ τοῦ, ἔρημον καταλείψει ἢ καὶ καθελεῖ· οὐδὲ τὴν ἑαυτοῦ ψυχὴν ταῖς ἀργίαις καταδικάσει, ἤγουν ὑποβαλεῖ, τῷ μὴ σχολάζειν εὐχαῖς καὶ τοῖς θείοις ὕμνοις, ἀλλὰ ἀργεῖν ἐκ τούτων. Καὶ ἡμεῖς, φησὶν, οἰκονομοῦντες τὰ κατὰ τὸν Κυριακὸν, καὶ ὑποστρέψαι αὐτὸν εἰς τὴν Ἐκκλησίαν, ᾗ ὤμοσεν ἐγκαρτερεῖν, ἐπιτρέποντες, οὐ δόξομεν παρὰ κανόνας ποιεῖν, οὐδὲ ἐκεῖνος παραβαίνειν τὸν ὅρκον κριθείη. ἘπανερχόC μενος γὰρ, δοκεῖ φυλάσσειν τὸν ὅρκον, ὅτι οὐδὲ πρόσκειται τῷ ὅρκῳ, οὐδὲ πρὸς βραχὺ ἀναχωρήσειν τοῦ ἀγροῦ τῶν Μινδάνων. Ὅρα οὖν πῶς ἐκ τῆς τῶν ῥημάτων ἐξετάσεως καὶ κατασκοπήσεως ἐθήρευσεν ὁ ἅγιος νοῦν, ὥστε μὴ δοκεῖν ἐπιορκεῖν τὸν ὀμόσαντα. Ταῦτα μὲν οὖν περὶ τοῦ Κυριακοῦ· ὁ δὲ Σεῦῆρος, αἰτιώμενος ὅτι εἰς ἀγρὸν ἀλλοτρίᾳ ὑποτελοῦντα ἐνορίᾳ ἐχειροτόνησεν, ἔλεγε κατὰ λήθην τοῦτο ποιῆσαι, ἀγνοήσας ἑτέρῳ τὸν ἀγρὸν ὑποκεῖσθαι. Ἐπεὶ οὖν, φησὶ, τὴν λήθην προβάλλεται, δεῖ αὐτῷ συγχωρηθῆναι, καὶ εἰς τὴν κρίσιν τοῦ Θεοῦ ἀναρτῆσαι αὐτόν· ὅτι γὰρ οὐκ ἐσμὲν καρδιογνῶσται, ἀλλ' ὡς ἀκούομεν κρίνομεν, δῶμεν τὴν ἐκδίκησιν τῷ Θεῷ, συγγνωμονήσαντες διὰ τὴν λήθην, ἥτις ἐστὶ πάθος ἀνθρώπινον.

ΑΡΙΣΤ. Οὐκ ἀναγκάσεις τὸν μὴ ἂν χειροτονηθῆD ναι ὀμόσαντα.

Τὸν ψηφισθέντα ἐπίσκοπον, καὶ διά τινα παρεμπεσοῦσαν δυσχερείαν ἐπομοσάμενον τὴν χειροτονίαν μὴ καταδέξασθαι, χειροτονηθῆναι οὐκ ἀναγκάσεις. Χρὴ δὲ σκοπεῖσθαι καὶ τὸ εἶδος τοῦ ὅρκου, καὶ τὰ ῥήματα, καὶ τὴν διάθεσιν ἀφ' ἧς ὤμοσε, καὶ τὰς κατὰ λεπτὸν ἐν ῥήμασι προσθήκας. Καὶ ἐὰν ᾖ τίς ποθεν παραμυθία τοῦ ὅρκου, συγχωρεῖν αὐτῷ τὴν δοκοῦσαν ἐπιορκίαν, καὶ χειροτονεῖσθαι ἐπιτρέπει· ἐὰν δὲ μηδεμία ᾖ μηδαμόθεν καταφυγὴ, ἀλλὰ πανταχόθεν ἐπιορκῶν εὑρίσκεται, εἰ χειροτονηθῆναι συγχωρηθῇ, δεῖ παντελῶς παρελθεῖν τὸν τοιοῦτον.

Digitized by Google

ΚΑΝΩΝ ΙΑ'.

Ὁ δὲ τὸν ἀκούσιον ποιήσας φόνον ἀρκούντως ἐξεπλήρωσε τὴν δίκην ἐν τοῖς ἑνδεκα ἔτεσι. Δῆλον γὰρ ὅτι ἐπὶ τῶν πληγέντων τὰ Μωσέως παρατηρήσομεν. Καὶ τὸν κατακλιθέντα μὲν ἐπὶ τῶν πληγῶν ἃς ἔλαβε, βαδίσαντα δὲ πάλιν ἐπὶ ῥάβδῳ αὐτοῦ, οὐ λογισόμεθα πεφονεῦσθαι· εἰ δὲ καὶ οὐκ ἐξανέστη μετὰ τὰς πληγάς, ἀλλ' οὖν τῷ μὴ προελέσθαι αὐτὸν ἀνελεῖν, ὁ τυπτήσας φονευτὴς μὲν, ἀλλ' ἀκούσιος διὰ τὴν πρόθεσιν.

ΒΑΛΣ. Ὁ νζ' κανὼν τοῦ ἁγίου τούτου Πατρὸς ἐπὶ δέκα χωρίζει τοὺς ἀκούσιον φόνον ποιήσαντας ῥητῆς τῶν θείων ἁγιασμάτων μεταλήψεως. Ὁ δὲ παρὼν κανὼν φησι, τὸν μὴ μόνον ἐπὶ δέκα ἔτεσι, ἀλλὰ ἑνδεκα, μὴ μετασχόντα τῶν ἁγιασμάτων ἀκούσιον φονευτὴν ἐκ περιουσίας δέχεσθαι. Εἶτα προστίθησι μὴ ἀπεντεῦθεν ὡς φονέα κατακρίνεσθαι τὸν πλήξαντά τινα, κἂν καιρίαν ἐπήνεγκε πληγὴν, μὴ ἐπὶ σκοπῷ μέντοι φόνου. Ἀλλὰ χρὴ, φησὶ, κατὰ τὸν Μωσαϊκὸν νόμον, προσέχειν ἐπὶ τῷ πληγέντι· καὶ εἰ μὲν μετὰ τὸ κατακλιθῆναι ἐκ τῆς πληγῆς πρὸς ὑγείαν οὐ προέκοψεν, ἀλλὰ ἐτελεύτησεν, ἐξ ἀνάγκης ὑποκεῖσθαι τὸν πλήξαντα τῷ τοῦ ἀκουσίου φόνου ἐγκλήματι· εἰ δὲ ἀνέστη ἐκ τῆς πληγῆς, καὶ περιεπάτησεν ἐπὶ τῇ ῥάβδῳ αὐτοῦ, ἤγουν μὴ τελείως ἀπηλλάγη τῆς ἀσθενείας, εἶτα ἀπέθανε, μὴ λογίζεσθαι τὸν πλήξαντα φονέα. Ὥστε σημείωσαι καὶ ἀπὸ τούτου, καθὼς εἴπομεν καὶ ἐν τῷ η' κανόνι, τὸν ἀκούσιον φόνον ἐκ τοῦ ἀποτελέσματος ἀναφαίνεσθαι. Διὰ τοῦτο γὰρ οὐδὲ τὴν πληγὴν περιεργαζόμεθα, εἴτε μικρὰ γέγονεν, εἴτε μεγάλη, ἀλλὰ τὸν ἐκ τῆς πληγῆς θάνατον· ὥσπερ ὁ ἀκούσιος φόνος ἐκ μόνης τῆς προθέσεως κατακρίνεται, κἂν μὴ προβῇ ἀποτέλεσμα, ἤτοι θάνατος. Σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος ὅτι ἐπὶ τοῦ ἀκουσίου φόνου κακῶς τινες πολυπραγμονοῦσι κατὰ ποίαν ἡμέραν ἡ πληγὴ ἐπηνέχθη, καὶ μετὰ πόσας ἡμέρας ἐπηκολούθησε τῷ πληγέντι ὁ θάνατος. Κἂν γὰρ πολὺς παρῆλθε μετὰ πληγὴν καιρὸς, ὅμως δὲ ἐκ τῆς αἰτίας ἔθανεν ὁ τὴν πληγὴν ὑποστάς, οὐδὲν ἧττον γενέσθαι λέγομεν τὸν ἀκούσιον φόνον. Ἀνάγνωθι καὶ τὸν η' κανόνα τοῦ ἁγίου τούτου Πατρὸς, καὶ τὴν ἑρμηνείαν αὐτοῦ

ΖΩΝΑΡ. Ἀκούσιόν τις ἐποίησε φόνον, καὶ ἑνδεκα διεβίβασε χρόνους ἀφωρισμένος. Ἠρωτήθη οὖν ὁ ἅγιος εἰ χρὴ λυθῆναι αὐτὸν τοῦ δεσμοῦ· καὶ ἀπεκρίνατο ὅτι ἐν τοῖς ἑνδεκα ἔτεσιν ἀρκούντως ἐξεπλήρωσε τὴν δίκην, ἤγουν τὴν τιμωρίαν. Τὰ δὲ ἑνδεκα ἔτη εἶπεν, οὐχ ὡς τοσούτῳ χρόνῳ τοῦ ἀκουσίως φονεύσαντος ἐπιτιμωμένου· δεκαετία γὰρ ὁ τοιοῦτος ἐπιτιμᾶται κατὰ τὸν νζ' κανόνα τοῦ μεγάλου τούτου Πατρός· ἀλλ' ὡς οὕτω τοῦ φάκτου ἔχοντος. Εἶτά φησιν ὅτι ἐν τοῖς πληγεῖσι καὶ ἀποθανοῦσι παρατηρήσομεν, ἤτοι παραφυλάξομεν, τὸν νόμον τὸν Μωσαϊκὸν, ὅστις ὥρισε τὸν πληγέντα παρά τινος καὶ κατακλιθέντα διὰ τὰς πληγὰς, ἐὰν μετὰ ταῦτα ἐξαναστῇ, καὶ περιπατήσῃ ἐπὶ τῇ ῥάβδῳ

CANON XI.

Qui autem involuntariam cædem fecit, in undecim annis abunde judicio satisfecit. Clarum est enim, quod in iis qui percussi sunt, quæ voluit Moyses, observabimus, ut eum quidem, qui propter plagas, quas accepit, decubuit, rursus autem virga sua innixus ambulavit, occisum esse non reputabimus : sin autem post ictus non surrexit, cum eum tamen nollet interficere qui verberavit, est quidem homicida, sed involuntarius propter propositum.

BALS. Quinquagesimus septimus canon hujus sancti Patris eos, qui involuntariam cædem fecere, decem annis a divinorum sacramentorum participatione separat. Præsens autem canon dicit, eum, qui non solum decennio, sed etiam undecim annis, sacramentis non communicavit, involuntarium occisorem satis superque fecisse. Deinde adjicit, eum non ideo ut homicidam condemnari, qui aliquem percussit, etiamsi lethalem plagam inflixerit, non tamen cum occidendi proposito : sed oportet, inquit, secundum legem Mosaicam, ejus, qui percussus est, rationem habere, et, si postquam ab ictu decubuit, non convaluit, sed mortuus est, is qui percussit involuntariæ cædis crimine, necessario, tenebitur : sin autem ab ictu surrexit, et virga sua innixus ambulavit, hoc est, non perfecte a morbo est liberatus, deinde mortuus est ; eum qui percussit, non reputari ut homicidam. Quare nota etiam ex hoc quemadmodum diximus et in can. 8 involuntariam cædem ex effectu ostendi. Propterea enim nec de ictu laboramus, an sit parvus, an magnus, sed de morte quæ ex ictu processit, ut cædes voluntaria a proposito solo judicatur, etiamsi effectus sive mors minime sequatur. Nota autem ex præsenti canone quod in cæde involuntaria nonnulli 69 male sunt nimium curiosi, quærentes quo die vulneratus est, et post quot dies eum, qui percussus est, mors consecuta est : etsi enim longum tempus post ictum præterierit, ex hac tamen causa mortuus est qui ictum sustinuit, nihilo secius factam esse dicimus cædem involuntariam. Lege et canonem 8 hujus sancti Patris, et ejus interpretationem.

ZONAR. Involuntariam quis cædem patravit, ac undecim annos transegit segregatus. Rogatus fuit ergo sanctus vir, an illum eo vinculo solvi oporteat : responditque undecim annorum spatio satis supplicii luisse, satis pœnarum. Undecim porro annos dixit, non quod tanto tempore, qui involuntarie occidit, puniatur : decennium namque hisce hominibus, quinquagesimo septimo canone hujus magni Patris, multæ nomine constitutum est : sed quod ita sese res in hoc homine haberet. Deinde asserit, in iis qui percussi ac mortui sunt, retinendam, hoc est servandam esse Mosaicam legem, quæ decrevit hominem, qui a quopiam percussus est, moxque decubuit, si postea e lectulo surrexerit ambulave-

Digitized by Google

ritque bacillo innixus, hoc est, etiamsi haudquaquam plane fuerit ab imbecillitate liberatus, sed eousque ut bacillo innixus incedat, quasi imbecillitatis reliquias adhuc retinens, ac deinde moriatur, non videri occisum esse, nec qui illum percussit homicidam existimari. Hæc ergo sunt quæ Moses statuit. Subjicit deinde sanctus, si minus exsurrexerit postquam ictus est, sed jacens propter ictus sit exstinctus, fore quidem, qui illum percussit, judicandum homicidam, sed involuntarium. Neque enim mens ei fuit ipsum interficere, sed verberare.

ARIST. Involuntarius homicida decennio substernatur. *Perspicuus.*

A αὐτοῦ, ἤτοι κἂν μὴ τελείως ἀπαλλαγῇ τῆς ἀσθενείας, ἀλλὰ τέως βαδίσῃ τῇ ῥάβδῳ αὐτοῦ ἐπιστηριζόμενος, ὡς ἔτι λείψανα φέρων τῆς ἀσθενείας, εἶτα ἀποθάνῃ, μὴ δοκεῖν φονευθῆναι, μηδὲ τὸν πλήξαντα αὐτὸν φονέα λογίζεσθαι. Ταῦτα μὲν οὖν τὰ τοῦ Μωσέως· εἶτα ἐπάγει ὁ ἅγιος ὅτι, κἂν οὐκ ἐξανέστη μετὰ τὰς πληγὰς, ἀλλὰ κείμενος ἐξ αὐτῶν ἐτελεύτησε, φονεὺς μὲν ὁ πλήξας αὐτὸν κριθήσεται, ἀκούσιος δέ· οὐδὲ γὰρ σκοπὸν ἔσχεν ἀνελεῖν αὐτὸν, ἀλλὰ τυπτῆσαι.

ΑΡΙΣΤ. Ὁ ἀκουσίως φονευτὴς δεκαετίαν ὑποπιπτέτω. *Σαφὴς.*

CANON XII.

Digamos canon omnino a ministerio exclusit.

KANΩN IB'.

B Τοὺς διγάμους παντελῶς ὁ κανὼν τῆς ὑπηρεσίας ἀπέκλεισε.

BALS. Sanctus hic canonem 17 canonem apostolorum dicit, et ministerium dicit ecclesiasticum clericatum : et lege dictum canonem.

ΒΑΛΣ. Κανόνα ἐνταῦθα ὁ ἅγιος τὸν ιζ' κανόνα τῶν ἁγίων ἀποστόλων λέγει, καὶ ὑπηρεσίαν τὴν ἐκκλησιαστικὴν κλήρωσιν· καὶ ἀνάγνωθι τὸν ῥηθέντα κανόνα.

ZONAR. Canonem hoc loco sanctus vir intelligit apostolicum decimum septimum, quo sic decernitur : Qui duobus conjugiis post baptismum implicitus fuerit, concubinamve habuerit, non potest esse episcopus, vel presbyter, vel diaconus, vel in sacro ordine quomodocunque censeri.

ΖΩΝΑΡ. Κανόνα ἐνταῦθα ὁ ἅγιος τὸν ιζ' λέγει τὸν ἀποστολικὸν, οὕτω διατατόμενον· Ὁ δυσὶ γάμοις συμπλακεὶς μετὰ τὸ βάπτισμα, ἢ παλλακὴν κτησάμενος, οὐ δύναται εἶναι ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.

ARIST. Bigamus etiam non sit clericus.

Et alii multi canones digamum a sacerdotio arcent.

ΑΡΙΣΤ. Ὁ δίγαμος καὶ ἀκλήρωτος.

Καὶ ἄλλοι πολλοὶ τῶν κανόνων τὸν δίγαμον τῆς ἱεροσύνης ἐκώλυσαν.

CANON XIII.

Cædes in bellis factas Patres nostri pro cædibus non
C reputavere, ut mihi videtur, ignoscentes iis, qui pro pudicitia et pietate decertant. Recte autem forte habet consulere, ut, tanquam manibus impuris, sola trium annorum communione abstineant.

KANΩN IΓ'.

Τοὺς ἐν πολέμοις (7) φόνους οἱ Πατέρες ἡμῶν ἐν τοῖς φόνοις οὐκ ἐλογίσαντο, ἐμοὶ δοκεῖν, συγγνώμην δόντες τοῖς ὑπὲρ σωφροσύνης καὶ εὐσεβείας ἀμυνομένοις. Τάχα δὲ καλῶς ἔχει συμβουλεύειν, ὡς τὰς χεῖρας μὴ καθαροὺς, τριῶν ἐτῶν τῆς κοινωνίας μόνης ἀπέχεσθαι.

BALS. Per præsentem canonem sanctus consulendo suggerit, ut qui in bello cædem fecerunt toto triennio a communione abstineant : etiamsi Patres eis veniam dederunt, et inter homicidas eos non reputaverunt, qui pro pietate et pudicitia decertavere fidelium, qui erant in servitutem redigendi. Hic

ΒΑΛΣ. Διὰ τοῦ παρόντος κανόνος ὑποτίθησιν ὁ ἅγιος συμβουλευτικῶς τοὺς ἐν πολέμῳ φονεύσαντας ἀπέχεσθαι τῆς κοινωνίας δι' ὅλης τριετίας, κἂν οἱ Πατέρες τοῖς τοιούτοις συγγνώμην δεδώκασι, καὶ μετὰ φονέων αὐτοὺς οὐκ ἐλογίσαντο ἀγωνισαμένοις ὑπὲρ τῆς εὐσεβείας καὶ τῆς σωφροσύνης τῶν μελλόν-

Guill. Beveregii notæ.

(7) *Τοὺς ἐν πολέμοις.* Scholiastes Harmenopuli, D
Ἐπὶ τοῦ πατριάρχου Κωνσταντίνου τοῦ Χλιαρηνοῦ διέγνωστο συνοδικῶς ὅτι, εἰ μὲν δυνάμενός τις διαδράναι τὴν ἐπιβουλὴν τοῦ λῃστοῦ, τούτῳ μὲν οὐκ ἠρκέσθη, ἀλλ' ἐκ μελέτης αὐτῷ ἐπιθέμενος ἀνῄρηκεν, οἷα φονεὺς ἐπιτιμηθήσεται. Εἰ δὲ πρῶτος τὸ ξίφος ὁ λῃστὴς ἦρε κατ' αὐτοῦ, τότε οὐκ ἐπιτιμηθήσεται ὁ φονεύσας αὐτόν. Ὅς μέντοι διὰ τὸ κοινῇ συμφέρον πολλὰ παρακληθεὶς, τοῦτον ζητήσας εὗρε καὶ διεχρήσατο, μὴ ὅτι τιμωρίας, ἀλλὰ καὶ ἐπάθλων ἀξιωθήσεται. Ἀσφαλείας δὲ ἕνεκεν ἐπὶ τριετίαν ἤρεσε καὶ τούτους καταδικάζεσθαι. Τοὺς δὴ κληρικοὺς οἷον δή ποτε φόνον πεποιηκότας εὐθὺς τιμωρεῖσθαι, μηδεμιᾶς οὔσης διαφορᾶς πολεμίου ἢ λῃστοῦ, ἢ οἱουδήποτε. Ὅθεν καὶ ἀρχιερεὺς Ἀγαρηνὸν φονεύσας κατ' αὐτοῦ ξίφος ἀνατείναντα, ἐν καιρῷ πολέμου, καθῃρέθη συνοδικῶς. *Sub patriarcha Constantino Chliareno synodalis lata est sententia, quod si quidem aliquis, cum latronis insidias effugere posset, non hoc contentus fuerit, sed data opera latronem interfecerit, tanquam homicida puniendus sit : sin primus latro gladium contra eum sustulerit, tunc qui eum interfecit non punietur. Qui autem utilitatis publicæ causa, cum valde rogatus esset, latronem quæsitum invenit et occidit, non pœna sed præmiis dignus habebitur ; cautionis tamen gratia placuit et hos triennio condemnari. Clericos autem, qui quamcunque cædem commiserint, confestim puniri par est, nullo discrimine vel hostis habito, vel latronis, vel cujuscunque. Quo factum est, ut pontifex, qui occiderat Agarenum, qui gladium contra ipsum tempore belli strinxerat, de synodi sententia depositus est.* Harmenop. epit. can. sect. 5, tit. 3. Adhæc in codice Amerbachiano huic canoni hoc breve scholium annectitur. Ὅρα πῶς καὶ ὁ ἅγιος αὐτοῦ θαῤῥεῖ, οἷς διορίζεται νῦν. Ἄτοπον γὰρ ὑπὲρ ἐκδικήσεως εὐσεβείας καὶ σωφροσύνης δίκην ὑπέχειν τινά.

Digitized by Google

τῶν αἰχμαλωτισθῆναι πιστῶν. Οὗτος δὲ ὁ κανὼν ἀξίως μὲν τῇ ἁγιοπρεπείᾳ τοῦ θείου Πατρὸς ἐξετέθη, οὐκ ἐνεργεῖ δὲ, διὰ τὸ συμπίπτειν, εἰ τοῦτο δοθῇ, μηδέποτε τοὺς στρατιώτας μεταλαμβάνειν τῶν θείων ἁγιασμάτων πολέμοις ἀλλεπαλλήλοις ἐνοχλουμένους, καὶ ἀναιροῦντας τοὺς πολεμίους, ὅπερ ἐστὶν ἀφόρητον. Γέγραπται δὲ ὡς τοῦ βασιλέως ἐκείνου Φωκᾶ ἀξιοῦντος μετὰ μαρτύρων συναριθμεῖσθαι τοὺς ἐν πολέμοις ἀναιρουμένους, οἱ τότε ἀρχιερεῖς, τῷ κανόνι τούτῳ χρησάμενοι, τὴν βασιλικὴν ἔνστασιν κατεσίγησαν, φάμενοι· Πῶς τοῖς μάρτυσι συναριθμήσομεν τοὺς ἐν πολέμοις πεσόντας, οὓς ὁ μέγας Βασίλειος ὡς μὴ καθαροὺς τὰς χεῖρας ἐπὶ τριετίαν ἐκώλυσε τῶν ἁγιασμάτων; Διαφόρων δὲ ἱερέων παραστάντων συνοδικῶς κατὰ βασιλικὸν ὁρισμὸν, ἀλλὰ μὴν καὶ ἐπισκόπου τινὸς, καὶ ἐξομολογησαμένων κατὰ πολεμίων συμπλακῆναι καὶ ἀνελεῖν πολλοὺς ἐξ αὐτῶν, ἡ μὲν θεία καὶ ἱερὰ σύνοδος ἀκολούθως τῷ κανόνι τούτῳ καὶ τῷ μγ' τοῦ αὐτοῦ ἁγίου καὶ ἑτέραις θείαις διαταγαῖς ἤθελε μηκέτι αὐτοὺς ἱερουργῆσαι· οἱ πλείους δὲ, καὶ μᾶλλον οἱ στρατιωτικώτεροι, καὶ βραβείων αὐτοὺς ἀξίους εἶναι διενίσταντο. Πολλοὶ δὲ, ἀνελόντες ἀνθρώπους ἐν τῷ καιρῷ τῆς μετὰ ῥάβδων παιγνικῆς συμβολῆς, μετὰ φονέων ἐλογίσθησαν ἑκουσιοακουσίων, οἷα τοῦ τοιούτου παιγνίου μὴ ὄντος ἀπὸ τῶν ἐπιγινωσκομένων πέντε τῷ νόμῳ παιγνίων, τῶν καὶ ἀγώνων λεγομένων, ἤγουν τῆς πυγμῆς, τοῦ δρόμου, τοῦ πηδήματος, τοῦ δίσκου, καὶ τῆς παλαίστρας· ὥστε οἱ ἐν τοῖς τοιούτοις παιγνίοις φονεύοντες οὐ προχριματίζονται.

A autem canon divini Patris sanctitati convenienter editus est, sed non est in usu, quod ex eo eveniret, si admitteretur, ut milites sacramentorum nunquam essent participes, cum in crebris 70 bellis versentur, et hostes interficiant: quod non est ferendum. Scriptum est enim, quod cum Phocas ille imperator vellet eos martyribus annumerari qui in bellis occiduntur, qui tunc erant antistites hoc usi canone imperatoriam instantiam silentio mandarunt, dicentes: Quomodo eos qui in bellis ceciderunt inter martyres annumerabimus, quos magnus Basilius, ut qui non essent puris manibus, triennio a sacramentis prohibuit? Cum autem multi sacerdotes, et unus quidem episcopus, se jussu imperatorio synodaliter stitissent, et cum hostibus se manus conseruisse multosque ex iis occidisse fassi essent, divina et sancta synodus consequenter huic canoni, et 43 ejusdem sancti et aliis divinis constitutionibus, volebat ipsos non amplius sacra celebrare. Complures autem, et qui erant paulo magis militares, eos etiam præmiis dignos esse contendebant. Multi autem, qui in tempore ludicri cum virgis certaminis homines interfecerant, homicidis annumerati sunt, qui involuntariam voluntarie cædem perpetrarunt, utpote cum hoc ludicrum non sit ex iis quinque, quæ lege agnoscuntur, quæ etiam certamina agonesque dicuntur, scilicet pugillatus, cursus, saltus, discus, palæstra. Quare qui in eis ludicris interficiunt, præjudicio non afficiuntur.

B

C

ΖΩΝΑΡ. Οὐ κατ' ἐπιταγὴν ὁ ἅγιός φησι τοὺς ἐν πολέμοις ἀναιροῦντας ἐπὶ τριετίαν ἀπέχεσθαι τῆς κοινωνίας, ἀλλὰ κατὰ συμβουλήν. Πλὴν φορτικὴ δοκεῖ συμβουλή. Συμβαίη γὰρ ἂν ἐκ ταύτης μηδέποτε τοὺς στρατιώτας μεταλαβεῖν τῶν θείων δώρων, καὶ μάλιστα τοὺς θάρσος ἐνδεικνυμένους καὶ ἀριστεῖς. Οὐ γὰρ ἂν ποτε σχοίεν ἕδειαν ἐπὶ τριετίαν ἠρεμῆσαι. Εἰ γοῦν οἱ πολέμοις ἀλλεπαλλήλοις σχολάζοντες, καὶ ἀναιροῦντες τοὺς πολεμίους, εἴργονται τῆς κοινωνίας, ἔσονται διὰ βίου στερούμενοι τῆς τοῦ ἀγαθοῦ μεταλήψεως. Ὅπερ Χριστιανοῖς ἀφόρητος κόλασις. Διά τί δὲ τὰς χεῖρας οὐ καθαροὶ κριθεῖεν οἱ ὑπὲρ τοῦ πολιτεύματος καὶ τῶν ἀδελφῶν ἀγωνιζόμενοι, ἵνα μὴ ληφθεῖεν τοῖς πολεμίοις, ἢ ἵνα αἰχμαλωτισθέντας ἐλευθερώσωσιν; Εἰ γὰρ φονεύειν τοὺς Βαρβάρους εὐλαβηθήσονται, ὡς τὰς χεῖρας ἐντεῦθεν μιαίνοντες, οἰχήσεται ξύμπαντα, καὶ κρατήσουσιν οἱ βάρβαροι πάντων· ἃ καὶ οἱ πάλαι Πατέρες λογισάμενοι, οὐ τοῖς φονεῦσι συγκατέλεξαν τοὺς ἐν πολέμοις φονεύοντας, συγγνωμονήσαντες αὐτοῖς, ὡς οὗτος ἔφησεν ὁ ἅγιος, ὡς ὑπὲρ σωφροσύνης καὶ εὐσεβείας ἀμυνομένοις. Εἰ γὰρ οἱ Βάρβαροι κυριεύσουσιν, οὔτε εὐσέβεια ἔσται, οὔτε σωφροσύνη. Τὴν μὲν γὰρ εὐσέβειαν ἀθετήσουσι, τὸ οἰκεῖον σέβας κρατύνοντες· τὴν δὲ σωφροσύνην οὐδεὶς μετείναι συγχωρηθήσεται, ἀλλὰ ζῆν κατ' ἐκείνους ἅπας ἐκβιασθήσεται. Ὁ δὲ τὰ θεῖα πολὺς Ἀθανάσιος ἐν τῇ πρὸς Ἀμμοῦν μονάζοντα κανονικῇ

D

ZONAR. Haudquaquam præcipiens sanctus vir iis, qui in bello interfecerunt triennio a communione abstinendum esse asserit, sed consilium proponens. Onerosum nihilominus id consilium videri possit. Ex illo namque contingat, ut divinis muneribus nunquam milites communicent; præsertim qui robur præferunt, ac se strenuos præ cæteris exhibent. Nunquam enim iis dabitur facultas ad triennium quiescendi. Si ergo qui bellis crebris exercentur, et hostes interficiunt, a communione arcentur, toto vitæ tempore boni communione privati degent. Quæ quidem pœna est Christianis haud tolerabilis. Quam vero ob causam nequaquam puras manus gerere judicabuntur, qui pro republica et fratribus dimicant, ne captivi abducantur ab hostibus, aut ut in servitutem abductos liberent? Nam si ab interficiendis Barbaris caveant, quasi manus ex hoc polluentes, pessum ibunt omnia, cunctorumque Barbari potientur. Quæ antiqui quoque Patres animo reputantes, qui in bello interficerent haudquaquam homicidis adnumerarunt, veniam ipsis dantes, siquidem, ut hic ait sanctus, pro pudicitia ac pietate decertarint. Si namque rerum potiantur Barbari, neque ulla pietas, neque pudicitia supererit. Pietatem namque abjicient, suam religionem retinentes: pudicitiam vero retinendi nulli fiet facultas, sed illorum legibus vivere omnes cogentur. Cæterum ille divinarum rerum apprime

Digitized by Google

ritque bacillo innixus, hoc est, etiamsi haudquaquam plane fuerit ab imbecillitate liberatus, sed eousque ut bacillo innixus incedat, quasi imbecillitatis reliquias adhuc retinens, ac deinde moriatur, non videri occisum esse, nec qui illum percussit homicidam existimari. Hæc ergo sunt quæ Moses statuit. Subjicit deinde sanctus, si minus exsurrexerit postquam ictus est, sed jacens propter ictus sit exstinctus, fore quidem, qui illum percussit, judicandum homicidam, sed involuntarium. Neque enim meus ei fuit ipsum interficere, sed verberare.

ARIST. Involuntarius homicida decennio substernatur. *Perspicuus.*

A αὐτοῦ, ἤτοι κἂν μὴ τελείως ἀπαλλαγῇ τῆς ἀσθενείας, ἀλλὰ τέως βαδίσῃ τῇ ῥάβδῳ αὐτοῦ ἐπιστηριζόμενος, ὡς ἔτι λείψανα φέρων τῆς ἀσθενείας, εἶτα ἀποθάνῃ, μὴ δοκεῖν φονευθῆναι, μηδὲ τὸν πλήξαντα αὐτὸν φονέα λογίζεσθαι. Ταῦτα μὲν οὖν τὰ τοῦ Μωσέως· εἶτα ἐπάγει ὁ ἅγιος ὅτι, κἂν οὐκ ἐξανέστη μετὰ τὰς πληγὰς, ἀλλὰ κείμενος ἐξ αὐτῶν ἐτελεύτησε, φονεὺς μὲν ὁ πλήξας αὐτὸν κριθήσεται, ἀκούσιος δέ· οὐδὲ γὰρ σκοπὸν ἔσχεν ἀνελεῖν αὐτὸν, ἀλλὰ τυπτῆσαι.

ΑΡΙΣΤ. Ὁ ἀκουσίως φονευτὴς δεκαετίαν ὑποπιπτέτω. *Σαφὴς.*

CANON XII.

Digamos canon omnino a ministerio exclusit.

B

BALS. Sanctus hic canonem 17 canonem apostolorum dicit, et ministerium dicit ecclesiasticum clericatum : et lege dictum canonem.

ZONAR. Canonem hoc loco sanctus vir intelligit apostolicum decimum septimum, quo sic decernitur : Qui duobus conjugiis post baptismum implicitus fuerit, concubinamve habuerit, non potest esse episcopus, vel presbyter, vel diaconus, vel in sacro ordine quomodocunque censeri.

ARIST. Bigamus etiam non sit clericus.

Et alii multi canones digamum a sacerdotio arcent.

ΚΑΝΩΝ ΙΒ'.

Τοὺς διγάμους παντελῶς ὁ κανὼν τῆς ὑπηρεσίας ἀπέκλεισε.

ΒΑΛΣ. Κανόνα ἐνταῦθα ὁ ἅγιος τὸν ιζ' κανόνα τῶν ἁγίων ἀποστόλων λέγει, καὶ ὑπηρεσίαν τὴν ἐκκλησιαστικὴν κλήρωσιν· καὶ ἀνάγνωθι τὸν ῥηθέντα κανόνα.

ΖΩΝΑΡ. Κανόνα ἐνταῦθα ὁ ἅγιος τὸν ιζ' λέγει τὸν ἀποστολικὸν, οὕτω διαταττόμενον· Ὁ δυσὶ γάμοις συμπλακεὶς μετὰ τὸ βάπτισμα, ἢ παλλακὴν κτησάμενος, οὐ δύναται εἶναι ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.

ΑΡΙΣΤ. Ὁ δίγαμος καὶ ἀκλήρωτος.

Καὶ ἄλλοι πολλοὶ τῶν κανόνων τὸν δίγαμον τῆς ἱεροσύνης ἐκώλυσαν.

CANON XIII.

Cædes in bellis factas Patres nostri pro cædibus non reputavere, ut mihi videtur, ignoscentes iis, qui pro pudicitia et pietate decertant. Recte autem forte habet consulere, ut, tanquam manibus impuris, sola trium annorum communione abstineant.

C

BALS. Per præsentem canonem sanctus consulendo suggerit, ut qui in bello cædem fecerunt toto triennio a communione abstineant : etiamsi Patres eis veniam dederunt, et inter homicidas eos non reputaverunt, qui pro pietate et pudicitia decertavere fidelium, qui erant in servitutem redigendi. Hic

ΚΑΝΩΝ ΙΓ'.

Τοὺς ἐν πολέμοις (7) φόνους οἱ Πατέρες ἡμῶν ἐν τοῖς φόνοις οὐκ ἐλογίσαντο, ἐμοὶ δοκεῖν, συγγνώμην δόντες τοῖς ὑπὲρ σωφροσύνης καὶ εὐσεβείας ἀμυνομένοις. Τάχα δὲ καλῶς ἔχει συμβουλεύειν, ὡς τὰς χεῖρας μὴ καθαροὺς, τριῶν ἐτῶν τῆς κοινωνίας μόνης ἀπέχεσθαι.

ΒΑΛΣ. Διὰ τοῦ παρόντος κανόνος ὑποτίθησιν ὁ ἅγιος συμβουλευτικῶς τοὺς ἐν πολέμῳ φονεύσαντας ἀπέχεσθαι τῆς κοινωνίας δι' ὅλης τριετίας, κἂν οἱ Πατέρες τοῖς τοιούτοις συγγνώμην δεδώκασι, καὶ μετὰ φονέων αὐτοὺς οὐκ ἐλογίσαντο ἀγωνισαμένοις ὑπὲρ τῆς εὐσεβείας καὶ τῆς σωφροσύνης τῶν μελλόν-

Guill. Beveregii notæ.

(7) *Τοὺς ἐν πολέμοις.* Scholiastes Harmenopuli, Ἐπὶ τοῦ πατριάρχου Κωνσταντίνου τοῦ Χλιαρηνοῦ διέγνωστο συνοδικῶς ὅτι, εἰ μὲν δυνάμενός τις διασῶσαι τὴν ἐπιβουλὴν τοῦ ληστοῦ, τούτῳ μὲν οὐκ ἠρκέσθη, ἀλλ' ἐκ μελέτης αὐτῷ ἐπιθέμενος ἀνῄρηκεν, οἷα φονεὺς ἐπιτιμηθήσεται. Εἰ δὲ πρῶτος τὸ ξίφος ὁ ληστὴς ἦρε κατ' αὐτοῦ, τότε οὐκ ἐπιτιμηθήσεται ὁ φονεύσας αὐτόν. Ὅς μέντοι διὰ τὸ κοινῇ συμφέρον πολλὰ παρακληθεὶς, τοῦτον ζητήσας εὗρε καὶ διεχρήσατο, μὴ ὅτι τιμωρίας, ἀλλὰ καὶ ἐπάθλων ἀξιωθήσεται. Ἀσφαλείας δὲ ἕνεκεν ἐπὶ τριετίαν ἤρεσε καὶ τούτους καταδικάζεσθαι. Τοὺς δὴ κληρικοὺς οἷον δή ποτε φόνον πεποιηκότας εὐθὺς τιμωρεῖσθαι, μηδεμιᾶς οὔσης διαφορᾶς πολεμίου ἢ λῃστοῦ, ἢ οἱουδήποτε. Ὅθεν καὶ ἀρχιερεὺς Ἀγαρηνὸν φονεύσας κατ' αὐτοῦ ξίφος ἀνατείναντα, ἐν καιρῷ πολέμου, καθῃρέθη συνοδικῶς. *Sub patriarcha Constantino Chliareno synodalis lata est sententia, quod si quidem aliquis, cum latronis insidias effugere posset, non hoc contentus fuerit, sed data opera latronem interfecerit, tanquam homicida puniendus sit : sin primus latro gladium contra eum sustulerit, tunc qui eum interfecit non punietur. Qui autem utilitatis publicæ causa, cum valde rogatus esset, latronem quæsitum invenit et occidit, non pœna sed præmiis dignus habebitur ; cautionis tamen gratia placuit et hos triennio condemnari. Clericos autem, qui quamcunque cædem commiserint, confestim puniri par est, nullo discrimine vel hostis habito, vel latronis, vel cujuscunque. Quo factum est, ut pontifex, qui occiderat Agarenum, qui gladium contra ipsum tempore belli strinxerat, de synodi sententia depositus est.* Harmenop. epit. can. sect. 5, tit. 3. Adhæc in codice Amerbachiano huic canoni hoc breve scholium annectitur. Ὅρα πῶς καὶ ὁ ἅγιος αὐτοῦ θαῤῥεῖ, οἷς διορίζεται νῦν. Ἄτοπον γὰρ ὑπὲρ ἐκδικήσεως εὐσεβείας καὶ σωφροσύνης δίκην ὑπέχειν τινά.

Digitized by Google

τῶν αἰχμαλωτισθῆναι πιστῶν. Οὗτος δὲ ὁ κανὼν ἀξίως μὲν τῇ ἁγιοπρεπείᾳ τοῦ θείου Πατρὸς ἐξετέθη, οὐκ ἐνεργεῖ δὲ, διὰ τὸ συμπίπτειν, εἰ τοῦτο δοθῇ, μηδέποτε τοὺς στρατιώτας μεταλαμβάνειν τῶν θείων ἁγιασμάτων πολέμοις ἀλλεπαλλήλοις ἐνοχλουμένους, καὶ ἀναιροῦντας τοὺς πολεμίους, ὅπερ ἐστὶν ἀφόρητον. Γέγραπται δὲ ὡς τοῦ βασιλέως ἐκείνου Φωκᾶ ἀξιοῦντος μετὰ μαρτύρων συναριθμεῖσθαι τοὺς ἐν πολέμοις ἀναιρουμένους, οἱ τότε ἀρχιερεῖς, τῷ κανόνι τούτῳ χρησάμενοι, τὴν βασιλικὴν ἔνστασιν κατεσίγησαν, φάμενοι· Πῶς τοῖς μάρτυσι συναριθμήσομεν τοὺς ἐν πολέμοις πεσόντας, οὓς ὁ μέγας Βασίλειος ὡς μὴ καθαροὺς τὰς χεῖρας ἐπὶ τριετίαν ἐκώλυσε τῶν ἁγιασμάτων; Διαφόρων δὲ ἱερέων παραστάντων συνοδικῶς κατὰ βασιλικὸν ὁρισμὸν, ἀλλὰ μὴν καὶ ἐπισκόπου τινὸς, καὶ ἐξομολογησαμένων κατὰ πολεμίων συμπλακῆναι καὶ ἀνελεῖν πολλοὺς ἐξ αὐτῶν, ἡ μὲν θεία καὶ ἱερὰ σύνοδος ἀκολούθως τῷ κανόνι τούτῳ καὶ τῷ μγ' τοῦ αὐτοῦ ἁγίου καὶ ἑτέραις θείαις διαταγαῖς ἤθελε μηκέτι αὐτοὺς ἱερουργῆσαι· οἱ πλείους δὲ, καὶ μᾶλλον οἱ στρατιωτικώτεροι, καὶ βραβείων αὐτοὺς ἀξίους εἶναι διενίσταντο. Πολλοὶ δὲ, ἀνελόντες ἀνθρώπους ἐν τῷ καιρῷ τῆς μετὰ ῥάβδων παιγνικῆς συμβολῆς, μετὰ φονέων ἐλογίσθησαν ἑκουσιοακουσίων, οἷα τοῦ τοιούτου παιγνίου μὴ ὄντος ἀπὸ τῶν ἐπιγινωσκομένων πέντε τῷ νόμῳ παιγνίων, τῶν καὶ ἀγώνων λεγομένων, ἤγουν τῆς πυγμῆς, τοῦ δρόμου, τοῦ πηδήματος, τοῦ δίσκου, καὶ τῆς παλαίστρας· ὥστε οἱ ἐν τοῖς τοιούτοις παιγνίοις φονεύοντες οὐ προχριματίζονται.

A autem canon divini Patris sanctitati convenienter editus est, sed non est in usu, quod ex eo eveniret, si admitteretur, ut milites sacramentorum nunquam essent participes, cum in crebris 70 bellis versentur, et hostes interficiant : quod non est ferendum. Scriptum est enim, quod cum Phocas ille imperator vellet eos martyribus annumerari qui in bellis occiduntur, qui tunc erant antistites hoc usi canone imperatoriam instantiam silentio mandarunt, dicentes : Quomodo eos qui in bellis ceciderunt inter martyres annumerabimus, quos magnus Basilius, ut qui non essent puris manibus, triennio a sacramentis prohibuit ? Cum autem multi sacerdotes, et unus quidem episcopus, se jussu imperatorio synodaliter stitissent, et cum hostibus se manus conseruisse multosque ex iis occidisse fassi essent, divina et sancta synodus consequenter huic canoni, et 43 ejusdem sancti et aliis divinis constitutionibus, volebat ipsos non amplius sacra celebrare. Complures autem, et qui erant paulo magis militares, eos etiam præmiis dignos esse contendebant. Multi autem, qui in tempore ludicri cum virgis certaminis homines interfecerant, homicidis annumerati sunt, qui involuntariam voluntarie cædem perpetrarunt, utpote cum hoc ludicrum non sit ex iis quinque, quæ lege agnoscuntur, quæ etiam certamina agonesque dicuntur, scilicet pugillatus, cursus, saltus, discus, palæstra. Quare qui in eis ludicris interficiunt, præjudicio non afficiuntur.

ΖΩΝΑΡ. Οὐ κατ' ἐπιταγὴν ὁ ἁγιὸς φησι τοὺς ἐν πολέμοις ἀναιροῦντας ἐπὶ τριετίαν ἀπέχεσθαι τῆς κοινωνίας, ἀλλὰ κατὰ συμβουλήν. Πλὴν φορτικὴ δοκεῖ συμβουλή. Συμβαίη γὰρ ἂν ἐκ ταύτης μηδέποτε τοὺς στρατιώτας μεταλαβεῖν τῶν θείων δώρων, καὶ μάλιστα τοὺς θάρσει ἐνδεικνυμένους καὶ ἀριστεῖς. Οὐ γὰρ ἂν ποτε σχολὴν ἕξειαν ἐπὶ τριετίαν ἠρεμῆται. Εἰ γοῦν οἱ πολέμοις ἀλλεπαλλήλοις σχολάζοντες, καὶ ἀναιροῦντες τοὺς πολεμίους, εἴργονται τῆς κοινωνίας, ἔσονται διὰ βίου στερούμενοι τῆς τοῦ ἀγαθοῦ μεταλήψεως. Ὅπερ Χριστιανοῖς ἀφόρητος κόλασις. Διά τί δὲ τὰς χεῖρας οὐ καθαροὶ κριθεῖεν οἱ ὑπὲρ τοῦ πολιτεύματος καὶ τῶν ἀδελφῶν ἀγωνιζόμενοι, ἵνα μὴ ληφθεῖεν τοῖς πολεμίοις, ἢ ἵνα αἰχμαλωτισθέντας ἐλευθερώσωσιν; Εἰ γὰρ φονεύειν τοὺς Βαρβάρους εὐλαβηθήσονται, ὡς τὰς χεῖρας ἐντεῦθεν μιαίνοντες, οἰχήσεται ξύμπαντα, καὶ κρατήσουσιν οἱ βάρβαροι πάντων· ἃ καὶ οἱ πάλαι Πατέρες λογισάμενοι, οὐ τοῖς φονεῦσι συγκατέλεξαν τοὺς ἐν πολέμοις φονεύοντας, συγγνωμονήσαντες αὐτοῖς, ὡς οὗτος ἔφησεν ὁ ἅγιος, ὡς ὑπὲρ σωφροσύνης καὶ εὐσεβείας ἀμυνομένοις. Εἰ γὰρ οἱ Βάρβαροι κυριεύσουσιν, οὔτε εὐσέβεια ἔσται, οὔτε σωφροσύνη. Τὴν μὲν γὰρ εὐσέβειαν ἀθετήσουσι, τὸ οἰκεῖον σέβας κρατύνοντες· τὴν δὲ σωφροσύνην οὐδεὶς μετείναι συγχωρηθήσεται, ἀλλὰ ζῆν κατ' ἐκείνους ἅπας ἐκβιασθήσεται. Ὁ δὲ τὰ θεῖα πολὺς Ἀθανάσιος ἐν τῇ πρὸς Ἀμμοῦν μονάζοντα κανονικῇ

ZONAR. Haudquaquam præcipiens sanctus vir iis, qui in bello interfecerunt triennio a communione abstinendum esse asserit, sed consilium proponens. Onerosum nihilominus id consilium videri possit. Ex illo namque contingat, ut divinis muneribus nunquam milites communicent; præsertim qui robur præferunt, ac se strenuos præ cæteris exhibent. Nunquam enim iis dabitur facultas ad triennium quiescendi. Si ergo qui bellis crebris exercentur, et hostes interficiunt, a communione arcentur, toto vitæ tempore boni communione privati degent. Quæ quidem pœna est Christianis haud tolerabilis. Quam vero ob causam nequaquam puras manus gerere judicabuntur, qui pro republica et fratribus dimicant, ne captivi abducantur ab hostibus, aut ut in servitutem abductos liberent ? Nam si ab interficiendis Barbaris caveant, quasi manus ex hoc polluentes, pessum ibunt omnia, cunctorumque Barbari potientur. Quæ antiqui quoque Patres animo reputantes, qui in bello interficerent haudquaquam homicidis adnumerarunt, veniam ipsis dantes, siquidem, ut hic ait sanctus, pro pudicitia ac pietate decertarent. Si namque rerum potiantur Barbari, neque ulla pietas, neque pudicitia supererit. Pietatem namque abjicient, suam religionem retinentes : pudicitiam vero retinendi nulli fiet facultas, sed illorum legibus vivere omnes cogentur. Cæterum ille divinarum rerum apprime

Digitized by Google

peritus Athanasius, in sua ad Ammum monachum epistola canonica, hæc expresse dicit : Interficere quemquam plane haud licet : verum in bellis adversarios occidere, et legibus permissum et laude dignum est. Proinde existimo hoc magni Basilii consilium nullatenus unquam servatum fuisse. Tamen certo quodam tempore iis, qui pro traditionibus ecclesiasticis propugnabant, utilis fuit. Cum enim imperator Nicephorus Phocas, quemadmodum memoriæ proditum est, eos, qui in bellis ceciderant, martyribus adnumerari postularet, ac eodem quo illi more laudari et coli : contra objecerunt, qui tunc temporis fuere summi sacerdotes, haud æquum esse ejusmodi hominibus venerationem impendi. Quod cum non persuaderent, postremo hoc veluti canone usi sunt, dicentes : Quonam modo nos cum martyribus eos, qui in bellis ceciderunt, adnumerabimus, quos magnus Basilius, tanquam qui impuras manus gererent, triennio a sacramentis arcuit?

A ἐπιστολῇ ταῦτα λέγει ῥητῶς · Φονεύειν οὐκ ἔξεστι · ἀλλ' ἐν πολέμῳ ἀναιρεῖν τοὺς ἀντιπάλους ἔννομόν τε καὶ ἐπαίνου ἄξιον. Οἶμαι γοῦν ὡς οὔποτε ἡ τοῦ μεγάλου Βασιλείου ὑποθήκη αὕτη ἐκράτησε· τέως δ' ἐν καιρῷ τοῖς ἀντεχομένοις τῶν ἐκκλησιαστικῶν παραδόσεων ἐλυσιτέλησε. Τοῦ γὰρ βασιλέως Νικηφόρου τοῦ Φωκᾶ, ὡς ἱστόρηται, ἀπαιτοῦντος τοὺς ἐν πολέμοις ἀναιρουμένους συντάττεσθαι τοῖς μάρτυσι, καὶ κατ' ἐκείνους τιμᾶσθαι καὶ ὑμνεῖσθαι, οἱ τότε ἀρχιερεῖς ἀντεπέφερον μὴ δίκαιον εἶναι τοὺς τοιούτους τιμᾶσθαι. Καὶ μὴ πεῖθοντες τελευταῖον, ὡς κανόνι τούτῳ ἐχρήσαντο φάμενοι· Πῶς ἡμεῖς τοῖς μαρτυρήσασι τοὺς ἐν πολέμοις πεσόντας συναριθμήσομεν, οὓς ὁ μέγας Βασίλειος, ὡς μὴ καθαροὺς τὰς χεῖρας, ἐπὶ τριετίαν τῶν ἁγιασμάτων ἀπεῖρξεν ;

71 ARIST. Qui pro pietate pugnat, etiamsi defendat, triennio a communione abstineat.

Homicidia in bellis facta non homicidia a Patribus reputata sunt (quemadmodum et magnus Athanasius ad Ammum monachum scribit, dicens : Eos qui se in bello fortissime gesserunt magnis honoribus dignari oportet, et cippos illorum erigere gesta indicantes, ut qui reluctantes abstulerunt, et opus legitimum perfecerunt et laude dignum) neque magnus hic vir judicium eorum improbat, quia pro pudicitia et pietate hostes propulsant. Sed monet bonum esse ut talis a communione sola abstineat, quia puras non habet manus.

B ΑΡΙΣΤ. Ὁ πολεμιστὴς τῇ εὐσεβείᾳ, εἰ καὶ ἀμύνοι, τριετίαν ἀπεχέσθω τῆς κοινωνίας.

Τοὺς ἐν πολέμοις φόνους, μὴ φόνους λογισθέντας παρὰ τῶν Πατέρων, καθὼς καὶ ὁ μέγας Ἀθανάσιος πρὸς Ἄμμοῦν μονάζοντα ἐπιστέλλει, τιμῶν μεγάλων, λέγων, ἀξιοῦσθαι τοὺς ἐν πολέμοις ἀριστεύσαντας χρὴ, καὶ στήλας τούτων ἐγείρεσθαι, κηρυττούσας τὰ κατορθώματα, ὡς ἀναιροῦντας τοὺς ἀντιπάλους, καὶ πρᾶγμα ποιοῦντας ἔννομον, καὶ ἐπαίνου ἄξιον· οὐδὲ ὁ μέγας οὗτος ἀνὴρ τὴν κρίσιν αὐτῶν ἀποδοκιμάζει, διὰ τὸ ὑπὲρ σωφροσύνης καὶ εὐλαβείας ἀμύνεσθαι τὸν πολεμιστήν. Πλὴν συμβουλεύει καλὸν εἶναι τῆς κοινωνίας μόνης τὸν τοιοῦτον ἀπέχεσθαι, διὰ τὸ μὴ καθαρὰς ἔχειν τὰς χεῖρας.

CANON XIV.

Qui usuras accipit, si injustum lucrum in pauperes consumere voluerit, et ab avaritiæ morbo deinceps liberari, est ad sacerdotium admittendus.

ΚΑΝΩΝ ΙΔ'.

C Ὁ τόκους λαμβάνων ἐὰν καταδέξηται τὸ ἄδικον κέρδος εἰς πτωχοὺς ἀναλῶσαι, καὶ τοῦ λοιποῦ τοῦ νοσήματος τῆς φιλοχρηματίας ἀπαλλαγῆναι, δεκτός ἐστιν εἰς ἱερωσύνην.

BALS. Sanctorum quidem apostolorum canon 44, episcopos vel presbyteros vel diaconos fenerantes cessare vel deponi oportere definit : decimus septimus autem canon primæ synodi omnes canonicos fenerantes deponi jubet. Lege ergo eorum canonum interpretationes. Sed quia lex civilis non punit laicos fenerantes, sed etiam permittit ad usuram mutuo dare ; nonnulli autem, ut est verisimile, fenerantes volebant ad sacrum ordinem promoveri, et propter turpe lucrum eis non permittebatur : dicit ergo sanctus eos etiam ad sacerdotium admittendos, si quæ ex usuris collecta sunt in pauperes consumpserint, et se id asseruerint non amplius facturos.

ΒΑΛΣ. Ὁ μὲν μδ' κανὼν τῶν ἁγίων ἀποστόλων τοὺς τοκίζοντας ἐπισκόπους ἢ πρεσβυτέρους ἢ διακόνους παύεσθαι ἢ καθαιρεῖσθαι διορίζεται · ὁ δὲ ιζ' κανὼν τῆς α' συνόδου πάντας τοὺς κανονικοὺς τοκίζοντας καθαιρεῖσθαι παρακελεύεται· ἀνάγνωθι οὖν τὰς τῶν τοιούτων κανόνων ἑρμηνείας. Ἐπεὶ δὲ ὁ πολιτικὸς νόμος οὐ κολάζει τοὺς λαϊκοὺς τοκίζοντας, ἀλλὰ καὶ μᾶλλον ἐπιτρέπει μετὰ τόκου δανείζειν, τινὲς δὲ, ὡς ἔοικε, δανείζοντες οὕτως ἤθελον ἀξιωθῆναι βαθμοῦ ἱερατικοῦ, καὶ οὐκ ἐδέχοντο διὰ τὴν τοῦ τόκου αἰσχροκέρδειαν· φησὶν ὁ ἅγιος καὶ τοὺς τοιούτους δέχεσθαι εἰς ἱερωσύνην, ἐὰν τὰ ἀπὸ τόκου συναχθέντα εἰς πτωχοὺς ἀναλώσωσι, καὶ κατάθωνται μηκέτι τοῦτο ποιῆσαι.

D

ZONAR. Decimus septimus Nicænæ primæ synodi canon eos qui fenerantur, siquidem sacris initiati sint, deponi jubet. Hic vero magnus Pater, Siquidem, inquit, fenebre lucrum in pauperes distribuant, ac deinceps a fenerando abstineant, in sacrum ordinem admitti poterunt. Forte igitur præsentem canonem edito a Nicænis Patribus canoni adversari quispiam existimaverit : sed non est ita. Ille si-

ΖΩΝΑΡ. Ὁ ιζ' κανὼν τῆς ἐν Νικαίᾳ πρώτης συνόδου τοὺς ἐπὶ τόκοις δανείζοντας ἱερωμένους καθαιρεῖσθαι προστάττει. Ὁ δὲ μέγας οὗτος Πατὴρ, εἰ τὸ ἐκ τῶν τόκων κέρδος, φησὶν, εἰς πτωχοὺς ἀναλώσει, καὶ τοῦ λοιποῦ ἀπόσχηται τοῦ τοκίζειν, δεκτός ἐστιν εἰς ἱερωσύνην. Ἴσως οὖν τισιν ἐναντιοῦσθαι δόξει τῷ τῶν ἐν Νικαίᾳ Πατέρων κανόνι ὁ παρὼν κανών· ἀλλ' οὐκ ἔστι τοῦτο. Ἐκεῖνος μὲν γὰρ

Digitized by Google

περὶ ἱερωμένων διατάττεται τοκιζόντων, οὗτος δὲ περὶ λαϊκῶν, καὶ τὸν ἀποσχόμενον τοῦ τοκίζειν λαϊκὸν. καὶ τὸ ἐκεῖθεν περιελθὸν αὐτῷ κέρδος διαδιδόντα πτωχοῖς μὴ ἐμποδίζεσθαι λέγει προαχθῆναι εἰς ἱερωσύνην.

ARIST. Qui usuras accipit, correctus in sacerdotium admittitur.

ΑΡΙΣΤ. Ὁ τόκους λαμβάνων διορθούμενος δεκτὸς εἰς ἱερωσύνην.

Hujus autem correctio hæc est, ut in pauperes expendat injustum lucrum ex usuris collectum, et profiteatur se posthac in istiusmodi avaritiæ morbum non indicere.

Διόρθωσις δὲ τούτου αὕτη ἐστὶ, τὸ ἀναλῶσαι εἰς πτωχοὺς τὸ ἐπισυναχθὲν ἐκ τῶν τόκων ἄδικον κέρδος, καὶ ὑποσχέσθαι μηκέτι τῷ τοιούτῳ τῆς φιλοχρηματίας νοσήματι ἐμπεσεῖν.

CANON XV.

ΚΑΝΩΝ ΙΕ'.

Admiror autem tuam litteralem in scriptura subtilitatem, qui postules, et reputes coactam esse dictionem, utpote interpretatione, quod a se bene significatur, exprimente, non quod a voce Hebræa proprie denotatur transferente. Quia autem oportet quæstionem, quæ a viro quærendi studioso posita est, non otiose præterire : volucres cœli, et pisces maris, etiam in mundi creatione eamdem generationem sortiti sunt. Ambo enim genera ex aquis producta sunt. Causa autem, quod utrisque eadem est proprietas. Illi autem per mare natant, illi vero supernatant aeri. Propterea ergo eorum communiter meminit. Figura autem orationis, ut ad pisces quidem, proprie reddita : ut autem ad omnia quæ degunt in aquis, omnino etiam apte. Nam et volucres cœli homini subjecti sunt et pisces maris, et non **72** ipsi solum, sed et omnia quæ maris semitas perambulant [1]. Non enim si quid est aquatile, est etiam piscis, ut sunt cete, balænæ, et zygenæ, et delphines, et phocæ, et præterea equi, et canes, et serræ, et gladii, et boves marini : si vis autem etiam urticæ, et pectines, et omnia testacea, quorum nullum est piscis. Et omnia quæ vias maris perambulant, ut sint tria genera, volucres cœli, pisces maris, et quæcunque aquatilia a piscibus distincta ipsa quoque maris semitas perambulant.

Θαυμάζω δέ που, τὴν γραμματικὴν ἀκρίβειαν ἐπὶ τῆς γραφῆς ἀπαιτοῦντος, καὶ λογιζομένου ὅτι ἠναγκασμένη ἐστὶν ἡ λέξις τῆς ἑρμηνείας τὸ ἑαυτῆς εὔσημον ἐκδιδούσης, οὐ τὸ κυρίως ὑπὸ τῆς Ἑβραϊκῆς φωνῆς σημαινόμενον μετατεθείσης. Ἐπεὶ δὲ δεῖ μὴ ἀργῶς παρελθεῖν τὸ ὑπ' ἀνδρὸς ζητητικοῦ κινηθὲν πρόβλημα, τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ οἱ ἰχθύες τῆς θαλάσσης καὶ ἐν τῇ κοσμοποιΐᾳ τὴν αὐτὴν ἔλαχον γένεσιν. Ἐκ τῶν ὑδάτων γὰρ ἐξήχθη ἀμφότερα τὰ γένη. Τὸ δὲ αἴτιον, ὅτι ταυτόν ἐστιν ἑκατέροις ἰδίωμα. Τὰ μὲν γὰρ διανήχεται τὸ ὕδωρ, τὰ δὲ ἐπινήχεται τῷ ἀέρι. Διὰ τοῦτο μὲν οὖν κοινῇ αὐτῶν ἐπεμνήσθη. Τὸ δὲ σχῆμα τοῦ λόγου, ὡς μὲν πρὸς τοὺς ἰχθύας, ἀκαταλλήλως ἀποδόθη, ὡς δὲ πρὸς πάντα τὰ ἐν ὕδασι διαιτώμενα, καὶ πάνυ οἰκείως. Τὰ γὰρ πετεινὰ τοῦ οὐρανοῦ ὑποτέτακται τῷ ἀνθρώπῳ, καὶ οἱ ἰχθύες τῆς θαλάσσης, καὶ οὐχ αὐτοὶ μόνον, ἀλλὰ καὶ πάντα τὰ διαπορευόμενα τρίβους θαλάσσης. Οὐ γὰρ, εἴ τι ἔνυδρον, καὶ ἰχθύς ἐστιν, ὡς τὰ κητώδη, φάλαιναι, καὶ ζύγαιναι, καὶ δελφῖνες, καὶ φῶκαι, καὶ προσέτι ἵπποι, καὶ κύνες, καὶ πρίονες, καὶ ξιφίαι, καὶ οἱ θαλάσσιοι βόες· εἰ δὲ βούλει, καὶ ἀκαλῆφαι, καὶ κτένες, καὶ τὰ ὀστρακόρινα πάντα, ὧν οὐδέν ἐστιν ἰχθύς· καὶ πάντα ἃ διαπορεύεται τρίβους θαλάσσης, ὡς εἶναι γ' τὰ γένη, πετεινὰ οὐρανοῦ, ἰχθύας θαλάσσης, καὶ ὅσα τῶν ὑδρων τοῖς ἰχθύσιν ἀντιστελλόμενα διαπορεύονται καὶ αὐτὰ τὰς τρίβους θαλάσσης.

A quidem de sacris ordinibus initiatis, hic autem de laicis fenerantibus decernit. Et eum qui a fenerando abstineat laicum, quodque illi inde superest lucrum pauperibus largiatur, haudquaquam impediri asserit, quominus in sacrum ordinem promoveri possit.

B

C

CANON XVI.

ΚΑΝΩΝ ΙϚ'.

Naaman autem non magnus apud Dominum, sed apud dominum suum : hoc est, unus erat ex iis, qui magnam obtinebant potestatem apud regem Syrorum : Scripturæ ergo diligenter mentem adhibe, et invenies hinc solutionem quæstionis.

Ὁ δὲ Νεεμὰν οὐχὶ μέγας παρὰ Κυρίῳ, ἀλλὰ παρ' αὐτῷ κυρίῳ αὐτοῦ· τουτέστι, τῶν παραδυναστευόντων ἦν τῷ βασιλεῖ τῶν Σύρων. Πρόσεχε οὖν ἀκριβῶς τῇ Γραφῇ, καὶ αὐτόθεν εὑρήσεις τὴν λύσιν τοῦ ζητήματος.

D

BALS. Præsentes duo canones 15 et 16 cum nullam canonicam et communem faciant traditionem, sed Scripturæ tantum dicta explicent, non sunt a nobis interpretati : ut qui Scripturæ dicta explicare non statuerimus, sed canonica et legalia præcepta.

ΒΑΛΣ. Οἱ παρόντες δύο κανόνες ὁ ιε' καὶ ὁ ις' μὴ ποιούμενοι κανονικὴν κοινὴν οἱανδήτινα παράδοσιν, ἀλλ' ἑρμηνείαν γραφικῶν ῥημάτων, οὐκ ἐξηγήθησαν παρ' ἡμῶν, ὡς μηδὲ προθεμένων γραφικὰ ἑρμηνεύειν ῥήματα, ἀλλὰ κανονικὰ καὶ νομικὰ παραγγέλματα.

ZONAR. In can. 15. Interrogatio quidem aperte non explicatur : videtur autem, quantum ex magni Basilii responsione colligere licet, ejusmodi esse. Quonam modo volucrum cœli et piscium maris David simul meminerit, rursumque subjungat, *Quæ*

ZΩΝΑΡ. Τὸ μὲν ἐρώτημα σαφῶς οὐ δηλοῦται, ἔοικε δὲ ἀπὸ τῆς ἀποκρίσεως τοῦ μεγάλου Βασιλείου τοιοῦτον εἶναι. Ὅτι πῶς τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν ἰχθύων τῆς θαλάσσης Δαβὶδ ὁμοῦ ἐμνήσθη, καὶ αὖθις ἔφη· *Τὰ διαπορευόμενα τρί-*

[1] Psal. VIII, 9.

Digitized by Google

perambulant semitas maris? Supervacanea siquidem hæc additio videtur fuisse. Ad illud igitur quod simul avium pisciumque meminerit, respondet, utraque ex aquis producta fuisse, illincque ortum habuisse; facileque id apparere, propterea quod volucribus pariter et piscibus eadem proprietas insit. Pisces nempe aquis innatant, volucres vero supernatant aeri; ac illi quidem motu alarum natant, cauda vero tanquam gubernaculo utuntur: volucres autem eodem modo alis quidem volant, caudam vero ad conversiones ac directos cursus adhibent. Quod autem non supervacaneo porro dixerit Psalmista, pisces et quæ perambulant semitas maris, respondet, non omnia, quæ sub aquis degunt, piscium nomine significari, neque enim cete pisces nominantur, neque testacea, et alia quædam, veluti sepiæ, polypodes, et hisce affinia. Ut proinde tria sint genera, volatilia, et pisces, et quæcunque aquatilia quidem cum sint, non tamen piscium generi adnumerantur.

ZONAR in can. 16. Interrogatus est sanctus, quomodo dicat Scriptura Naaman, fuisse magnum apud dominum: et dixit, non fuisse Naaman magnum apud Deum, sed apud dominum suum, sive, fuisse unum ex familiaribus ejus, et qui magnam apud eum potestatem obtinebant.

ARIST. Can. 15. Volucres cœli et pisces maris Scriptura simul refert, propterea quod utrorumque ortus ex mari sit. Addidit vero, *quæ per semitas marium transeunt*, propter cetacea, et testacea, quorum nullum est piscis.

ARIST. Can. 16. Naaman magnus apud dominum: non Deum, sed dominum suum.

In hisce duobus capitibus, nempe 15 et 16 nulla est interpretatio, quoniam ista sunt potius [interpretationes Scripturæ verborum a sancto Amphilochio Basilio magno emissorum. Ad quæstiones enim de quibus ille hæsitavit, responsum dedit.

A *δους θαλασσῶν*. Δοκεῖ γὰρ κατὰ τὸ περισσὸν ἐπαγαγεῖν τὴν προσθήκην ταύτην. Πρὸς μὲν οὖν τὸ ὁμοῦ μνησθῆναι τῶν πετεινῶν καὶ τῶν ἰχθύων φησὶν ὅτι καὶ ἅμφω ἐκ τῶν ὑδάτων παρήχθησαν, καὶ ἐκεῖθεν ἔσχον τὴν γένεσιν· καὶ τοῦτο δῆλον ἐκ τοῦ τὸ αὐτὸ ἰδίωμα καὶ τοῖς πετεινοῖς καὶ τοῖς ἰχθύσι προσεῖναι. Οἱ μὲν γὰρ ἰχθύες ἐννήχονται τοῖς ὕδασι, τὰ δὲ πετεινὰ ἐπινήχονται τὸν ἀέρα· καὶ οἱ μὲν τῇ κινήσει τῶν πτερῶν νήχονται, τῷ δὲ οὐραίῳ εἰς κυβέρνησιν κέχρηνται· τὰ πετεινὰ δὲ ὁμοίως, τοῖς μὲν πτεροῖς πέτονται, τῇ δὲ οὐρᾷ πρὸς τὰς περιστροφὰς χρῶνται, καὶ τὰς κινήσεις τὰς κατευθύ. Πρὸς δὲ τὸ μὴ παρέργως εἰπεῖν τὸν ψαλμῳδὸν, *τοὺς ἰχθύας καὶ τὰ διαπορευόμενα τρίβους θαλασσῶν*, ἔφη ὅτι οὐχ ὅσα ἔνυδρα, πάντα ἰχθύες B λέγονται. οὔτε γὰρ τὰ κητώδη ἰχθύες ὀνομάζονται, οὔτε τὰ ὀστρακόδερμα, καὶ ἄλλα τινὰ, οἷον σηπίαι, καὶ πολύποδες, καὶ τὰ τούτοις ὁμογενῆ. Ὥστε τρία εἶναι γένη, πετεινὰ, καὶ ἰχθύας, καὶ ὅσα ἔνυδρα μὲν, τῷ γένει δὲ τῶν ἰχθύων οὐ συνηριθμηνται.

ΖΩΝΑΡ. Ἠρωτήθη ὁ ἅγιος καὶ πῶς ἡ Γραφὴ λέγει τὸν Ναιμὰν μέγαν παρὰ κυρίῳ· καὶ εἶπεν ὡς οὐ παρὰ τῷ Θεῷ μέγας ἦν ὁ Νεεμὰν, ἀλλὰ παρὰ τῷ κυρίῳ αὐτοῦ· ἤγουν τῶν ᾠκειωμένων ἐκείνῳ, καὶ πολλὰ παρ' ἐκείνῳ δυναμένων.

ΑΡΙΣΤ. Καν. ιε'. Τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τοὺς ἰχθύας τῆς θαλάσσης ἅμα εἶπεν ἡ Γραφή· ὅτι ἐκ θαλάσσης ἀμφοτέρων ἡ γένεσις. Ἐπήγαγε δὲ, *τὰ διαπορευόμενα τρίβους θαλασσῶν*, διὰ τὰ κητώδη C καὶ ὀστρακόδερμα, ὧν οὐδέν ἐστιν ἰχθύς.

ΑΡΙΣΤ. Καν. ις'. Ναιμὰν μέγας παρὰ τῷ κυρίῳ, οὐ τῷ Θεῷ, ἀλλὰ τῷ κυρίῳ αὐτοῦ.

Ἐν τούτοις τοῖς δυσὶ κεφαλαίοις, ἤγουν τῷ ιε' καὶ τῷ ις' ἑρμηνεία οὐκ ἔστι, διὰ τὸ εἶναι ταῦτα μᾶλλον ἑρμηνείας τῶν ἀποῤῥηθέντων γραφικῶν ῥημάτων παρὰ τοῦ ἁγίου Ἀμφιλοχίου τῷ μεγάλῳ Βασιλείῳ. Πρὸς γὰρ τὰ ζητήματα, ἃ παρ' αὐτοῦ διεπορεῖτο, ἐποιεῖτο καὶ τὴν ἀπόκρισιν.

ΤΟΥ ΑΥΤΟΥ
ΠΕΡΙ ΚΑΝΟΝΩΝ ΕΠΙΣΤΟΛΗ Β'.

EJUSDEM
CANONICA EPISTOLA II.

73 CANON XVII.

Cum pridem ad propositas nobis a tua pietate quæstiones respondissem; non misi scriptum, partim quidem longo et periculoso morbo detentus, partim vero propter penuriam ministrorum. Pauci enim apud nos, et viæ periti, et parati ad ejusmodi ministeria. Quare, cognitis morarum causis, ignosce nobis. Admirati autem sumus tuum

ΚΑΝΩΝ ΙΖ'.

D Πάλαι πρὸς τὰς παρὰ τῆς εὐλαβείας σου προταθείσας ἡμῖν ἐρωτήσεις ἀποκρινάμενος, οὐκ ἀπέστειλα τὸ γράμμα, τοῦτο μὲν ὑπὸ τῆς ἀῤῥωστίας τῆς μακρᾶς καὶ ἐπικινδύνου ἀσχοληθείς, τοῦτο δὲ ὑπὸ τῆς ἀπορίας τῶν διακονουμένων. Ὀλίγοι γὰρ παρ' ἡμῖν καὶ ὁδοῦ ἔμπειροι, καὶ παρεσκευασμένοι πρὸς τὰς τοιαύτας ὑπηρεσίας. Ὥστε, μαθὼν τὰς αἰτίας,

Digitized by Google

τῆς βραδυτῆτος, δὸς ἡμῖν τὴν συγγνώμην. Ἐθαυμάσαμεν δέ σου τὴν φιλομάθειαν ὁμοῦ καὶ τὴν ταπεινοφροσύνην· ὅτι καὶ μαθεῖν καταδέχῃ, τὴν τοῦ διδάσκειν τάξιν πεπιστευμένος, καὶ μανθάνειν παρ' ἡμῶν, οἷς οὐδὲν μέγα πρόσεστι πρὸς γνῶσιν. Ἀλλ' ὅμως, ἐπειδὴ καταδέχῃ διὰ τὸν φόβον τοῦ Θεοῦ ποιεῖν πρᾶγμα οὐ ῥᾳδίως παρ' ἑτέρου γινόμενον, χρὴ καὶ ἡμᾶς τῇ προθυμίᾳ σου καὶ τῇ ἀγαθῇ σπουδῇ συναίρεσθαι καὶ ὑπὲρ δύναμιν.

A discendi studium, simul et humilitatem, quod et discere non graveris, cum docendi locus tibi commissus sit, et a nobis discere, quibus nihil est magni ad scientiam. Sed tamen quia non gravaris ob timorem Dei rem facere, quam alius haud facile faciat, oportet ut et nos tuæ alacritati ac bono studio opem etiam ultra vires feramus.

Ἠρώτησας ἡμᾶς περὶ Βιάνορος τοῦ πρεσβυτέρου, εἰ δεκτός ἐστιν εἰς τὸν κλῆρον, διὰ τὸν ὅρκον. Ἐγὼ δὲ ἤδη τινὰ κοινὸν ὅρον περὶ πάντων ὁμοῦ τῶν μετ' αὐτοῦ ὁμωμοκότων τοῖς κατ' Ἀντιόχειαν κληρικοῖς οἶδα ἐκτεθεικώς· ὥστε τῶν μὲν δημοσίων αὐτοὺς ἀπέχεσθαι συλλόγων, ἰδίᾳ δὲ ἐνεργεῖν τὰ τῶν πρεσβυτέρων. Τὸ αὐτὸ δὲ τοῦτο καὶ πρὸς τὴν ἑαυτοῦ ὑπηρεσίαν ἄδειαν αὐτῷ παρέχει· διότι οὐκ ἐν Ἀντιοχείᾳ ἐστὶν ἡ ἱερωσύνη, ἀλλ' ἐν Ἰκονίῳ· ἣν, ὡς αὐτὸς ἐπέστειλας ἡμῖν, τῆς Ἀντιοχείας εἰς οἴκησιν ἀντηλλάξατο. Ἔστιν οὖν δεκτὸς ἐκεῖνος ὁ ἀνήρ, ἀπαιτούμενος παρὰ τῆς εὐλαβείας σου μεταμέλεσθαι ἐπὶ τῇ εὐκολίᾳ τοῦ ὅρκου, ὃν ἐπὶ τοῦ ἀπίστου ἀνδρὸς ἐξωμόσατο, βαστάσαι τὴν ἐνόχλησιν τοῦ μικροῦ ἐκείνου κινδύνου μὴ δυνηθείς.

B munia obeant presbyterorum. Id ipsum autem etiam ei muneris sui peragendi præbet libertatem, quod non sit Antiochiæ sacerdotium, sed Iconii: quam urbem, ut ipse ad nos scripsisti, Antiochia ad habitandum permutavit. Ergo vir ille suscipi potest; postulante ab eo pietate tua, ut pœnitentiam agat, ob facilem et promptum ad jusjurandum animum, quod coram infideli viro juravit, molestiam ferre exigui illius periculi non valens.

Interrogasti nos de Bianore presbytero, an in clerum admitti possit, propter jusjurandum. Ego autem me jam communem aliquam regulam de omnibus qui una cum eo juraverant, Antiochenis clericis edidisse memini: ut ipsi a publicis quidem conventibus abstineant, privatim vero

ΒΑΛΣ. Ὡς ἔοικε, τινὲς ἱερεῖς Ἀντιοχεῖς, ὧν εἷς ἦν καὶ ὁ Βιάνωρ, ὤμοσαν ἀπὸ ἀπειλῆς ἀπίστου τινὸς ὅρκον ἀθέμιτον, κἀντεῦθεν ἐσκανδάλισαν τοὺς ὀρθοδόξους, ὡς μὴ ὑπενεγκόντες τὴν ὀχλησιν τοῦ ἀπίστου. Τοῦ γοῦν Βιάνορος ἐξ Ἀντιοχείας μετοικήσαντος εἰς τὸ Ἰκόνιον, καὶ τοῦ ἁγίου Ἀμφιλοχίου τοῦ ἀρχιερατεύοντος ἐν Ἰκονίῳ ἐρωτήσαντας τὸν ἅγιον εἰ δεκτός ἐστιν εἰς κλῆρον ὁ αὐτὸς Βιάνωρ, ἀπελογήσατο ὁ ἅγιος ὅτι Κοινὸν ὅρον ἤτοι κανόνα ἐξεθέμην περὶ τῶν ἐν Ἀντιοχείᾳ ὁμοσάντων ἱερέων, ἵνα οὗτοι τῶν μὲν δημοσίων ἤτοι κοινῶν συλλόγων ἀπέχωνται, ἰδίᾳ δὲ ἐνεργῶσι τὰ τῶν πρεσβυτέρων, ὅπερ καὶ ὁ Βιάνωρ ἐπ' ἀδείας ἔχει ποιεῖν· καὶ μᾶλλον ὅτι οὐδὲ ἐν Ἀντιοχείᾳ μέλλει ἱερουργεῖν, καὶ διὰ τοῦτο σκανδαλίζειν τοὺς ὁρῶντας αὐτὸν μετὰ τὸν ὅρκον ἱερουργοῦντα, ἀλλὰ ἐν Ἰκονίῳ, ἔνθα μετῴκησε, καὶ ἴσως οὐδὲ σκανδάλου αἰτιος γενήσεται, ὡς τῶν πολλῶν μηδὲ εἰδότων τὴν τοῦ ὅρκου τελετήν. Πλὴν οὖν, φησὶ, κἂν δεκτός ἐστιν εἰς τὸ ἱερουργεῖν, ἀλλὰ ἀπαιτηθήτω μετανοεῖν ἐπὶ τῇ εὐκολίᾳ τοῦ ὅρκου, ἤτοι ἐπὶ τῷ εὐκόλως καὶ προχείρως ὀμόσαι, ἐνδεδωκὼς διὰ φόβον μικροῦ κινδύνου.

BALS. Quidam Antiocheni, ut verisimile est, sacerdotes quorum unus erat etiam Bianor, propter infidelis cujuspiam minas nefarium jusjurandum jurarunt; et ideo orthodoxos offenderunt, ut qui infidelis molestiam non sustinuerint. Cum itaque Bianor ex Antiochia Iconium migrasset et sanctus Amphilochius, qui erat Iconii antistes, sanctum interrogasset, an sit Bianor in clerum suscipiendus; respondit sanctus: Commune decretum seu canonem edidi de sacerdotibus qui Antiochiæ jurarunt, ut ii a publicis quidem seu communibus conventibus abstineant; privatim autem presbyterorum munera obeant, quod Bianori quoque licet facere: et eo magis, quod nec Antiochiæ quidem est sacra celebraturus et propterea nec videntes eum post jusjurandum sacrificantem offensurus, sed Iconii quo migravit et forte nec offendiculi quidem causa fuerit, cum multi illius jurisjurandi formam nesciant. Sed inquit etiam, si ad sacra facienda sit admittendus, exigatur tamen ab eo ut facilitatis jurisjurandi eum pœniteat, quod scilicet facile prompteque juraverit propter metum parvi periculi cedens.

ΖΩΝΑΡ. Ἀσαφής ἐστιν ἡ ἀπόκρισις αὕτη, μὴ οὔσης δήλης τῆς ἐρωτήσεως. Τέως δὲ λέγεται ἀπιστόν τινα ἐνίους τῶν ἐν Ἀντιοχείᾳ πρεσβυτέρων βιάσασθαι ἀπειλαῖς ὁμόσαι μὴ ἐνεργεῖν τὰ τῶν ἱερέων. Ὧν εἷς μετῴκησεν εἰς τὸ Ἰκόνιον, περὶ οὗ καὶ τὴν ἐρώτησιν ἐποιήσατο ὁ ἅγιος Ἀμφιλόχιος. Φησὶν οὖν ὁ μέγας Βασίλειος ὅτι Κοινὸν ὅρον, ἤγουν κανόνα καὶ τύπον, ἐξεθέμην περὶ πάντων τῶν ἐν Ἀντιοχείᾳ ὁμοσάντων, ἵνα οἱ τοιοῦτοι ἀπέχωνται μὲν τῶν συλλόγων τῶν κοινῶν, ἰδίᾳ δὲ ἐνεργῶσι τὰ τῶν πρεσβυτέρων. Τῶν δὲ συλλόγων αὐτοὺς ἀπέχεσθαι ὥρισε, μὴ πολλαχῶς σκανδάλου αἴτιοι γίνωνται,

ZONAR. Obscura hæc responsio est, si quidem minime clara est interrogatio. Interim tamen narratur infidelem quemdam, nonnullos Antiochiæ presbyteros se a sacerdotum muneribus obeundis cessaturos ut jurarent minis adegisse. Ex quorum numero unus Iconium migravit, de quo proinde hanc interrogationem sanctus Amphilochius proposuit. Respondet ergo magnus Basilius, communem se definitionem, hoc est, canonem et formam edidisse de omnibus iis qui Antiochiæ juraverant, ut abstineant nimirum ejusmodi homines a publicis conventibus, privatim vero sacerdotum obeant mu-

Digitized by Google

nia. A conventibus porro abstinere ipsos jussit, ne A multis scandali causa fiant, qui cum illos nunquam sacra 74 facturos jurasse sciant, mox publice sacrificantes animadvertant. Hoc igitur idem de Bianore affirmat : fieri nimirum ipsi ministrandi, hoc est, sacra munera exercendi facultatem. Præsertim cum nec Antiochiæ sacra facturus sit, ubi juravit, sed Iconii quo postea concessit. Exigatur vero, inquit, ut illum pœniteat jurisjurandi facilitatis : hoc est, quod tam facile et prompte exigui periculi metu adductus juraverit.

εἰδόσιν αὐτοὺς ὁμόσαντας μὴ λειτουργεῖν, ὁρῶσι δὲ δημοσίᾳ λειτουργοῦντας αὐτούς. Τοῦτο γοῦν καὶ τῷ Βιάνορι λέγει ἄδειαν παρέχειν πρὸς τὴν ὑπηρεσίαν, ἤγουν πρὸς τὴν λειτουργίαν· καὶ μᾶλλον ὅτι οὐδὲ ἐν Ἀντιοχείᾳ μέλλει ἱερουργεῖν, ὅπου ὤμοσεν, ἀλλ' ἐν Ἰκονίῳ, ἔνθα μετῴκησεν. Ἀπαιτηθήτω δὲ, φησὶ, μετανοεῖν ἐπὶ τῇ εὐκολίᾳ τοῦ ὅρκου· ἤτοι ἐπὶ τῷ εὐκόλως καὶ προχείρως ὁμόσαι ἐνδεδωκὼς διὰ φόβον μικροῦ κινδύνου.

ARIST. Presbyter Bianor cum juraverit et pœnitentia ductus ob juramenti levitatem suscipiendus.

ΑΡΙΣΤ. Ὁ πρεσβύτερος Βιάνωρ, ὁμόσας καὶ μεταμελόμενος, διὰ τὴν εὐκολίαν ἐκείνου τοῦ ὅρκου, δεκτός.

Hic presbyter a quodam injuria affectus et molestiam ejus perferre non potens, e contemptu juravit se amplius sacra non facturum. Deinde pœnitentia ductus sacerdotium obire voluit : et magnus Basilius de eo interrogatus an recipiendus esset, mandat, quod si jurisjurandi levitatis eum pœniteat, ille admittatur, non autem ut in publicis conventibus sacra celebraret, ob multorum scandalum, sed ut quæ ad presbyteros pertinent privatim faceret.

Οὗτος ὁ πρεσβύτερος, ὑπό τινος ἐπηρεαζόμενος, καὶ μὴ δυνάμενος τὴν ἐκείνου ὀχλῆσιν ὑπενεγκεῖν, ὤμοσεν ἐξ ὀλιγωρίας μηκέτι λειτουργῆσαι. Εἶτα μεταμεληθείς, ἱερατεύειν ἐβούλετο· καὶ ἐρωτηθεὶς περὶ τούτου ὁ μέγας Βασίλειος εἰ δεκτέος ἐστὶ, προστάττει ὡς, εἰ μεταμέλεται ἐπὶ τῇ εὐκολίᾳ τοῦ ὅρκου, δεχθῆναι αὐτόν· μὴ ἐν δημοσίαις δὲ συνάξεσι λειτουργεῖν διὰ τὸ τῶν πολλῶν σκάνδαλον, ἀλλ' ἰδίᾳ τὰ τῶν πρεσβυτέρων ἐνεργεῖν.

CANON XVIII.

De lapsis virginibus, quæ vitam castam professæ Domino, deinde carnis libidinibus victæ, pacta sua irrita faciunt, patres quidem nostri, cum simpliciter ac leniter sese ad eorum qui labuntur infirmitatem accommodarent, censuerunt ipsas post annum admitti posse, de illis ad similitudinem digamorum dijudicantes. Verum mihi quidem videtur, quoniam Dei dono progrediens Ecclesia fit fortior, ac nunc multiplicatur ordo virginum, diligenter considerandam esse et rem ipsam, prout consideranti manifesta est, et Scripturæ sententiam quæ ex consecutione inveniri potest. Viduitas enim virginitate inferior ; ergo et viduarum delictum longe minus quam virginum. Videamus ergo quid ad Timotheum a Paulo scriptum sit : *Juniores autem viduas devita. Postquam enim lascivierunt adversus Christum, nubere volunt, habentes condemnationem, quod primam fidem irritam fecerunt* [1]. Itaque si vidua judicio subjicitur gravissimo, ut quæ fidem in Christum irritam fecerit, quid nobis putandum de virgine, quæ sponsa est Christi, et sacrum vas Domino dedicatum ? Magnum quidem est peccatum, vel ancillam clandestinis matrimoniis sese dantem, stupro domum implere, et deteriore vita injuriam possessori facere : longe autem gravius est sponsam fieri adulteram, ac suæ cum sponso conjunctioni dedecus ferentem, impudicis voluptatibus se dedere. Proinde vidua quidem, ut corrupta ancilla, condemnatur ; virgo vero adulteræ judicio subjicitur. Quemadmodum igitur eum qui cum aliena est muliere, adulterum nominamus, non prius admittentes ad communionem, quam a peccato cessaverit : ita profecto et

[1] I Tim. v, 11, 12.

ΚΑΝΩΝ ΙΗ'.

Περὶ τῶν ἐκπεσουσῶν παρθένων τῶν καθομολογησαμένων τὸν ἐν σεμνότητι βίον τῷ Κυρίῳ, εἶτα, διὰ τὸ ὑποπεσεῖν τοῖς πάθεσι τῆς σαρκὸς, ἀθετουσῶν τὰς ἑαυτῶν συνθήκας, οἱ μὲν πατέρες ἡμῶν, ἁπλῶς καὶ πράως συμπεριφερόμενοι ταῖς ἀσθενείαις τῶν κατολισθαινόντων, ἐνομοθέτησαν δεκτὰς εἶναι μετὰ τὸν ἐνιαυτὸν, καθ' ὁμοιότητα τῶν διγάμων διαταξάμενοι· ἐμοὶ δὲ δοκεῖ, ἐπειδὴ τῇ τοῦ Θεοῦ χάριτι προϊοῦσα ἡ Ἐκκλησία, κραταιοτέρα γίνεται, καὶ πληθύνεται νῦν τὸ τάγμα τῶν παρθένων, προσέχειν ἀκριβῶς τῷ τε κατ' ἔννοιαν φαινομένῳ πράγματι καὶ τῇ τῆς Γραφῆς διανοίᾳ, ἣν δυνατὸν ἐξευρεῖν ἀπὸ τοῦ ἀκολούθου. Χηρεία γὰρ παρθενίας ἐλάττων· οὐκοῦν καὶ τὸ τῶν χηρῶν ἁμάρτημα πολλῷ δεύτερόν ἐστι τοῦ τῶν παρθένων. Ἴδωμεν τοίνυν τί γέγραπται Τιμοθέῳ παρὰ τοῦ Παύλου· *Νεωτέρας δὲ χήρας παραιτοῦ. Ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν, ἔχουσαι κρῖμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν.* Εἰ τοίνυν χήρα κρίματι ὑπόκειται βαρυτάτῳ, ὡς τὴν εἰς Χριστὸν ἀθετήσασα πίστιν, τί χρὴ λογίζεσθαι ἡμᾶς περὶ τῆς παρθένου, ἥτις νύμφη ἐστὶ τοῦ Χριστοῦ, καὶ σκεῦος ἱερὸν ἀνατεθὲν τῷ Δεσπότῃ; Μέγα μὲν ἁμάρτημα καὶ δούλην λαθραίοις γάμοις ἑαυτὴν ἐπιδιδοῦσαν φθορᾶς ἀναπλῆσαι τὸν οἶκον, καὶ καθυβρίζειν διὰ τοῦ πονηροῦ βίου τὸν κεκτημένον· πολλῷ δὲ δήπου χαλεπώτερον τὴν νύμφην μοιχαλίδα γενέσθαι, καὶ τὴν πρὸς τὸν νυμφίον ἕνωσιν ἀτιμάσασαν, ἡδοναῖς ἀκολάστοις ἑαυτὴν ἐπιδοῦναι. Οὐκοῦν ἡ μὲν χήρα, ὡς δούλη διεφθαρμένη, καταδικάζεται· ἡ δὲ παρθένος τῷ κρίματι τῆς μοιχαλίδος ὑπόκειται. Ὥσπερ οὖν τὸν ἀλλοτρίᾳ γυναικὶ συνιόντα μοιχὸν ὀνομάζομεν, οὐ πρότερον παραδεξάμενοι εἰς κοινωνίαν, πρὶν ἢ παύσασθαι τῆς ἁμαρτίας· οὕτω δηλον-

Digitized by Google

ὅτι καὶ ἐπὶ τοῦ τὴν παρθένον ἔχοντος διατεθησόμεθα. Ἐκεῖνο δὲ νῦν προδιομολογεῖσθαι ἡμῖν ἀναγκαῖον, ὅτι παρθένος ὀνομάζεται, ἡ ἑκουσίως ἑαυτὴν προσαγαγοῦσα τῷ Κυρίῳ, καὶ ἀποταξαμένη τῷ γάμῳ, καὶ τὸν ἐν ἁγιασμῷ βίον προτιμήσασα. Τὰς δὲ ὁμολογίας τότε ἐγκρίνομεν, ἀφ' οὗπερ ἂν ἡ ἡλικία τὴν τοῦ λόγου συμπλήρωσιν (75) ἔχῃ. Οὐδὲ γὰρ τὰς παιδικὰς φωνὰς πάντως κυρίας ἐπὶ τῶν τοιούτων ἡγεῖσθαι προσῆκεν, ἀλλὰ τὴν ὑπὲρ τὰ δέκα ἓξ ἢ δέκα καὶ ἑπτὰ γενομένην ἔτη, κυρίαν οὖσαν τῶν λογισμῶν, ἀνακριθεῖσαν ἐπὶ πλεῖον, εἶτα παραμείνασαν, καὶ λιπαροῦσαν διὰ ἱκεσιῶν πρὸς τὸ παραδεχθῆναι, τότε ἐγκαταλέγεσθαι χρὴ ταῖς παρθένοις, καὶ τὴν ὁμολογίαν τῆς τοιαύτης κυροῦν, καὶ τὴν ἀθέτησιν αὐτῆς ἀπαραιτήτως κολάζειν. Πολλὰς γὰρ γονεῖς προσάγουσι καὶ ἀδελφοὶ, καὶ τῶν προσηκόντων τινὲς πρὸ τῆς ἡλικίας, οὐκ οἰκοθεν ὁρμηθείσας πρὸς ἀγαμίαν, ἀλλά τι βιωτικὸν ἑαυτοῖς διοικούμενοι. Ἃς οὐ ῥᾳδίως προσδέχεσθαι δεῖ, ἕως ἂν φανερῶς τὴν ἰδίαν αὐτῶν ἐρευνήσωμεν γνώμην.

ΒΑΛΣ. Διαφόρως εἴπομεν ὅτι παρθένοι, γυναῖκες καὶ χῆραι, μετὰ λαϊκοῦ σχήματος ταῖς ἐκκλησίαις προσερχόμεναι αἱ μὲν παρθενίαν ὡμολόγουν, αἱ δὲ σωφροσύνην· καὶ ὡς ἀνατιθεμέναι τῷ Θεῷ ἠξιοῦντο παρὰ τῶν ἐπισκόπων πάσης σωματικῆς ἐπιμελείας. Ἐρωτηθεὶς οὖν ὁ ἅγιος τί ὀφείλει γίνεσθαι εἰς τὰς πορνευούσας παρθένους, ἔφη ὅτι Οἱ μὲν πρεσβύτεροι διορίζονται ἐπιτιμᾶσθαι ταύτας κατὰ τοὺς διγάμους, καὶ ἀξιοῦσθαι αὐτὰς τῆς ἁγίας μεταλήψεως μετὰ ἐνιαυτόν· ἐγὼ δὲ βλέπων τὴν Ἐκκλησίαν προκόπτουσαν εἰς τὸ ἀγαθὸν, καὶ τὰς παρθένους πληθυνομένας, λέγω ὀφειλόμενον εἶναι μᾶλλον αὐτὰς ὡς μοιχαλίδας κολάζεσθαι. Καὶ κατασκευάζει τὸν οἰκεῖον λόγον ἐντεῦθεν, λέγων ὅτι χηρεία τῆς παρθενίας ἐλάττων. Εἰ τοίνυν, κατὰ τὸν Ἀπόστολον, κρίμα ἔχουσιν, ἤγουν καταδίκην αἱ ἀθετήσασαι χῆραι τὴν ὁμολογίαν αὐτῶν, πολλῷ πλέον αἱ παρθένοι κατακριθήσονται. Ὡσαύτως παρεικάζει τὴν μὲν χήραν δούλῃ, τὴν δὲ παρθένον νύμφῃ τινὸς οἰκοδεσπότου, καὶ οὕτω συνάγει ἀπὸ πάντων καλῶς ὑποκεῖσθαι τῷ τῆς μοιχείας ἐγκλήματι τὰς ἐκπεσούσας παρθένους. Εἶτα ἐπιφέρει ὅτι περὶ ἐκείνων τῶν παρθένων διαλέγεται τῶν ἑκουσίως ἑαυτὰς προσαγουσῶν τῷ Κυρίῳ, καὶ ἀποταξαμένων τῷ γάμῳ ἐν ἡλικίᾳ ἑξκαιδεκάτου χρόνου ἢ ἑπτακαιδεκάτου. Τὰς δὲ ἐπὶ ἥττονι χρόνῳ γινομένας ὁμολογίας φησὶ μὴ προσδέχεσθαι. Πολλὰς γὰρ, φησὶ, προσάγουσιν οἱ γονεῖς καὶ μὴ βουλομένας δι' ἀπορίαν ἢ δι' ἄλλην τινὰ αἰτίαν. Ταῦτα τοῦ κανόνος διοριζομένου, μὴ εἴπῃς ἐξακούεσθαι τοῦτον καὶ εἰς μοναζούσας ἢ ἀσκητρίας· κἂν γὰρ ἐν ἥττονι πάντη ἡλικίᾳ τὴν κοσμικὴν ἀπόθωνται τρίχα, βεβαία ἔσται, ὡς ἐμοὶ δοκεῖ, καὶ εἰς τὸ ἑξῆς ἡ ὁμολογία αὐτοῦ.

ΖΩΝΑΡ. Τὰς παρθενίαν ἐπαγγειλαμένας, εἶτα ἐκπεσούσας καὶ ἀθετησάσας τὰς ἑαυτῶν συνθήκας, ἤτοι τὰς ὑποσχέσεις, οἱ μὲν παλαιότεροι Πατέρες συγκαταβατικώτερον διατεθέμενοι, ὡς οὗτος ὁ ἅγιος λέγει, ἐπὶ ἐνιαυτὸν ἀφορίζεσθαι διετάξαντο, καὶ μετὰ ταῦτα δέχεσθαι. κατὰ τοὺς δὲ γάμους· οὐ-

de eo qui virginem habet statuemus. Illud autem nunc in antecessum statuere nobis necesse est, virginem vocari, quæ se sua sponte obtulit Domino, ac nuntium nuptiis remisit, et sanctimoniæ institutum amplexa est. Professiones autem ab eo tempore admittimus, quo ætas rationis complementum habuerit. Neque enim puerilos voces omnino ratas in ejusmodi rebus habere convenit : sed quæ supra sexdecim vel septemdecim annos nata, ratiocinationum suarum arbitra, diu examinata ac probata, deinceps perseveravit, et ut admittatur constanter rogaverit, tum demum inter virgines referenda, ejusque rata habenda professio, ac illius violatio inexorabiliter punienda. Multas enim parentes adducunt et fratres et propinquorum nonnulli ante ætatem, non sua sponte ad cælibem vitam incitatas, sed ut sibi ipsi aliquod in vita commodum provideant. Tales non facile admittendæ, donec aperte ipsarum perscrutati fuerimus sententiam.

75 BALS. Diversis in locis diximus, quod mulieres, virgines, et viduæ ecclesias cum laico habitu accedentes, illæ quidem virginitatem, hæ vero continentiam profitebantur, et tanquam Deo dedicatæ ab episcopis omni corporali providentia dignæ habebantur. Interrogatus itaque sanctus, quid debeat fieri in virgines quæ fornicantur, dixit quod seniores quidem decernunt eas sicut et bigamos puniri, easque post annum sancta communione dignas haberi : ego vero videns Ecclesiam in bonum proficere, et sacras virgines multiplicari, dico eas debere potius ut adulteras puniri. Et dictum suum hinc comprobat, dicens, quod viduitas est minor virginitate. Si ergo, ut dicit Apostolus, habent judicium seu condemnantur viduæ, quæ suam professionem irritam faciunt, multo magis condemnabuntur virgines. Similiter ancillæ quidem viduam assimilat; virginem vero sponsæ alicujus patrisfamilias : et ita ex omnibus colligit adulterii crimine recte teneri lapsas virgines. Deinde subjungit, se de iis virginibus dicere, quæ se Domino sua sponte obtulerunt, et matrimonio renuntiarunt in ætate sedecim vel septemdecim annorum. Quæ autem in minori ætate fiunt professiones, dicit non admitti debere. Multas enim, inquit, offerunt patres etiam invitas, propter paupertatem vel aliquam aliam causam. Hæc cum decernat canon, ne dixeris eum intelligi de monialibus vel ascetriis (seu divinæ meditationi dicatis virginibus): etsi enim in minori ætate crinem sæcularem deposuerint, firma erit, ut mihi videtur, ad id quod deinceps sequitur, ipsius professio.

ZONAR. Quæ virginitatem sunt professæ, postea vero exciderunt et sua pacta, hoc est, promissiones fecerunt irritas, antiqui Patres lenius se ac clementius gerentes, ut sanctus hic vir ait, uno anno segregandas, et eo exacto more digamorum admittendas esse decreverunt. Hic vero ipsas pœ-

Digitized by Google

nis adulterii subjicit, orationemque suam hoc pacto astruit, quod viduitas, inquit, sit virginitate minor. Viduas autem eas, quæ continentiam sunt professæ, atque ab Ecclesia viduarum ordini adscriptæ sunt, nominat. Quoniam igitur viduitas minor est virginitate, erit quoque ejusmodi viduæ peccatum, si cum peccato virginis conferatur, levius. Attamen, inquit, ad Timotheum scribens Paulus de viduis quæ ob non servatam continentiam exciderunt, judicium ipsas habere declaravit. Porro cum vidua judicio, hoc est, condemnationi obnoxia sit, quippe quæ obligatam Christo fidem violaverit, majori procul dubio obnoxia erit virgo, quæ Christi sponsæ locum obtinet, estque veluti sacrum vas dicatum Deo. Affirmat itaque hic sanctus violatam in Christum fidem ab ea quæ excidit vidua. Alii vero primam fidem, virginitatis professionem interpretati sunt. Ancilla ergo, inquit, si fornicetur, domini domum, ipsumque dominum afficit contumelia. Verum si sponsa domini illius ancillæ deliquat, adultera est, graviorque contumelia ei, qui sponsam illam habet, ob ipsam inuritur. Porro cum exempli loco, ancillam sponsamque proposuerit, ancillæ quidem viduam quæ peccavit, sponsæ vero lapsam virginem comparat: et eam quidem, ut corruptam, hoc est, fornicationis irretitam crimine, virginem vero ut adulteram damnat. Et quemadmodum, ait, qui cum aliena uxore corrumpitur pro adultero habemus, ac nisi ab adulterio desistat, nullatenus unquam ad pœnitentiam admittimus; ita neque illum, qui in virginem Deo consecratam peccaverit. Deinde vero, postquam gravem in lapsas virgines multam constituit, quænam pro virginibus Deo dicatis habendæ sint, definit, aitque illas nimirum quæ seipsas sponte offerunt Domino, repudiatoque matrimonio virginitatem profitentur, eamque professionem decimo sexto, aut decimo septimo ætatis **76** suæ anno edunt. Cæterum ante has ætates professiones factas, inquit, haud facile admittere oportet: quoadusque suam sententiam aperte declarent, vitam se in virginali puritate amplecti velle; examinatæ præterea, postquam rationis compotes fuerint. Crebro namque, ait, parentes aut cognati illas invitas offerunt, sibi ipsis aliquid temporanei lucri quærentes; fortasse quidem quia dos ad eas collocandas minime suppetat, aut etiam ob alias causas, eas nolentes virginitatem ac cælibatum profiteri cogunt. Hæ ergo, inquit, non sunt facile admittendæ.

ARIST. Anno elapso exacto, virgines post processionem lapsas, Patres recipiebant. At quoniam validior jam facta est Ecclesia, adulteram appellamus eam quæ virginitatem professa labitur, et eum qui talem retinet adulterum. Virginitatem vero profitetur quæ septemdecem annos nata est, et approbata, et in eo rite instituto permanere obnixe flagitat.

Quandoquidem adulteram illam nominat quæ Domino sese obtulit, et matrimonio renuntiavit, et

A τος δὲ τῷ τῆς μοιχείας αὐτὰς καθυπάγει ἐπιτιμίῳ, καὶ κατασκευάζει τὸν οἰκεῖον λόγον ἐντεῦθεν, λέγων ὅτι χηρεία τῆς παρθενίας ἐλάττων. Χήρας δὲ τὰς σωφρονεῖν ἐπαγγειλαμένας λέγει, καὶ συναριθμηθείσας παρὰ τῇ Ἐκκλησίᾳ τῷ τάγματι τῶν χηρῶν. Ἐπεὶ οὖν ἐλάττων ἡ χηρεία τῆς παρθενίας, καὶ τὸ ἁμάρτημα τῆς τοιαύτης χήρας παρὰ τὸ τῆς παρθένου ἔλαττον. Ἀλλ' ὅμως, φησὶ, τῷ Τιμοθέῳ γράφων ὁ Παῦλος περὶ χηρῶν ἐκπεσουσῶν διὰ τὸ μὴ φυλάξαι τὴν σωφροσύνην, κρίμα ἔχειν αὐτὰς ἀπεφήνατο Τῆς δὲ χήρας κρίματι ἤγουν καταδίκῃ ὑποκειμένης, ὡς ἀθετησάσης τὴν εἰς Χριστὸν πίστιν, μεῖζον πάντως ὑποκείσεται ἡ παρθένος, ἥτις νύμφη λογίζεται τοῦ Χριστοῦ, καὶ ἀνάθημα τῷ Θεῷ ὡς ἱερὸν σκεῦος. Οὗτος μὲν οὖν ὁ ἅγιος τὴν πίστιν τὴν εἰς Χριστὸν

B ἔφη ἀθετῆσαι τὴν ἐκπεσοῦσαν χήραν· καὶ ἕτεροι δὲ, πρώτην πίστιν τὴν ἐπαγγελίαν τῆς ἁγνείας ἡρμήνευσαν. Δούλη μὲν οὖν, φησὶ, πορνεύσασα, καθυβρίζει τὸν οἶκον τοῦ δεσπότου, κἀκεῖνον. Εἰ δὲ νύμφη τοῦ δεσπότου τῆς δούλης ἐκείνης ἁμάρτῃ, μοιχαλίς ἐστι, καὶ χαλεπωτέρα ἡ ὕβρις τῷ νύμφην αὐτὴν ἔχοντι δι' ἐκείνης προστρίβεται. Εἰς παράδειγμα δὲ τὴν δούλην παραθεὶς καὶ τὴν νύμφην, δούλῃ μὲν ἀπεικάζει ἁμαρτήσασαν χήραν, νύμφῃ δὲ τὴν ἐκπεσοῦσαν παρθένον· καὶ τὴν μὲν ὡς διεφθαρμένην καταδικάζει, ἤτοι ὡς πορνευθεῖσαν, τὴν δὲ παρθένον ὡς μοιχευθεῖσαν. Καὶ ὥσπερ, φησὶ, τὸν ἀλλοτρίᾳ γυναικὶ συμφθειρόμενον μοιχὸν λογιζόμεθα, καὶ εἰ μὴ ἀποστῇ τῆς μοιχείας, οὐκ ἂν ποτε αὐτὸν παραδεξώμεθα εἰς μετάνοιαν· οὕτως οὐδὲ τὸν εἰς

C τὴν ἀνατεθειμένην τῷ Θεῷ παρθένον ἡμαρτηκότα. Οὕτω δὲ βαρεῖαν κατὰ τῶν ἐκπιπτουσῶν παρθένων ἐπαγαγὼν τὴν ἐπιτίμησιν ὁρίζεται τίνες ἂν λογίζοιντο παρθένοι ἀναθεῖσαι τῷ Θεῷ ἑαυτάς. Καὶ φησιν ὅτι αἱ ἑαυτὰς ἐκουσίως προσαγαγοῦσαι τῷ Κυρίῳ, καὶ ἀποταξάμεναι τῷ γάμῳ, καὶ ὁμολογήσασαι ἀγαμίαν, ποιήσασαι δὲ τὴν ὁμολογίαν ἐν ις' ἔτει, ἢ ιζ' τῆς ἡλικίας αὐτῶν. Τὰς δὲ πρὸ τῶν χρόνων τούτων ὁμολογίας οὐ χρὴ, φησὶ, ῥᾳδίως προσδέχεσθαι, ἕως ἂν προφανῶς ἐκεῖναι δείξωσι γνώμην ὅτι αἱροῦνται τὸν ἐν ἁγνείᾳ βίον, ἀνακρινόμεναι ἐπιπλέον, ὅτε κύριαι γένωνται λογισμοῦ. Πολλάκις γὰρ, φησὶ, προσάγουσι γονεῖς ἢ συγγενεῖς ἀκούσας, βιωτικόν τι ἑαυτοῖς διοικούμενοι·

D τυχὸν μὲν ἀποροῦντες δοῦναι προῖκα ὑπὲρ αὐτῶν, ἢ καὶ δι' ἄλλας αἰτίας τινὰς βιάζονται καὶ μὴ θελούσας αὐτὰς ἐπαγγέλλεσθαι ἁγνείαν καὶ ἀγαμίαν. Τὰς τοιαύτας οὖν, φησὶν, οὐ χρὴ ῥᾳδίως προσδέχεσθαι.

ΑΡΙΣΤ. Μετ' ἐνιαυτὸν τὰς μετὰ τὴν ὁμολογίαν ἐκπιπτούσας παρθένους οἱ Πατέρες ἐδέχοντο. Διὰ δὲ τὸ κραταιοτέραν γενέσθαι τὴν Ἐκκλησίαν, μοιχαλίδα τὴν παρθενίαν ὁμολογήσασαν ὀνομάζομεν περιπίπτουσαν, καὶ μοιχὸν τὸν τοιαύτην κατέχοντα. Ὁμολογεῖ δὲ παρθενίαν ἡ περὶ τὰ ἑπτακαίδεκα ἔτη, καὶ ἀνακοινομένη, καὶ παραμένειν ἐκλιπαροῦσα.

Ἐπειδὴ μοιχαλίδα ὀνομάζει τὴν προσαγαγοῦσαν ἑαυτὴν τῷ Κυρίῳ, ἀποταξαμένην τῷ γάμῳ, καὶ

Digitized by Google

τὸν ἐν ἁγιασμῷ προτιμήσασαν βίον· εἰ παραβῇ τὰς ὁμολογίας, καὶ τὴν πρὸς τὸν νυμφίον Χριστὸν ἕνωσιν ἀτιμάσει, ἡδοναῖς ἀκολάστοις ἑαυτὴν ἐπιδοῦσα, οὐ παραδεχθήσεται ἄλλως τῇ Ἐκκλησίᾳ, εἰ μὴ παυθῇ τῆς ἁμαρτίας, καὶ διαλύσει τὸ ἄθεσμον συνοικέσιον. Τοῦτο γὰρ διασπάσασα, καὶ μεταμεληθεῖσα, τὸν χρόνον τοῦ ἐπὶ τῇ μοιχείᾳ ἁμαρτήματος ἐκπληρώσει, ὥστε ἐν δέκα καὶ πέντε ἔτεσιν ἀκοινώνητον αὐτὴν εἶναι τῶν ἁγιασμάτων· ἐν τέσσαρσιν ἔτεσιν ἐξ αὐτῶν τῶν πεντεκαίδεκα ἐτῶν προσκλαίουσαν μὲν, ἐν πέντε δὲ τοῖς ἀκροωμένοις τῶν θείων Γραφῶν συνταττομένων, ἐν τέσσαρσιν ὑποπίπτουσαν, καὶ ἐν δυσὶ τοῖς πιστοῖς συνεστῶσαν, καὶ τῶν εὐχῶν κοινωνοῦσαν· καὶ μετὰ τὸν πεντεκαιδέκατον χρόνον, τοῦ τελείου τυχεῖν, καὶ τῆς θείας κοινωνίας ἀξιωθῆναι. Κἂν ὁ κανὼν οὗτος ὑπὲρ τὰ δεκαὲξ ᾖ καὶ δεκαεπτὰ ἔτη ἀπαιτῇ εἶναι τὴν ἐκλιπαροῦσαν παραδεχθῆναι εἰς τὸ τῶν παρθένων τάγμα· ἵν' ὡς τηνικαῦτα κυρία οὖσα τῶν λογισμῶν, καὶ τὴν τοῦ λόγου συμπλήρωσιν ἔχουσα, εἰ ἀθετήσει τὰς συνθήκας, ἀπαραιτήτως κολασθῇ. Ἀλλ' οὖν ὁ τεσσαρακοστὸς κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου, καὶ τὸν δέκα ἐτῶν ὄντα, μέλλοντα τὸν μοναδικὸν ζυγὸν ὑπελθεῖν, παραδέχεται, διὰ τὸ τὴν Ἐκκλησίαν κραταιοτέραν γενέσθαι, καὶ τὸ τῶν πιστῶν σύστημα πρὸς τὴν τῶν ἐντολῶν τήρησιν χάριτι θείᾳ πάγιόν τε καὶ ἀσφαλὲς εἶναι.

A vitam in sanctimonia actam antepo:uit, si professiones suas transilierit, et unctionem suam ad sponsam neglexerit, voluptatibus lascivis sese tradens, non aliter in Ecclesiam recipietur, nisi a peccato cesset, et illegitimum matrimonium dissolvat. Istud enim distrahens, et pœnitentiam agens tempus peccati in fornicatione explebit, adeo ut ipsa quindecim annis sacramentorum non sit particeps, quatuor istorum quindecim annorum annos deflens, quinque autem inter eos qui divinas Scripturas audiunt, collocata, quatuor substrata, et duobus inter fideles constituta, et precum particeps, et post quindecim annos perfectionis compos fiat et divina communione digna habeatur. Quamvis hic canon requirit eam supra sedecim B vel septemdecim annos esse quæ in virginum ordinem admitti cupit, ut quandoquidem tunc ratiocinationum sit domina, et completam habeat rationem, si promissiones suas violaverit, inexorabiliter pœnas luat. At quadragesimus sextæ in Trullo synodi canon etiam eum qui cum decem sit annorum jugum monasticum est suscepturus admittit, ut Ecclesia potentior evadat, et fidelium congregatio ad mandatorum observationem Dei gratia firma stabilisque fiat.

ΚΑΝΩΝ ΙΘ'.

Ἀνδρῶν δὲ ὁμολογίαν οὐκ ἔγνωμεν, πλὴν εἰ μή τινες ἑαυτοὺς τῷ τάγματι τῶν μοναζόντων ἐγκατηρίθμησαν· οἱ κατὰ τὸ σιωπώμενον δοκοῦσι παραδέχεσθαι τὴν ἀγαμίαν. Πλὴν καὶ ἐπ' ἐκείνων, ἐκεῖνο ἡγοῦμαι προηγεῖσθαι προσήκειν, ἐρωτᾶσθαι αὐτοὺς καὶ λαμβάνεσθαι τὴν παρ' αὐτῶν ὁμολογίαν ἐναργῆ, ὥστε ἐπειδὰν μετατίθενται πρὸς τὸν φιλόσαρκον καὶ ἡδονικὸν βίον, ὑπάγειν αὐτοὺς τῷ τῶν πορνευόντων ἐπιτιμίῳ.

CANON XIX.

Virorum autem professiones non novimus præterquam si qui se ipsos monachorum ordini annumerarunt: qui tacite videntur cælibatum admittere. Sed in illis quoque existimo præcedere oportere, ut ipsi interrogentur, et evidens ipsorum accipiatur professio, ut postquam se ad libidinosam et voluptariam vitam converterint, eorum qui fornicantur punitioni subjiciantur.

ΒΑΛΣ. Σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος, λέγοντος, Ἀνδρὸς δὲ ὁμολογίας οὐκ ἔγνωμεν, πλὴν εἰ μή τινες ἑαυτοὺς τῷ τάγματι τῶν μοναζόντων ἐγκατηρίθμησαν, ὅτι ἐν τῷ ιη' κανόνι οὐ περὶ μοναζόντων εἶπεν, ἀλλὰ περὶ παρθένων ἀφοριζομένων τῷ Θεῷ μετὰ λαϊκοῦ σχήματος. Ἀνάγνωθι τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα ς', μδ' καὶ ρκς'. Τοὺς μέντοι μοναχοὺς φησι, κἂν καὶ δοκῶσι σιωπηρῶς κατατίθεσθαι ἀγνεύειν, ὅμως ὀφείλειν καὶ τούτους ἐρωτᾶσθαι, καὶ ὁμολογεῖν ἀγαμίαν· ἵνα, ἐὰν ψεύσωνται, ὡς πορνεύσαντες ἐπιτιμηθῶσι. Τούτων δὴ οὕτως ἐχόντων, μὴ εἴπῃς ὡς οἱ μὴ ποιήσαντες μοναχοὶ τοιαύτην ὁμολογίαν ἀνέγκλητοι διατηρηθήσονται. Κἂν γὰρ μὴ ἀποκαρῇ τις, ἀλλὰ ῥασοφορήσῃ, οὐ δυνήσεται μετασχηματισθῆναι καὶ εἰς γάμον ἐλθεῖν, ἀλλὰ ἄκων ἀναγκασθήσεται ὑποστρέψαι εἰς τὸν μοναχικὸν βίον, ὡς πολλάκις τοῦτο εἴπομεν. Τὸ αὐτὸ δὲ ἔσται καὶ εἰς μοναχὰς, ἀλλὰ καὶ εἰς πάντας τοὺς τοῦ βήματος. Καὶ οὗτοι γὰρ σιωπηρῶς δοκοῦσιν ὁμολογεῖν μὴ ἐλθεῖν εἰς γάμον μετὰ τὴν χειροτονίαν, καὶ παραβαίνοντες τὸν κανόνα κατα-

BALS. Nota ex præsenti canone dicente, Virorum autem professiones non novimus, præterquam si qui se ipsos in monachorum numerum retulerunt, quod in canone 18 non de monachis, sed de virginibus Deo cum laico habitu segregatis locutus est. Lege Garthagin. syn. can. 6, 44 et D 126. Monachos autem dicit, etiamsi tacite videantur castitatem colere, debere tamen eos etiam interrogari, et cælibatum profiteri: ut si mentiti fuerint ut fornicatores puniantur. Etsi autem hæc ita se habeant, ne dixeris quod monachi qui hanc professionem non fecere, insontes nullique culpæ obnoxii servabuntur. Etsi enim non fuerit tonsus quispiam, sed rasa gestaverit, non poterit mutare habitum et ad nuptias convolare, sed invitus ad habitum monasticum reverti cogetur, sicut hoc sæpe diximus. Idem erit et de monialibus, et de omnibus clericis tribunalis. Nam et ii omnes tacite profiteri videntur se matrimonium non contracturos post ordinationem: et canonem transgredientes, deponuntur. Quære sanctorum apostolorum can.

Digitized by Google

26, 77 Ancyr. synod. can. 10. et syn. in Trullo can. 6.

ZONAR. Ex hoc canone apparet magnum Basilium, quæ de virginibus decrevit, non de virginibus in monasterio degentibus sanxisse, sed de iis quæ seipsas offerunt Domino, vitamque se virginalem acturas spondent. Tales enim olim fuere de quibus syn. Carth. can. 6 et 44 disserit. Neque hæ erant diaconissæ, sed ex iis diaconissæ constituebantur. Vide igitur dictæ syn. canon 126 et quæ in eum scripsimus. Ex eo namque quod dicat, Virorum professiones non novimus, præterquam si qui seipsos monachorum ordini annumerarunt, ostendit se ea quæ dixit, nequaquam de mulieribus in monasterio degentibus intellexisse, verum de virginibus ex antiqua consuetudine segregatis Deo: quamvis hæc etiam de iis quæ in monasterio degunt forte quispiam intellexerit. Monachos vero ait etiam tacite castimoniam condicere: sed et illos interrogari oportere autumat, et aperte profiteri cælibatum; ut si promissi fidem fallant, fornicatorum pœnis subjiciantur. Non solum autem in monachis tacita contingit professio, verum in diaconis quoque et hypodiaconis. Nisi enim denuntient prius atque testentur qui ordinandi sunt, se virginitatem servare haud posse, et antequam ordinentur uxores ducant, postquam sacro ordini ascripti sunt nuptias ipsis inire haud licet. Videntur namque tacite cælibatum condicere profiteri. Quære apost. can. 26, et Ancyr. syn. can. 10, et syn. quæ sexta dicitur in Trullo can. 6.

ARIST. Et qui conjugio renuntiat de cælibatu interrogetur, et perspicue profiteatur: ut si sententiam mutaverit, pœnas luat.

De viris qui conjugio renuntiant, et cælibes agere eligunt, convenit ut interrogentur a regionis episcopo utrum revera istiusmodi vitam amplectuntur, et ut professionem eorum manifestam accipiat,

A αιροῦνται. Ζήτει τῶν ἁγίων ἀποστόλων κανόνα κς', τῆς ἐν Ἀγκύρᾳ συνόδου κανόν. ι', καὶ ἐν τῷ Τρούλλῳ καν. ς'.

ΖΩΝΑΡ. Ἐκ τοῦ κανόνος τούτου φαίνεται ὁ μέγας Βασίλειος ἃ περὶ παρθένων διετάξατο, οὐ περὶ μοναζουσῶν παρθένων εἶπεῖν, ἀλλὰ περὶ τῶν ἑαυτὰς ἀνατιθεμένων τῷ Κυρίῳ, καὶ ἐν παρθενίᾳ ζῆν κατατιθεμένων. Τοιαῦτα γὰρ ἦσαν τὸ παλαιὸν, ὡς ἡ ἐν Καρθαγένῃ διέξεισι σύνοδος ἐν κανόνι ἕκτῳ καὶ μθ'. Καὶ οὐδὲ διακόνισσαι αἱ τοιαῦται ἦσαν, ἀλλ' ἐξ ἐκείνων ἐγίνοντο διακόνισσαι. Ἀναγνωστέον οὖν τὸν τῆς ῥηθείσης συνόδου ρκς' κανόνα, καὶ τὰ ἐν ἐκεινῳ γεγραμμένα. Ἐκ γὰρ τοῦ εἰπεῖν, Ἀνδρῶν ὁμολογίαν οὐκ ἔγνωμεν, εἰ μή τινες ἑαυτοὺς τοῖς μοναχοῖς κατηρίθμησαν, δείκνυσιν ὅτι ἃ εἶπεν, οὐ περὶ μοναζουσῶν εἶπεν, ἀλλὰ περὶ παρθένων ἀφοριζομένων Θεῷ κατὰ τὸ πάλαι κρατοῦν· τίως δέ τις ταῦτα καὶ εἰς μοναζούσας ἐκλάβοιτο. Τοὺς δὲ μοναχοὺς φησι καὶ σιωπηρῶς κατατίθεσθαι ἀγνεύειν· κἀκείνους δὲ ἐρωτᾶσθαι προσήκειν λέγει, καὶ φανερῶς ὁμολογεῖν ἀγαμίαν, ἵνα, ἐὰν ψεύσωνται τὴν ὁμολογίαν, ὡς πορνεύσαντες ἐπιτιμηθῶσιν. Οὐκ ἐπὶ μοναζόντων δὲ μόνον σιωπηρὰ ὁμολογὶς γίνεται, ἀλλὰ καὶ ἐπὶ διακόνων ἢ καὶ ὑποδιακόνων. Εἰ μὴ γὰρ προμαρτύρονται ὅτι οὐ δύνανται παρθενεύειν οἱ μέλλοντες χειροτονηθῆναι, καὶ πρὸ τῆς χειροτονίας εἰσοικίζονται ἑαυτοῖς γυναῖκας, οὐ δύνανται μετὰ τὴν χειροτονίαν γάμον ἐλέσθαι. Δοκοῦσι γὰρ σιωπηρῶς ὁμολογεῖν καὶ ἐπαγγέλλεσθαι ἀγαμίαν Ζήτει τὸν κς' ἀποστολικὸν κανόνα, καὶ τῆς ἐν Ἀγκύρᾳ συνόδου κανόνα ι', καὶ τῆς λεγομένης ἕκτης συνόδου τῆς ἐν τῷ Τρούλλῳ κανόνα ς' (8).

ΑΡΙΣΤ. Καὶ ὁ ἀποτασσόμενος περὶ ἀγαμίας ἐρωτάσθω, καὶ ἐναργῶς ὁμολογείτω· ἵνα μετατιθέμενος ἐπιτιμᾶται.

Ἐπὶ τῶν ἀνδρῶν ἀποτασσομένων τῷ γάμῳ, καὶ παρθενεύειν αἱρουμένων, προσῆκόν ἐστιν ἐρωτᾶσθαι αὐτοὺς παρὰ τοῦ κατὰ χώραν ἐπισκόπου εἰ ἀληθῶς τὸν τοιοῦτον βίον ἀσπάζονται, καὶ

B

C

Guill. Beveregii notæ.

(8) *Ἐν τῷ Τρούλλῳ κανόνα ς'.* Post hæc ultima Zonaræ in hunc canonem verba codex Amerbachianus addit; Δοκεῖ δὲ ὁ ἅγιος αὐτὸς ἑαυτῷ ἐναντιοῦσθαι· ἐν μὲν τῷ κανόνι τούτῳ λέγων τοὺς μοναχοὺς τῷ τῶν πορνευόντων ἐπιτιμίῳ ὑπάγεσθαι ψευσαμένους τὴν ὁμολογίαν αὐτῶν· ἐν δὲ τῷ ξ' κανόνι τῷ τῆς μοιχείας ἁμαρτήματι τοὺς ἐκπίπτοντας μοναχοὺς καταδικάζων· μήποτε οὖν τῷ τῆς πορνείας ὀνόματι ἀντὶ τῆς μοιχείας ἐχρήσατο, ὡς καὶ ὁ Κύριος εὕρηται τούτῳ χρησάμενος πρὸς τὸν ἐρωτήσαντα, εἰ ἔξεστιν ἀνδρὶ ἀπολύειν τὴν γυναῖκα αὐτοῦ, εἰπὼν, μὴ δύνασθαι ἀπολύειν αὐτὴν παρεκτὸς λόγου πορνείας· καί τοι ἡ ἀνδρὶ συνοικοῦσα ἑτέρῳ μιγνυμένη, οὐ πορνείαν ἁμαρτάνει, ἀλλὰ μοιχείαν. Καὶ ὁ Ἀπόστολος δὲ ἐν τῇ πρὸς Ῥωμαίους Ἐπιστολῇ τὸ τῆς πορνείας ὄνομα καὶ ἀντὶ τῆς μοιχείας παρέλαβε λέγων, Πεπληρωμένους πάσῃ ἀδικίᾳ, πορνείᾳ, καὶ ἑξῆς πάντα. Σχεδὸν τὰ πάθη ἀπαριθμησάμενος, μοιχείας οὐ μέμνηται, ὡς διὰ τῆς πορνείας καὶ ταύτην δηλώσας· ἐτέκασι γὰρ ἀλλήλοις τῇ τε πράξει καὶ παρανομίᾳ· εἰ καὶ τῇ ποιότητι τῆς ἁμαρτίας καὶ τοῖς ἐπιτιμίοις διαφέρουσι. *Sanctus autem ipse sibi adversari videtur; in hoc quidem canone dicens monachos, qui promissi sui fidem fallunt, fornicantium pœnæ subjiciendos esse; sexagesimo autem canone monachos lapsos adulterii peccato condemnans. Numquid itaque fornicationis nomine pro adulterio usus est, quemadmodum et Dominus inventus est eo uti, ad illum, qui interrogabat, an liceat viro dimittere uxorem suam, dicens, non posse eam dimittere præterquam fornicationis causa? Quæ enim viro copulatur, si alteri commisceatur, non fornicationis, sed adulterii crimine tenetur. Quin et Apostolus etiam in Epistola ad Romanos fornicationis nomen pro adulterio accepit, dicens, Impletos omni injustitia, fornicatione; ac deinde omnibus fere passionibus enumeratis, adulterii mentionem non fecit, ut qui illud sub fornicationis nomine indicaverit. Enimvero sibi invicem similia sunt actione et iniquitate: licet qualitate peccati et pœnis discrepent.*

D

Digitized by Google

τὴν ὁμολογίαν αὐτῶν φανερὰν λαμβάνειν· ἵνα, εἰ μεταπέσωσιν ἐκτοτε πρὸς τὸν ἡδονικὸν καὶ φιλόσαρκον βίον, τὸ τῶν πορνευόντων ἐπιτίμιον δέξωνται.

A Ut si ad voluptuosam et carnalem vitam deciderint, fornicatorum pœnæ subjiciantur.

ΚΑΝΩΝ Κ'.

Ὅσαι γυναῖκες ἐν αἱρέσει οὖσαι παρθενίαν ὡμολόγησαν, εἶτα μετὰ ταῦτα γάμον ἀνθείλοντο, οὐχ ἡγοῦμαι χρῆναι καταδικάζεσθαι ταύτας. Ὅσα γὰρ ὁ νόμος λαλεῖ, τοῖς ἐν τῷ νόμῳ λαλεῖ. Αἱ δὲ μήπω ἐπελθοῦσαι τὸν ζυγὸν τοῦ Χριστοῦ, οὐδὲ τὴν νομοθεσίαν ἐπιγινώσκουσι τοῦ Δεσπότου. Ὥστε δεκταί εἰσι τῇ Ἐκκλησίᾳ μετὰ πάντων καὶ τὴν ἐπὶ τούτοις ἄφεσιν ἔχουσιν ἐκ τῆς πίστεως τῆς εἰς Χριστὸν, καὶ καθόλου τὰ ἐν τῷ κατηχουμένῳ βίῳ γενόμενα εἰς εὐθύνας οὐκ ἄγονται. Τούτοις δὲ B δῆλον ὅτι ἄνευ βαπτίσματος ἡ Ἐκκλησία οὐ παραδέχεται, ὥστε ἀναγκειότατον ἐπὶ τούτοις τὰ πρεσβεῖα τῆς γενέσεως.

CANON XX.

Quæcunque mulieres, cum essent hæreticæ, virginitatem professæ sunt, deinde postea matrimonium maluerunt, non existimo eas oportere condemnari. Quæcunque enim dicit lex, iis dicit, qui sunt in lege. Quæcunque autem jugum Christi nondum subierunt, eæ nec Domini leges norunt. Quare sunt ab Ecclesia cum omnibus suscipiendæ, et propter hæc habent remissionem ex fide in Christum, et omnino quæ in catechumenica vita fiunt in judicium non vocantur. Clarum est autem quod tales Ecclesia non sine baptismo recipit. Quare generationis privilegia sunt in ipsis maxime necessaria.

ΒΑΛΣ. Ὡς ἔοικεν, αἱρετικαὶ γυναῖκες ὡμολόγουν παρθενίαν, εἶτα ἀνδράσιν ἑαυτὰς ἐξεδίδουν· προσερχόμεναι δὲ τῇ Ἐκκλησίᾳ ἐπετιμῶντο ὡς ψευσάμεναι. Φησὶ γοῦν ὁ ἅγιος, μὴ καταδικάζεσθαι ταύτας χάριν ὧν πρὸ τοῦ πιστεῦσαι ἐψεύσαντο. Εἶτα καθόλου δίδωσι κανόνα μὴ κολάζεσθαι τοὺς πιστεύσαντας καὶ βαπτισθέντας, περὶ ὧν ἥμαρτον πρὸ τοῦ βαπτίσματος. Αἱρετικοὺς δὲ νόει τοὺς μὴ ἄλλως δεχομένους, εἰ μὴ βαπτισθῶσιν. Εἰσὶ γάρ τινες αἱρετικοὶ καὶ χωρὶς βαπτίσματος δεκτοὶ, ἁγίῳ χρίσματι μόνῳ χριόμενοι. Καὶ ἀνάγνωθι τὸν ζ' κανόνα τῆς δευτέρας συνόδου, καὶ C κανόνα ιζ' τῶν ἁγίων ἀποστόλων.

BALS. Ut est verisimile, hæreticæ mulieres virginitatem profitebantur, deinde se viris nuptum dabant: ad Ecclesiam autem accedentes reprehendebantur ut mentitæ. Dicit ergo sanctus, eas non esse condemnandas de iis quæ mentitæ sunt antequam crederent. Deinde in summa tradit canonem, non punire eos qui crediderunt et baptizati sunt, de iis quæ ante baptismum commiserunt. Hæreticos autem eos intellige, qui non suscipiuntur nisi prius baptizati fuerint. Sunt enim quidam hæretici, qui sunt etiam sine baptismo suscipiendi sancto chrismate solo uncti. Lege et can. 7 secundæ syn. et can. 17 S. Apostolorum.

ΖΩΝΑΡ. Αἱρετικαὶ γυναῖκες ὡμολόγουν παρθενεύειν, εἶτα ἀνδράσιν ἑαυτὰς ἐξεδίδουν. Ταύτας προσερχομένας τῇ καθολικῇ Ἐκκλησίᾳ γνώμην ὁ ἅγιος δίδωσι μὴ καταδικάζεσθαι ὡς ψευσαμένας τὴν ὁμολογίαν. Ὅσα γὰρ, φησὶν, ὁ νόμος λαλεῖ, τοῖς ἐν τῷ νόμῳ λαλεῖ. Αἱ δὲ μὴ δεξάμεναι τὸν ζυγὸν τοῦ Χριστοῦ οὐδὲ τὴν ἐντολὴν ἐκείνου ἐπιγινώσκουσι, καὶ λοιπὸν δίκταί εἰσι τῇ Ἐκκλησίᾳ, ἄφεσιν ἔχουσαι ἐκ τοῦ πιστεῦσαι Χριστῷ καὶ τοῦ τοιούτου ἁμαρτήματος. Εἶτα καθόλου δίδωσι κανόνα ὅτι ὅσα ἐν κατηχουμένῳ βίῳ γένωνται, οὐκ εὐθύνονται, ἀντὶ τοῦ, οὐ κολάζονται. Πλὴν, φησὶ, τούτους ἄνευ βαπτίσματος ἡ Ἐκκλησία οὐ παραδέχεται· ἐπεὶ οὖν βαπτίζονται, τῶν πρὸ τοῦ βα- D πτίσματος σφαλμάτων πάντων συγχώρησιν ἔχουσι. Τοῦτο γάρ ἐστιν ὃ ἐπάγει, ὅτι ἀναγκαιότατον ἐπὶ τούτους τὰ πρεσβεῖα τῆς γενέσεως, ἤγουν ὅτι ἀναγκαίως λοιπὸν ἕπεται βαπτιζομένοις αὐτοῖς τὰ πρεσβεῖα τῆς γενέσεως· τὸ ἐξαίρετον δηλαδὴ τῆς ἐν τῷ βαπτίσματι γενέσεως, ἤτοι τῆς ἀναγεννήσεως, ὅ ἐστιν ἡ συγχώρησις τῶν προημαρτημένων. Αἱρετικοὺς ἢ τοὺς μὴ ἄλλως δεχομένους εἰ μὴ βαπτισθῶσι νοητέον, ἢ τοὺς ἀπίστους. Εἰσὶ γάρ τινες αἱρετικοὶ, καὶ χωρὶς βαπτίσματος δεκτοὶ, ἁγίῳ χρίσματι μόνῳ χριόμενοι, ὡς ὁ ιζ' κανὼν τῆς δευτέρας συνόδου διατάττεται. Εἴποι δέ τις ἐναντιοῦσθαι τὸν μέγαν Βασίλειον διὰ τοῦ παρόντος κανόνος τῷ πέμπτῳ κανόνι τῆς ἐν Νεοκαισαρείᾳ συνόδου,

ZONAR. Hæreticæ mulieres virginitatem profitebantur, deinde viris seipsas tradebant. Eas, si ad Ecclesiam catholicam procedant, sanctus hic vir sua sententia haudquaquam, quasi professionem fefellerint, condemnandas esse judicat. Quæcunque enim, ait, lex loquitur, iis qui in lege sunt loquitur. Quæ vero Christi jugum non susceperunt, illius quoque mandata non agnoscunt, ac deinceps ab Ecclesia admitti possunt, veniam, ex eo quod Christo crediderint, ab hoc quoque crimine obtinentes. Tum in universum regulam statuit, quæcunque nimirum in catechumenica vita committuntur, non vocari in judicium, hoc est, haudquaquam puniri. Adhæc, inquit, ejusmodi homines Ecclesia sine baptismo non admittit; 78 quando porro baptizantur, eorum quæ ante baptismum admisere peccatorum penitus veniam consequuntur. Hoc enim significat id quod subjicit, esse nimirum in hujusmodi hominibus generationis privilegia maxime necessaria, hoc est, cum ipsi baptizentur necessario deinceps consequi, ut privilegia generationis obtineant: quod nimirum singulare ac præcipuum est in baptismi generatione, sive regeneratione, absolutio nempe ab anteactæ vitæ delictis. Hæreticos porro aut eos intelligere oportet, quos non aliter nisi baptizentur admitti fas est, aut infideles. Sunt enim aliqui hæretici etiam sine baptismo recipiendi, sancto solum chrismate inungendi,

Digitized by Google

ut can. 17 secundæ syn. decernitur. Dixerit autem quispiam adversari hunc magni Bas. canonem can. 5 syn. Neocæs. qui sic habet : Catechumenus, si in templum ingrediens in catechumenorum ordine steterit, is quidem peccat : sin genuflectat, audiat non amplius peccans. Si vero etiam adhuc peccet, extrudatur. Sed non est ita. Etenim synodicus canon de iis qui peccant non accipiendus est : magnus vero Basilius de iis qui peccaverunt, jamque a peccando abstinent loquitur. Neque vero hoc asserit: nullam hisce multam imponendam, sed non esse in judicium vocandos. Ut enim peccata omnia ante sanctum baptisma admissa baptizato dimittuntur : ita et quæcunque aliquis dum catechumenus esset deliquit, pro iis in judicium non vocabitur. Lege etiam can. 17 apostolicum.

A

B

ARIST. Virgo quæ in hæresim lapsa est, resipiscens postea et accipiens, non est pœnæ obnoxia. Quæcunque enim dicit lex, iis dicit qui sunt sub lege.

Mulieres fideles, virginitatem professæ, et professiones suas irritas facientes, fornicationis pœnæ subjacent ; quæ vero sub hæresi fuerunt et virginitatem promiserunt, si postea matrimonium malunt, et ad Ecclesiam veniunt, non condemnantur, sed baptizatæ impunes manent. Quæ enim jugum Christi nondum portarunt, nec legem illius cognoscunt.

CANON XXI.

Si vir cum muliere cohabitans, postquam matrimonio non delectatus in fornicationem inciderit, eum fornicatorem judicamus, et eum pœnis amplius gravamus : canonem tamen non habemus, qui eum adulterii crimini subjiciat, si in solutam a matrimonio peccatum commissum sit. Nam adultera quidem, inquit, polluta polluetur, et ad virum suum non revertetur, et qui adulteram detinet, stultus est et impius. Qui autem fornicatus est, non excludetur a cohabitatione cum uxore sua ; quemadmodum mulier maritum suum a fornicatione revertentem excipiet, vir autem eam quæ polluta est a suis ædibus amandabit. Atque istorum quidem ratio haud facilis est, consuetudo autem sic invaluit.

C

BAL.S. De fornicatione et adulterio lege cap. 5, tit. 13 præsentis operis, et canones et leges quæ in eo sitæ sunt. Hic autem sanctus eum, qui habet uxorem, et cum alia muliere fornicatus est, fornicatorem dicit, non adulterum : mulierem marito conjunctam, quæ cum ullo alio viro quam cum marito rem habuit, vocat adulteram, adjiciens quod eam quidem maritus non cogetur invitus in ædes suas recipere, sed eo ipso ab ea separabitur. Virum autem, qui fornicatus est, a legitima uxore fornicatio non separat. Quamnam autem ob causam hæc, inquit, ita lege cauta sunt, non est intellectu facile. Nota autem ex præsenti canone, non esse unius tantum speciei fornicationem, nec illam eisdem pœnis curari. Eum enim magis debere puniri, qui

D

λέγοντι ταῦτα· Κατηχούμενος ἐὰν εἰσερχόμενος εἰς τὸ κυριακὸν ἐν τῇ τῶν κατηχουμένων τάξει στήκῃ, οὗτος δὲ ἁμαρτάνῃ. Εἰ μὲν γόνυ κλίνων, ἀκροάσθω μηκέτι ἁμαρτάνων· ἐὰν δὲ καὶ ἀκροώμενος ἔτι ἁμαρτάνῃ, ἐξωθείσθω. Ἀλλ' οὐκ ἔστι τοῦτο. Οὐ μὲν γὰρ τῆς συνόδου ὁ κανὼν περὶ ἁμαρτανόντων φησίν· ὁ δὲ μέγας Βασίλειος περὶ ἁμαρτανόντων καὶ ἤδη ἀποσχομένων τοῦ ἁμαρτάνειν· καὶ οὐδὲ τοῦτο λέγει, ὅτι οὐδὲ τοῦτο ὅλως ἐπιτιμηθήσονται, ἀλλ' ὅτι οὐκ εὐθυνθήσονται. Ὥσπερ γὰρ πάντα τὰ πρὸ τοῦ ἁγίου βαπτίσματος πραχθέντα ἁμαρτήματα ἀφίενται τῷ βαπτιζομένῳ· οὕτως καὶ ὅσα τις κατηχούμενος ὢν ἥμαρτε, καὶ οὐδ' ὑπὲρ τούτων εἰς εὐθύνην ἀχθήσεται. Ἀνάγνωθι καὶ τὸν ιζ' ἀποστολικὸν κανόνα.

ΑΡΙΣΤ. Εἰς αἵρεσιν οὖσα παρθένος, εἶτα μετανοοῦσα, καὶ λαμβάνουσα, οὐκ εὐθύνεται· ὅσα γὰρ ὁ νόμος λαλεῖ, τοῖς ἐν νόμῳ λαλεῖ.

Αἱ πισταὶ γυναῖκες, παρθενεύειν ἐπαγγειλάμεναι, καὶ τὰς ὁμολογίας αὐτῶν ἀθετήσασαι, τῷ τῆς μοιχείας ἐπιτιμίῳ ὑπόκεινται· αἱ δὲ ὑπὸ αἵρεσιν οὖσαι, καὶ παρθενεύειν ὑποσχεθεῖσαι, εἰ μετὰ ταῦτα γάμον ἀνθεῖλοντο, καὶ τῇ Ἐκκλησίᾳ προσῆλθον, οὐ καταδικάζονται, ἀλλὰ βαπτιζόμεναι ἀνεύθυνοι μένουσιν. Αἱ γὰρ μήπω τὸν ζυγὸν τοῦ Χριστοῦ βαστάσασαι οὐδὲ τὴν νομοθεσίαν αὐτοῦ ἐπιγινώσκουσι.

ΚΑΝΩΝ ΚΑ'.

Ἐὰν ἀνὴρ γυναικὶ συνοικῶν, ἐπειδὰν μὴ ἀρεσθεὶς τῷ γάμῳ εἰς πορνείαν ἐμπέσῃ, πόρνον κρίνομεν τὸν τοιοῦτον, καὶ πλείον αὐτὸν παρατείνομεν ἐν τοῖς ἐπιτιμίοις· οὐ μέντοι ἔχομεν κανόνα τῷ τῆς μοιχείας αὐτὸν ὑπαγαγεῖν ἐγκλήματι, ἐὰν εἰς ἐλευθέραν γάμου ἡ ἁμαρτία γένηται. Διότι ἡ μοιχαλὶς μὲν μιαινομένη, φησὶ, μιανθήσεται, καὶ οὐκ ἀναστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς· καὶ ὁ κατέχων μοιχαλίδα ἄφρων καὶ ἀσεβής. Ὁ μέντοι πορνεύσας οὐκ ἀποκλεισθήσεται τῆς πρὸς τὴν γυναῖκα αὐτοῦ συνοικήσεως· ὥστε ἡ μὲν γυνὴ ἐπανιόντα ἀπὸ πορνείας τὸν ἄνδρα αὐτῆς παραδέξεται, ὁ δὲ ἀνὴρ τὴν μιανθεῖσαν τῶν οἰκων αὐτοῦ ἀποπέμψει. Καὶ τούτων δὲ ὁ λόγος οὐ ῥᾴδιος· ἡ δὲ συνήθεια οὕτω κεκράτηκε.

ΒΑΛΣ. Περὶ πορνείας καὶ μοιχείας ἀνάγνωθι τὸ ε' κεφ. τοῦ ιγ' τίτλου τοῦ παρόντος συντάγματος, καὶ τοὺς ἐν αὐτῷ κανόνας καὶ νόμους. Ἐνταῦθα δὲ ὁ ἅγιος τὸν μὲν ἔχοντα γυναῖκα καὶ μεθ' ἑτέρας ἐλευθέρας γυναικὸς ἀσελγήσαντα πόρνον εἶναι λέγει, οὐ μοιχόν· τὴν δὲ ὕπανδρον γυναῖκα μετὰ οἱουδήτινος ἑτέρου ἀνδρὸς μιγεῖσαν μοιχαλίδα ἀποκαλεῖ, προστιθέμενος ὡς ταύτην μὲν ἄκων οὐκ ἀναγκασθήσεται ὁ ἀνὴρ ὑποδέξεσθαι εἰς τὸν οἶκον αὐτοῦ, ἀλλὰ ἀπεντεῦθεν διαζευχθήσεται αὐτῆς· τὸν δὲ ἄνδρα τὸν πορνεύσαντα ἀπὸ τῆς νομίμου γυναικὸς ἡ πορνεία οὐ διαζεύγνυσι. Δι' ἣν δὲ αἰτίαν οὕτω ταῦτα νενομοθέτηται, οὐκ εὐκολόν ἐστι, φησὶ, νοηθῆναι. Σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος ὅτι οὐκ ἔστι μονοειδὴς ἡ πορνεία, οὐδὲ

Digitized by Google

τοῖς αὐτοῖς ἐπιτιμίοις θεραπεύεται. Πλέον γάρ, φησί, λέγει ὀφείλειν ἐπιτιμᾶσθαι τὸν ἔχοντα νόμιμον γυναῖκα καὶ πορνεύσαντα, παρὰ τὸν μὴ ἔχοντα γυναῖκα καὶ πορνεύσαντα. Τὸ δὲ πλέον τοῦ ἐπιτιμίου εἰς τὴν διάκρισιν τοῦ ψυχικοῦ ἰατροῦ ἀνατίθη. A

habet uxorem legitimam, et fornicatus est. Maxima autem pars pœnæ medici animæ judicio relinquitur.

ΖΩΝΑΡ. Ἀνὴρ, φησὶν, ἔχων γυναῖκα, ἐὰν εἰς ἑτέραν ἁμάρτῃ μὴ ἄνδρα ἔχουσαν, πόρνος ἐστὶν, ἀλλ' οὐ μοιχός. Ἐπὶ πλέον δὲ αὐτῷ τὸ ἐπιτίμιον παρατείνεται, ἤγουν βαρύτερον ἐπιτιμᾶται, παρὰ τὸν μὴ συζῶντα γυναικὶ καὶ πορνεύσαντα. Τῷ μὲν γὰρ συγγνώμη τις δίδοται διὰ τὴν ἀνάγκην τῆς φύσεως· ὁ δὲ γυναῖκα ἔχων τῆς συγγνώμης ταύτης ἐστέρηται, τῆς φυσικῆς ἀνάγκης παραμυθίαν ἔχων τὴν νόμιμον γαμετὴν, ἁμαρτάνων δὲ δι' ἀκολασίαν καὶ ἀσέλγειαν· διὸ καὶ μᾶλλον ἐπιτιμᾶται καὶ ἐπὶ πλείονα χρόνον. Ἀλλ' ὅμως ἡ γυνὴ αὐτοῦ τὸν τοιοῦτον οὐ παραιτήσεται. Ἡ δὲ ἄνδρα ἔχουσα γυνὴ καὶ μιγεῖσα ἑτέρῳ μοιχαλίς ἐστι· καὶ ὁ ἀνὴρ αὐτῆς ἐξωθήσει αὐτὴν, καὶ οὐκ ἀναγκασθήσεται προσλαβέσθαι αὐτὴν, εἰ μὴ βούλεται. Οὕτω γάρ, φησὶ, κεκράτηκεν ἡ συνήθεια, κρίνεσθαι ταῦτα. Ὁ δὲ λόγος καὶ ἡ αἰτία, δι' ἣν οὕτω νενόμισται γίνεσθαι, οὐκ εὐκολός ἐστι, φησὶ, νοηθῆναι. B

ZONAR. Vir, inquit, habens uxorem, si in alteram peccaverit non habentem virum, fornicator est, at non adulter. Amplius autem illi multa extenditur, hoc est, gravius punitur, quam is 79 qui cum uxorem non habeat fornicatur. Huic enim quædam conceditur venia ob naturæ necessitatem. Qui vero uxorem habet, hac excusatione caret, cum legitimam uxorem habeat naturalis necessitatis levamentum, atque ob intemperantiam ac libidinem peccet: proinde et gravius et diuturniore tempore punitur. Non tamen hujusmodi hominem uxor ipsius repudiabit. Mulier autem virum habens, si alteri commisceatur, adultera est; eamque vir suus expellet, nec sibi rursum ascisrere cogetur nisi velit. Ita namque, ait, obtinuit consuetudo ista dijudicari. Rationem vero et causam, ob quam ita fieri consuetum est, haud facile, ait, fuerit indagare.

ΑΡΙΣΤ. Ἄνδρα πεπορνευκότα ἡ ἰδία παραλήψεται. Μιανθεῖσαν δὲ γυναῖκα ὁ ἀνὴρ ἀποπέμπεται. Πόρνος γάρ, οὐ μοιχός ἐστιν, ὁ εἰς ἐλευθέραν ἐκπεσὼν ὑπογύναιος.

Οὐχ ὡς μοιχὸς ὁ ἀνὴρ κριθήσεται ὁ συνοικῶν γυναικὶ, καὶ πρὸς ἑτέραν ἐλευθέραν γάμου ἁμαρτήσας, ἀλλ' ὡς πόρνος· καὶ διὰ τοῦτο οὐδὲ τοῖς μοιχείας ἐπιτιμίοις ὑποβληθήσεται· πλέον δὲ πόρνου ἐπιτιμηθήσεται. Τοῦτο δὲ διὰ τὴν κρατήσασαν συνήθειαν. Τὴν μὲν γὰρ γυναῖκα ἑτέρῳ ἀνδρὶ μιανθεῖσαν παρὰ τοῦ ἀνδρὸς αὐτῆς προστάττει ἀποδιώκεσθαι· τὸν δὲ ἄνδρα πορνεύοντα ὑπὸ τῆς ἰδίας γυναικὸς κελεύει μὴ ἀπολύεσθαι, ἀλλὰ παραδέχεσθαι αὐτόν. C

ARIST. Virum qui fornicatus est uxor propria recipiet: inquinatam vero adulterio uxorem vir dimittet. Fornicator enim non adulter est, qui uxori junctus cum soluta rem habuerit.

Vir qui cum muliere cohabitat et in aliam a matrimonio liberam peccatum admisit, adulter non dijudicabitur, sed fornicator. Et ideo nec adulterii pœnis subjicietur, sed plusquam fornicator punietur. Hoc autem fit ob consuetudinem quæ obtinuit. Mulierem enim ab alio viro pollutam a viro suo expelli mandat. At virum fornicantem ab uxore sua non dimitti, sed retineri jubet

ΚΑΝΩΝ ΚΒ'.

Τοὺς ἐξ ἁρπαγῆς (9) ἔχοντας γυναῖκας, εἰ μὲν ἄλλοις προμεμνηστευμένας εἶεν ἀφῃρημένοι, οὐ πρότερον χρὴ παραδέχεσθαι, πρινὴ ἀφελέσθαι αὐτῶν, καὶ ἐπ' ἐξουσίᾳ τῶν ἐξαρχῆς μεμνηστευμένων ποιῆσαι, εἴτε βούλοιντο λαβεῖν αὐτὰς, εἴτε ἀποστῆναι· εἰ δὲ σχολάζουσάν τις λάβῃ, ἀφαιρεῖσθαι μὲν δεῖ, καὶ τοῖς οἰκείοις ἀποκαθιστᾶν, ἐπιτρέπειν δὲ τῇ γνώμῃ τῶν οἰκείων, εἴτε γονεῖς εἶεν, εἴτε ἀδελφοὶ, εἴτε οἱτινεσοῦν προεστῶτες τῆς κόρης· κἂν μὲν ἕλωνται αὐτῇ παραδοῦναι, ἱστασθαι τὸ συνοικέσιον. ἐὰν δὲ ἀνανεύσωσι, μὴ βιάζεσθαι. Τὸν μέντοι ἐκ διαφορᾶς εἴτε λαθραίας εἴτε βιαιοτέρας γυναῖκα ἔχοντα ἀνάγκη τὰ τῆς πορνείας ἐπιγνῶναι ἐπιτίμια· ἔστι δὲ ἐν τέσσαρσιν ἔτεσιν ὡρισμένη τοῖς πορνεύσουσιν ἐπιτίμη- D

CANON XXII.

Eos qui ex rapta habent mulieres, si aliis quidem desponsas abripuerint, non prius oportet admittere, quam ab eis ablatæ sint, et sit in eorum potestate quibus desponsæ fuerant, an eas velint accipere, an desistere. Si quis autem vacantem acceperit, auferre quidem oportet et suis restituere, illorum autem sententiæ permittere, sive sint parentes, sive fratres, sive quicunque alii virgini præsint: et si ei quidem tradere voluerint, matrimonium constituere; sin autem renuerint, non cogi. Et autem qui mulierem vel vi vel clam a se vitiatam habet, necesse est fornicationis pœnas imponere; est autem in quatuor annis præfinitum fornicatoribus supplicium. Oportet autem eos anno primo a precibus expelli et

Guill. Beveregii notæ.

(9) *Τοὺς ἐξ ἁρπαγῆς.* Scholiastes Harmenopuli ad hunc canonem hæc observat, Ὁ πολιτικὸς νόμος σφόδρα κολάζων τὸν ἁρπάσαντα γυναῖκα, οὐδὲ συζεύγνυσθαι αὐτῷ τὴν ἁρπαγεῖσαν παραχωρεῖ, κἂν οἱ αὐτῇ προσήκοντες τοῦτο βούλωνται. *Lex civilis acriter eum puniens, qui mulierem rapuit, ut quidem, ut rapta matrimonio ipsi jungatur, permittit; licet id propinqui mulieris velint.* Harmenop. *Epit. can.* sect. 5. tit. 3.

Digitized by Google

ipsos deferé ad fores ecclesiæ. Secundo autem, ad auditionem admitti. Tertio, admitti ad pœnitentiam. Quarto, ad congregationem cum populo, abstinentes ab oblatione. Deinde eis permitti boni communionem.

A σις. Χρὴ δὲ τῷ πρώτῳ ἐκβάλλεσθαι τῶν προσευχῶν, καὶ προσκλαίειν αὐτοὺς τῇ θύρᾳ τῆς ἐκκλησίας. Τῷ δευτέρῳ δεχθῆναι εἰς ἀκρόασιν· τῷ τρίτῳ δεχθῆναι εἰς μετάνοιαν· τῷ τετάρτῳ εἰς σύστασιν μετὰ τοῦ λαοῦ, ἀπεχομένους τῆς προσφορᾶς. Εἶτα αὐτοῖς ἐπιτοέπεσθαι τὴν κοινωνίαν τοῦ ἁγιάσματος.

BALS. Vicesimus septimus canon Chalcedon. synodi qui idem est omnino canon 92 sextæ synodi, decernit quid debeat fieri iis qui mulieres rapiunt nomine conjugii. Præsens autem canon jubet eos, qui mulierem alteri desponsam rapuerint, non aliter ad pœnitentiam admitti quam si raptas prius dederint, ut sponsi earum ipsas si velint accipiant: sin minus, sit apud suos cognatos. Ab eis vero qui mulierem liberam seu nulli desponsam rapuerint, B eam itidem auferri et tradi parentibus, vel iis qui alioqui ad eam attinent: ut eam si velint, raptori conjungant, cum ejus etiam consensu; sin autem hoc eis non placuerit, ne fiat. Quomodocunque autem se res habeat, etsi vi lelicet raptæ raptor conjungatur, pœnis erit fornicatorum obnoxius, et non solum sic punietur raptor, sed et is qui puellæ etiam vitium attulit. Fornicatorum autem pœnas in quatuor annos definit. Et in his quidem præsens canon consistit. Lex autem civilis alio modo raptores punit, nec ullo modo permittit ut raptor raptæ conjungatur. Et tu lege prædictum canonem 27 synodi Chalced., et 92 sextæ. et can. 67 sanctorum apostolorum, et caput 30 tituli 9 præsentis operis et quæ in eis sunt. 80 Cum autem præsentem C canonem audis dicentem, ex consensu parentum vel cognatorum puellæ eam dari nuptum ei qui rapuit, ne dixeris parentum consensum eumque solum sufficere. Quoties enim sunt legitimæ nuptiæ, necessarius quoque est eorum qui conjunguntur consensus; sive in potestate sint, sive sui juris. Dicit enim cap. 2 tit. 4 lib. XXVIII hæc expresse: Non sunt legitimæ nuptiæ, nisi li qui conjunguntur consenserint et qui eos habent in potestate: si autem ex hac lege ad nuptias iis qui sunt in potestate suus est necessarius consensus, multo magis non fiet matrimonium eorum qui sunt sui juris, nisi ipsi quoque consenserint.

καὶ οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους. Ἐὰν δὲ χρεία κατὰ τὸν νόμον τοῦτον ἐν τοῖς γάμοις καὶ τῆς συναινέσεως τῶν ὑπεξουσίων, πολλῷ πλέον οὐ γενήσεται γάμος αὐτεξουσίων, εἰ μὴ καὶ αὐτοὶ συναινέσουσι.

ZONAR. Qui rapuerunt mulieres, inquit, easque D detinent, siquidem illæ prius aliis desponsæ fuerunt, non alia ratione ad pœnitentiam admittentur, nisi antea raptæ ab eis auferantur, moxque integrum sit iis, quibus fuerant desponsæ, eas, si velint, accipere. Si vero rapta nulli adhuc desponsa fuerat, tunc quoque ipsam a raptore abduci, tum parentibus, aliisve familiaribus, seu cognatis, seu aliis quibus mulieris cura commissa est, tradi canon jubet. Ita ut siquidem illi velint ipsam raptori fœdere nuptiarum jungere, nuptiæ consistant videlicet, si modo ipsa quoque mulier consenserit.

ΒΑΛΣ. Ὁ μὲν κζ' κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου, ὅστις καὶ ἀπαράλλακτος ϟβ' κανών ἐστι τῆς ς' συνόδου, διορίζεται τί ὀφείλει γίνεσθαι εἰς τοὺς ἁρπάζοντας γυναῖκας ἐπ' ὀνόματι συνοικεσίου· ὁ δὲ παρὼν κανὼν παρακελεύεται τοὺς μὲν ἁρπάζοντας γυναῖκας ἑτέρῳ μνηστευσαμένας μὴ ἄλλως εἰς μετάνοιαν δέχεσθαι, εἰ μὴ πρότερον δώσουσι τὰς ἁρπαγείσας, ἐφ' ᾧ τοὺς μνηστῆρας τούτων λαβεῖν B αὐτάς, ἐὰν θελήσωσιν· εἰ δὲ μή, εἶναι παρὰ τοῖς συγγενέσιν αὐτῶν. Τοὺς δὲ ἁρπάσαντας γυναῖκα ἐλευθέραν, καὶ οὕτως αὐτὴν ἀφαιρεῖσθαι καὶ παραδίδοσθαι τοῖς γονεῦσιν, ἢ τοῖς ἄλλως προσήκουσιν αὐτῇ· ὥστε, εἰ μὲν βούλονται οὗτοι, συζεύξαι αὐτὴν τῷ ἁρπαγὶ μετὰ καὶ συναινέσεως ταύτης· εἰ δὲ ἀπαρέσκονται, μὴ γενέσθαι τοῦτο. Ὡς ἂν δὲ τὰ τοῦ πράγματος ἔχωσιν, ἤγουν κἂν συζευχθῇ, τοῖς τῶν πορνευόντων ἐπιτιμίοις ὑποπεσεῖται, καὶ οὐ μόνον ὁ ἁρπαξ οὕτω κολασθήσεται, ἀλλὰ καὶ ὁ λάθρα μετὰ κόρης συμφθαρείς. Ὁρίζεται δὲ καὶ εἰς τετραετίαν τὰ τῶν πορνευόντων ἐπιτίμια. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις· ὁ δὲ πολιτικὸς νόμος ἀλλοτρόπως κολάζει τοὺς ἁρπαγας, καὶ οὐδὲ παραχωρεῖ ὁπωσδήποτε τὸν ἁρπάσαντα συζευχθῆναι τῇ ἁρπαγείσῃ. Καὶ ἀνάγνωθι τὸν ῥηθέντα κζ' κανόνα τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ τὸν ϟβ' τῆς ς', καὶ κανόνα ξζ' τῶν ἁγίων ἀποστόλων, καὶ κεφ. λ' τοῦ θ' τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτοῖς. Ἀκούων δὲ τοῦ παρόντος κανόνος λέγοντος κατὰ συναίνεσιν τῶν γονέων ἢ τῶν συγγενῶν τῆς κόρης δίδοσθαι ταύτην πρὸς γάμον τῷ ἁρπάσαντι, μὴ εἴπῃς ἀρκεῖν τὴν τῶν γονέων συναίνεσιν καὶ μόνην. Ὁσάκις γὰρ γάμος ἔννομος γίνεται, ἀναγκαία ἐστὶ καὶ ἡ συναίνεσις τῶν μελλόντων συζευχθῆναι, κἂν ὑπεξούσιοι ὦσι, κἂν αὐτεξούσιοι. Φησὶ γὰρ τὸ δεύτερον κεφ. τοῦ δ' τίτλου τοῦ κη' βιβλίου ταῦτα ῥητῶς· Οὐ γίνεται γάμος, εἰ μὴ συναινέσουσιν οἱ συναπτόμενοι, καὶ οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους. Ἐὰν δὲ χρεία κατὰ τὸν νόμον τοῦτον ἐν τοῖς γάμοις καὶ τῆς συναινέσεως τῶν ὑπεξουσίων, πολλῷ πλέον οὐ γενήσεται γάμος αὐτεξουσίων, εἰ μὴ καὶ αὐτοὶ συναινέσουσι.

ΖΩΝΑΡ. Οἱ ἁρπάσαντες γυναῖκας, φησὶ, καὶ ἔχοντες ταύτας, ἐὰν ἑτέροις ἐκείναι προεμνηστεύθησαν, οὐκ ἄλλως δεχθήσονται εἰς ἐπιτιμίαν, εἰ μὴ πρότερον ἀφαιρεθεῖεν τὰς ἁρπαγείσας, εἶτα εἰς ἐξουσίαν κεῖσθαι τῶν προμνηστευσαμένων αὐτὰς, εἰ βούλοιντο λαβεῖν αὐτάς· εἰ δὲ μήπω τινὶ μνηστευθεῖσα ἡ ἁρπαγεῖσά ἐστι, καὶ οὕτως αὐτὴν ἀφαιρεῖσθαι, διακελεύεται ἀπὸ τοῦ ἅρπαγος ὁ κανὼν, καὶ παραδίδοσθαι τοῖς γονεῦσιν ἢ τοῖς ἄλλοις οἷς μέλει τῆς γυναικός. Ὥστε εἰ μὲν βούλονται ἐκεῖνοι εἰς γυναῖκα συζεῦξαι αὐτὴν τῷ ἁρπαγι, συστῆναι γάμον, δηλονότι εἰ καὶ ἡ γυνὴ συναινέῖ.

Digitized by Google

Ἡ δὲ συναίνεσις αὐτῆς ἐπὶ τῶν ἄλλων ἐστὶν ἀναγκαία, οὐ μὴν καὶ ἐπὶ πατρὸς τοῦ ἔχοντος ὑπεξουσίαν αὐτήν· τῷ γὰρ πατρὶ ἀντιλέγειν οὐ δύναται, εἰ μή που μεμιασμένον τοῖς τρόποις ἢ ἀνάξιον αὐτῇ μνηστεύσηται, κατὰ τοὺς πολιτικοὺς νόμους. Εἰ δὲ οὐ βούλεται ἡ γυνή, κἂν βούλωνται οἱ οἰκεῖοι αὐτῆς, οὐ συστήσεται γάμος· εἰ δὲ καὶ ἡ γυνὴ θελήσει καὶ οἱ ταύτῃ προσήκοντες συστῆσαι συνοικέσιον μετὰ τοῦ φθείραντος αὐτὴν εἴτε λαθραίως εἴτε βιαίως, τῷ πορνευόντων ἐπιτιμίῳ ὁ φθορεὺς ὑποκείσεται, ὅπερ τετραετίαν εἶναι ὁ κανὼν ὁρίζει· καὶ ἐξῆς καταλέγει ὅπως ἐν τῇ τετραετίᾳ ὁ ἁμαρτήσας οἰκονομηθήσεται. Ταῦτα μὲν οὖν ὁ κανών· ὁ δὲ πολιτικὸς νόμος σφοδρότατα κολάζων τὸν ἁρπάσαντα γυναῖκα, οὐδὲ συζεύγνυσθαι αὐτῷ τὴν ἁρπαγεῖσαν παραχωρεῖ, κἂν οἱ αὐτῇ προσήκοντες τοῦτο βούλωνται. Λέγει γὰρ βιβλίον ξ', τίτλῳ ν', κεφ. η'· Μὴ γαμείσθω ἡ ἁρπαγεῖσα τῷ ἁρπάσαντι αὐτὴν, ἀλλὰ καὶ εἰ συναινέσουσι τῷ τοιούτῳ συνοικεσίῳ οἱ γονεῖς αὐτῆς, περιορίζονται.

A Hujus porro consensus, quod ad alios attinet est necessarius, non tamen adversus patrem qui eam in potestate habet. Patri namque adversari minime potest, nisi forte contaminatum moribus et indignum ipsi despondeat, ut civilibus constitutionibus sancitum est. Quod si non assentiatur mulier, etiamsi ipsius cognati velint, haud consistent nuptiæ. Cæterum quamvis et ipsa mulier et ipsius cognati consistere matrimonium cum eo velint qui ipsam sive occulte, sive per vim corrupit, fornicatorum pœnis erit corruptor obnoxius, quas ad quadriennium produci canon decrevit: ac deinceps, quonam modo hoc quadriennio cum eo qui peccavit agendum sit, explicat. Atque hæc quidem canon statuit. Lex porro civilis raptorem mulieris gravius B puniens, ne jungi quidem ipsi matrimonio raptam mulierem sinit, etiamsi cognati illius hoc velint. Sic enim habetur l. LV, tit. 50, cap. 8: Nullo modo nubat rapta mulier ei qui ipsam rapuit, sed irritas esse nuptias quantumvis eis parentes assensi fuerint, jubet.

ΑΡΙΣΤ. Ὁ μνηστευθεῖσαν ἁρπάζων, ἀποκαταστήσει τῷ μνηστευσαμένῳ· εἰ δὲ ἀμνήστευτον, τοῖς οἰκείοις ἐγκαταστήσει· καὶ κατὰ τὴν ἐκείνων γνώμην προβήσεται τὰ συνοικέσια, εἴγε βούλοιντο. Ὁ δὲ τὸ τῆς πορνείας ἐπιτίμιον εἴσεται.

ARIST. Qui desponsatam rapit, sponso restituet: si vero non desponsatam, suis reddet, et ex eorum sententia matrimonium contrahetur, si quidem velint: ipse vero fornicationis pœnas dabit.

Ὁ μὲν παρὼν κανὼν ἀπαιτεῖ τὴν μήπω μνηστευθεῖσαν γυναῖκα καὶ παρά τινος ἁρπαγεῖσαν, τοῖς οἰκείοις ταύτην ἀποκαθιστᾷν· εἴτε γονεῖς εἶεν, εἴτε ἀδελφοὶ, εἴτε ἄλλως διὰ τὴν ὀρφανίαν αὐτῆς κηδεμόνες. Δίδωσι δὲ αὐτοῖς ἄδειαν ἔκτοτε, εἰ βούλοιντο, μετὰ τοῦ ἁρπάσαντος αὐτὴν γάμον συναλλάττειν. Ὁ δὲ πεντηκοστὸς ὄγδοος τίτλος τοῦ ἑξηκοστοῦ βιβλίου τῶν Βασιλικῶν οὐ συγχωρεῖ τοῦτο γίνεσθαι, κἂν ἡ ἁρπαγεῖσα θέλῃ γυνὴ, κἂν οἱ γονεῖς αὐτῆς, τῷ ἁρπάσαντι συναφθῆναι πρὸς γάμον, ἀλλὰ καὶ προστάττει περιορίζεσθαι τοὺς γονεῖς, τῷ τοιούτῳ συναινοῦντας συνοικεσίῳ. Ὁ δὲ ἐννενηκοστὸς δὴ κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου ἀναθέματι τὸν λαϊκὸν ὑποβάλλει γυναῖκα ἁρπάζοντα ἐπὶ ὀνόματι συνοικεσίου. Καὶ χρὴ νοεῖσθαι τὸν κανόνα ἐκεῖνον κατὰ τὴν δύναμιν τοῦ παρόντος κανόνος· προστάττει γὰρ καὶ οὗτος μὴ πρότερον τῇ ἐκκλησίᾳ παραδέχεσθαι τὸν ἐξ ἁρπαγῆς γυναῖκα κατέχοντα, πρὶν ἢ αὐτὴν μεμνηστευμένην οὖσαν τῷ οἰκείῳ μνηστῆρι ἀποκαταστήσῃ· ἀμνήστευτον δὲ τοῖς οἰκείοις αὐτῆς γονεῦσιν ἢ ἀδελφοῖς, ἢ ἄλλως προεστῶσι· μετὰ γὰρ τὸ ἀποκαταστῆσαι αὐτὴν ὁ ἀναθεματισμὸς χώραν οὐχ ἕξει. Τὸν μέντοι πρὸ τοῦ γάμου λαθραίως ἢ βίᾳ διαφθείραντα γυναῖκα, εἶτα νομίμως συναφθέντα αὐτῇ, ἀνάγκη τὸ τῆς πορνείας ἐπιγνῶναι ἐπιτίμιον, ἐν τέσσαρσιν ἐνιαυτοῖς. Ἐν ἐνὶ μὲν τῇ θύρᾳ τῆς ἐκκλησίας προσκλαίοντα, ἐν τῷ δευτέρῳ μετὰ τῶν ἀκροωμένων, ἐν τῷ τρίτῳ μετὰ τῶν ὑποπιπτόντων, καὶ ἐν τῷ τετάρτῳ συνιστάμενον μετὰ τῶν πιστῶν, καὶ τῶν εὐχῶν αὐτοῖς κοινωνοῦντα καὶ οὕτω μετὰ τὴν τετραετίαν τῆς τοῦ ἀγαθοῦ κοινωνίας ἀξιούμενον.

Præsens quidem canon requirit ut mulier nondum desponsata et a quopiam rapta, suis illa restituatur, sive parentes sint, sive fratres, sive C aliter propter orbitatem illius curam gerunt. Concedit autem eis licentiam ut si velint illa cum raptore matrimonium tunc contrahat. At quinquagesimus octavus titulus sexagesimi libri Basilicorum illud fieri non permittit, licet mulier rapta velit, licet et parentes ejus ut raptori matrimonio conjungatur. Sed et mandat parentes istiusmodi consentientes matrimonio exterminari. At canon 93 sextæ in Trullo synodi laicum mulierem rapientem sub matrimonii nomine, anathemati subjicit; et intelligi istum oportet canonem juxta vim præsentis canonis. Mandat enim et hic eum qui ex raptu possedit mulierem, non prius in ecclesiam admitti, quam illam, si desponsa fuit, suo sponso restituit, aut si non desponsa fuit, propriis ipsius parentibus D aut fratribus vel aliter ei præfectis. Postquam enim illam restituit, anathematismus locum non habebit. Istum autem qui ante matrimonium clam aut vi mulierem corrupit et postea ei legitime conjunctus est, fornicationis pœnas luat necesse est, quatuor **81** annis. Primo quidem ad ecclesiæ fores defleat, secundo cum audientibus recipiatur, tertio cum substratis, et quarto, cum fidelibus congregatus et cum iis precum sit particeps. Et sic post quadriennium boni communione dignus habeatur.

ΚΑΝΩΝ ΚΓ'.

Περὶ τῶν δύο ἀδελφὰς γαμούντων, ἢ ἀδελφοῖς δυσὶ γαμουμένων, ἐπιστολίδιον ἡμῖν ἐκπεφώνηται· οὗ

CANON XXIII.

De his autem qui duas sorores uxores ducunt, vel eis quæ duobus fratribus nubunt, a nobis edita est

Digitized by Google

epistola, cujus exemplum tuæ pietati misimus. Qui autem sui fratris uxorem accepit, non prius admittetur quam ab ea recesserit.

BALS. Incestus quoque peccatum, post decessum a malo, sicut et alia peccata, ab ecclesiastica medicina curabitur. Interrogatus ergo sanctus, quid iis fieri oporteat qui cum duabus sororibus rem habent, et contra, dixit se de iis scripsisse epistolam : ea est autem quam scripsit ad Diodorum, et illic ostenditur quid agendum. Debent autem, qui hoc nefarium matrimonium contraxerunt, a malo recedere, et ita de curatione sciscitari. Lege ergo epistolam ad Diodorum, et quæ in ea sunt, et cap. 2 tit. 13 præsentis operis.

ZONAR. Epistolium, de quo hic sanctus memi- B nit, missum est ad Diodorum, quo cum uxor cujusdam diem suum obiisset, illius sororem ab ipso in nuptiarum societatem superinduci vetat, multisque et gravibus rationibus rem confirmat. Quod quidem nos suo loco explicabimus. Qui etiam fratris uxorem duxit, illius nempe qui vita functus est, non admittetur ad pœnitentiam, nisi ipsam dimiserit, illegitimumque connubium solverit.

ARIST. Fratrem fratris uxorem ducere impossibile est. *Perspicuus.*

CANON XXIV.

Viduam, quæ in viduarum numerum relata est, hoc est, quæ ab Ecclesia in diaconatum suscepta est, censuit Apostolus nubentem esse despiciendam. Viro autem viduo nulla est lex imposita, sed digamorum pœna tali sufficit. Porro vidua sexaginta annos nata, si rursus cum viro habitare voluerit, boni communione non dignabitur, donec ab impuritatis perturbatione cessaverit. Sed si ante sexaginta annos eam in numerum retulerimus, nostra est, non mulieris culpa.

BALS. Quemadmodum virgines feminæ cum laico habitu in ecclesiis collocabantur, et ex ecclesiæ reditibus alebantur, ita et viduæ cum eodem habitu ordinabantur. Dicit ergo sanctus, quod magnus Paulus istiusmodi viduam sive eam, quæ postquam in Ecclesia ordinata est, secundo nupsit, censuit seu definit despici, hoc est ab Ecclesia expelli; et si D ipsa quidem ante sexagesimum annum secundo nupserit, eam solam pœnam sustinebit. Est enim digna venia, ut quæ propter juniorem ætatem secundo nubere coacta sit, et ii potius qui eam, antequam sexagesimum annum compleverit, ordinarunt, sunt reprehendendi, ut qui apostolicam constitutionem transgressi sunt, quæ dicit : *Vidua eligatur non minor sexaginta annis*[1]. Quæ autem post annum sexagesimum continentiam infirmans, secundo nupsit, a sancta communione erit separata, donec ab impuritate cum viro abstinuerit. Sanctus enim impuritatem appellavit in ea ætate matrimonium. Virum

[1] 1 Tim. v, 9.

τὸ ἀντίγραφον ἀπεστείλαμέν σου τῇ εὐλαβείᾳ· ὁ δὲ ἀδελφοῦ ἰδίου γυναῖκα λαβών, οὐ πρότερον δεχθήσεται πρὶν ἀποστῆναι.

ΒΑΛΣ. Καὶ τὸ τῆς αἱμομιξίας ἁμάρτημα μετὰ ἀπόστασιν τοῦ κακοῦ ὑπὸ τῆς ἐκκλησιαστικῆς ἰατρείας θεραπεύεται, ὥσπερ καὶ ἄλλα ἁμαρτήματα· ἐρωτηθεὶς οὖν ὁ ἅγιος, τί χρὴ γίνεσθαι εἰς τοὺς συμφθαρέντας δυσὶν ἀδελφαῖς, καὶ τὸ ἀνάπαλιν, εἶπεν ὡς Περὶ τῶν τοιούτων ἔγραψα ἐπιστολίδιον· ἔστι δὲ τοῦτο τὸ πρὸς Διόδωρον, καὶ ἐκεῖθεν δηλοῦται τὸ ποιητέον. Τέως δὲ ὀφείλουσιν οἱ τοιοῦτον γάμον ἀθέμιτον συναλλάξαντες ἀποστῆναι τοῦ κακοῦ, καὶ οὕτως ἐρωτᾷν τὰ περὶ τῆς θεραπείας. Ἀνάγνωθι οὖν τὴν πρὸς Διόδωρον ἐπιστολήν, καὶ τὰ ἐν αὐτῇ, καὶ τὸ β' κεφ. τοῦ ιγ' τίτλου τοῦ παρόντος συντάγματος.

ΖΩΝΑΡ. Τὸ ἐπιστολίδιον, ὃ λέγει ὁ ἅγιος, πρὸς Διόδωρον ἀπεστάλη, ἀπαγορεῦον τὸ, τελευτησάσης τῆς γυναικός τινι τὴν ἀδελφὴν αὐτῆς εἰς γάμου κοινωνίαν αὐτὸν ἄγεσθαι, καὶ ἐκ πολλῶν καὶ γενναίων λογισμῶν τοῦτο κατασκευάζων. Ὅπερ ἐν τῷ οἰκείῳ τόπῳ ἐξηγηθήσεται. Ὃς καὶ τὴν γυναῖκα τοῦ ἀδελφοῦ ἔλαβεν, ἐκείνου δηλαδὴ τελευτήσαντος, οὐ δεχθήσεται ὡς μετανοῶν, εἰ μὴ αὐτὴν ἀποπέμψεται, καὶ λύσει τὸν ἄθεσμον γάμον.

ΑΡΙΣΤ. Ἀδελφὸν ἀδελφοῦ γυναῖκα ἔχειν ἀδύνατον. *Σαφής.*

ΚΑΝΩΝ ΚΔ'.

Χήραν τὴν καταλεγεῖσαν εἰς τὸν ἀριθμὸν τῶν χηρῶν, τουτέστι, τὴν διακονουμένην ὑπὸ τῆς Ἐκκλησίας, ὁ ἀπόστολος γαμουμένην παρορᾶσθαι. Ἀνδρὶ δὲ C χηρεύσαντι οὐδεὶς ἐπίκειται νόμος, ἀλλ' ἱκανὸν τῷ τοιούτῳ τὸ τῶν διγάμων ἐπιτίμιον. Ἡ μέντοι χήρα ἑξηκονταετὴς γεγονυῖα, ἐὰν ἕληται πάλιν ἀνδρὶ συνοικεῖν, οὐκ ἀξιωθήσεται τῆς τοῦ ἀγαθοῦ κοινωνίας, ἕως ἂν τοῦ πάθους τῆς ἀκαθαρσίας παύσηται· ἐὰν μέντοι πρὸ ἑξήκοντα ἐτῶν ἀριθμήσωμεν αὐτὴν, ἡμέτερον τὸ ἔγκλημα, οὐ τοῦ γυναίου.

ΒΑΛΣ. Ὥσπερ ἐτάττοντο παρθένοι γυναῖκες ἐν ταῖς ἐκκλησίαις μετὰ λαϊκοῦ σχήματος καὶ διῳκοῦντο ἀπὸ τῶν εἰσόδων τῆς ἐκκλησίας, οὕτω καὶ χῆραι μετὰ τοῦ αὐτοῦ σχήματος κατετάττοντο. Φησὶ τοῦν ὁ ἅγιος ὡς ὁ μέγας Παῦλος τὴν τοιαύτην χήραν, ἤγουν τὴν μετὰ τὸ καταταγῆναι εἰς Ἐκκλησίαν δευτερογαμήσασαν, ἔκρινεν, ἤγουν ὥρισε παρορᾶσθαι, τουτέστιν ἐξωθεῖσθαι ἀπὸ τῆς Ἐκκλησίας· καὶ εἰ μὴν πρὸ τοῦ ἑξηκονταετοῦς χρόνου αὕτη δευτερογαμήσει, ταύτην καὶ μόνην τὴν κόλασιν ὑποστήσεται. Συγγνώμης γάρ ἐστιν ἀξία ὑπὸ τῆς νεωτέρας ἡλικίας· καταναγκασθεῖσα δευτερογαμῆσαι, καὶ μᾶλλον οἱ κατατάξαντες αὐτὴν πρὸ τοῦ πληρῶσαι τὸν ἑξηκονταετῆ χρόνον ὀφείλουσιν αἰτιᾶσθαι ὡς παραβάντες τὴν τοῦ Ἀποστόλου διαταγὴν, τὴν λέγουσαν· *Χήρα καταλεγέσθω μὴ ἐλάττων ἐτῶν ἑξήκοντα.* Ἡ δὲ μετὰ τὸν ἑξηκονταετῆ χρόνον ἀθετήσασα τὴν σωφροσύνην, δευτερογαμήσασα, ἀφωρισμένη ἔσται τῆς ἁγίας μεταλήψεως, ἕως ἂν

Digitized by Google

ἀπόσχηται τῆς πρὸς τὸν ἄνδρα ἀκαθαρσίας. Ἀκαθαρσίαν γὰρ ἐκάλεσεν ὁ ἅγιος τὸν ἐν τοιούτῳ γήρᾳ γάμον. Τὸν μέντοι ἄνδρα, φησὶ, δευτερογαμοῦντα ὁ νόμος ἄλλως πως οὐ κολάζει, ἀλλὰ δι' ἐπιτίμιον διγάμων, ὅσπερ ἐστὶν ἀφορισμὸς ἐφ' ἑνα ἐνιαυτόν. Ἐπεὶ δὲ ἀποστολικῆς παραγγελίας ὁ ἅγιος ἐμνήσθη, ὀφείλεις εἰδέναι ὅτι ὁ μέγας Παῦλος ἐπιστέλλων Τιμοθέῳ φησί· *Χήρας τίμα τὰς ὄντως χήρας*· καὶ μετ' ὀλίγα, *Ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τὸν Θεόν· καὶ προσμένει ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς*, καὶ πάλιν μετά τινα· *Εἴ τις πιστὸς ἢ πιστὴ ἔχει χήρας, ἐπαρκείτω αὐταῖς, καὶ μὴ βαρείσθω ἡ Ἐκκλησία, ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ*· καὶ αὖθις· *Νεωτέρας χήρας παραιτοῦ*. Καὶ ταῦτα μὲν χάριν τῶν χηρῶν γυναικῶν τῶν καταλεγεισῶν εἰς τὴν Ἐκκλησίαν. Αἱ γὰρ μὴ τοιαῦται χῆραι, ὅτε δήποτε δευτερογαμοῦσι, τῷ τῶν διγάμων ἐπιτιμίῳ ὑποπέσουσιν ἐπίσης τοῖς ἀνδράσιν. Ἀνάγνωθι καὶ τὸ β' κεφ. τοῦ ιγ' τίτλου τοῦ παρόντος συντάγματος. Μὴ θαυμάσῃς δὲ πῶς οὐ διωρίσαντο οἱ κανόνες καταλέγεσθαι ταῖς ἐκκλησίαις μετὰ λαϊκοῦ σχήματος καὶ ἄνδρας χηρεύσαντας. Πλείων γὰρ φροντὶς ἐγένετο τοῖς Πατράσι τῶν γυναικῶν παρὰ τῶν ἀνδρῶν. Αἱ μὲν γὰρ γυναῖκες, μὴ ἔχουσαι τρόπους τῶν πρὸς ζωάρκειαν εἰσόδων, ἴσως εἰς δευτέρους ἐξ ἀνάγκης ἀποκλίνουσι γάμους, καὶ ταῦτα θέλουσαι σωφρονεῖν· καὶ διὰ τοῦτο βοηθεῖ αὐταῖς ἡ Ἐκκλησία, εἰς τὸ μὴ δευτερογαμῆσαι προφάσει πενίας· οἱ δὲ ἄνδρες, πολυτρόπως τὰ πρὸς ζωάρκειαν ποριζόμενοι, οὐκ ἔχουσι προβαλέσθαι τὴν πενίαν εἰς ἀποτροπὴν τοῦ αἰτιάματος τῆς δευτερογαμίας· καὶ διὰ τοῦτο οὐδὲ παρὰ τῶν ἐκκλησιῶν δέχονται καὶ ἐπιτρέφονται. Ἀκολούθως δὲ τῷ τοιούτῳ λογισμῷ, μὴ εἴπῃς ἀνεπιτιμήτους ὀφείλειν συντηρεῖσθαι τὰς γυναῖκας δευτερογαμούσας, καθά τινες λέγουσιν· ἀλλὰ καὶ αὗται τῷ ἐπιτιμίῳ τῶν δευτερογαμούντων ὑποπέσουσιν. Μαθήσῃ γὰρ ἀπὸ τοῦ ιδ' τίτλου τοῦ κη' βιβλίου ἔτι πλειόνως αἱ γυναῖκες δευτερογαμοῦσαι κολάζονται παρὰ τοὺς δευτερογαμοῦντας ἄνδρας.

A autem, inquit, qui secundo uxorem ducit, non ullo alio modo lex punit, quam per digamorum pœnam, quæ est ad unum annum segregatio. Quia autem sanctus præcepti apostolici meminit, debes scire quod magnus Apostolus ad Timotheum scribens, dicit: **82** *Honora viduas, quæ vere sunt viduæ* [1]. Et paulo post: *Quæ est autem vere vidua, et sola relicta speravit in Deum, et permanet in precibus et orationibus* [2]. Et rursus postea: *Si quis vel quæ fidelis habet viduas, eis suppeditet, et ne gravetur Ecclesia, ut iis quæ vere sunt viduæ opem ferat* [3]. Et rursus: *Juniores autem viduas devita* [4]. Et hæc quidem de viduis mulieribus, quæ in Ecclesiam cooptatæ sunt. Quæ enim tales non sunt, quotiescunque secundo nupserint, in bigamorum pœnas B incident æque ac viri. Lege et caput 2 tit. 13 præsentis operis. Ne mireris autem, quomodo non definierunt canones, ut viri etiam vidui cum laico habitu in ecclesiis ordinentur. Patres enim majorem mulierum quam virorum rationem habent. Mulieres enim, ut quæ non tenent modum eorum parandorum, quæ sunt vitæ necessaria, ad secundas forte nuptias necessario divertunt, licet velint esse continentes: et ideo eis succurrit Ecclesia ne secundo nubant paupertatis prætextu. Viri autem, qui multis modis quæ sunt ad victum necessaria comparant, non possunt paupertatem prætexere ad depellendam secundi matrimonii reprehensionem: et propterea nec ab ecclesiis quidem admittuntur et alumtur. Consequenter autem huic rationi C ne dixeris debere mulieres impunitas remanere, ut nonnulli dicunt, quæ secundo nupserint; sed et ipsæ secundo nubentium pœnæ subjiciantur. Intelliges autem ex tit. 14 lib. XXVIII quod mulieres quæ secundo nubunt magis puniuntur, quam viri qui uxores secundo duxerunt.

ΖΩΝΑΡ. Ὁ μέγας Παῦλος Τιμοθέῳ ἐπιστέλλων φησί· *Τίμα χήρας τὰς ὄντως χήρας*· καὶ μετ' ὀλίγα· *Ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τὸν Θεόν· καὶ προσμένει ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς*· καὶ πάλιν μετά τινα· *Εἴ τις πιστὸς ἢ πιστὴ ἔχει χήρας, ἐπαρκείτω αὐταῖς, καὶ μὴ βαρείσθω ἡ Ἐκκλησία, ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ*· καὶ αὖθις· *Νεωτέρας δὲ χήρας παραιτοῦ*. Κατὰ γοῦν τὴν τοῦ Ἀποστόλου διαταγὴν κατεστάττοντο αἱ ὄντως χῆραι ἐν ταῖς ἐκκλησίαις, καὶ ἐκεῖθεν ἐτρέφοντο. Διὰ ταῦτα γοῦν φησιν ὁ μέγας Βασίλειος ὅτι, ἐὰν χήρα συντεχθεῖσα ταῖς χήραις ταῖς διακονουμέναις ὑπὸ τῆς Ἐκκλησίας, εἰς γάμον ἀποκλίνῃ, παροραθήσεται, καὶ οὐκέτι ἐκ τῆς Ἐκκλησίας ἕξει τὰ πρὸς διοίκησιν· τοῖς δὲ χηρεύσασιν ἀνδράσι οὐδεὶς ἐπίκειται νόμος· ἀντὶ τοῦ, οὐδεὶς κολάζει νόμος πνευματικὸς τοὺς ἄνδρας δευτέροις ὁμιλοῦντας γάμοις. Ἔχουσι γὰρ ἀρκοῦν τὸ τῶν διγάμων ἐπιτίμιον, ὅπερ ἀφορισμός ἐστιν ἐφ' ἑνα χρόνον. Ἡ δὲ χήρα, ἑξήκοντα ἐτῶν γενομένη, καὶ

ZONAR. Magnus Paulus ad Timotheum scribens, ait: *Viduas honora, quæ vere viduæ sunt.* Et paulo post: *Ea autem quæ vere vidua est, et desolata, speret in Deum, et instet orationibus et obsecrationibus.* Et rursum nonnullis interjectis: *Si quis vel quæ fidelis habet viduas, subministret illis, et non gravetur Ecclesia, ut iis quæ vere viduæ sunt suppeditet.* Et rursum: *Juniores viduas devita.* Igitur ex Apostoli præcepto constituebantur, quæ vere viduæ essent, in ecclesiis, atque ex earum reditibus alebantur. Propter hæc ergo ait magnus Basilius, si quæ vidua adscripta viduis in diaconatum susceptis, hoc est, quas Ecclesia alebat, quibusque ministrabat, ad nuptias propendeat, despicietur, nec alimenta illi amplius ab Ecclesia suppeditabuntur. Viduis autem hominibus nulla posita lex est. Nulla spiritualis lex homines punit, qui secundis sese nuptiis illigaverint. Sufficit ipsis namque digamorum pœna, nempe unius anni segregatio. Vidua autem mulier sexaginta annos nata, ac proinde viduarum

[1] I Tim. v, 3. [2] Ibid. 5. [3] Ibid. 16. [4] Ibid. 11.

Digitized by Google

ordini in ecclesiis adscripta, si nuptias eligat, a sancta communione segregata deget, quoadusque se a viro disjunxerit. Impuritatis enim nomine nuptialem hanc in senectute commistionem vir sanctus vocavit. Si vero ante sexaginta annos ipsam inter Ecclesiæ viduas annumerabimus, moxque peccet viro sociata, nostrum id jam fuerit, non mulierculæ crimen. Nos etenim, ait, accusari par est, quippe violatores ab Apostolo promulgatæ legis, cujus illa sunt : *Vidua eligatur non minor sexaginta annis :* illa porro venia digna, quæ nempe ad senectutem nondum pervenerit.

ARIST. Si nubat vidua in diaconum cooptata, despicitur. Viduus autem qui uxorem duxit, bigamorum solummodo pœnas solvet. Vidua autem post sexaginta annos nupta, communione privetur, donec ab impuritate recesserit. Si quis vero ante sexaginta annos in catalogum quempiam retulerit, crimine illius obstringetur.

Viduæ quæ in viduarum numerum referuntur, et ab Ecclesia aluntur, si ad matrimonium veniant, non amplius provisione ab Ecclesia dignæ censeantur, sed negligantur. **83** Idcirco itaque eas quæ nondum sexagesimum annum attigerunt in viduarum ordinem recensere non oportet. Si autem vidua cum sexaginta transgit annos cum viro cohabitare iterum elegit, boni communione digna ne habeatur donec ab impuritatis perturbatione cessaverit.

CANON XXV.

Qui a se stupratam in uxorem detinet, stupri quidem pœnam subibit : ei autem mulierem habere permittetur.

BALS. Stuprum proprie dicitur in virginibus et in impubere. Dicit ergo sanctus, quod qui virginem nondum sibi sponsatam in legitimum conjugium stupraverit, etiamsi velit post stuprum eam uxorem habere, non juvabitur ad hoc ut stupri pœnam effugiat. Debebat enim primum efficere, ut ea sibi desponderetur, et ita cum ea rem habere; quod si hoc non fecerit, in stupri quidem pœnam incidet, in legitimam autem uxorem eam habere illi permittetur. Hoc autem fiet, si illius etiam parentes consenserint. Est enim stupri pœna triennium, per quod similiter punitur et qui stupravit, et quæ stuprata est. Lege can 38 præsentis sancti. Hæc autem locum habent in iis qui sunt in potestate. Qui enim sunt sui juris, in pœnam quidem incidunt, secundum leges autem consentientes conjunguntur. Sin autem vir nolit eam quæ a se stuprata est uxorem ducere, fiet secundum caput 3 tit. 37 libri LX, quod sic dicit : Qui venerandam et nobilem mulierem stuprat seu habet in concubinatu, nec hoc suo facit testimonio manifestum, vel eam ducit uxorem, si hoc recusans, petulantiam committat, non item et adulterium, eo videlicet quod ex suo corpore quæstum non facit. Quære etiam lib. XXVIII, tit. 4, cap. 12 13, et lib. XLVII, tit. 6, cap. 57.

A οὕτω καταταγεῖσα ταῖς χήραις ταῖς ἐν ἐκκλησίαις, ἐὰν γάμον αἱρετίσηται, ἀφωρισμένη ἔσται τῆς ἁγίας μεταλήψεως, ἕως ἂν ἀπόσχηται τοῦ ἀνδρός. Ἀκαθαρσίαν γὰρ ἐκάλεσεν ὁ ἅγιος τὴν ἐν γήρᾳ μίξιν. Ἐὰν δὲ πρὸ τῶν ἑξήκοντα ἐτῶν ἀριθμήσωμεν αὐτὴν ταῖς χήραις τῆς Ἐκκλησίας, καὶ ἐκπέσῃ ἀνδρὶ μιγεῖσα, ἡμέτερον τὸ ἔγκλημα, οὐ τοῦ γυναίου. Ἡμᾶς γάρ, φησίν, αἰτιᾶσθαι δίκαιον, ὡς παραβάντας τὴν τοῦ Ἀποστόλου διαταγὴν, λέγοντος· *Χήρα καταλεγέσθω μὴ ἐλάττων ἐτῶν ἑξήκοντα* · ἡ δὲ συγγνώμης ἀξία ὡς μήπω εἰς γῆρας ἐλθοῦσα.

ΑΡΙΣΤ. Εἰ γήμειε διακονουμένη χήρα, παροράται. Ὁ δὲ χηρεύων, γήμας, μόνον τὸ τῶν διγάμων ἐπιτίμιον γνοίη. Ἡ δὲ μετὰ ἑξήκοντα ἔτη λαμβάνουσα χήρα ἀκοινώνητος, ἕως ἀποστῇ τῆς ἀκαθαρσίας. Εἰ δέ τις πρὸ τῶν ἑξήκοντα χρόνων ἐγκαταλέξεται, ἐκείνης τὸ ἔγκλημα ἄψεται.

Αἱ ἐγκαταλεγόμεναι χῆραι εἰς τὸν ἀριθμὸν τῶν χηρῶν, καὶ ὑπὸ τῆς Ἐκκλησίας διατρεφόμεναι, ἐὰν πρὸς γάμον ἔλθωσιν, οὐκέτι προνοίας τινὸς ἀξιοῦνται παρὰ τῆς Ἐκκλησίας, ἀλλὰ παρορῶνται. Διὰ τοῦτο γοῦν τὰς μήπω οὔσας ἑξήκοντα χρόνων οὐ δεῖ εἰς τὸ τάγμα τῶν χηρῶν ἐγκαταλέγειν. Ἐὰν δὲ ἑξήκοντα ἐτῶν οὖσα χήρα συνοικήσαι ἀνδρὶ πάλιν ἕληται, μέχρις ἂν τοῦ πάθους τῆς ἀκαθαρσίας παύσηται, τῆς τοῦ ἀγαθοῦ κοινωνίας οὐκ ἀξιωθήσεται.

ΚΑΝΩΝ ΚΕ'.

Τὴν διεφθαρμένην ὑφ' ἑαυτοῦ εἰς γυναῖκα κατέχων, τὸ μὲν ἐπὶ τῇ φθορᾷ ἐπιτίμιον ὑποστήσεται, τὴν δὲ γυναῖκα ἔχειν συγχωρηθήσεται.

ΒΑΛΣ. Κυρίως φθορὰ ἐπὶ τῆς παρθένου λέγεται καὶ ἐπὶ τῆς ἀνήβου. Φησὶ γοῦν ὁ ἅγιος ὅτι ὁ παρθένον φθείρας μήπω κατεγγυηθεῖσαν αὐτῷ εἰς νόμιμον γάμον, κἂν θελήσῃ μετὰ τὴν φθορὰν ἐς γυναῖκα ἔχειν ταύτην, οὐκ ὠφεληθήσεται εἰς τὸ ἐκφυγεῖν τὸ ἐπιτίμιον τῆς φθορᾶς. Ὤφειλε γὰρ πρότερον νομίμως μνηστεύσασθαι ταύτην καὶ οὕτω μιγῆναι αὐτῇ· μὴ ποιήσας δὲ τοῦτο, τῷ μὲν ἐπιτιμίῳ τῆς φθορᾶς ὑποπεσεῖται, παραχωρηθήσεται δὲ ἔχειν ταύτην εἰς γυναῖκα νόμιμον. Τοῦτο δὲ γενήσεται, ἐὰν οἱ γονεῖς αὐτῆς συναινῶσι. Τὸ μέντοι ἐπιτίμιον τῆς φθορᾶς τρία ἔτη εἰσὶ, δι' οὗ κολάζονται ὁμοίως καὶ ὁ φθείρων, καὶ ἡ φθαρεῖσα. Καὶ ἀνάγνωθι τὸν λη' κανόνα τοῦ παρόντος ἁγίου. Ταῦτα δὲ ἐπὶ ὑπεξουσίων χώραν ἔχουσιν. Οἱ γὰρ αὐτεξούσιοι τῷ μὲν ἐπιτιμίῳ ὑπόκεινται, κατὰ νόμους δὲ συζεύγνυνται συναινοῦντες. Εἰ δὲ ὁ ἀνὴρ οὐ θέλει τὴν ἐπ' αὐτοῦ φθαρεῖσαν λαβεῖν εἰς γυναῖκα, γενήσεται κατὰ τὸ γ' κεφ. τοῦ λζ' τίτλου τοῦ ξ' βιβλίου, τὸ λέγον οὕτως· Ὁ γυναῖκα σεμνὴν καὶ εὐγενῆ παλλακευόμενος, καὶ μὴ ποιῶν ἐν ἐκμαρτυρίῳ τοῦτο κατάδηλον, ἢ γαμετὴν αὐτὴν ἔχει, εἰ τοῦτο παραιτούμενος ἀσέλγειαν πλημμελῇ, οὐ μὴν καὶ μοιχείαν δηλονότι· ἐν ᾧ πόρον ἐκ τοῦ ἰδίου σώματος οὐκ ἐποίησε. Ζήτει καὶ βιβλίου κη' τίτλου δ' κεφ. ιβ', ιγ', καὶ βιβλίου μζ', τίτλου ς' κεφ. λζ'.

Digitized by Google

ΖΩΝΑΡ. Ἐάν τις παρθένον ἀμνήστευτον φθείρῃ, καὶ κατὰ τὴν φθορὰν ὡς συζύγῳ αὐτῇ χρῆται, τῷ μὲν τῆς φθορᾶς ἐπιτιμίῳ ὑποκείσεται, τὴν δὲ γυναῖκα οὐκ ἀφαιρεθήσεται· δηλονότι ἐὰν οἱ γονεῖς αὐτῆς, οἷς ὑπεξουσία ἐστὶ, καταδέχωνται τὴν μετ' ἐκείνου συνοίκησιν τοῦ γυναίου. Εἰ γὰρ ἐκεῖνοι οὐ βούλονται, καὶ κολασθήσεται κατὰ τὸν πολιτικὸν νόμον, εἰ παρθένος ἦν ἡ φθαρεῖσα.

ΑΡΙΣΤ. Ὃς ἔχει τὴν ἣν ἔφθειρε, συγχωρούμενος ἔχειν, τὸ ἐπιτίμιον γνώσεται.

Ὅστις βούλεται γυναῖκα ἔχειν, ἣν πρὸ τοῦ γάμου διέφθειρε, συγχωρηθήσεται κατέχειν αὐτήν· τὸ δὲ ἐπὶ τῇ φθορᾷ ἐπιτίμιον εἴσεται ἐν τέσσαρσιν ἐνιαυτοῖς· καθὼς ἐν τῷ εἰκοστῷ δευτέρῳ κανόνι ἐγράφη.

ΚΑΝΩΝ ΚϚ'.

Ἡ πορνεία γαμος οὐκ ἔστιν, ἀλλ' οὐδὲ γάμου ἀρχή. Ὥστε ἐὰν ᾖ δυνατὸν τοὺς κατὰ πορνείαν συναπτομένους χωρίζεσθαι, τοῦτο κράτιστον· ἐὰν δὲ στέργωσιν ἐκ παντὸς τρόπου τὸ συνοικέσιον, τὸ μὲν τῆς πορνείας ἐπιτίμιον γνωριζέτωσαν, ἀφιέσθωσαν δὲ, ἵνα μὴ χεῖρόν τι γένηται.

ΒΑΛΣ. Εἰπὼν ὁ ἅγιος τί ὀφείλει γίνεσθαι εἰς τὸν φθείραντα παρθένον, ἀρτίως ὑποτυποῖ καὶ τὰ περὶ τῶν συνελθόντων πορνικῶς· καὶ φησιν ὅτι ἡ πορνεία οὔτε γάμος λογίζεται, οὔτε γάμου ἀφορμὴ, ὥστε ἀναγκάζεσθαι θάτερον τῷ ἑτέρῳ συνάπτεσθαι γαμικῶς. Ἀλλὰ ἄριστον μέν ἐστι χωρίζεσθαι αὐτοὺς, ἤγουν μὴ παραχωρεῖσθαι τὴν μέσον αὐτῶν γαμικὴν συνάφειαν, ὅτι ἐκθεσμος καὶ κατάκριτός ἐστιν ὁ τοῦ τοιούτου γάμου θεμέλιος· εἰ δὲ στέργουσιν ἀπαραιτήτως καὶ ἅμῳ τὴν συμβίωσιν, μὴ ἀνεχόμενοι τοῦ ἀπ' ἀλλήλων χωρισμοῦ, ἐπιτιμάσθωσαν μὲν ὡς πορνεύσαντες, παραχωρείσθωσαν δὲ συνοικεῖν, ἵνα μὴ χεῖρόν τι γένηται, ἤγουν, ἵνα μὴ διαζυγέντες πάλιν λάθρα πορνεύσωσι, τουτέστιν, ἵνα μὴ ἑτέροις συναφθέντες προσώποις οὐκ ἐπιμείνωσι τῷ νομίμῳ γάμῳ, ἀλλὰ μοιχείαν ἐργάσωνται, ἢ ἵνα μὴ κωλυόμενοι διαχειρίσωνται ἑαυτοὺς διὰ τὸ τοῦ ἔρωτος διακαές. Ταῦτα δὲ χώραν εἶχον, ὡς ἐμοὶ δοκεῖ, ὅταν συναινέσει μόνῃ ὁ γάμος συνίστατο, οὐ μὴν καὶ σήμερον, ὅταν διὰ ἱερολογίας καὶ θείας μεταλήψεως τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ ὁ γάμος συνίσταται. Πῶς γὰρ οἱ ἐπιτιμηθέντες διὰ τὴν πορνείαν, καὶ τῶν ἁγιασμάτων μὴ μεταλαμβάνοντες, γαμικῶς ἀλλήλοις συνέλθωσιν; Εἰ δὲ εἴπῃς, μετὰ τὸ ἐπιτιμηθῆναι τοὺς πορνεύσαντας ἐπὶ ὅλῃ τριετίᾳ, μὴ πορνεῦσαι, οὐκ ἐμποδισθήσῃ παραχωρῆσαι τούτους μετὰ τὴν τριετίαν νομίμως συναφθῆναι. Ἐρωτήσει δέ τις, Διὰ τί τὴν μὲν παρθένον μετὰ τὴν φθορὰν διορίζεται ὁ ἅγιος νομίμως συνάπτεσθαι τῷ φθορεῖ, τοὺς δὲ πορνεύσαντας εὐκόλως μίγνυσθαι γαμικῶς οὐ παραχωρεῖ, ἀλλὰ μετὰ διαστίξεως; Λύσις. Τὴν μὲν παρθένον ἴσως μετὰ τὴν φθορὰν οὐδεὶς αἱρετίσεται πρὸς γάμον λαβεῖν, καὶ εἰ μὴ παραχωρηθῇ τῷ φθορεῖ γαμηθῆναι, περιλειφθήσεται ἄτιμος καὶ ἐλέους ἀξία· ἡ δὲ πορνευθεῖσα οὐ ζημιοῦται τοσοῦτον, ἐὰν μὴ γαμηθῇ τῷ πορνεύσαντι

ZONAR. Si quis virginem sibi non desponsatam corruperit, eaque post stuprum illatum tanquam conjuge utitur; stupri quidem pœnis erit obnoxius, non tamen ab eo mulier auferetur: si videlicet ipsius parentes, quorum illa est in potestate, feminam cum illo traducere vitam sinunt. Etenim si illi nolint, punietur præterea civilium legum decreto, si virgo erat, quæ corrupta fuit.

ARIST. Qui eam habet quam corrupit, permissus habere pœnæ subjiciatur.

Quicunque mulierem quam ante matrimonium vitiavit, habere cupit, ei istam detinere permittetur. At stupri supplicium est quatuor annis, quemadmodum in vicesimo secundo canone scriptum est.

CANON XXVI.

Fornicatio non est matrimonium, séd nec initium matrimonii. Quare si fieri possit, ut qui per fornicationem conjuncti sunt separentur, id est melius: sin autem eis omnino placeat consortium, fornicationis quidem pœnam agnoscant; ne separentur autem, ne quid deterius accidat.

BALS. Postquam dixit sanctus quid eis debet fieri, qui virginem stuprant, nunc decernit de iis qui in fornicationem coierunt; et dicit, quod fornicatio nec matrimonium habetur, nec matrimonii occasio, ut alter alteri necessario jungatur, sed optimum quidem est eos separari, non permitti scilicet inter eos intercedere matrimonialem conjunctionem, quoniam nefarium est et damnandum harum nuptiarum fundamentum: sin autem eis ita placeat vitæ societas, ut a se invicem discedere sibi nequeant persuadere, puniantur quidem ut fornicatores; eis autem simul habitare permittatur, ne quid deterius accidat, 84 ne scilicet separati rursus clanculum fornicentur, hoc est, ne aliis personis conjuncti in legitimo matrimonio non permaneant, sed adulterium committant, vel ne prohibiti sibi violentas manus inferant propter amoris vehementiam. Hæc autem, ut mihi videntur, locum habuerunt, quando solo consensu contrahebatur matrimonium, non autem etiam hodie quando per sacrum officium et divinam corporis et sanguinis Christi participationem matrimonium constituitur. Quomodo enim ii, quibus fornicationis pœna injuncta est, nec sacramentorum fuere participes, inter se matrimonialiter convenerint? Quod si dixeris, postquam iis qui fornicati sunt pœna injuncta fuerit toto triennio, ne fornicentur, non prohiberis eis concedere, ut post triennium legitimo matrimonio conjungantur. Interrogaverit autem quispiam, Cur virginem quidem post stuprum decernit sanctus stupratori legitime conjungi, eos autem qui fornicati sunt matrimonio facile conjungi non sinit, nisi cum distinctione. Solutio. Virginem quidem post ei allatum stuprum nemo fortasse volet in matrimonium accipere, et nisi illi permittatur ei qui stupravit nubere, dedecore affecta ac miserabilis relinquetur. Quæ

Digitized by Google

autem fornicata est non tanto damno afficitur, si ei quocum ipsa fornicata est non nupserit : est enim ab alio devirginata. Si ergo non magnum malum ex eorum qui fornicati sunt separatione evenit, et nec qui fornicati sunt toto animo matrimonio insistunt, præferetur separatio, et per ipsam abstinentia a malo. Præterea interrogabit quispiam, Cum cap. 3. tit. 37. lib. LX, decernat ut qui cum honesta muliere in concubinatu rem habet, eam ducere cogatur, quomodo decernit præsens canon ut qui fornicati sunt separentur? Solutio. Differentia est inter concubinam seu pellicem, et fornicatricem. Illa enim, concubina scilicet, quæ cum uno tantum peccat, etiam a lege agnoscitur. Quæ autem cum multis fornicata est, nec a lege quidem agnoscitur ; sed etiam a fornicatoris ædibus expellitur, ut, de quo diximus, caput dicit. Præsens itaque canon loquens de fornicatrice recte legique consentanee decernit, cum hac distinctione, ut qui fornicati sunt legitimæ conjungantur.

A μετ' αὐτῆς· παρ' ἑτέρου γὰρ διακορήθη. Εἰ γοῦν μὴ πρόκειταί τι κακὸν μέγα ἐκ τῆς διαστάσεως τῶν πορνευσάντων, καὶ οὐδὲ ὀλοψύχως οἱ πορνεύσαντες τοῦ γάμου ἐξέχονται, πρωτιμηθήσεται δὴ ἡ διάστασις καὶ ἡ διὰ ταύτην ἀποχὴ τοῦ κακοῦ. Ἔτι ἐρωτήσει τις, ὡς Τοῦ γ' κεφ. τοῦ λζ' τίτλου τοῦ ξ' βιβλίου διοριζομένου τὸν παλλακευόμενον μετὰ σώφρονος γυναικὸς ἀναγκάζεσθαι ταύτην εἰς γάμον λαβεῖν, πῶς ὁ παρὼν κανὼν διορίζεται τοὺς πορνεύσαντας χωρίζεσθαι ; Λύσις. Διαφορά ἐστι παλλακῆς καὶ πόρνης. Ἡ μὲν γὰρ, ἤγουν ἡ παλλακὴ, εἰς μόνον τὸν παλλακευόμενον ἁμαρτάνουσα, ἐπιγινώσκεται καὶ τῷ νόμῳ· ἡ δὲ, μετὰ διαφόρων πορνεύσασα, οὔτε τῷ νόμῳ ἐπιγινώσκεται, ἀλλὰ καὶ τῆς τοῦ πορνεύοντος κατοικίας ἐξωθεῖται, καθὼς τὸ διαληφθὲν φησι κεφάλαιον. Ὁ γοῦν παρὼν κανὼν περὶ πόρνης διαλεγόμενος καλῶς καὶ ἀκολούθως τῷ νόμῳ διορίζεται μετὰ διαστίξεως τοὺς πορνεύσαντας νομίμως συνάπτεσθαι.

B

ZONAR. Si fœminæ quispiam occulte commisceatur, nec matrimonium id existimabitur, nec matrimonii occasio, ut ex eo dicant quidam oportere, quandoquidem cum ipsa rem habuit, eamdem ipsi uxorem habendam concedi. Verum optimum sane consilium est, ipsos invicem sejungi ; siquidem infirmum est et illegitimum hujusce matrimonii fundamentum. Cæterum si mutuam vitæ societatem retinere plane, hoc est obdurato animo, uterque optat, nec institutam conjunctionem dirimi patitur, fornicatorum quidem subjiciantur pœnis, cæterum matrimonii contrahendi facultas detur, ne deterius quidpiam contingat, videlicet, ne separati iterum occulte commisceantur, et fornicationis illigentur crimine ; aut ne alteri juncta mulier, amore vero ejus a quo corrupta fuerat in pellente, in adulterium prolabatur ; vel, ne mutuo amore flagrantes, creptaque conjugii potestate, seipsos interficiant, ob vehementem amoris flammam mutuumque divortium.

ΖΩΝΑΡ. Τὸ λάθρα τινὰ συμφθαρῆναι γυναῖκα οὔτε γάμος λογισθήσεται, οὔτε γάμου ἀφορμή· ὥστε λέγειν τινὰς ὅτι, ἐπεὶ συνεφθάρη αὐτῇ, δεῖ ἐκδοθῆναι ταύτην αὐτῷ εἰς γυναῖκα. Ἀλλὰ ἄριστον μέν ἐστι χωρίζεσθαι αὐτούς· ὅτι σαθρός ἐστι καὶ ἔκθεσμος ὁ τοῦ τοιούτου γάμου θεμέλιος. Εἰ δὲ στέργουσι καὶ ἄμφω τὴν μετ' ἀλλήλων συμβίωσιν ἐκ παντὸς, ἀντὶ τοῦ ἀπαραιτήτως, μὴ ἀνεχόμενοι τῆς ἀπ' ἀλλήλων διαζυγῆς, ἐπιτιμάσθωσαν μὲν ὡς C πορνεύσαντες, παραχωρείσθωσαν δὲ συνοικεῖν, ἵνα μὴ χεῖρόν τι γένηται, ἵνα μὴ καὶ διαζυγέντες πάλιν λάθρα μίγνυνται καὶ πορνεύωσιν, ἢ ἵνα μὴ ἑτέρῳ συζυγεῖσα ἡ γυνὴ, φιλοῦσα δὲ τὸν ἁρπάσαντα αὐτὴν, εἰς μοιχείαν ἐκκυλισθῇ· ἢ ἵνα μὴ, στέργοντες ἀλλήλους, καὶ κωλυόμενοι συνοικεῖν, διαχειρίσωνται ἑαυτοὺς διὰ τὸ τοῦ ἔρωτος διακαὲς καὶ τὴν ἀπ' ἀλλήλων διάζευξιν.

ARIST. Si per fornicationem copulatus disjungatur, id melius est. Si vero indivulse conjungatur, nihil ei concedatur, pœna susceptа.

ΑΡΙΣΤ. Εἰ ὁ συζυγεὶς κατὰ πορνείαν διαζεύγνυται, κάλλιον· εἰ δὲ ἀδιασπάστως συνέζευκται, συγχωρείσθω, δεχόμενος τὸ ἐπιτίμιον.

Matrimonium tum est venerabile et honorandum cum a fornicatione purum est. Et idcirco fornicatio nec matrimonium est, nec matrimonii initium, sed peccatum et divinæ legis transgressio. Adeo ut si quis per fornicationem cum muliere contaminetur, ab ea recedere, si fieri potest, optimum sit. Si autem a se invicem nullo modo divelli possint, et dispositione matrimoniali postea cohabitare velint, fornicationis supplicium subeant. Permittatur autem eis ita se habere, ne quid deterius contingat.

Ὁ γάμος ἐν τούτῳ ἔχει τὸ σεμνὸν καὶ τὸ τίμιον, ἐν τῷ καθαρεύειν πορνείας. Καὶ διὰ τοῦτο ἡ πορνεία οὔτε γάμος ἐστὶν οὔτε γάμου ἀρχὴ, ἀλλὰ ἁμαρτία, καὶ θείου νόμου παράβασις. Ὥστε, ἐὰν κατὰ πορνείαν τις συμφθείρηται μετὰ γυναικὸς, ἀποστῆναι αὐτῆς, ἐὰν ἐστι δυνατὸν, κράτιστόν ἐστιν· ἐὰν δὲ ἐκ παντὸς τρόπου ἀδιασπάστως ἔχωσι πρὸς ἀλλήλους, καὶ βούλωνται γαμικῇ συνοικεῖν ἕξει τότε διατίθεσι, τὸ μὲν τῆς πορνείας δεχέσθωσαν ἐπιτίμιον· ἀφιέσθωσαν δὲ οὕτως ἔχειν, ἵνα μὴ χεῖρόν τι γένηται.

85 CANON XXVII.

De presbytero, qui per ignorantiam nefariis nuptiis implicatus est, definivi quæ oporteat, esse quidem cathedræ participem, a reliquis autem actionibus abstinere ; ei enim sufficit, ut veniam consequatur. Ut is autem aliis benedicat, qui sua

ΚΑΝΩΝ ΚΖ'.

Περὶ τοῦ πρεσβυτέρου τοῦ κατὰ ἄγνοιαν ἀθέσμῳ γάμῳ περιπαρέντος ὥρισα ἃ ἐχρῆν, καθέδρας μὲν μετέχειν, τῶν δὲ λοιπῶν ἐνεργειῶν ἀπέχεσθαι· ἀρκετὸν γὰρ τῷ τοιούτῳ ἡ συγγνώμη. Εὐλογεῖν δὲ ἑτέρους τὸν τὰ οἰκεῖα τημελεῖν ὀφείλοντα

Digitized by Google

τραύματα ἀνακόλουθον. Εὐλογία γὰρ ἁγιασμοῦ μετάδοσίς ἐστιν. Ὁ δὲ τοῦτο μὴ ἔχων διὰ τὸ τῆς ἀγνοίας παράπτωμα, πῶς ἑτέρῳ μεταδώσει; Μήτε τοίνυν δημοσίᾳ μήτε ἰδίᾳ εὐλογείτω, μήτε τὸ σῶμα τοῦ Χριστοῦ κατανεμέτω ἑτέρῳ, μήτε τι ἄλλο λειτουργείτω, ἀλλὰ ἀρκούμενος τῇ προεδρίᾳ, προσκλαιέτω ἑτέροις καὶ τῷ Κυρίῳ, συγχωρηθῆναι αὐτῷ τὸ ἐκ τῆς ἀγνοίας ἁμάρτημα.

A debet vulnera curare, non est consentaneum. Benedictio est sanctificationis communicatio; qui autem eam non habet propter ignorantiæ lapsum, quomodo aliis communicabit? Nec ergo publice nec privatim benedicat, nec Christi corpus aliis impertiat, nec aliquod aliud sacrum ministerium obeat, sed quod præsideat contentus, aliis et Domino defleat, ut sibi ignorantiæ peccatum condonetur.

ΒΑΛΣ. Εἰς τρία διαιροῦνται οἱ κεκωλυμένοι γάμοι, εἰς νεφάριον τὸν λεγόμενον παράνομον, ὡς ὅτε λάβῃ τις εἰς γάμον τὴν ἐπιτροπευθεῖσαν παρὰ τούτου ἢ τοῦ πατρὸς αὐτοῦ, ἢ τὴν οὖσαν ὑπὸ τὴν πρακτορικὴν ἐξουσίαν τούτου ἢ τοῦ πατρὸς αὐτοῦ· εἰς δαμνᾶτον, τὸν λεγόμενον κατάκριτον, ὃς ἐστιν ὁ μετὰ μοναχῆς ἢ ἑτέρας ἀνατεθειμένης τῷ Θεῷ γάμος· καὶ εἰς τὸν ἔγκεστον, τὸν καὶ ἀθέμιτον λεγόμενον, δηλονότι τὸν μετὰ συγγενικοῦ προσώπου κεκωλυμένου προβάντα. Τινὲς γοῦν ἱερεὺς ἐν ἀγνοίᾳ γάμον ἀθέμιτον συναλλάξαντος, καὶ διὰ τοῦτο διαζυγέντος, καὶ καθαιρέσει ὑποπεσόντος, ἠρώτησέ τις τὸν ἅγιον εἰ ὀφείλει ὁ τοιοῦτος ἱερεὺς μετὰ τὴν καθαίρεσιν ἱερατικόν τι ἐνεργεῖν. Ἔλεγον γάρ τινες ὡς, ἐπεὶ ἐν ἀγνοίᾳ ὠλίσθησεν ὁ ἱερεύς, οὐχ ὑποπεσεῖται καθαιρέσει· εἰ δὲ καθαιρεθῇ, τῶν μὲν ἐντὸς τοῦ βήματος ἐνεργειῶν κωλυθήσεται, τῶν δὲ ἐκτὸς οὐκ ἐμποδισθήσεται. Φησὶ τοίνυν ὁ ἅγιος ὀφείλειν τοῦτον καθαιρεῖσθαι, καὶ μετὰ τὴν καθαίρεσιν τιμῆς μὲν μόνης μετέχειν, ἤτοι συγκαθῆσθαι μετὰ τῶν πρεσβυτέρων, τῶν δὲ λοιπῶν ἱερατικῶν ἐνεργειῶν ἀπέχεσθαι, ἤγουν μήτε εὐχὴν λέγειν δημοσίᾳ, τουτέστιν ἐν ἐκκλησίᾳ, μήτε ἰδίᾳ, τουτέστιν ἐκτὸς τῆς ἐκκλησίας· ἀλλὰ μηδὲ τὰ ἅγια μεταχειρίζεσθαι, καὶ ἑτέροις μεταδιδόναι αὐτῶν, μήτ' ἄλλο τι ἱερατικὸν ἐνεργεῖν. Ἀρκεῖσθαι δὲ τῇ τιμῇ τῆς προεδρίας, τῇ φιλοτιμηθείσῃ αὐτῷ διὰ τὴν ἄγνοιαν. Εὐλογεῖν μέντοι ἑτέρους τὸν τοιοῦτον οὐ δεῖ· ἡ γὰρ εὐλογία μετάδοσις ἁγιασμοῦ ἐστιν. Ὁ δὲ μὴ ἔχων ἁγιασμόν, κἂν δι' ἄγνοιαν καθῃρέθη, πῶς τούτου μεταδώσει ἑτέρῳ; Συγγνώμη δὲ δίδοται αὐτῷ, οὐ μόνον διὰ τοῦ συγκαθῆσθαι μετὰ τῶν ἱερέων, ἀλλὰ καὶ διὰ τοῦ μὴ τιμωρεῖσθαι ἀλλοτρόπως. Εἰ γὰρ ἐν εἰδήσει ἔ αδεν εἰς γυναῖκα τὴν ἀφιερωθεῖσαν τῷ Θεῷ, ἢ τὴν συγγενῆ αὐτοῦ, καὶ ἀλλοτρόπως, χρηματικῶς δηλονότι καὶ ἐκληματικῶς, ἂν ἐκολάσθη, ἅτινα οὐκ ἐπάγονται αὐτῷ διὰ τὴν ἄγνοιαν. Καὶ ἀνάγνωθι τὸν ις' τίτλον τοῦ κη' βιβλίου· μετὰ μέντοι τὸ ἀπαγορεῦσαι αὐτῷ πᾶσαν ἱερατικὴν ἐνέργειαν, φησὶν ὁ ἅγιος, προσκλαιέτω ἑτέροις καὶ τῷ Κυρίῳ· τῷ μὲν Κυρίῳ, ὡς δυναμένῳ ἀφιέναι ἁμαρτήματα, τοῖς δὲ ἑτέροις, ἵνα κἀκεῖνοι ὑπὲρ αὐτοῦ δέωνται τῷ Κυρίῳ συγχωρηθῆναι τοῦτο τὸ Ἐκ τοῦ ἀθέσμου γάμου ἀνόμημα. Ἐρωτήσει δέ τις, ὡς Ἐκ τρ.ῶν τρόπων κολαζομένων τῶν ἀθέσμων γάμων, καθαιρεθήσεται καὶ ὁ ποιήσας παράνομον γάμον, ἤγουν καὶ ὁ τὴν ποτε παρ' αὐτοῦ ἐπιτροπευθεῖσαν, ἢ τοῦ πατέρος αὐτοῦ, εἰς γάμον ἀγόμενος; Λύσις. Ἐπεὶ ὡς παράνομος καὶ ὁ τοιοῦτος γάμος διασπᾶται, ἐξ ἀνάγκης μετὰ τὸ διαζύγιον καὶ οὗτος ὡς πορνεύσας

B BALS. Prohibitæ nuptiæ trifariam dividuntur: in nefarias, quæ præter leges dicuntur, ut si quis eam cujus tutelam gerit, vel ipse vel pater ipsius, uxorem ducat, vel eam quæ est in ejus, vel patris ejus tutelari potestate; in damnatas seu condemnatas, ut si fiat matrimonium cum monacha vel alia Deo dedicata: et in incestas, quæ hic etiam nefariæ dicuntur, ut si quis cum consanguinea sua in gradu prohibito contraxerit. Cum ergo quidam sacerdos nefarium per ignorantiam matrimonium contraxisset, et propterea solutum esset, et ipse in depositionem incidisset, interrogavit quispiam sanctum, an is sacerdos debeat post depositionem sacerdotale quidpiam exercere. Dicebant enim nonnulli, quod quoniam sacerdos per ignorantiam lapsus esset, non subjicietur depositioni: sin autem fuerit depositus, ab actionibus quidem quæ fiunt intra tribunal arcebitur, sed non ab actionibus quæ sunt extra tribunal. Dicit ergo sanctus, eum debere deponi, et post depositionem eum quidem esse solius honoris participem, ut scilicet sedeat cum presbyteris, a reliquis autem sacerdotalibus actionibus abstineat, ut scilicet neque orationem dicat publice seu in ecclesia, nec privatim, id est extra ecclesiam: sed neque sancta tractet, nec ipsa aliis communicet, nec aliquid aliud sacerdotale exerceat. Sit autem contentus sessionis honore, qui illi propter ignorantiam concessus est. Talem autem aliis benedicere non oportet. Benedictio enim est sanctificationis impertitio. Qui autem non habet sanctificationem, etiamsi per ignorantiam depositus sit, quomodo eam aliis impertiet? Venia autem ei datur, non solum quod sedeat cum sacerdotibus, sed et quod non alio modo puniatur. Si enim sciens Deo consecratam feminam, vel suam cognatam, uxorem accepisset, alio etiam modo, pecuniarie scilicet et criminaliter punietur, quæ quidem ei propter ignorantiam non infliguntur. Lege tit. 16, lib. xxviii. Postquam autem sanctus ei omni sacerdotali actione interdixisset, Defleat, inquit, aliis et Domino: Domino quidem ut qui potest peccata remittere; aliis, ut illi pro eo rogent Dominum condonare ei delictum nefario matrimonio commissum. Rogabit autem quispiam, cum tribus modis puniantur nefariæ nuptiæ, deponeturne quispiam, qui contra leges matrimonium contraxerit, utpote is qui eam, cujus ipse vel pater ejus tutor fuit, duxit in matrimonium? Solutio. Quoniam hoc matrimonium ut legibus contrarium dissolvitur, hic quoque post divortium, ut qui fornicatus sit, necessario

Digitized by Google

deponetur : et si quæ illi contra leges conjuncta est, fuit antea sub illius tutela, ne cathedra quidem dignus censebitur, ut qui non possit ignorantiam prætexere. Sin patris sub tutela fuit, etiam ignorantiæ prætextus ei opem ferat, et venia cathedraque juxta præsentem canonem dignus judicabitur. Lege vicesimum septimum caput primi tituli præsentis operis, et nonum canonem synodi Neocæsariensis, et ea quæ in eo sunt, et vices. primum et vices. sextum can. syn. in Trullo. Sed quia videtur in his emergere repugnantia (alii enim canones dicunt eos, qui sunt depositi, **86** in locum laicorum deturbari ; alii vero ea solum quæ extra tribunal fiunt exercere ; alii solius esse cathedræ participes), distingue et dic : quod aliter puniuntur qui scientes peccant, et convicti deponuntur ; aliter, qui scientes quidem peccant, sponte autem malo desistunt ; aliter, qui per ignorantiam peccarunt, et confessi sunt ; et aliter, qui peccatum quidem ignorarunt, ab ipso autem non destiterunt, nisi condemnati. Nota autem et differentiam peccatorum et personarum, et dic episcoporum judicio aliquando quidem ignosci iis qui deponuntur ; aliquando vero non ignosci, et sic contrarietatem quæ videtur inesse canonibus dissolvi.

A καθαιρεθήσεται· καὶ εἰ μὲν παρ' αὐτοῦ ἔφθασεν ἐπιτροπευθῆναι ἢ παρανόμως συναφθεῖσα αὐτῷ, οὐδὲ καθέδρας ἀξιωθήσεται, ὡς μὴ δυνάμενος προβαλέσθαι ἄγνοιαν· εἰ δὲ παρὰ τοῦ πατρὸς τούτου, καὶ βοηθήσει αὐτῷ ἴσως λόγος ἀγνοίας, συγγνωσθήσεται, καὶ καθέδρας ἀξιωθήσεται κατὰ τὸν παρόντα κανόνα. Ἀνάγνωθι καὶ τὸ κζ' κεφ. τοῦ α' τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὸν θ' κανόνα τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, καὶ τὰ ἐν αὐτῷ, καὶ τὸν κα' καὶ κς' κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου. Ἐπεὶ δὲ φαίνεται ἀναπίπτουσα ἐν τούτοις ἐναντιότης (οἱ μὲν γὰρ τῶν κανόνων τούτων λέγουσι τοὺς καθαιρουμένους εἰς τόπον ἐξωθεῖσθαι λαϊκῶν, οἱ δὲ ἐνεργεῖν αὐτοὺς τὰ ἐκτὸς τοῦ βήματος καὶ μόνα, οἱ δὲ καθέδρας μόνης μετέχειν), διάστειλον B καὶ εἰπέ, ὅτι ἄλλως κολάζονται οἱ ἐν εἰδήσει ἁμαρτάνοντες καὶ μετὰ ἔλεγχον καθαιρούμενοι, ἄλλως οἱ ἐν εἰδήσει μὲν ἁμαρτάνοντες, ἑκοντὶ δὲ τοῦ κακοῦ ἀφιστάμενοι, καὶ ἄλλως οἱ ἐν ἀγνοίᾳ ὁλισθήσαντες καὶ ἐξομολογησάμενοι, καὶ ἄλλως οἱ ἀγνοήσαντες μὲν τὸ ὁμάρτημα, μὴ ἀφιστάμενοι δὲ αὐτοῦ, ἀλλὰ καταδικαζόμενοι. Ἔχε δὲ καὶ διαφορὰν τῶν ἁμαρτημάτων καὶ τῶν προσώπων, καὶ λέγε κατὰ τὴν ἐπισκοπικὴν διάκρισιν ποτὲ μὲν συγγνωμονεῖσθαι τοὺς καθαιρουμένους, ποτὲ δὲ μὴ συγγνωμονεῖσθαι, καὶ οὕτω τὴν δοκοῦσαν ἐν τοῖς κανόσιν ἐναντιότητα διευλυτοῦσθαι.

ZONAR. Sacerdotem, qui per ignorationem in illegitimas incidit nuptias, cathedræ solius participem esse, a cæteris porro actionibus abstinere oportere, sanctus vir judicavit ; hoc est una cum presbyteris assidere, et cum illis pariter in honore haberi, aliud vero nullum sacerdotale munus obire. Sufficit enim si datur, inquit, ipsi venia propter ignorationem, benedicere vero alteri hujusmodi hominem non oportet. Benedictio namque sanctitatis quædam communicatio est. Qui vero sanctitate caret, ob peccatum, quamvis per ignorationem admissum, quonam modo eam alteri communicabit ? Neque vero publice ipsi licet benedicere, in ecclesia videlicet, neque privatim, intra domesticos forte parietes, neque sancta munera aliis impertiri, neque demum sacerdotale quodpiam munus obire. Verum primi subsellii, inquit, honore contentus, defleat aliis et Domino. Domino quidem, quippe qui D peccata potest dimittere : aliis vero, ut illi quoque pro ipso Dominum rogent, quo ipsi venia detur contractæ in nuptiis illicitis culpæ. Hæc autem, si modo ab inconcessis ejusmodi nuptiis absistat. Nuptiæ vero illegitimæ accipiendæ sunt, vel si quis cum cognata matrimonium iniit, vel cum religiosa femina quæ habitum deposuerit, nesciente id qui eam in domum suam introduxit, et alia similia.

ΖΩΝΑΡ. Ἱερέα, τὸν ἀθέσμῳ περιπαρέντα γάμῳ ἐν ἀγνοίᾳ, καθέδρας μόνης μετέχειν ὁ ἅγιος ἔκρινε, C τῶν δὲ λοιπῶν ἐνεργειῶν ἀπέχεσθαι· ἤγουν συγκαθῆσθαι τοῖς πρεσβυτέροις, καὶ οὕτω συντιμᾶσθαι αὐτοῖς, ἄλλο δέ τι ἱερατικὸν μὴ ποιεῖν. Ἀρκεῖ γὰρ αὐτῷ, φησὶν, ὅτι συγγνωμονεῖται διὰ τὴν ἄγνοιαν· εὐλογεῖν δὲ ἕτερον τὸν τοιοῦτον οὐ δεῖ. Ἡ γὰρ εὐλογία μετάδοσις ἁγιασμοῦ ἐστιν. Ὁ δὲ μὴ ἔχων ἁγιασμὸν διὰ τὸ ἁμάρτημα, κἂν κατὰ ἄγνοιαν ᾖ, πῶς τούτου μεταδώσει ἑτέρῳ ; καὶ οὐδὲ δημοσίᾳ ἔξεστιν αὐτῷ εὐλογεῖν, ἐν ἐκκλησίᾳ δηλαδὴ, οὐδὲ ἰδίᾳ, ἐν οἰκίᾳ τυχὸν, οὔτε τῶν ἁγίων δώρων ἑτέροις μεταδιδόναι, οὔτε τι ἄλλο ποιεῖν ἱερατικόν. Ἀλλὰ ἀρκούμενος, φησὶ, τῇ τιμῇ τῆς προεδρίας, προσκλαιέτω ἑτέροις τε καὶ τῷ Κυρίῳ· τῷ μὲν Κυρίῳ, ὡς δυναμένῳ ἀφιέναι ἁμαρτίας, ἑτέροις δὲ, ἵνα κἀκεῖνοι ὑπὲρ αὐτοῦ δέωνται τοῦ Κυρίου συγχωρηθῆναι αὐτῷ τὸ ἐκ τοῦ ἀθέσμου γάμου ἀνόμημα. Ταῦτα δὲ, εἰ τοῦ τοιούτου ἀποσταίη γάμου. Ἄθεσμον δὲ γάμον νοητέον ἢ τὴν μετὰ συγγενοῦς κοινωνίαν, ἢ τὴν μετὰ μοναστρίας ἀρνησαμένης τὸ σχῆμα, μὴ εἰδότος τοῦτο τοῦ ταύτην εἰσοικισαμένου, καὶ ἕτερα ὅμοια.

ARIST. Presbyter qui per ignorantiam in illicitum incidit conjugium, sola fruatur præsidentia, functione privetur.

Si quis ante susceptum sacerdotium mulierem duxit, nesciens quod vidua fuit, aut insana, aut e scenicis, aut alia aliqua ex iis quæ sacratis prohibentur, deinde ad sacerdotii gradum provehatur, et

ΑΡΙΣΤ. Ἀθέσμῳ περιπαρεὶς γάμῳ ἐν ἀγνοίᾳ πρεσβύτερος μόνης ἀπολαυέτω τῆς προεδρίας, τῆς ἐνεργείας στερούμενος.

Ἐάν τις πρὸ τῆς ἱερωσύνης γυναῖκα ἔλαβεν, ἀγνοῶν ὅτι χήρα ἐστὶν, ἢ μαινάς, ἢ τῶν ἐπὶ σκηνῆς, ἢ ἄλλη τις τῶν ἀπηγορευμένων τοῖς ἱερωμένοις· εἶτα εἰς ἱερωσύνης προέβη βαθμὸν, καὶ ἐπιγνωσθῇ

Digitized by Google

τὸ τοῦ γάμου ἄθεσμον· τῆς μὲν τιμῆς μόνης καὶ προεδρίας τῶν ἱερέων μεθέξει, τῆς δὲ λειτουργίας παντάπασι κωλυθήσεται· ἀρκετὸν γὰρ αὐτῷ ἡ συγγνώμη διὰ τὴν ἄγνοιαν· τὸ δὲ καὶ ἑτέρους εὐλογεῖν τὸν ὀφείλοντα τῶν οἰκείων τραυμάτων τίθεσθαι πρόνοιαν ἀνακόλουθον. Εὐλογία γὰρ μετάδοσίς ἐστιν ἁγιασμοῦ. Ὁ δὲ τοῦτον μὴ ἔχων διὰ τὸ ἐκ τῆς ἀγνοίας παράπτωμα πῶς ἑτέροις μεταδώσει;

A agnoscit illegitimum conjugium. Sollus quidem honoris et præsidentiæ sacerdotum particeps erit, a ministerio autem obeundo omnimodo prohibebitur. Nam venia ob ignorantiam ei sufficiens est. Sed ut is quem suorum vulnerum curam oportet gerere, et aliis benedicat, non est consentaneum. Benedictio enim sanctificationis est communicatio. Qui eam autem non habet ob ignorantiæ lapsum, quomodo aliis communicabit?

ΚΑΝΩΝ ΚΗ.

Κἀκεῖνό γε μὴν γελοῖόν μοι κατεφάνη, τὸ εὔξασθαί τινα θείων ἀπέχεσθαι κρεῶν. Ὥστε καταξίωσον διδάσκειν αὐτοὺς, τῶν ἀπαιδεύτων προσευχῶν καὶ ἐπαγγελιῶν ἀπέχεσθαι, τὴν μέντοι χρῆσιν ἀδιάφορον εἶναι συγχώρησον. Οὐδὲν γὰρ κτίσμα Θεοῦ ἀπόβλητον μετ' εὐχαριστίας λαμβανόμενον. Ὥστε ἡ εὐχὴ καταγέλαστος, οὐχ ἡ ἀποχὴ ἀναγκαία.

B

CANON XXVIII.

Illud quidem mihi visum est ridiculum, vovere aliquem a carnibus suillis abstinere. Quamobrem dignare eos docere, ut ab ineptis votis et promissis abstineant, usum quidem esse indifferentem permitte. Nulla enim Dei creatura est rejicienda, si cum gratiarum actione accipiatur. Quare votum est ridiculum, non abstinentia necessaria.

ΚΑΝΩΝ ΚΘ'.

Ἄρχοντας μέντοι ὀμνύειν ἐπὶ τῷ κακοποιεῖν τοὺς ἀρχομένους καὶ πάνυ θεραπεύεσθαι προσήκει. Θεραπεία δὲ τούτων διττή. Μία μὲν, μὴ ὀμνύειν αὐτοὺς διδάσκεσθαι προχείρως, ἑτέρα δὲ, μὴ ἐπιμένειν ἐν ταῖς πονηραῖς κρίσεσιν. Ὥστε ὅρκῳ προληφθείς τις εἰς κακοποιΐαν ἑτέρου, τὴν μὲν ἐπὶ τῇ προπετείᾳ τοῦ ὅρκου μετάνοιαν ἐπιδεικνύσθω, μὴ μέντοι προσχήματι εὐλαβείας τὴν πονηρίαν ἑαυτοῦ βεβαιούτω· οὐδὲ γὰρ Ἡρῴδῃ συνήνεγκεν εὔορκήσαντι, ὃς, ἵνα μὴ ἐπιορκήσῃ δῆθεν, φονεὺς ἐγένετο τοῦ προφήτου. Ἅπαξ μὲν ὁ ὅρκος ἀπηγόρευται· πολλῷ δέ που εἰκὸς τὸν ἐπὶ κακῷ γινόμενον κατακρίνεσθαι. Ὥστε μεταφρονεῖν χρὴ τὸν ὀμνύοντα, οὐχὶ σπουδάζειν βεβαιοῦν αὐτοῦ τὸ ἀνόσιον· ἐξέτασον γὰρ πλατύτερον τὴν ἀτοπίαν. Εἴ τις ὁμόσειεν ἐξορύξειν τοὺς ὀφθαλμοὺς τοῦ ἀδελφοῦ, εἰ καλὸν τὸ τοιοῦτον εἰς ἔργον αὐτῷ; Εἴ τις φονεύσειν, εἴ τις ὅλως δι' ὅρκου ἐντολήν τινα παραβήσεσθαι; Ὅμοσα γὰρ καὶ ἔστησα οὐχὶ τὴν ἁμαρτίαν, ἀλλὰ τοῦ φυλάξαι τὰ κρίματα τῆς δικαιοσύνης. Ὥσπερ δὲ τὴν ἐντολὴν ἀμεταθέτοις κρίμασι προσῆκε βεβαιοῦσθαι, οὕτω τὴν ἁμαρτίαν παντοίως καθῆκει ἀκυροῦσθαι καὶ ἀφανίζεσθαι.

C

CANON XXIX.

Quod principes quidem jurent, se subjectis malefacturos, magna medicina opus habet. Medela autem eorum est duplex: una quidem, ut ipsi doceantur non facile jurare; altera autem, ne in malis judiciis persistant. Quare qui se alteri malefacturum jurare anticipavit, quod ad jurandum nimium facilis fuerit, se pœnitere ostendat: **87** non autem pietatis prætextu suam improbitatem confirmet. Neque enim Herodi jurare profuit, qui, ne pejeraret, prophetam occidit. Jusjurandum enim omnino est prohibitum: multo autem magis consentaneum est illud esse condemnatum, quod propter malum juratum est. Quare eum qui juravit, pœnitere, non impietatem ejus confirmare studere oportet. Ejus enim absurditatem fusius exquirere. Si quis se fratris oculos effossurum juraverit, eine honestum est hoc ad effectum deducere? Si quis se interfecturum, si quis omnino juraverit mandatum aliquod transgressurum? Juravi enim et statui non peccatum, sed servare judicia justitiæ tuæ. Quemadmodum autem mandatum est immutabilibus judiciis confirmandum, ita peccatum omnino infirmare et delere oportet.

ΒΑΛΣ. Οἱ παρόντες δύο κανόνες παρακελεύονται ἀθετεῖσθαι τοὺς γενομένους ὅρκους παρά τινων χάριν τοῦ γενέσθαι κακόν τι, ἢ καὶ γέλωτος ἄξιον· φασὶ γὰρ τὸν εὐξάμενον ἤτοι ὀμόσαντα μὴ φαγεῖν κρέας χοίρειον, ἢ κακοποιῆσαι τοὺς ὑπ' αὐτὸν διδάσκεσθαι τῶν ἀλογίστων τοιούτων καὶ ἀπαιδεύτων ὅρκων ἀπέχεσθαι, καὶ ὅτι καθάπαξ τὸ ὀμνύειν ἀπηγορευμένον ἐστὶν· ἐπιχωρεῖσθαι δὲ τὸ χοίρειον κρέας ἐσθίειν, καὶ παραβαίνειν τὸν ὅρκον, καὶ μὴ ποιεῖν τὸ κακὸν προφάσει τοῦ μὴ ἐπιορκῆσαι. Ἐχρήσατο δὲ καὶ παραδείγματι τῷ Ἡρῴδῃ τῷ ὀμόσαντι φονεῦσαι τὸν Βαπτιστὴν, καὶ διὰ τὸ μὴ ἐπιορκῆσαι ποιήσαντι φόνον. Ἔδει γὰρ, φησὶν, αὐτὸν μεταφρονῆσαι, ἤγουν μεταγνῶναι καὶ καταφρονῆσαι τοῦ ἀδίκου ὅρκου, ἀλλ' οὐχὶ διὰ τῆς πράξεως βεβαιῶσαι τὸ ἀνόσιον. Ἀνάγνωθι τὸ ιη' κεφ.

D

BALS. Præsentes duo canones jubent infirmari juramenta a quibusdam facta, ut mali aliquid fiat, vel etiam quidpiam ridiculum. Dicit enim eum qui vovit vel juravit se carnem suillam non comesurum, vel sibi subjectis malefacturum docendum esse a stultis hujusmodi et ineptis sacramentis abstinere, et quod jurare omnino est prohibitum; licet vero carnem suillam comedere, et juramentum transgredi, et malum non facere sub prætextu ne pejeretur. Usus est autem exemplo quoque Herodis, qui juraverit se Baptistam interfecturum, et ne pejeraret cædem commisit. Oportebat enim, inquit, ipsum resipiscere, seu revocare et contemnere injustum jusjurandum, sed non per actionem impietatem confirmare. Lege cap. 18, tit. 13, præsentis operis, et quæ in eo sunt. Cum autem can. 10 sancti

Digitized by Google

Basilii, 74 et 82 perjuros puniant, alii autem cano-
nes, qui in dicto capite 18 continentur, decernunt
eos non esse puniendos qui pejerarunt, quemad-
modum canones ante positi jubent : dixerit quis,
canones esse inter se contrarios : sed mihi non vi-
detur, sed quando legitimum jusjurandum quispiam
sine ulla necessitate infirmaverit, vel falso juraverit, magis punietur. Quando autem hoc vi fecerit, levius punietur, secundum canonem 82 præsentis sancti Patris. Sin autem non est legitimum, sed ut absurdum quid fieret, vel ne boni quid fieret, processit, vel etiam juravit quispiam se facturum aliquid, quod non debet in jusjurandum deduci, tunc impune potest irritum haberi. Audiens porro sanctum dicentem debere eos quoque doceri, ne sint ad jusjurandum faciles, et quod jurare omnino est prohibitum, dico quod et si ii, qui hujusmodi juramentis sese obstringere, sine periculo pejerant, non erunt tamen prorsus impuniti, sed modice pro episcopi arbitratu punientur. Quia autem ex eo, quod decernant canones puniendos perjuros, apparet eos non puniti, qui juramenta non transgrediuntur, et ex eo etiam ostenditur legitima juramenta permitti, ne dixeris hæc esse aliquantulum definita adversus evangelicum præceptum, quod dicit : *Non esse omnino jurandum, neque in cælo, neque in terra, quia cælum Dei thronus est, terra autem est pedum ejus scabellum; esse autem nobis, næ næ, et, non non*[1]. Hoc enim est eorum qui sunt valde perfecti, illud autem secundum et non rejiciendum cum sit legitimum : cujusmodi est et illud; *Vende omnia quæ habes, et da pauperibus, et sequere me*[2]. Si enim omnes hoc coguntur facere, quis ea emet? Alioqui si omne jusjurandum prohiberetur, ne Prophetæ quidem dixisset; *Juravi, et statui servare mandata tua*[3] : nec qui leges composuerunt orthodoxi imperatores leges edidissent, quæ permitterent jusjurandum. Quare non omne jusjurandum est prohibitum, tam legitimum quam illegitimum, sed solum quod est illegitimum et ineptum. Cum autem quidam nobilis tertio die hebdomadæ dixisset potenti et sancto nostro imperatori, se non debere carnem comedere, quamvis festum esset Nativitatis Christi et Dei nostri, **88** quod jurasset tertias feries omnium anni hebdomadum à carnibus abstinere in honorem venerabilis Præcursoris; statuit a Deo coronatus noster imperator synodaliter interrogari, an sit canonicum hoc jusjurandum servari, et Dominicum festum, quod est paschale, incelebratum dimittere. Et facta interrogatione sanctissimus ille patriarcha dominus Lucas cum synodo quæ aderat, cum dixisset bonum esse omni tempore jejunare, subjunxit non oportere hoc jusjurandum Domino et Deo nostro præferre. Si enim apostolici canones puniunt eum, qui in quovis Sabbato, vel die Dominico genu flectit vel jejunat, multo magis punietur qui in paschali Christi festo jejunat, ne jusjurandum

A τοῦ ιγ' τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ. Τοῦ δὲ ι' κανόνος τοῦ ἁγίου Βασιλείου, τοῦ ξδ', καὶ τοῦ πβ' κολαζόντων τοὺς ἐπιόρκους, ἑτέρων δὲ κανόνων περιεχομένων τῷ διαληφθέντι ιη' κεφ. διορίζομένων τοὺς ἐπιορκήσαντας μὴ τιμωρεῖσθαι, καθὼς τοῦτο καὶ οἱ προκείμενοι κανόνες παρακελεύονται· εἶπῃ τις ἐναντιοῦσθαι ἀλλήλοις τοὺς κανόνας. Ἐμοὶ δὲ οὐ δοκεῖ, ἀλλ' ὅταν μὲν ἀθετήσῃ τις ἔννομον ὅρκον χωρὶς ἀνάγκης τινός, ἢ ψευδῶς ὀμόσῃ, τιμωρηθήσεται πλέον. Ὅταν δὲ κατὰ βίαν ποιήσῃ τοῦτο, κουφότερον κολασθήσεται κατὰ τὸν πβ' κανόνα τοῦ παρόντος ἁγίου Πατρός. Εἰ δὲ οὐκ ἔστιν ἔννομος ὁ ὅρκος, ἀλλὰ διὰ τὸ γενέσθαι τι ἄτοπον προέβη, ἢ μὴ γενέσθαι ἀγαθόν τι, ἢ ὤμοσέ τις πρᾶγμα μὴ ὂν ἄξιον εἰς ὅρκον κατα-
B λέγεσθαι, τότε ἡ ἀθέτησις τούτου ἀκόλαστός ἐστι. Πλὴν ἀκούων τοῦ ἁγίου λέγοντος ὀφείλειν καὶ τοὺς τοιούτους ἀναδιδάσκεσθαι μὴ εἶναι προχείρους εἰς τὸ ὀμνύειν, καὶ ὅτι καθάπαξ τὸ ὀμνύειν ἀπαγορεύεται, λέγω ὅτι καὶ οἱ τοὺς τοιούτους ὅρκους ποιοῦντες, κἂν ἀκινδύνως ἐπιορκῶσιν, ἀλλὰ παντελῶς οὐκ ἔσονται ἀτιμώρητοι· μετρίως δὲ κατὰ τὸ δοκοῦν τῷ ἐπισκόπῳ ἐπιτιμήσονται. Ἐπεὶ δὲ ἐκ τοῦ διορίζεσθαι τοὺς κανόνας κολάζεσθαι τοὺς ἐπιόρκους, ἀναφαίνεται μὴ τιμωρεῖσθαι τοὺς μὴ παραβαίνοντας αὐτούς, κάντεῦθεν συναναδείκνυται καὶ τὸ ἐπιτρέπεσθαι τὴν τῶν ἐννόμων ὅρκων τελεσιουργίαν· μὴ εἴπῃς ταῦτα διορισθῆναι ὑπεναντίως τῇ εὐαγγε-
C λικῇ ἐντολῇ, τῇ λεγούσῃ· *Μὴ ὀμνύειν ὅλως, μήτε ἐν οὐρανῷ, μήτ' ἐν τῇ γῇ, ὅτι ὁ οὐρανὸς θρόνος ἐστὶ τοῦ Θεοῦ, καὶ ἡ γῆ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ*· εἶναι δὲ ἡμῖν τὸ ναὶ ναί, καὶ τὸ οὒ οὔ. Τοῦτο μὲν γάρ ἐστι τῶν ἄγαν τελείων, ἐκεῖνο δὲ δεύτερον καὶ οὐκ ἀπόβλητον, ὡς ἔννομον· οἷόν ἐστι καὶ τό, *Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἀκολούθει μοι.* Εἰ γὰρ πάντες ἀναγκάζονται τοῦτο ποιῆσαι, ποῖος ἀγοράσει αὐ ά; Ἄλλως τε εἰ ἅπας ὅρκος ἐκωλύετο, οὐδὲ ὁ Προφήτης εἶπεν ἂν *Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰς ἐντολάς σου*· οὐδὲ οἱ τοὺς νόμους συνθέμενοι ὀρθόδοξοι βασιλεῖς, ἂν ἐξέθεντο νόμους ἐπιτρέποντας ὅρκων τελεσιουργίας. Ὥστε οὐχὶ πᾶς ὅρκος ἔννομός τε καὶ παράνομος κεκωλυμένος ἐστίν, ἀλλ' ὁ παράνομος καὶ ἀπαίδευτος. Τινὸς δὲ εὐγενοῦς ἐν ἡμέρᾳ
D τρίτῃ μιᾶς ἑβδομάδος εἰπόντος πρὸς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν βασιλέα μὴ ὀφείλειν κρεωφαγῆσαι, τελουμένης καὶ ταύτα τῆς ἑορτῆς τῆς Γεννήσεως τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, διὰ τὸ ἐπομόσασθαι νηστεύειν τὰς τρίτας ἡμέρας τῶν ὅλων ἑβδομάδων τοῦ χρόνου εἰς τιμὴν τοῦ τιμίου Προδρόμου, ὥρισεν ὁ θεοστεφὴς ἡμῶν αὐτοκράτωρ συνοδικῶς ἐρωτηθῆναι, εἰ κανονικόν ἐστι τὸν ὅρκον τοῦτον φυλαχθῆναι, καὶ τὴν ἑορτὴν Πασχάλιον οὖσαν Δεσποτικὴν ἀπανηγύριστον ἐαθῆναι. Καὶ γινομένης τῆς ἐρωτήσεως ὁ ἁγιώτατος ἐκεῖνος πατριάρχης κύριος Λουκᾶς μετὰ τῆς παρατυχούσης συνόδου εἰπὼν ἀγαθὸν εἶναι καὶ τὸ νηστεύειν ἐν παντὶ καιρῷ, ἐπήγαγεν ὡς οὐ

[1] Matth. v, 34, 99. [2] Marc. x, 21. [3] Psal. cxviii, 106.

Digitized by Google

χρὴ τὸν τοιοῦτον προτιμηθῆναι τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν. Εἰ γὰρ οἱ ἀποστολικοὶ κανόνες κολάζουσι τὸν ἐν τῷ τυχόντι Σαββάτῳ, ἢ Κυριακῇ γονυκλινοῦντα ἢ νηστεύοντα, πολλῷ πλέον κολασθήσεται ὁ νηστεύων κατὰ τὴν Πασχάλιον τοῦ Χριστοῦ ἑορτὴν διὰ τὸ μὴ παραραθῆναι τὸν αὐθαίρετον ὅρκον αὐτοῦ. Καὶ ἐξεχώρησε τῷ εὐγενεῖ κυρίῳ φαγεῖν. Ὁ αὐτὸς δὲ πατριάρχης καὶ τὸν Τζήταν τὸν εὐνοῦχον ὁμόσαντα εἰς προσκύνησιν ἀπελθεῖν τῶν ἐν Ἱεροσολύμοις ἁγίων τόπων, καὶ μὴ ἀπελθόντα, ὡς μεταμεληθέντα, συνοδικῶς ἐκ τῆς ἐπιορκίας ἀπέλυσε, διὰ μετρίου ἐπιτιμίου θεραπεύσας αὐτόν. Ἀπὸ μέντοι τῶν ῥημάτων τοῦ κανόνος οὕτως ἐχόντων. Οὐδὲν γὰρ κτίσμα Θεοῦ ἀπόβλητον, μετ' εὐχαριστίας λαμβανόμενον, μὴ εἴπῃς ὡς ἐνεδόθη πάντα τὰ κτήνη ἐσθίειν ἡμᾶς· ἀλλὰ λέγε περὶ ἐκείνων διαλέγεσθαι τὸν κανόνα τῶν ἐσθιομένων παρὰ ὀρθοδόξων ἀπὸ συνηθείας καὶ παραδόσεως ἐκκλησιαστικῆς.

ΖΩΝΑΡ. Ηὔξατό τις μὴ φαγεῖν χοίρεια κρέα. Εὔξασθαι γὰρ τὸ ἐπαγγείλασθαι καὶ ὑποσχέσθαι ἐστίν· ὡς τὸ, *Εὔξασθε καὶ ἀπόδοτε*. Ἠρωτήθη οὖν ὁ ἅγιος, εἰ ἔξεστι παραδῆναι τὴν τοιαύτην εὐχὴν τὸν ταύτην εὐξάμενον· καὶ ἀπεκρίθη γέλωτος ἄξιον αὐτῷ δοκεῖν τὸ πρᾶγμα. Ὥστε, φησὶ, χρῆσθαι μὲν ἤτοι ἐσθίειν τὰ ὕεια κρέα, ἐπίτρεψον τῷ εὐξαμένῳ τὴν αὐτῶν ἀποχήν. Δίδαξον δὲ ἀπέχεσθαι τῶν ἀπαιδεύτων προσευχῶν, ἤτοι τῶν ἀλογίστων ἐπαγγελιῶν, καὶ μὴ προχείρους εἶναι εἰς τοιαύτας εὐχάς. Οὐδὲν γὰρ κτίσμα Θεοῦ ἀπόβλητον μετ' εὐχαριστίας λαμβανόμενον. Καὶ ἐπεὶ, φησὶ, τοῦτο οὕτως ἔχει, ἡ εὐχὴ καταγέλαστος. Τοιαύτης δὲ τῆς εὐχῆς οὔσης, οὐκ ἀναγκαία ἡ τῶν ὑείων κρεῶν ἀποχή.

ΑΡΙΣΤ. Καν. κη'. Ὁ κρεῶν ἀποχὴν ὑείων ἐπευξάμενος γελοῖος· οὐ δεκτέος δὲ, εἰ μεταλήψοιτο.

Ηὔξατό τις ἀπέχεσθαι χοιρείων κρεῶν. Γελοῖος οὗτος, ὡς ἀπαίδευτα προσευχόμενος καὶ ἐπαγγελλόμενος. Οὐδὲν γὰρ κτίσμα Θεοῦ ἀπόβλητον, μετ' εὐχαριστίας μεταλαμβανόμενον. Δεῖ γοῦν συγχωρηθῆναι αὐτῷ τὴν μετάληψιν τῶν κρεῶν, ὧν ἀπέχειν ἐπηύξατο, διδαχθῆναι δὲ μὴ ἀπαιδεύτους πρὸς Θεὸν ἐπαγγελίας ποιεῖσθαι.

ΖΩΝΑΡ. Ἐὰν ἄρχων, φησὶν, ὁμόσῃ κακῶσαι τοὺς ὑποχείρα, δεῖ τὸν τοιοῦτον πρῶτον μὲν διδάσκεσθαι μὴ ἕτοιμον εἶναι πρὸς ὅρκους· εἰ δὲ ἀπροσέκτως ὁμόσει, μὴ φυλάξαι τὸν ὅρκον ἐπὶ κακοποιίᾳ ἑτέρων, ἀλλὰ μετάνοιαν ἐπιδείκνυσθαι διὰ τὴν προπέτειαν τοῦ ὅρκου. Μὴ σχηματίζεσθαι δὲ καὶ ὑποκρίνεσθαι ὅτι εὐλαβεῖται τὸν ὅρκον, ἀντὶ τοῦ, δειλιᾷ καὶ φοβεῖται τὴν ἐπιορκίαν· καὶ βεβαιοῦν τὴν ἑαυτοῦ κακίαν, ἤγουν δι' ἀπήνειαν κολάζειν ἄλλους, ἵνα μὴ δοκῇ παραδῆναι τὸν ὅρκον. Καὶ ἐπὶ τούτοις ἄγει πρὸς παράδειγμα τὸν τετράρχην Ἡρώδην λέγων ὅτι συνέφερε τῷ Ἡρώδῃ μὴ εὐορκῆσαι, ἀντὶ τοῦ μὴ εὖ διατεθῆναι πρὸς τὸν ὅρκον καὶ φυλάξαι αὐτὸν, καὶ φονεῦσαι τὸν Βαπτιστήν. Καὶ πᾶς μὲν, φησὶν, ὅρκος καθάπαξ, ἤγουν ἀπαραιτήτως τελείως

A a se voluntarie susceptum contemnatur. Et nobili domino carnibus vesci permisit. Idem autem patriarcha Tzitam quo eunuchum ad sanctorum Hierosolymis locorum adorationem ire se juramento obstrictum et non profectum, ut qui pœnitentia ductus esset, synodaliter a perjurio absolvit, mediocri pœna imposita ac medicinam exhibens. Ex verbis autem canonis, quæ ita se habent: Nulla enim Dei creatura est rejicienda si cum gratiarum actione accipiatur, ne dixeris nobis esse permissum omnibus bestiis vesci; sed dic canonem de illis disserere, quæ ab orthodoxis eduntur ex consuetudine et ecclesiastica traditione.

B ZONAR. In can. 28. Vovit quispiam se suillas carnes non esurum. Est namque vovere idem quod promittere et polliceri, juxta illud: *Vovete et reddite*[1]. Rogatus est igitur hic sanctus vir, utrum ei, qui hoc se voto obstrinxit, illud transilire fas foret. Respondit que ridiculum sibi negotium videri. Proinde, inquit, uti quidem suillis, hoc est, comedere suillas carnes permittas eum, qui hujusmodi vovit abstinentiam. Doceas porro, ut se ab ineptis ejusmodi votis, hoc est, imprudentibus promissis contineant, neque ad ejusmodi vota sint faciles. Nulla enim creatura Dei est rejicienda, sed cum gratiarum actione accipiatur. Quod cum sic sit, ita habeat, est propterea ridiculum votum. Cum vero hujusmodi sit votum, non est necessaria ab ejusmodi suillis carni-

C bus abstinentia.

ARIST. Can. 28. Qui a suillis carnibus abstinentiam vovit, ridiculus; neque vero suscipiendus est nisi iis utatur.

Vovebat quidam a carnibus porcinis abstinere: ridiculus est ille ut inepta vovens et promittens. Nulla enim Dei creatura est rejicienda, sed cum gratiarum actione sumenda. Oportet itaque ut ei permittatur de carnibus participare a quibus abstinere vovit, edoceatur autem ne ineptas Deo professiones faciat.

ZONAR. In can. 29. Si princeps, inquit, juret se malo affecturum subditos, ejusmodi primum quidem edoceri oportet, ne sit facilis ad jurandum. Si vero temere juret, ne jusjurandum servet in aliorum

D perniciem conceptum, sed pœnitentiam ostendat ob præcipitem jurisjurandi licentiam. Cæterum nequaquam se jusjurandum revereri prætextat aut fingat, hoc est, perjurium sese metuere ac formidare: nec suam confirmet improbitatem per sævitiam videlicet in aliis puniendis, ne jusjurandum violasse existimetur. Tum ad hæc exemplum Herodis tetrarchæ profert, dicens utile futurum fuisse Herodi si non bene jurasset, hoc est, si non bene erga jusjurandum fuisset affectus, ipsumque servando Baptistam interfecisset. Ac omni quidem ju-

[1] Psal. LXXV, 12.

Digitized by Google

risjurandi genus omnino, hoc est, sine ullo tergiversatione perfecte vetitum est, multo vero magis consequitur illud vetitum esse ac damnatum quod ob malum perpetrandum emittitur. Proinde qui ejusmodi se jurejurando obstrinxit diversa inire consilia, hoc est, sententiam mutare et contraria sentire, sive pœnitere oportet. Juravit siquidem aliquis se quempiam interfecturum, diversa igitur inire consilia, hoc est, aliud sentire ac pœnitere, ne scilicet interficiat; non autem impietatem rebus ipsis confirmare oportet. Si quis enim, inquit, **89** fratri se oculos effossurum juravit, examinandum est, utrum sit melius, jusjurandum contemnere, an malum perficere. Ac si quis se mandatum aliquod violaturum juravit, melius fuerit jusjurandum, quam mandatum violare. *Juravi* siquidem, inquit David, et *statui custodire judicia justitiæ tuæ*, non autem peccatum.

A ἀπηγόρευται· πλέον δὲ ἐνδέχεται ἀπηγορευομένον εἶναι καὶ κατακεκριμένον τὸν ἐπὶ κακῷ ὀμνυόμενον. Ὥστε τὸν τοιοῦτόν ὅρκον ὀμόσαντα μεταφρονεῖν δεῖ, ἀντὶ τοῦ, μεταβουλεύεσθαι καὶ τἀναντία φρονεῖν, ἢ μετανοεῖν. Ὤμοσε γάρ τις ἀποκτεῖναι· δεῖ οὖν μεταφρονῆσαι, ἤγουν ἕτερα φρονῆσαι καὶ μεταγνῶναι, δηλαδὴ μὴ φονεῦσαι· ἀλλ' οὐχὶ διὰ τῆς πράξεως βεβαιῶσαι δεῖ τὸ ἀνόσιον. Εἰ γάρ τις, φησὶν, ὤμοσεν ἐξορύξαι τοὺς ὀφθαλμοὺς τοῦ ἀδελφοῦ, ἐξεταστέον τί ἄρα βέλτιον, παριδεῖν τὸν ὅρκον ἢ εἰς ἔργον τὸ κακὸν ἀγαγεῖν. Καὶ εἰ ὤμοσέ τις ἐντολὴν παραβῆναι, ἐστι κρεῖσσον, παραβῆναι τὸν ὅρκον, ἢ τὴν ἐντολήν. *Ὤμοσα*, γάρ, φησὶν Δαβὶδ, *καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου*, οὐχὶ τὴν ἁμαρτίαν.

ARIST. Can. 29. Si simpliciter jurare sit interdictum, multo magis ad malum perpetrandum, adeo ut non solum opus prohibebis, verum et ipsum quod eructant, juramentum. Hujus autem medela in duplici consistit admonitione; non jurare, et quod speciem refert juramenti reprimere. Quod autem juratum est perpetrare, absurdum est.

B ΑΡΙΣΤ. Καν. κθ'. Εἰ ἀπηγόρευται τὸ ὀμνύειν, τὸ ἐπὶ τῷ κακῶσαι μᾶλλον· ὥστε μὴ μόνον τὸ ἔργον κωλύσῃς, ἀλλὰ καὶ αὐτὸν ὃν ἀπερεύγεται ὅρκον. Θεραπεία δὲ τούτου διττὴ νουθεσία· τοῦ μὴ ὀμνύειν, καὶ κώλυσις τοῦ προσχήματι ὅρκου. Πράττειν τὸ ὁμοθὲν ἄτοπον.

Magistratus subjectis malefaciendi prætextum ne inveniant juramentum. Quid enim, juravit quispiam eos qui sub ipsius sint potestate morbo afficere, et sub pietatis habitu impietatem suam confirmare vellet? Duplicem itaque medelam tali adhibeas, uno quidem modo eum edoceas non facile jurare, alio autem in malis juramentis non persistere. Neque enim Herodi jurare profuit; nam ne pejuraret, prophetam occidit. Illiusmodi enim jusjurandum debet quispiam inviolatum servare, quod ad justitiæ divinæ judicio observanda juravit. Istud autem, quod in peccatum fertur et alicujus damnum omni modo infirmare et delere oportet.

Μὴ πρόφασιν τοῦ κακοποιεῖν τοὺς ἀρχομένους εὑρισκέτωσαν τὸν ὅρκον οἱ ἄρχοντες. Τί γάρ, ὤμοσέ τις κακῶσαί τινα τῶν ὑπὸ χεῖρα, καὶ προσχήματι εὐλαβείας τὴν πονηρίαν αὐτοῦ βούλεται βεβαιῶσαι; Θεράπευσον γοῦν τὸν τοιοῦτον διττῶς· καθ' ἕνα μὲν τρόπον δίδαξον αὐτὸν μὴ ὀμνύειν προχείρως· καθ' ἕτερον δὲ μὴ ἐπιμένειν ἐν ταῖς πρὸς τὸ κακὸν εὐορκίαις· ὅτι μηδὲ Ἡρώδῃ συνέφερε εὐορκήσαντι· διὰ γὰρ τὸ μὴ ἐπιορκῆσαι, φονεὺς ἐγένετο τοῦ προφήτου. Ἐκεῖνον γάρ τις τὸν ὅρκον ὀφείλει ἀμετάτρεπτον φυλάττειν, ὃν ὤμοσεν ἐπὶ τῷ φυλάξαι τὰ κρίματα τῆς τοῦ Θεοῦ δικαιοσύνης· τὸν δὲ ἐπὶ τῇ ἁμαρτίᾳ προβάντα, καὶ κακώσει τινὸς παντοίως ἀκυροῦσθαι προσήκει, καὶ ἀφανίζεσθαι.

CANON XXX.

De his qui rapiunt, canonem quidem antiquum non habemus, sed propriam sententiam protulimus, ut ipsi et qui cum eis rapiunt, tribus annis sint extra orationes. Quod autem violenter non sit, nulli est pœnæ obnoxium, quando nec stuprum nec furtum rem præcesserit: est autem vidua sui juris, et in ejus est potestate sequi. Quare non est nobis figurarum ac prætextuum ulla cura gerenda.

ΚΑΝΩΝ Λ'.

Περὶ τῶν ἁρπαζόντων κανόνα μὲν παλαιὸν οὐκ ἔχομεν, ἰδίαν δὲ γνώμην ἐποιησάμεθα, τρία ἔτη καὶ αὐτοὺς καὶ τοὺς συναρπάζοντας αὐτοῖς ἔξω τῶν εὐχῶν γίνεσθαι. Τὸ δὲ μὴ βιαίως γινόμενον ἀνεύθυνόν ἐστι, ὅταν μὴ φθορὰ ᾖ, μηδὲ κλοπὴ ἡγουμένη τοῦ πράγματος· αὐτεξουσία δὲ ἡ χήρα, καὶ ἐπ' αὐτῇ τὸ ἀκολουθῆσαι. Ὥστε τῶν σχημάτων ἡμῖν οὐ φροντιστέον.

BALS. In can. 67 apostolico, in Chalced. 27, in synodi in Trullo 92, et in præsentis sancti 22, multa scripsimus de iis qui rapiunt mulieres, et de iis qui illis consentiunt. Et lege ea, et cap. 30, tituli 9 præsentis operis: præsens autem canon decernit raptores et qui illis consentiunt, esse triennio extra orationes, stare scilicet cum iis qui audiunt oportere. Sin autem, inquit, mulier seipsam sua sponte tradiderit, cum nec stuprum, nec furtum, hoc est clandestinus concubitus præcessisset, nulli est crimini obnoxius qui eam

ΒΑΛΣ. Εἰς τὸν ξζ' ἀποστολικὸν κανόνα, εἰς τὸν κζ' τῆς ἐν Χαλκηδόνι, εἰς τὸν ιβ' τῆς ἐν τῷ Τρούλλῳ, καὶ εἰς τὸν κβ' τοῦ παρόντος ἁγίου, διάφορα ἐγράψαμεν περὶ τῶν ἁρπαζόντων γυναῖκας, καὶ περὶ τῶν συναιρομένων αὐτοῖς. Καὶ ἀνάγνωθι ταῦτα, καὶ τὸ λ' κεφ. τοῦ θ' τίτλου τοῦ παρόντος συντάγματος. Ὁ δὲ παρὼν κανὼν διορίζεται ἐπὶ τριετίαν τοὺς ἁρπαγας καὶ τοὺς συναιρομένους αὐτοῖς γίνεσθαι ἔξω τῶν εὐχῶν, ἤγουν ἑστάσθαι μετὰ τῶν ἀκροωμένων. Εἰ δὲ ἑκοῦσα γυνὴ, φησὶ, ἐπιδῷ ἐπιδοῦσα ἑαυτὴν μὴ προηγησαμένης,

Digitized by Google

φθορᾶς, μηδὲ κλοπῆς, ἤγουν λαθραίας μίξεως, ἀνεύθυνός ἐστιν ὁ ταύτην λαβών. Ὡσαύτως ἀνεύθυνός ἐστι καὶ ὁ χήραν αὐτεξουσίαν τοιουτοτρόπως ἀναλαβόμενος. Τὸ δὲ, Τῶν σχημάτων ἡμῖν οὐ φροντιστέον, τοιοῦτόν ἐστιν· Ἐὰν γυνὴ, φησὶν, ἴσως αἰδουμένη ἐπιδοῦναι ἑαυτὴν τῷ ἁρπαστῇ ἢ τῷ ἁρωμένῳ χαμερπεῖ ὄντι ἐσχημάτισατο ἁρπαγῆναι, πρὸς ἀλήθειαν ἑκουσίως αὐτῷ ἠκολούθησεν, οὐ φροντίζομεν τοῦ σχηματισμοῦ, ἤγουν τῆς ὑποκρίσεως, ἀλλὰ τῇ ἀληθείᾳ προσέχομεν. Καὶ ἀνάγνωθι τὸν νγ' κανόνα, συντρέχοντα τῇ τοιαύτῃ ἑρμηνείᾳ. Τὸ μέντοι ἀνεύθυνον εἶναι τὸν ἁρπάσαντα γυναῖκα κατὰ θέλησιν αὐτῆς, εἰς τὸ μὴ ἐπιτιμηθῆναι τοῦτον ἐκλαβοῦ. Ὁ γὰρ ἁρπαγὴν αὐτεξουσίας ἢ ὑπεξουσίας γυναικὸς ποιησάμενος, εἴτε κατὰ θέλησιν αὐτῆς, ἢ καὶ κατὰ μόνην οἰκείαν βούλησιν, τῷ περὶ ἁρπαγῆς νόμῳ ἐνέχεται εἰς ἐκδίκησιν τῆς ἀταξίας τῶν πολλῶν καὶ ἀναστολὴν τῶν λοιπῶν· καθὼς τοῦτο φησὶ τὸ α' κεφ. τοῦ νη' τίτλου τοῦ ξ' βιβλίου περὶ τὸ τέλος οὕτω λέγον· Αἱ δὲ τιμωρίαι τῆς διατάξεως πᾶσαι ἔστωσαν κατ' αὐτῶν τῶν ἁρπασάντων καὶ βοηθησάντων αὐτοῖς ἐν τῇ ἁρπαγῇ. Οἱ μέντοι συνειδότες καὶ ὑπηρετήσαντες, καὶ ὑποδεξάμενοι ἢ οἱανδήτινα σπουδὴν αὐτοῖς συνενεγκόντες, τῇ εἰρημένῃ τιμωρίᾳ ὑποκείσθωσαν, εἴτε βουλομένων τῶν γυναικῶν εἴτε καὶ μὴ βουλομένων ἡ ἁρπαγὴ γέγονε. Τοῦτο δὲ ἐκρίθη οὕτω καὶ εἰς τὸ βασιλικὸν βῆμα ἐπὶ τῇ ὑποθέσει τοῦ Σὴθ ἁρπάσαντος τὴν θυγατέρα τοῦ νεοφωτίστου. Εἰ δὲ θέλεις εἰπεῖν μὴ γενέσθαι εἰς τὴν γυναῖκα τῇ ἀληθείᾳ ἁρπαγὴν, ἀλλὰ κατὰ προσποίησιν, καθὼς ἄνωθεν εἴπομεν, οὔτε τὰ ἐπιτίμια ἔξουσι χώραν, οὔτε οἱ νόμοι οἱ κολάζοντες τοὺς ἁρπαγας· μόνῃ δὲ τῇ περὶ ὕβρεως ἀγωγῇ ἔνοχοι ἔσονται τοῖς πατράσι οἱ λαβόντες τὰς ὑπεξουσίας, τοσοῦτον ὅτι καὶ ὁ γενόμενος γάμος μέσον τούτων παρὰ γνώμην τῶν ἐχόντων αὐτὰς ὑπεξουσίας διασπασθήσεται. Καὶ ἀνάγνωθι τὸν λη' κανόνα τοῦ ἁγίου τούτου, τὸν μα' καὶ τὸν μβ'. Καλῶς δὲ ἐμνήσθη ὁ ἅγιος φθορᾶς καὶ κλοπῆς. Ἡ μὲν γὰρ φθορὰ κυρίως γίνεται εἰς τὴν παρθένον· ἡ δὲ κλεψιγαμία εἰς μὴ τοιαύτην ἐλευθέραν. Ἐμνήσθη δὲ τῶν δύο, ὅτι καὶ δίχα τοῦ γενέσθαι ἁρπαγὴν, καὶ ὁ φθορεὺς καὶ ὁ πόρνος ἐπιτιμῶνται.

accepit. Similiter nulli quoque pœnæ est subjectus qui viduam, quæ sui est juris, hoc modo recepit. Illud autem, Non est nobis figurarum et prætextuum ulla cura gerenda, est hujusmodi. Si mulier, inquit, fortasse erubescens se amatori vel amato, quod homo abjectus sit, tradere, finxerit se raptam esse, eum tamen sua sponte secuta est, figuræ revera seu simulationis nullam curam gerimus sed veritati attendimus. Et lege can. 53, huic interpretationi consentientem. Eum autem, qui mulierem sua sponte rapuit, non esse crimini obnoxium, ita accipe ut ei nulla pœna canonica sit infligenda. Qui enim mulierem, quæ est sui juris, vel quæ alterius potestati subjicitur, seu voluntate ipsius, seu propria sola voluntate rapuit, raptus lege tenetur ad multorum insolentiam vindicandam, et reliquorum comprimendam : sicut hoc dicit prim. cap. tituli 58, lib. LX, quod circa finem sic dicit : Omnia autem constitutionis supplicia sint adversus eos qui rapuerunt, et qui eis in raptu opem tulerunt. Qui consilii quidem fuerunt, et opera sua juverunt et susceperunt, vel quamlibet opem iis tulerunt, dictæ pœnæ subjiciantur, seu volentibus seu nolentibus mulieribus raptus factus sit. Hoc autem in imperatorio 90 quoque tribunali sic judicatum est in causa Seth, qui rapuerat filiam ejus qui recenter fuerat illuminatus. Sin autem velis dicere, in mulierem non revera factum esse raptum, sed per simulationem, ut superius dictum est; nec pœnæ canonicæ locum habebunt, nec leges quæ raptores puniunt : sed solum actione injuriarum patribus tenebuntur, qui eas ceperunt quæ erant sub potestate, adeo ut et matrimonium quod inter eas intercessit, præter eorum voluntatem sub quorum potestate sunt, sit separandum. Lege can. 38 hujus sancti, 41 et 42. Sanctus autem recte meminit stupri et furti. Stuprum enim fit proprie in virginem ; furtum autem, seu furtivus concubitus in liberam quæ non est hujusmodi. Amborum autem meminit quod etiam absque eo quod fiet raptus, et stuprator et fornicator puniuntur.

ΖΩΝΑΡ. Τοὺς ἁρπάζοντας γυναῖκας, καὶ τοὺς συνεργοῦντας αὐτοῖς ἐπὶ τριετίαν ὁ ἅγιος οὗτος ὥρισεν ἔξω τῶν εὐχῶν γίνεσθαι· ἤγουν ἐν τῷ προνάῳ ἵστασθαι μετὰ τῶν ἐν ἀκροάσει. Εἰ δὲ ἑκοῦσα γυνὴ ἐπιδῷ ἑαυτὴν μὴ προηγησαμένης φθορᾶς, μηδὲ κλοπῆς, ἀντὶ τοῦ λαθραίας μίξεως, ἀνεύθυνός ἐστιν ὁ ταύτην λαβών, οἷα μηδὲ βίας μεσολαβησάσης, εἰ τέως αὐτεξουσία ἦν ἡ γυνή. Εἰ γὰρ ὑπεξουσία ἦν, ἄνευ τοῦ ἔχοντος αὐτὴν ὑπεξουσίαν ἐπιδοῦσα ἑαυτὴν ἀνδρὶ οὐ λογίζεται γάμον συναλλάσσειν. Εἰ γὰρ βούλεται ὁ ἔχων ὑπεξουσίαν αὐτὴν διασπάσει τὸ συνοικέσιον, ὡς ὁ λη' κανὼν περιέχει, καὶ ὁ μα' καὶ ὁ μβ'. Ὅθεν φησὶν, ἐὰν αὐτεξουσία χήρα ᾖ, καὶ ἐπ' αὐτῇ κεῖται, ἤγουν ἐπὶ τῇ θελήσει αὐτῆς τὸ ἀκολουθῆσαι ἀνδρὶ, ὁ ταύτην λαβὼν οὐκ εὐθύνεται. Τὸ δὲ, Τῶν σχημάτων ἡμῖν οὐ φροντι-

ZONAR. Qui mulieres rapiunt, quique ipsos auxilio juvant, triennio hic vir sanctus extra precationes esse decernit : hoc est in vestibulo inter audientes consistere. Quod si mulier volens seipsam tradat, dummodo nullum præcesserit stuprum, neque furtum, hoc est occulta commistio, nulli pœnæ erit obnoxius qui hanc acceperit, quippe cum nulla vis intercesserit, modo tamen sui juris foret femina. Si namque sub alterius esset potestate, ac se absque ejus facultate cui subdita est viro tradit, conciliare matrimonium haudquaquam existimatur. Si namque velit ille cujus sub potestate est, dissolvet nuptias, ut can. 38, 41 et 42, decernitur. Proinde ait, si sui juris vidua fuerit, et in ipsa positum est, nimirum ab illius arbitrio pendet sequi virum, qui hanc accepit nulli pœnæ obnoxius est. Illud ve-

Digitized by Google

ro, Figurarum non est nobis habenda ratio, ita accipiendum est. Quod nimirum proprium vestis genus haberent, ut credibile est, tunc temporis viduæ, luctuosum forte, aut alterius generis ab ea, qua mulieres viris subjectæ gestabant, veste diversum. Potest hoc aliam quoque explicationem admittere. Quod quemadmodum hoc tempore qui in vitam monasticam transcribuntur non continuo tondentur sed prius habitum mutant, moxque certo quodam elapso tempore tondentur: idem tunc quoque servari solemne esset in viduis, quæ viduarum ordini forent ascribendæ, quæ Ecclesiarum sumptibus alebantur, ac prius quidem habitum mutabant, deinde vero lapsu temporis in ordinem referebantur. Quare si vidua quæ habitum mutavit, viro nubat priusquam in numerum viduarum Ecclesiæ descripta fuerit, de habitu, inquit, non laboramus, neque ob mutationem habitus pœnas luet, quod in monachis quoque hoc tempore servatur. Nam etsi quis habitum mutaverit, nondum tamen detonso capillo, nec promissi fidem adhuc Deo obligaverit, succumbat vero postea monasticæ disciplinæ laboribus, atque abscedat, nullam ea de causa pœnam persolvet. Hic idem magnus Basilius in ipsius asceticis constitutionibus, dum de pueris qui in fraternitatem assumebantur sententiam profert; erudiri quidem illos artesque edoceri præcipit, omnique virtutis exercitationi assuescere: cæterum postquam ratione aucti fuerint, ac in eis dijudicandi facultas major evaserit, tum demum virginitatis professionem, ubi rationis perfectionem adepti fuerint, admitti. Si quis porro, inquit, vitæ cum virginitate degendæ non acquiescat, quippe qui non possit sollicitus esse de iis quæ Domini sunt, adhibitis testibus absolvatur. Arbitror autem melius hoc modo intelligi posse illud, Non est nobis figurarum ac prætextuum cura gerenda: quod si mulier, verecundia forte impedita, quo minus seipsam amatori vel dilecto tradat, quod abjectus sit homo, se raptam fuisse prætextat, cum revera ipsum sua sponte si secuta; de prætextu, inquit, hoc est, simulatione minime laboramus sed veritati attendimus. Legendus est hujus quoque sancti viri can. 53.

A στέον, τοιαύτην δίδωσι ἔννοιαν· Ὅτι ἴδιόν τι σχῆμα στολῆς, ὡς ἔοικεν, εἶχον αἱ χῆραι τότε, πενθῆρες τυχόν, ἢ ἄλλοῖον. Εἶποι δέ τις τοῦτο καὶ ἄλλως. ὅτι, ὥσπερ νῦν οἱ πρὸς τὸν μοναχικὸν μετατασσόμενοι βίον οὐκ εὐθὺς ἀποκείρονται, ἀλλὰ πρότερον μετασχηματίζονται, καὶ οὕτω μετὰ χρόνον τινὰ κείρονται· οὕτω καὶ τότε ἐγίνετο ἐπὶ ταῖς χήραις ταῖς καταλεγῆναι μελλούσαις εἰς τῶν χηρῶν τάγμα, τῶν διοικουμένων παρὰ τῆς Ἐκκλησίας· μετεσχημάτιζοντο πρότερον, καὶ οὕτω μετὰ καιρὸν συντριθμοῦντο τῷ τάγματι. Εἰ οὖν μετασχηματισθεῖσα χήρα ἀνδρα λάβῃ μήπω καταλεγεῖσα ταῖς χήραις τῆς Ἐκκλησίας, τοῦ σχήματος, φησὶν, οὐ φροντίζομεν, οὐδ' ἐπιτιμηθήσεται διὰ τὸν σχηματισμὸν, ὅπερ καὶ ἐπὶ τῶν μοναχῶν ἄρτι γίνεται.

B Κἂν γὰρ μεταμφιάσηταί τις, μήπω δὲ καρῇ καὶ δώσει συνθήκας πρὸς τὸν Θεὸν, ὀκλάσῃ δὲ πρὸς τὸ τῆς μοναχικῆς διαγωγῆς μοχθηρὸν, καὶ ἀποστῇ, οὐκ ἐπιτιμᾶσθαι. Οὗτος ὁ μέγας Βασίλειος ἐν Ἀσκητικοῖς αὐτοῦ διατάγμασι περὶ παίδων προσλαμβανομένων ἐν ἀδελφότητι δοὺς γνώμην, παιδεύεσθαι μὲν τούτους καὶ διδάσκεσθαι τέχνας διατάττεται, καὶ πρὸς πᾶσαν ἐνάρετον ἐθίζεσθαι ἄσκησιν· τοῦ λόγου δὲ προσγενομένου καὶ τῆς διακριτικῆς ἕξεως προελθούσης, τότε τὴν ὁμολογίαν τῆς παρθενίας προσίεσθαι μετὰ τὴν τοῦ λόγου συμπλήρωσιν. Ὁ δὲ μὴ καταδεχόμενος, φησὶ, τὸν ἐν παρθενίᾳ βίον, ὡς οὐ δυνάμενος μεριμνᾷν τὰ τοῦ Κυρίου, ἐπὶ μαρτύρων ἀπολυέσθω. Οἶμαι δὲ κρεῖσσον εἶναι οὕτω νοεῖσθαι τὸ,

C Τῶν σχημάτων οὐ φροντιστέον· ὅτι, εἰ γυνὴ αἰδουμένη ἴσως ἐπιδοῦναι ἑαυτὴν τῷ ἐραστῇ ἢ τῷ ἐρωμένῳ χαμερπεῖ ὄντι ἐσχημάτισατο τὸ ἁρπαγῆναι, πρὸς ἀλήθειαν δὲ ἑκουσίως αὐτῷ ἠκολούθησεν, οὐ φροντίζομεν τοῦ σχηματισμοῦ, ἤτοι τῆς ὑποκρίσεως, ἀλλὰ τῇ ἀληθείᾳ προσέχομεν. Ἀναγνωστέον καὶ τὸν νγ' κανόνα τοῦ ἁγίου τούτου.

91 ARIST. Qui rapit triennio substernatur. Si vidua una secuta fuerit, non est malum pœnæ obnoxium.

Quibus quidem obnoxius est iste qui mulierem rapit, in vicesimo secundo hujus præsentis epistolæ canone, et in canone 92, sextæ in Trullo synodi scriptum est. Præsens autem canon et illud addit, et ipsum qui rapuit, et eos qui ei ad rapiendum opem ferebant tres annos extra orationes esse, et cum succumbentibus collocari. Et illud quidem omnino subeant supplicium, postquam rapta propriis restituta fuerit. Aliter enim in ecclesiam non recipientur. Et hæc quidem de rapta. Si autem vidua sine corruptione et vi sequeretur virum, hoc nulli est pœnæ obnoxium.

D

ΑΡΙΣΤ. Ὁ ἁρπάζων τριετίαν ὑποπιπτέτω. Εἰ δὲ ἡ χήρα συνακολουθήσει, ἀνεύθυνον τὸ κακόν.

Τίσι μὲν ἔνοχός ἐστιν ὁ ἁρπάζων γυναῖκα, ἐγράφη ἐν τῷ εἰκοστῷ δευτέρῳ κανόνι τῆς παρούσης ἐπιστολῆς, καὶ ἐν τῷ β' κανόνι τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου· ὁ δὲ παρὼν κανὼν ἐπάγει καὶ τοῦτο, τόν τε ἁρπάσαντα καὶ τοὺς βοηθήσαντας αὐτῷ εἰς τὴν ἁρπαγὴν τρία ἔτη ἔξω τῶν εὐχῶν γίνεσθαι, καὶ μετὰ τῶν ὑποπιπτόντων συντάττεσθαι. Τοῦτο δὲ πάντως ἐπιγινώσονται τὸ ἐπιτίμιον, μετὰ τὸ ἀποκατασταθῆναι τὴν ἁρπαγεῖσαν τοῖς οἰκείοις. Ἄλλως γὰρ οὐ παραδεχθήσονται τῇ ἐκκλησίᾳ. Καὶ ταῦτα μὲν περὶ τῆς ἁρπαγείσης. Ἐὰν δὲ χήρα χωρὶς φθορᾶς ἢ βίας συνακολουθήσῃ ἀνδρὶ, ἀνεύθυνον τὸ γινόμενον.

CANON XXXI.

Quæ, cum vir secessit et non apparet, antequam de

ΚΑΝΩΝ ΛΑ'

Ἡ, ἀναχωρήσαντος τοῦ ἀνδρὸς καὶ ἀφανοῦς ὄντος,

Digitized by Google

πρὸ τοῦ πεισθῆναι περὶ τοῦ θανάτου αὐτοῦ ἑτέρῳ A
συνεκήσασα, μοιχᾶται.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ῥητῶς κατεστρώθη εἰς τὸν ιγ' κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ ἐπεὶ ἐκεῖσε ἡρμηνεύθη, ἀνάγνωθι τὰ ἐν ἐκείνῳ.

ΖΩΝΑΡ. Ἐὰν ἀνὴρ ἀποδημήσας ἀφανὴς γένηται, ἤγουν ἐπὶ μακρὸν οὐχ ὑποστρέψῃ, ἀγνοεῖται δὲ εἴτε ζῇ, εἴτε ἀπέθανε, καὶ ἡ ἐκείνου γυνὴ, πρὸ τοῦ πληροφορηθῆναι βεβαίως τὸν θάνατον τοῦ ἀνδρὸς, ἑτέρῳ συνοικήσει ἀνδρὶ, μοιχαλὶς κρίνεται. Τὴν τοιαύτην καὶ οἱ νόμοι τῆς πόλεως βαρέως κολάζουσιν.

ΑΡΙΣΤ. Ἡ πρὸ τοῦ πληροφορηθῆναι θανεῖν τὸν ἄνδρα ἄλλῳ γαμουμένη μοιχᾶται. Σαφὴς.

ΚΑΝΩΝ ΛΒ'.

Οἱ τὴν πρὸς θάνατον ἁμαρτίαν (10) ἁμαρτάνοντες κληρικοὶ, τοῦ βαθμοῦ μὲν κατάγονται, τῆς κοινωνίας δὲ τῶν λαϊκῶν οὐκ ἐξείργονται. Οὐ γὰρ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό.

ΒΑΛΣ. Τοὺς κληρικοὺς τοὺς τὴν πρὸς θάνατον ἁμαρτίαν ἁμαρτάνοντας καθαιρεῖσθαι μὲν ὁ ἅγιος διορίζεται, τῆς δὲ μετὰ τῶν πιστῶν κοινωνίας οὐκ ἀποστερεῖ, ἤτοι οὐκ ἀφορίζει. *Οὐ γὰρ ἐκδικήσεις*, φησὶ, *δὶς ἐπὶ τὸ αὐτό*. Πρὸς θάνατον δὲ ἁμαρτίαν φασί τινες εἶναι τὴν πρᾶξιν, διαστέλλοντες ταύτην ἀπὸ τῆς βουλήσεως καὶ τῆς συγκαταθέσεως· ταῦτα γὰρ λέγουσι μηδὲ εἶναι ἁμαρτίαν. Ἐμοὶ δὲ δοκεῖ ἁμαρτίαν πρὸς θάνατον εἶναι ἅπαν ἁμάρτημα ἐπάγον κεφαλικὴν τιμωρίαν ἤτοι θάνατον τῷ ἁμαρτάνοντι, καὶ διορίζεσθαι τὸν ἅγιον ὡς, εἴ τις κληρικὸς ἐφ' οἱῳδήτινι ἁμαρτήματι καταδικασθῇ, κἂν οὐκ ἐλαφρὰν τιμωρίαν διὰ τοῦτο ὑφίσταται, ἀλλὰ μέχρι θανάτου ἐσχάτην τὴν καὶ λεγομένην κεφαλικὴν, ὡς ἐπάγουσαν θάνατον, ἢ καὶ ἕτερόν τι θανάτου ἴσον, καθαιρεθήσεται μόνον, εἰς πλέον δέ τι οὐ κολασθήσεται παρὰ τῆς Ἐκκλησίας. Ἔλεγον γάρ τινες, ὡς ἔοικεν, ὅτι ἀπὸ μὲν πορνείας ἢ κλοπῆς καὶ τινῶν τοιούτων ἐλαφρῶν ἁμαρτημάτων καθαιρεθήσεται μόνον ὁ κληρικός· ἀπὸ δὲ φόνου καί τινος μείζονος ἁμαρτήματος οὐ μόνον καθαιρέσει ὑποπεσεῖται, ἀλλὰ καὶ ἀφορισθήσεται, ὅπερ οὐ παρεδέξατο ὁ ἅγιος, καὶ διὰ τοῦτο διωρίσατο μὴ ἀφορίζεσθαι τὸν καθαιρεθέντα, κἂν διὰ τὴν ἐσχάτην ἁμαρτίαν, ἤγουν τὴν πρὸς θάνατον, κατεδικάσθη· ἀρκοῦσα γὰρ τιμωρία ἐστὶν ἡ καθαίρεσις. Ὅτι δὲ καὶ ἀπὸ μόνης βουλῆς καὶ συγκαταθέσεως κολάζονταί τινες ἐσχάτως, δῆλόν ἐστιν ἀπὸ τοῦ λς' τίτλου τοῦ ξ' βιβλίου διδάσκοντος περὶ ἐπιβούλων καὶ διοριζομένου τῷ περὶ καθοσιώσεως νόμῳ ἐνόχους εἶναι τοὺς κατὰ βασιλέως ἢ πόλεως ἢ ἄρχοντος ἐπιβουλευσαμένους, κἂν μὴ πράξωσιν ἔργον. Εὑρίσκων δὲ τὸν κη' ἀποστολικὸν κανόνα, τὸν κθ', τὸν λ', καὶ τὸν ξε', κατὰ ταυτὸν καθαιροῦντας καὶ ἀφορίζοντάς τινας, ποτὲ δὲ καὶ τῆς κοινωνίας ἢ

morte certior facta sit, cum alio cohabitavit, mœchatur.

BALS. Præsens canon expresse situs est in can. 93 Syn. in Trullo, et quoniam illic est expositus, lege quæ sunt in illo.

ZONAR. Si vir peregre profectus non appareat, hoc est, post diutinum tempus minime revertatur, incertum est porro vivat ne, an decesserit, cum ejus uxor, priusquam de viri morte certo cognitum sit, alteri se viro sociaverit, adultera judicatur. In ejusmodi mulierem leges civitatis graviter animadvertunt.

ARIST. Quæ, priusquam certior facta sit virum suum mortem obiisse, alii nupserit, mœchatur. *Perspicuus.*

CANON XXXII.

Qui peccatum ad mortem peccant clerici, de gradu quidem dejiciuntur, a laicorum autem communione non arcentur. Non enim vindicabis bis in idipsum.

BALS. Clericos, qui peccatum ad mortem peccant sanctus quidem deponi jubet, eos autem fidelium communione non privat, seu non segregat. Non *enim vindicabis*, inquit, *bis in idipsum*. Peccatum autem ad mortem dicunt nonnulli esse actionem, eam a voluntate et consensu distinguentes, hæc enim dicunt non esse peccatum. Mihi autem videtur peccatum ad mortem esse omne peccatum quod capitale inducit supplicium, mortem scilicet peccatori: et sanctum decernere quod si quis clericus ob quodvis peccatum condemnatus fuerit, etiam si non leve aliquod, sed ad mortem usque ultimum, quod capitale, ut quod mortem vel id quod morti est æquale inferat, appellatur, supplicium subierit, solum deponetur, nec amplius ab Ecclesia punietur. Dicebant enim nonnulli, ut est verisimile, quod propter fornicationem quidem aut furtum et quædam levia hujusmodi peccata solum deponetur clericus: propter cædem autem et majus aliquod peccatum non solum depositioni subjicietur, sed etiam segregabitur, quod non admisit sanctus; et propterea statuit eum qui est depositus non segregari oportere, etiamsi propter extremum peccatum, quod est ad mortem, condemnatus est. Est enim sufficiens supplicium depositio. Quod autem propter solum consilium et consensum quidam etiam ultimo supplicio afficiuntur, patet ex tit. 36, libri LX, docente de insidiatoribus, et decernente, legi Majestatis eos esse obnoxios qui adversus imperatorem vel civitatem vel magistratum aliquod consilium inierunt, etsi opus non fecerint. Cum autem inveneris 28. can. Apostol. 29, 30 et 65, quosdam simul **92** deponentes et segregantes, aliquando autem etiam a communione vel Ecclesia abscindentes, ne dixeris

Guill. Beveregii notæ.

(10) *Οἱ τὴν πρὸς θάνατον ἁμαρτίαν.* Scholiastes Harmenopuli, Πρὸς θάνατον ἁμαρτία ἐστὶν, ἡ ψυχικὴ δηλαδὴ, ἡ καὶ μέχρι πράξεως χωρήσασα· ὡς ἦγε μέχρι τοῦ βουληθῆναι μόνον καὶ συγκαταθέσθαι, οὐ πρὸς θάνατον. *Peccatum ad mortem est peccatum animi, quod ad actum processit: quandoquidem id, quod duntaxat ad velle atque ad assensum progreditur, non ad mortem est.* Harmen. ep. can. sect. 3, tit. 2.

Digitized by Google

eis præsentem can. adversari. Sunt enim speciales, specialia vero ad exemplum non trahuntur; sed dic apud eos quidem obtinere ubi editi sunt, in reliquis autem locis præsentem canonem observandum esse. Excipe mihi eos qui propter causas dogmaticas condemnantur. In illis enim, id quod est synodaliter decernendum, debet fieri; quoniam nec ad peccatum nec ad crimen reducuntur hæresium scelera, sed sunt majore animadversione digna.

ZONAR. Magnus Apostolus et Evangelista Joannes in prima sua catholica Epistola, *Est*, inquit, *peccatum ad mortem*[1], *et est peccatum non ad mortem.* Ad mortem quidem igitur peccatum esse dicitur, quod ad opus usque progreditur. Quod vero in consultatione et consensu sistit, non est ad mortem, animi nimirum. Nec enim fornicatus judicaretur, qui, cum fornicationi assensus fuerit, ab actione ipsa nihilominus abstinuit. Ait namque quartus Neocæsarianæ synodi canon: Si quis mulierem concupiscens cum ipsa dormire proposuerit, ejus autem desiderium ad opus non venerit; videtur esse a gratia liberatus. Et non quidem irreprehensibilis erit assensus; verumtamen, haudquaquam depositione dignus judicabitur, qui assensum tantummodo præstitit. Neque vero qui de aliquo homine interficiendo deliberavit, et aliquatenus huic consultationi immoratus est, deinde autem ab illa destitit, nec operi manus admovit, homicida judicabitur. Ac nobis quidem fidem faciat hac de re magnus Theologus Gregorius, dicendo: Si cædis damnas homicidam ex eo solum quod cogitaverit, et quæ sequuntur. Eodem modo magnus quoque Basilius, ut dictum est, Evangelistæ verba assumens, ait clericos, qui peccatum ad mortem peccant, excidere quidem de sacerdotii gradu, verumtamen a laicorum communione non arceri, hoc est, quominus cum laicis consistant et una precentur. Neque enim vel in audientium vel in substrationis locum relegabuntur; quando quidem, *Non vindicabis bis in idipsum.*

ARIST. Clericus qui mortale peccatum commisit, una cum populo communicat de gradu tantum dejectus; In idem enim bis non vindicabis.

Peccatum ad mortem ducens est carnis voluptas. Si quis itaque clericus fornicatus fuerit, gradu quidem sacerdotii dejicitur, sed a divina communione non arcetur. sed cum laicis communicat.

CANON XXXIII.

Mulier quæ in via peperit, et sui fetus curam non gessit, cædis crimine teneatur.

BALS. Mulier quædam gravida iter ingressa in via peperit, et cum posset quod partum erat vivum tueri, ipsum neglexit. Dicit ergo sanctus eam homicidii crimine omnino teneri, etiamsi non mortuus sit infans, sed ab alio educatus sit. Quod enim in crimen incidat, infante mortuo, est extra contro-

[1] I Joan. v, 16, 17.

καὶ τῆς Ἐκκλησίας ἐκκόπτοντας, μὴ εἶπῃς ἐναντιοῦσθαι τούτοις τὸν παρόντα κανόνα. Ἰδικοὶ γάρ εἰσι, καὶ τὰ ἰδικὰ οὐχ ἕλκονται πρὸς ὑπόδειγμα· ἀλλ' ἐκείνοις μὲν λέγε κρατεῖν ἔνθα δὴ καὶ ἐξεφωνήθησαν, εἰς δὲ τὰ λοιπὰ κρατεῖν τὸν παρόντα κανόνα. Ὑπέξελέ μοι τοὺς διὰ δογματικὰς ὑποθέσεις κατακρινομένους. Ἐπ' ἐκείνοις γὰρ τὸ συνοδικῶς διορισθησόμενον ὀφεῖλει γίνεσθαι· ὅτι μηδὲ εἰς ἁμάρτημα ἢ ἔγκλημα τὰ τῶν αἱρέσεων ἀνάγονται ἀτοπήματα, ἀλλά εἰσι μείζονος ἐκδικήσεως ἄξια

ZΩNAP. Ὁ μέγας Ἀπόστολος καὶ εὐαγγελιστὴς Ἰωάννης ἐν τῇ πρώτῃ τῶν Καθολικῶν ἐπιστολῶν αὐτοῦ φησιν· *Ἔστιν ἁμαρτία πρὸς θάνατον, καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον.* Πρὸς θάνατον μὲν οὖν ἁμαρτία λέγεται εἶναι ἡ μέχρι πράξεως προχωρήσασα· ἡ δὲ μέχρι τοῦ βουλεύσασθαι καὶ συγκατατεθῆσθαι οὐ πρὸς θάνατον, δηλονότι τὸν ψυχικόν. Οὐ γὰρ πόρνος ἂν κριθείη ὁ πορνεῦσαι συγκατατιθέμενος, τῆς δὲ πράξεως ἀποσχόμενος. Φησὶ γὰρ ὁ τέταρτος κανὼν τῆς ἐν Νεοκαισαρείᾳ συνόδου· Ἐὰν προθῆταί τις ἐπιθυμήσας γυναικὸς συγκαθευδῆναι αὐτῇ, μὴ ἔλθῃ δὲ εἰς ἔργον αὐτῷ ἡ ἐνθύμησις, φαίνεται ὅτι ὑπὸ τῆς χάριτος ἐρρύσθη. Καὶ οὐκ ἀνεπιτίμητος· μὲν ἡ συγκατάθεσις, ἀλλ' οὐδὲ καθαιρέσεως ἄξιος ἂν κριθείη συγκαταθέμενος. Οὐδὲ μὲν ὁ φονεῦσαί τινα βουλευσάμενος, καὶ ἐπιμείνας μέχρι τινὸς τῷ βουλεύματι, εἶτ' ἀποστὰς αὐτοῦ καὶ πράξει μὴ ἐγχειρήσας λογισθείη φονεύς. Καὶ πειθέτω ἡμᾶς περὶ τούτου ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος, λέγειν· Εἰ κρίνεις φόνου τὸν φονικὸν ἐκ μόνου τοῦ βούλεσθαι, καὶ τὰ ἑξῆς. Οὕτω δὲ καὶ ὁ μέγας Βασίλειος, ὥσπερ εἴρηται ἐκλαβόμενος, φησὶ, τοὺς τὴν πρὸς θάνατον ἁμαρτίαν ἁμαρτάνοντας κληρικοὺς ἐκπίπτειν μὲν τοῦ βαθμοῦ τῆς ἱερωσύνης, τῆς δὲ κοινωνίας τῶν λαϊκῶν μὴ κωλύεσθαι, ἤγουν τοῦ συνεύχεσθαι. Οὐ γὰρ στήσονται οὔτε ἐν ἀκροωμένου τόπῳ οὔτε ἐν ὑποπίπτοντι· ὅτι *Οὐκ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό.*

ΑΡΙΣΤ. Τὴν πρὸς θάνατον ἁμαρτήσας κληρικὸς, μετὰ τοῦ λαοῦ κοινωνεῖ, τοῦ βαθμοῦ καταγόμενος· Οὐ γὰρ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό.

Πρὸς θάνατόν ἐστι κατάγουσα ἁμαρτία ἡ τῆς σαρκὸς ἡδονή. Εἴ τις γοῦν κληρικὸς πορνεύσει, τοῦ μὲν βαθμοῦ τῆς ἱερωσύνης κατάγεται, τῆς δὲ θείας κοινωνίας οὐ κωλύεται, ἀλλὰ μετὰ τῶν λαϊκῶν κοινωνεῖ.

ΚΑΝΩΝ ΛΓ'.

Ἡ γυνὴ ἡ διὰ τῆς ὁδοῦ κυήσασα, καὶ ἀμελήσασα τοῦ κυήματος, τῷ τοῦ φόνου ἐγκλήματι ὑποκείσθω.

ΒΑΛΣ. Γυνή τις ἔγκυος ὁδεύουσα ἔτεκεν ἐν τῇ ὁδῷ, καὶ δυναμένη ζωογονῆσαι τὸ κυηθὲν, κατεφρόνησεν αὐτοῦ· φησὶν ὁ ἅγιος τῷ τοῦ φονέως ἐγκλήματι ταύτην ὑποκεῖσθαι πάντως, κἂν μὴ τελευτήσῃ τὸ βρέφος, ἀλλὰ παρ' ἑτέρου ζωογονηθῇ. Τὸ γὰρ ὑποκεῖσθαι αὐτὴν τῷ ἐγκλήματι, τοῦ βρέφους τελευτή-

Digitized by Google

σαντος, ἀζήτητόν ἐστι καὶ ἀναμφίβολον. Ἐὰν οὐκ εἶχε πρὸς ἰσχύος ζωογονῆσαι τὸ βρέφος, δ ἀ τὸ ἁλῶναι τυχὸν ὑπὸ πολεμίων ὡς αἰχμάλωτος, οὐδόλως κολασθήσεται. Καὶ ἀνάγνωσον τὸν νβ' κανόνα τοῦ ἁγίου τούτου, ἑρμηνεύοντα καὶ τὸν παρόντα κανόνα. Περὶ μέντοι τοῦ κολάζεσθαι, εἴτε καὶ μή, τὰς ἐκτιθεμένας τὰ οἰκεῖα βρέφη εἰς τὰς εἰσόδους τῶν θείων ναῶν λόγος ἐγένετο διαφόρως ἐπὶ συνελεύσει συνοδικῇ· καὶ ἤρεσεν ὡς φονευτρίας ταύτας κολάζεσθαι, κἂν παρά τινων τὰ βρέφη ζωογονηθῶσιν. Ἀνάγνωθι καὶ κεφάλ. δ' τοῦ ς' τίτλου τοῦ λα' βιβλίου οὕτω λέγον· Φονεύει τὸ τικτόμενον οὐ μόνος ὁ πνίγων, ἀλλὰ καὶ ὁ ῥίπτων, καὶ ὁ μὴ τρέφων, καὶ ὁ ἐνδημοσίοις τόποις ἐκτιθέμενος ἐπὶ ἐλεημοσύνῃ, ἣν αὐτὸς οὐκ ἔσχεν. Ἀνάγνωθι καὶ τὸν β' ὅλον τίτλον τοῦ λγ' βιβλίου διοριζόμενον τοὺς ἐκτιθεμένους, κἂν δοῦλοι ὦσιν, ἀπεντεῦθεν ἐλευθεροῦσθαι. Κολάζεσθαι μέντοι ὀφείλει ἡ τοιαύτη γυνὴ ἀπὸ μεγάλης ἀμελείας ἰοικυίας ὀλῳ, τῆς καὶ λεγομένης παρὰ τῶν νομομαθῶν λάτης κούλπης. Τυχὸν γὰρ οὖσα ἐπιμελὴς περὶ τὰ οἰκεῖα, περὶ τὴν τοῦ βρέφους ζωογόνησιν διετέθη καταφρονητικῶς. Ἐπεί τοί γε ἐὰν περὶ τὰ οἰκεῖα τοιαύτη ἦν ἀμελής, ἢ ὡς οὖσα εὐγενὴς, καὶ μὴ εἰδυῖα τὴν βρεφικὴν ἐπιμέλειαν, ἢ ὡς κατὰ φύσιν ἀνεπιτηδεία οὖσα, καὶ συνέβη τοιουτοτρόπως τὸ βρέφος μὴ ζωογονηθῆναι, οὐ κολασθήσεται, ὡς οἶμαι.

ΖΩΝΑΡ. Ἐὰν γυνὴ ἔγκυος ὁδεύουσα ὠδινήσῃ καὶ τέκῃ ἐν τῇ ὁδῷ, δυναμένη ζωογονῆσαι καὶ περισῶσαι τὸ γεννηθὲν καταφρονήσει αὐτοῦ, καὶ ἀφήσει ἀνεπιμέλητον, ὡς φονεύσασα αὐτὸ κρίνεται· κἂν ἴσως τὸ βρέφος ἕτερός τις εὑρὼν ἀνέληται, καὶ ἐπιμελησάμενος ζωογονήσῃ. Εἰ δὲ ἀδύνατόν ἐστι περιποιήσασθαι τοῦτο, τυχὸν γὰρ αἰχμάλωτος ἦγετο, καὶ ἐν τῇ ὁδῷ ἔτεκεν, ἢ πολεμίους ἔφευγε, καὶ φεύγουσα ἀπεκύησε, καὶ οὐκ ἠδύνατο καὶ ἑαυτὴν περισῶσαι καὶ τὸ τεχθὲν, κρυβεῖσα γὰρ ἴσως κανεμηνύθη ἂν ὑπὸ τοῦ βρέφους κλαυθμυριζομένου. συγγνωσθήσεται.

ΑΡΙΣΤ. Ἡ κυήσασα ἐν ὁδῷ, καὶ τοῦ τεχθέντος ἀμελήσασα, φονεύτρια. *Σαφής*.

ΚΑΝΩΝ ΛΔ'.

Τὰς μοιχευθείσας γυναῖκας, καὶ ἐξαγορευούσας δι' εὐλάβειαν ἢ ὁπωσοῦν ἐλεγχομένας, δημοσιεύειν μὲν ἐκώλυσαν οἱ Πατέρες ἡμῶν, ἵνα μὴ θανάτου αἰτίαν παράσχωμεν ἐλεγχθείσαις· ἵστασθαι δὲ αὐτὰς ἄνευ κοινωνίας προσέταξαν μέχρι τοῦ συμπληροῦσθαι τὸν χρόνον τῆς μετανοίας.

ΒΑΛΣ. Οἱ μοιχοὶ κατὰ τὸν νη' κανόνα ἐν δ' ἔτεσι μετὰ τῶν προσκλαιόντων ἵστανται, ἐν πέντε μετὰ τῶν ἀκροωμένων, ἐν δ' μετὰ τῶν ὑποπιπτόντων, καὶ ἐν δυσὶ μετὰ τῶν συνεστώτων χωρὶς κοινωνίας. Φησὶ γοῦν ὁ ἅγιος· Εἰ γυνή τις μοιχευθεῖσα ἐξομολογήσηται τὸ ἁμάρτημα, ἢ ὁπωσοῦν ἐλεγχθῇ, οὐ χρὴ δημοσιεύειν αὐτὴν, ἤγουν ἱστᾶν εἰς τοὺς τόπους τῶν ῥηθέντων ἐπιτιμίων· ὁ γὰρ ὁρῶν αὐτὴν ἔξω τῶν θείων περιβόλων τῆς ἐκκλησίας ἱστεμένην, ἢ καὶ μετὰ τῶν κατηχουμένων ἐξιοῦσαν, κατανοήσει πάντως κατὰ πρώτην ὄψιν διὰ μοιχείας ἔγκλημα ἐπιτιμηθῆναι αὐ-

A versiam et nulli penitus dubium. Sin autem non fuerit in ejus potestate infantem vivum tueri, quod ab hostibus forte ut captiva traheretur, minime punietur. Et lege canonem 52 hujus sancti, qui præsentem etiam canonem interpretatur. An autem essent puniendæ, quæ proprios filios in divinorum templorum aditibus exponunt, annon, in synodali congressione varie disceptatum est; et placuit eas ut homicidas puniri, etsi infantes ab aliquibus educentur. Lege et cap. 4, tit. 6, lib. xxxi quod sic dicit : Occidit fetum non solum qui suffocat, sed etiam qui adjicit, et non nutrit, et qui in publicis locis exponit ad misericordiam, quam ipse non habuit. Lege 93 et totum tit. 2, lib. xxxiii, qui decernit eos qui exponuntur, etiamsi servi sint, eo ipso liberos effici. Debet tamen puniri mulier propter magnam negligentiam, quæ dolo æquiparatur : quæ quidem a jurisperitis lata culpa nominatur. Forte enim cum esset alioqui in rebus domesticis diligens et sollicita, in educando infante fuit negligens. Nam si in domesticis rebus talis esset negligens, vel ut quæ esset nobili loco nata, nec sciret quomodo infantum esset habenda cura, vel alioqui natura ad hæc non apta, et contigit infantem ea ratione vivum non servari, haud punietur, ut puto.

ZONAR. Si mulier gravida iter faciens tentata doloribus pariat in via, cumque vivum ac incolumem fetum servare posset, illum neglexerit, omnique illius abjecta cura deseruerit, ac si ipsum interfecisset, condemnatur : etiamsi forte infantem alius quispiam inventum sustulerit, curaque adhibita incolumem conservarit. Cæterum si illum servare haud potis erat; forte namque cum abduceretur captiva, in itinere peperit, aut hostes fugiebat, atque in fuga edidit partum, nec una seipsam simul et fetum servare potuit; siquidem fortasse latens infantis ejulatu prodita fuisset, veniam consequetur.

ARIST. Quæ in via peperit, et fetum neglexit, homicidii rea est. *Perspicuus*.

CANON XXXIV.

Adulterio pollutas mulieres et confitentes ob pietatem vel quomodocunque convictas publicare quidem Patres nostri prohibuerunt, ne convictis mortis causam præbeamus; eas autem stare sine communione jusserunt, donec impleretur tempus pœnitentiæ.

BALS. Adulteri secundum can. 58 stant quatuor annis cum deflentibus, quinque cum auscultantibus, quatuor cum substratis, et duobus cum stantibus absque communione. Dicit ergò sanctus, si quæ adulterata mulier peccatum confessa fuerit, vel quomodocunque convicta sit, non oportet eam publicare, id est eam in dictarum pœnarum locis statuere. Qui enim eam viderit extra divinos ecclesiæ ambitus stantem, vel etiam cum catechumenis exeuntem, primo aspectu omnino intelliget, propter adulterii crimen eam illi esse pœnam injunctam, et

Digitized by Google

fiet punitio causa mortis, viro ejus post futurum forte reditum suum rem ita se habere animadvertente. Permittitur ergo consistere et cum fidelibus comprecari, a sacramentorum autem communione abstinere, donec pœnitentiæ tempus completum fuerit. Hac autem humanitate in mulieres uti oportere sanctus definivit, propter eam quam diximus rationem. Viri enim adulterium confitentes immisericorditer dictis pœnis subjiciuntur, quia de illis non est talis timor, qualis de mulieribus dictus est, qui præsumuntur esse etiam aliis fortasse criminibus obnoxii, et jure puniri. Illud autem, Quomodocunque convinci mulieres, non debes accipere de omnibus nota probatione, sed de mulieris conscientiæ probatione, hoc est, sive mulier sua sola sponte confessa sit, vel ut etiam a periendi periculo coacta, vel aliquo alio modo, clanculum et non publice seipsam condemnans, et enuntiaverit. Si enim dixeris publice factam esse probationem, et veluti in triumphum esse ductum adulterium, recte omnes pœnæ in eam congerentur. Neque enim canon in eo locum habet, quoniam semel publicata est, et ex viri reditu nulla cædis suspicio suboritur propter pœnarum denuntiationem. Ex eo autem quod dicit sanctus: Ne demus convictis mulieribus sive per pœnas noti criminis causam mortis, nec dixeris concedi maritis adulteras suas mulieres interficere. In sola enim propria domo, in ipso facto deprehensum potest maritus adulterum occidere, et eum scenicum vel alium, qui sit infamis. Et 94 lege cap. 26, tit. 37, lib. LX, 27, 49 et alia capita. Sed accipe verbum sancti, ne fiant pœnæ magni scandali causæ inter maritum et uxorem, et forte etiam ut procedat ad injustam illius cædem.

A

B

C

D

μθ', καὶ ἕτερα κεφ. Ἀλλὰ ἐκλαβοῦ τὸ ῥῆμα τοῦ ἁγίου εἰς τὸ μὴ γενέσθαι τὰ ἐπιτίμια αἴτια μεγάλου σκανδάλου μέσον τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς, ἴσως δὲ προβῆναι καὶ φόνον ἄδικον κατ' αὐτῆς.

ZONAR. Si mulier, inquit, adulterata fuerit, crimenque confiteatur, cavens, hoc est metuens futurum judicium, vel aliter convicta fuerit, veluti quod intumuerit alvus, aut edito partu, dum longo temporis intervallo ipsius vir peregrinatur, ipsam, ait, non oportet publicare, hoc est, nequaquam oportet ipsam in locis multæ luendæ, flentis videlicet, audientis, et substrati collocare. Est hoc namque crimen publicum efficere. Qui enim ipsam extra ambitum Ecclesiæ viderit, aut in vestibulo, aut cum catechumenis exeuntem, agnoscet procul dubio ipsam peccasse, ac præ aliis criminibus ipsi adulterium appingetur, ipsique mortis causam hæc multa concilabit. Si namque id vir ejus cognoverit, forte ipsam interficiet: juxta illud Solomonis, *Plenus zelo animus viri ipsius* [1]. Hanc itaque ob causam, consistere quidem cum fidelibus, ac una precari permittitur, verum a sacrorum mysteriorum communione, quoad expletum fuerit pœnitentiæ tempus, arcetur.

ARIST. Mulieres adulterio pollutas, et convictas

ZΩΝΑΡ. Ἐὰν γυνὴ, φησὶ, μοιχευθῇ, καὶ ἐξομολογήσηται τὸ ἁμάρτημα εὐλαβουμένη, ἀντὶ τοῦ δειλιῶσα τὴν μέλλουσαν κρίσιν, ἢ ἐλεγχθῇ ἄλλως, οἷς ἐξ ὄγκου τῆς γαστρὸς, ἢ ἐκ τοκετοῦ, γενομένου ἐν ἀποδημίᾳ μακρᾷ τοῦ ἀνδρὸς αὐτῆς, οὐ χρὴ δημοσιεύειν αὐτήν· ἤγουν οὐ χρὴ ἱστᾶν αὐτὴν εἰς τοὺς τόπους τῶν ἐπιτιμίων, τὸν τοῦ προσκλαίοντος δηλονότι, τὸν τοῦ ἀκροωμένου, τὸν τοῦ ὑποπίπτοντος. Τοῦτο γὰρ δημοσιεύειν ἐστὶ τὸ ἁμάρτημα. Ὁ γὰρ ὁρῶν αὐτὴν ἔξω τῶν περιβόλων τῆς ἐκκλησίας, ἢ ἐν τῷ προνάῳ, ἢ μετὰ τῶν κατηχουμένων ἐξιοῦσαν, γνώσεται πάντως ἁμαρτῆσαι αὐτήν· καὶ πρὸ τῶν ἄλλων ἁμαρτημάτων τὸ τῆς μοιχείας αὐτῇ προσαφθήσεται, καὶ γενήσεται ἡ ἐπιτίμησις αὐτῇ αἰτία θανάτου. Εἰ γὰρ γνῷ τοῦτο ὁ ἀνὴρ αὐτῆς, ἴσως ἀποκτενεῖ αὐτήν. Κατὰ γὰρ τὸν Σολομῶντα, *Μεστὸς ζήλου θυμὸς ἀνδρὸς αὐτῆς*. Διὰ τοῦτο παραχωρεῖται μὲν συνίστασθαι καὶ συνεύχεσθαι τοῖς πιστοῖς, τῆς δὲ κοινωνίας τῶν ἁγιασμάτων κωλύεται, μέχρις ἂν ὁ χρόνος τῆς μετανοίας ἐκμετρηθῇ.

ΑΡΙΣ. Ἀδημοσιεύτους μὲν τὰς μοιχευθείσας, καὶ

[1] Prov. VI, 34.

Digitized by Google

ἐλεγχομένας, ἐγνώκαμεν· ἀκοινωνήτους δὲ ἱστῶμεν, ἕως τὸ ἐπιτίμιον ἀποπληρώσουσι.

Γυνὴ μοιχευθεῖσα, καὶ τὴν ἁμαρτίαν αὐτῆς ἐξαγορεύσασα δι' εὐλάβειαν, ἢ ἄλλως πῶς παρὰ τῷ πατρὶ αὐτῆς τῷ πνευματικῷ ἐλεγχθεῖσα, οὐκ ἐνδέχεται δημοσιεύεσθαι, καὶ ὡς μοιχαλὶς τῷ ἰδίῳ ἀνδρὶ γνωρίζεσθαι· ἵνα μὴ θανάτου αἴτιον τοῦτο γένηται. Ἀκοινώνητον δὲ αὐτὴν μένειν προστάττουσιν οἱ Πατέρες, μετὰ τῶν πιστῶν γυναικῶν ἱσταμένην, μέχρι συμπληρώσεως τῶν χρόνων τοῦ ἐπὶ τῇ μοιχείᾳ ἁμαρτήσαντος· εἰ γὰρ μετὰ τῶν προσκλαιόντων καὶ τῶν ἀκροωμένων ταχθήσεται, ὑποπτευθήσεται τῷ ἀνδρὶ αὐτῆς, καὶ ἴσως φονευθήσεται.

Mulier adulterata, et ob pietatem peccatum suum confessa, vel aliter quomodocumque a patre suo spirituali convicta, non debet publicari, et pro adultera a viro suo cognosci: ne illud mortis causa fiat. At eam excommunicatam manere jubent Patres cum fidelibus mulieribus stantem, donec tempus, ei qui fornicatione peccaverit constitutum, impleatur. Si enim cum deflentibus et audientibus collocabitur, viro suo in suspicionem veniet, et fortasse occidetur.

ΚΑΝΩΝ ΛΕ'.

Ἐπὶ τοῦ καταλειφθέντος ἀνδρὸς ὑπὸ τῆς γυναικὸς, τὴν αἰτίαν χρὴ σκοπεῖν τῆς ἐγκαταλείψεως· κἂν φανῇ ἀλόγως ἀναχωρήσασα, ὁ μὲν συγγνώμης ἐστὶν ἄξιος, ἡ δὲ ἐπιτιμίου· ἡ δὲ συγγνώμη τούτῳ πρὸς τὸ κοινωνεῖν τῇ Ἐκκλησίᾳ δοθήσεται.

CANON XXXV.

In marito, qui ab uxore relictus est, derelictionis causam considerare oportet; etsi præter rationem eam secessisse apparuerit, ille quidem dignus venia est, illa vero pœna. Ei autem venia, ut Ecclesiæ communicet, dabitur.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν σαφηνίζεται διὰ τῆς γενομένης παρ' ἡμῶν ἑρμηνείας ἐν τῷ πζ' κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ ἀνάγνωθι ταύτην, καὶ τὸν ϛ' κανόνα τοῦ ἁγίου Πατέρος, καὶ τὸν κα'.

BALS. Præsens canon declaratur per factam a nobis interpretationem in canon 87 synod. in Trullo. Et lege eam et canon. 9 sancti Patris, et 21.

ΖΩΝΑΡ. Ἡ τὸν οἰκεῖον καταλείψασα ἄνδρα, ἐὰν χωρὶς εὐλόγου αἰτίας ἀναχωρήσῃ, ἐπιτιμᾶται· ὁ δὲ ἀνὴρ συγγινώσκεται· οὐχ ὥστε ἑτέρῳ κεχρῆσθαι, ἀλλ' ὥστε τῆς Ἐκκλησίας μὴ χωρισθῆναι. Ἐν δὲ τῷ θ' κεφαλαίῳ ὁ ἅγιος οὗτος, οὔτε τὸ τύπτεσθαι παρὰ τοῦ ἀνδρὸς, οὔτε τὸ εἰς χρήματα ζημιοῦσθαι, ἀλλ' οὐδὲ τὸ πορνεύειν ἴσως τὸν ἄνδρα, εὐλόγους αἰτίας ἔκρινεν εἰς τὸ ἀποστῆναι τὴν γυναῖκα τοῦ γάμου, οὐδὲ μὴν τὸ ἄπιστον αὐτὸν εἶναι.

ZONAR. Quæ virum suum reliquit, siquidem absque justa causa secesserit, multatur: viro autem ignoscitur: non quidem ut alia uti liceat, verum ut ab Ecclesia minime segregetur. Nono porro capite hic sanctus vir, neque quod a viro verberetur, neque quod jacturam pecuniarum sustineat, imo neque quod vir fortasse fornicetur, justam mulieri causam abscedendi esse judicavit, neque demum quod a fide vir ipse sit alienus.

ΑΡΙΣΤ. Ἐὰν ἀλόγως ἀνεχώρησεν ἡ γυνὴ, αὐτὴ μὲν οὐκ ἀνεύθυνος.

ARIST. Si mulier sine ratione recesserit, ipsa quidem culpa non vacat.

Ἡ καταλιποῦσα τὸν ἴδιον ἄνδρα, καὶ ἐξ ἐκείνου ἀλόγως ἀναχωρήσασα, ἐν ἐπιτιμίοις ἔσται· καὶ μᾶλλον, εἰ ἐπ' ἄλλον ἦλθεν ἄνδρα· τότε γὰρ ὡς μοιχαλὶς κατακρίνεται, κατὰ τὸν ἔνατον κανόνα. Ὁ δὲ ἀνὴρ, ὁ καταλειφθεὶς ὑπ' αὐτῆς, συγγνώμης ἐστὶν ἄξιος, καὶ διὰ τοῦτο, εἰ ἄλλην λάβῃ γυναῖκα, καὶ ἀνεπιτίμητος.

Quæ virum suum dereliquit, et ab eo sine ratione recessit, pœnis subjicietur, et præcipue si ad alium virum venerit. Tunc enim ut adultera judicatur, juxta nonum canonem: vir autem ob ea derelictus venia dignus est, atque ideo si aliam duxerit uxorem culpari nequit.

ΚΑΝΩΝ ΑϚ'.

Στρατιώτιδες αἱ τῶν ἀνδρῶν αὐτῶν ἀφανῶν ὄντων γαμεῖσαι, τῷ αὐτῷ ὑπόκεινται λόγῳ, ὅπερ καὶ αἱ διὰ τὴν ἀποδημίαν τῶν ἀνδρῶν, μὴ ἀναμείνασαι τὴν ἐπάνοδον· πλὴν ἔχει τινὰ συγγνώμην τὸ πρᾶγμα ἐνταῦθα, διὰ τὸ μᾶλλον πρὸς θάνατον εἶναι τὴν ὑπόνοιαν.

95 CANON XXXVI.

Militum uxores, quæ, cum mariti ipsarum non appareant, nupserunt, eidem rationi subjiciuntur, cui et quæ propter maritorum peregrinationem reditu non exspectato nupserint; sed res nonnullam hic veniam admittit, quod major sit mortis suspicio.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν, ῥητῶς ἀνατατόμενος ἐν τῷ ἐννενηκοστῷ τρίτῳ κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου ἑρμηνεύθη ἐκεῖσε.

BALS. Hic quoque canon in 93 syn. in Trullo collocatus, illic est interpretatus.

ΖΩΝΑΡ. Καὶ αἱ τῶν στρατιωτῶν γυναῖκες ἐπιτελοῦσι τῶν οἰκείων ἀνδρῶν μὴ φαινομένων ἐὰν ἑτέροις συναφθῶσιν, ὁμοίως ἐπιτιμῶνται ταῖς λοιπαῖς γυναιξὶ, ταῖς ἀποδημασάντων ἐπὶ μακρὸν τῶν ἀνδρῶν αὐτῶν γαμηθείσαις ἄλλοις. Ἔχουσι δὲ τινὰ, φησὶ, συγγνώμην αἱ στρατιώτιδες, διὰ τὸ μᾶλλον ὑπονοεῖσθαι θανεῖν τοὺς στρατιώτας, ἐκ τοῦ περὶ πολέμους

ZONAR. Et militum quoque uxores, ad multum temporis ipsarum viris non apparentibus, si aliis jungantur pari cum reliquis mulieribus multa puniuntur, quæ, cum viri diutius peregrinarentur, aliis nupserunt. Habent vero quamdam, inquit, veniam militum uxores, quod facilius suspicemur interisse milites, quippe qui inter bella et cædes ac

Digitized by Google

pericula vitam agant. Venia porro illa fuerit, ut de tempore pœnæ persolvendæ constituto aliquid ipsis detrahatur.

ARIST. Militum uxores quæ eo quod viri sui nusquam appareant aliis junguntur, sunt venia digniores aliis, quæ propter eorum peregrinationes non exspectant.

Eidem fornicationis supplicio subjiciuntur et ambæ hæ mulieres, et quæ viri a militia communis et peregrinantis uxor est, et priusquam certis argumentis confirmetur mors illius, alii nupserit, et quæ militis est uxor, si et illa antequam viri ipsius mortem accurate didicit, alii conjungetur. Quomodo autem militum uxores cum vita defunctos esse maritos suos didicerint mortem eorum investigare debent, centesima decima septima Justiniani novella statuit, in septimo titulo vicesimi octavi libri Basilicorum posita. Cujus vis et in can. 91 sextæ in Trullo synodi scripta est. Præsens autem canon militum uxores indulgentia aliqua dignatur, plusquam uxores aliter peregrinantium, si ad secundas nuptias venerint, viris suis non apparentibus quoniam isti potius prope mortem sunt, et eorum absentia magnam dat suspicionem quod vel mortui sint vel interfecti.

CANON XXXVII.

Qui postquam aliena ei ablata fuerit uxorem duxit, in prima quidem adulterii accusabitur, in secunda vero reus non agetur.

BALS. Alienam hic dicit canon, quæ legitime nupsit, vel desponsa fuit alicui. Si quis ergo adulterium commiserit, aliena in suam proprietatem usurpata, lege utique matrimonii, et ab ea separatus fuerit cum legitima condemnatione, aliique conjunctus: pro adulterio quidem secundum canones punietur, in secunda autem uxore, quæ est a viro libera, reus non agitur. Hæc autem sunt a sancto constituta propter eos qui dicebant non debere adulterum secundæ uxori conjungi, ut qui in capitalem condemnationem incidisset, et non posset lege veteri contrahere, quæ observabatur tempore Basilii, scilicet ante repurgationem. Etsi enim in capitale supplicium quispiam incidat propter adulterium, non est tamen matrimonium contrahere prohibitus, et ideo de eo non punietur: multo autem magis is hodie pœnam non subibit, propterea quod capitale supplicium sublatum est, et punitur adulter sola narium abscissione et bonorum ablatione. Et lege cap. 82, tit. 37, lib. LX, et Novellam 32 imperatoris domini Leonis Philosophi. Hæc autem locum habebant, ut mihi videtur, quando sola affectione constituebatur matrimonium: 96 nunc autem quando cum sacra oratione et sancto ministerio procedunt nuptiæ et sponsalia, adulter mulieri non aliter conjungetur, quam si adulterii pœnis fuerit liberatus, quæ declarantur in can. 58 præsentis sancti.

καὶ σφαγὰς καὶ κινδύνους ἀναστρέφεσθαι. Ἡ δὲ συγγνώμη εἴη ἂν τὸ τὸν χρόνον τοῦ ἐπιτιμίου ἴσως ἐλαττοῦσθαι αὐταῖς.

ΑΡΙΣΤ. Αἱ στρατιώτιδες αἱ διὰ τὴν τῶν ἀνδρῶν ἀφάνειαν ἄλλοις ζευγνύμεναι συγγνωστότεραι τῶν ἄλλων, αἱ διὰ τὰς ἀποδημίας οὐ περιμένουσιν.

Τῷ αὐτῷ τῆς μοιχείας ἐπιτιμίῳ ὑπόκεινται καὶ ἀμφότεραι αἱ γυναῖκες, ἥ τε τοῦ ἀστρατεύτου καὶ ἀποδήμου ὄντος, καὶ πρὸ τοῦ πληροφορηθῆναι τὸν θάνατον αὐτοῦ, ἑτέρῳ γαμηθεῖσα, καὶ ἡ τοῦ στρατιώτου, ἐὰν καὶ αὐτὴ, πρὸ τοῦ μαθεῖν ἀκριβῶς τὰ περὶ τοῦ θανάτου τοῦ ἀνδρὸς αὐτῆς, ἑτέρῳ συναφθῇ· ὅπως δὲ αἱ στρατιώτιδες, μαθοῦσαι τοὺς ἰδίους ἄνδρας τετελευτηκέναι, ὀφείλουσιν ἐρευνᾷν περὶ τοῦ θανάτου αὐτῶν, ἡ Ἰουστινιάνειος ἑκατοστὴ ἑπτακαιδεκάτη Νεαρὰ διαλαμβάνει, ἡ ἐν τῷ ἑβδόμῳ τίτλῳ τοῦ εἰκοστοῦ ὀγδόου βιβλίου τῶν βασιλικῶν κειμένη· ἧς ἡ δύναμις καὶ ἐν τῷ ἐννενηκοστῷ πρώτῳ κανόνι ἐγράφη τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου. Ὁ δὲ παρὼν κανὼν συγγνώμης τινὸς ἀξιοῖ τὰς τῶν στρατιωτῶν γυναῖκας παρὰ τὰς γυναῖκας τῶν ἄλλως ἀποδημούντων, εἴπερ πρὸς δεύτερον γάμον ἔλθοιεν, τῶν ἀνδρῶν αὐτῶν ἀφαντωθέντων· διὰ τὸ μᾶλλον πρὸς θάνατον εἶναι αὐτούς, καὶ μεγάλην διδόναι ὑπόνοιαν τὴν ἀφάνειαν, ὡς τεθνήκασιν, ἢ ἀνῃρέθησαν.

ΚΑΝΩΝ ΛΖ'.

Μετὰ τὸ ἀφαιρεθῆναι τὴν ἀλλοτρίαν ὁ γαμήσας, ἐπὶ μὲν τῇ πρώτῃ, μοιχείας ἐγκληθήσεται· ἐπὶ δὲ τῇ δευτέρᾳ ἀνεύθυνος ἔσται.

ΒΑΛΣ. Ἀλλοτρίαν ἐνταῦθα λέγει ὁ κανὼν τὴν νομίμως γαμηθεῖσαν ἢ καὶ μνηστευθεῖσάν τινι. Εἴ τις γοῦν μοιχεύσει, ἰδιοποιούμενος τὴν ἀλλοτρίαν κατὰ νόμον δῆθεν γάμου, καὶ αὐτὴν μὲν ἀφαιρεθῇ μετὰ καταδίκης νομίμου, ἑτέρᾳ δὲ συζευχθῇ· χάριν μὲν τῆς μοιχείας κατὰ τοὺς κανόνας ἐπιτιμηθήσεται, ἐπὶ δὲ τῇ δευτέρᾳ γαμετῇ, ἐλευθέρᾳ οὔσῃ ἀνδρὸς, οὐκ ἔσται ὑπεύθυνος. Ὡρίσθησαν δὲ ταῦτα παρὰ τοῦ ἁγίου διὰ τοὺς λέγοντας μὴ ὀφείλειν τὸν μοιχὸν δευτέρᾳ συνάπτεσθαι γυναικὶ, ὡς κεφαλικῇ καταδίκῃ ὑποπίπτοντα, καὶ μὴ δυνάμενον συναλλάττειν κατὰ τὸν παλαιὸν νόμον τὸν κρατοῦντα ἐν ταῖς ἡμέραις τοῦ ἁγίου Βασιλείου, δηλονότι πρὸ τῆς ἀνακαθάρσεως. Κἂν γὰρ κεφαλικῇ τιμωρίᾳ ὑπόκειταί τις διὰ τὴν μοιχείαν, ἀλλὰ γάμον συναλλάττειν οὐ κεκώλυται, καὶ διὰ τοῦτο οὐκ ἐπιτιμηθήσεται χάριν τούτου· πολλῷ δὲ πλέον οὐ κολασθήσεται σήμερον ὁ τοιοῦτος, ὅτι κεφαλικὴ τιμωρία περιῃρέθη, καὶ κολάζεται ὁ μοιχὸς μόνῃ ῥινῶν ἐκτομῇ καὶ πραγμάτων ἀφαιρέσει. Καὶ ἀνάγνωθι τὸ πβ' κεφ. τοῦ λζ' τίτ. τοῦ ξ' βιβλ., καὶ λβ' τὴν Νεαρὰν τοῦ βασιλέως κυρίου Λέοντος τοῦ Φιλοσόφου. Ταῦτα δὲ χώραν εἶχον, ὡς ἐμοὶ δοκεῖ, ὅτε μόνῃ διαθέσει συνίστατο ὁ γάμος. Ἀρτίως γὰρ ἐπεὶ μετὰ ἱερολογίας οἱ γάμοι καὶ αἱ μνηστεῖαι προβαίνουσιν, ἄλλως γυναικὶ ὁ μοιχὸς οὐ συζευχθήσεται, εἰ μὴ ἀπὸ τῶν ἐπιτιμίων τῆς μοιχείας ἀπολυθῇ, τῶν δηλουμένων εἰς τὸν νη' κανόνα τοῦ παρόντος ἁγίου.

Digitized by Google

ΖΩΝΑΡ. Ἐάν τις μνηστὴν τινὸς ἢ γυναῖκα λαβὼν εἶχεν, εἶτα ἀφῃρέθη αὐτὴν, καὶ ἀφαιρεθεὶς ἐκείνην ἑτέρᾳ συνῴκησε γαμετῇ· διὰ μὲν τὴν εἰς ἐκείνην πλημμέλειαν ὡς μοιχὸς ἐπιτιμηθήσεται, ἐπὶ δὲ τῇ δευτέρᾳ [γαμετῇ, ἐλευθέρᾳ οὔσῃ ἀνδρὸς, οὐκ ἔσται ὑπεύθυνος.

ΑΡΙΣΤ. Ὁ τὴν ἀλλοτρίαν ἀφεὶς, καὶ λαβὼν ἐλευθέραν, ἐπιτιμητέος μὲν διὰ τὴν πρώτην· ἐπὶ δὲ τῇ δευτέρᾳ, ἀνεύθυνος.

Εἴ τις γυναῖκα λάβῃ παρ' ἄλλου ἀπολυθεῖσαν εἶτα ταύτην ἀφεὶς, ἑτέρᾳ ἐλευθέρᾳ νομίμως συζευχθῇ· ἐπὶ μὲν τῇ πρώτῃ τῷ τῆς μοιχείας ἐπιτιμίῳ ἐστὶν ὑπεύθυνος, διότι καὶ ὁ ἀπολελυμένην γαμήσας μοιχᾶται· ἐπὶ δὲ τῇ δευτέρᾳ ἀνεύθυνός ἐστι.

ΚΑΝΩΝ ΛΗ'.

Αἱ κόραι αἱ παρὰ γνώμην τοῦ πατέρος ἀκολουθήσασαι πορνεύουσι. Διαλλαγέντων δὲ τῶν γονέων δοκεῖ θεραπείαν λαμβάνειν τὸ πρᾶγμα. Οὐκ εὐθὺς δὲ εἰς τὴν κοινωνίαν ἀποκαθίστανται, ἀλλ' ἐπιτιμηθήσωνται τρία ἔτη.

ΒΑΛΣ. Κόρας ἐνταῦθα ὁ ἅγιος τὰς ὑπεξουσίας ὀνομάζει. Φησὶ γοῦν ὡς, ἐάν τινες κόραι ἐκδώσουσιν ἑαυτὰς τοῖς ἐρασταῖς τούτων παρὰ γνώμην τῶν πατέρων αὐτῶν, καὶ φθαρῶσιν ὑπ' ἐκείνων, κἂν γαμικῶς δόξωσι συναφθῆναι, πορνεύουσι, διὰ τὸ εἶναι ἀνυπόστατον τὸν γενόμενον γάμον τῆς ὑπεξουσίας δίχα γνώμης τοῦ πατέρος αὐτῆς. Ἐὰν δὲ καταλλαγῶσι ταύταις οἱ γονεῖς αὐτῶν, καὶ θελήσωσι συνοικεῖν ταύτας τοῖς ἐρασταῖς, δοκεῖ θεραπεύεσθαι τὸ πρᾶγμα. Τὸ γὰρ ἐξ ἀρχῆς κακῶς γεγονὸς, ἡ μετὰ ταῦτα συναίνεσις τῶν γονέων δοκεῖ θεραπεύειν, ὥστε τὴν πορνείαν εἰς γάμον μετάγεσθαι. Πλὴν οὐκ εὐθὺς δεκτή ἐστιν ἡ τοιαύτη εἰς κοινωνίαν, ἀλλὰ μετὰ γ' ἔτη. Ἐνταῦθα δὲ μὴ θεματίσῃς ἁρπαγὴν γενέσθαι ἐπὶ τῇ κόρῃ. Ἔμαθες γὰρ ἀπὸ τοῦ λ' κανόνος καὶ ἐξ ἑτέρων ὅτι, ἁρπαγῆς γενομένης εἴτε μετὰ γνώμης τῆς γυναικὸς εἴτε καὶ χωρὶς γνώμης ἐκείνης, γάμος οὐ συνίσταται, κἂν οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους συναινῶσιν. Ἀλλὰ θεμάτισον δίχα ἁρπαγῆς ἀκολουθῆσαι τὴν ὑπεξουσίαν τῷ φθορεῖ· διὰ γὰρ τοῦτο καὶ ἡ μετὰ ταῦτα συναίνεσις ποιεῖ ἀνεύθυνον τὸν γάμον. Ταῦτα δὲ, ὡς ἐμοὶ δοκεῖ, χώραν εἶχον, ὅταν συναινέσει μόνῃ συνίσταται ὁ γάμος. Σήμερον ἐπεὶ μετὰ ἱερολογίας γίνεται, κἂν συναινέσωσιν οἱ γονεῖς, γάμος μετὰ ἱερολογίας οὐ γίνεται, εἰ μὴ πληρωθῶσι τὰ τοῦ ἐπιτιμίου γ' ἔτη ἢ παρὰ τοῦ ἐπισκόπου μετὰ τὴν οἰκείαν ἐπίκρισιν στενοχωρηθῶσιν. Ἱερολογίας δὲ ἀνυποστάτως γενομένης ἐπὶ ἀνήβῳ κόρῃ, καὶ μετὰ ταῦτα τῶν γαμικῶς ἱερολογηθέντων στοιχούντων τῷ γάμῳ, συνεζητήθη εἰ τὰ τικτόμενα ἐξ αὐτῶν γνήσιά εἰσι καὶ νόμιμα. Ἔλεγον γάρ τινες ὡς, ἐπεὶ ἀρχῆθεν ἀνυπόστατος ἦν γάμος διὰ τὴν ἀνηβότητα τῆς κόρης, τὰ δὲ ἐξ ἀρχῆς ἀνυπόστατα ἐκτῶν μετὰ ταῦτα συμβαινόντων καὶ βεβαιοῦνται καθὼς ὁ νόμος φησὶν, ἐξ ἀνάγκης, εἰ μὴ γένηται δευτέρα ἱερολογία, οὐδὲ νομίμως τούτους συνάπτεσθαι εἶποι τις. Τὸ αὐτὸ δὲ ἔλεγον ὀφείλειν γενέσθαι καὶ εἰς τὴν ὑπεξουσίαν τὴν παρὰ γνώμην

ZONAR. Si quis alicujus sponsam ut uxorem in matrimonium duxerit, quæ postea ab illo ablata est, moxque ablata illa, alteram duxit uxorem; ob admissum quidem in eam peccatum ut adulter punietur, ob secundam vero uxorem quæ a viro libera est, nulli erit pœnæ obnoxius.

ARIST. Qui alienam dimisit, et accepit liberam, corripiendus quidem et propter primam, sed propter secundam insons est.

Si quis uxorem duxerit ab alio dimissam, postea eam dimittens, alii liberæ legitime conjungatur, propter primam adulterii supplicio obnoxius est, quia et qui dimissam duxit, adulteratur; et propter secundam, crimine vacat.

CANON XXXVIII.

Puellæ, quæ præter patris sententiam amatores secutæ sunt, fornicantur: reconciliatis vero parentibus, videtur res remedium accipere; non protinus autem ad communionem restituentur, sed triennio punientur.

BALS. Puellas hic sanctus eas, quæ sunt in potestate appellat. Dicit ergo, quod si quæ puellæ tradent seipsas suis amatoribus præter suorum patrum sententiam, et ab illis corrumpantur, etiamsi matrimonio videantur conjunctæ, fornicantur; eo quod matrimonium ejus, quæ est, in tutela sine patris voluntate consistere nequit. Sin autem parentes ipsarum eis reconciliati fuerint, et eas cum amatoribus cohabitare voluerunt, rei hac ratione videtur remedium afferri. Quod enim ab initio male factum est, parentum postea consensus reparare videtur, ut fornicatio in matrimonium deducatur. At talis non est statim ad communionem recipienda, sed demum post tres annos. Hic autem ne posueris raptam fuisse puellam. Ex tricesimo enim can. et ex aliis didicisti, quod si raptus factus fuerit, sive cum mulieris voluntate, sive ea nolente, non consistit matrimonium etiamsi qui habent in potestate consentiant. Sed pone eam, quæ est in potestate non raptam stupratorem secutam fuisse; propterea enim sequens consensus facit, ut a culpa remotum sit conjugium. Hæc autem, ut mihi videtur, locum habebant, quando solo consensu consistebat matrimonium. Hodie vero, quoniam fit cum sacra benedictione, etiamsi parentes consenserint, non fiet matrimonium cum sacra benedictione nisi tres pœnitentiæ anni expleti fuerint, vel ab episcopo pro suo arbitratu ad tempus brevius redacti sint. Cum autem benedictio, quæ consistere non poterat in impubere puella, facta esset, et postea qui matrimonialiter benedicti matrimonio quoque juncti sint, quæsitum est an qui ex eis nascuntur sint germani ac legitimi. Dicebant enim nonnulli quod, quoniam matrimonium ab initio non consistebat propter puellæ impubertatem (quæ autem ab initio non consistunt, ex iis quæ postea eveniunt non confirmantur, quemadmodum lex dicit) necessario, nisi fiat secunda benedictio, nec eos legitime quidem conjunctos

Digitized by Google

dixerit quispiam. Hoc ipsum autem etiam debere fieri dicebant in filia familias, quæ præter patris sententiam benedicta est, insistentes, quod etiamsi postea consenserit, qui illam habet in potestate, non consistat matrimonium, nisi etiam fiat benedictio. Dominus autem Constantinus Nicænus felicis memoriæ dicebat quidem in filiafamilias non requiri secundam benedictionem, quod solius personæ scilicet patris contemptus intervenerit, et is per consensum amputatus sit. In impubere autem voluit secundam fieri benedictionem, quod jus commune contemptum sit, 97 et non aliter ei remedium afferri, nisi post correctionem, quod mihi non videtur, propter benedictionis reverentiam.

A τοῦ πατέρος ἱερολογηθεῖσαν διενιστάμενοι· ὡς, κἂν μετὰ ταῦτα συναινέσῃ ὁ ἔχων αὐτὴν ὑπεξουσίαν, γάμος οὐ συστήσῃ, εἰ μὴ καὶ ἡ ἱερολογία γένηται. Ὁ δὲ Μακαρίτης κύριος Κωνσταντῖνος ὁ Νικαεὺς ἐπὶ μὲν τῆς ὑπεξουσίας ἔλεγε μὴ δεῖσθαι δευτέρας ἱερολογίας διὰ τὸ καταφρόνησιν μόνην προσώπου ἤτοι τοῦ πατέρος γενέσθαι, καὶ ταύτην διὰ τῆς συναινέσεως περιαιρεθῆναι. Ἐπὶ δὲ τῆς ἀνήβου ἔθελε δευτέραν γενέσθαι ἱερολογίαν, διὰ τὸ ἀθετηθῆναι κοινὸν νόμιμον, καὶ μὴ ἄλλως θεραπεύεσθαι, εἰ μὴ μετὰ διόρθωσιν· ὅπερ ἐμοὶ οὐ δοκεῖ, διὰ τὸ σέβας τὸ πρὸς τὴν ἁγίαν ἱερολογίαν.

ZONAR. Quæcunque, inquit, puellæ suos amatores secutæ fuerint, hoc est, iis sese sponte tradiderint, præter parentum, sub quorum potestate sunt, voluntatem, fornicantur. Quod si ipsis reconcilientur parentes sui, easque una cum amatoribus corruptoribusque suis vitam agere velint, remedium ei quod factum est inventum videtur. Porro hoc quod initio prave gestum est, parentum, qui post adhibetur, consensus eosque videtur emollire, ut fornicariam mulierem traducere in matrimonium liceat. Non tamen illa statim ad communionem erit admittenda, sed exacto triennio.

B

ΖΩΝΑΡ. Ὅσαι, φησί, κόραι ἀκολουθήσουσι τισὶν ἐρασταῖς αὐτῶν, ἀντὶ τοῦ, ἐκδῶσιν ἑαυτὰς ἑκοῦσαι παρὰ γνώμην τῶν ἑπατέρων αὐτῶν, οἷς εἰσιν ὑπεξούσιαι, πορνεύουσιν. Ἐὰν δὲ καταλλαγῶσιν αὐταῖς οἱ γονεῖς αὐτῶν, καὶ θελήσωσι συνοικεῖν αὐτὰς τοῖς ἐρασταῖς καὶ φθορεῦσιν αὐτῶν, δοκεῖ θεραπεύεσθαι τὸ γενόμενον. Τὸ δὲ ἐξ ἀρχῆς κακῶς γενόμενον ἡ μετὰ ταῦτα συναίνεσις τῶν γονέων δοκεῖ θεραπεύειν, ὥστε τὴν πόρνην εἰς γάμον μετάγεσθαι. Πλὴν οὐκ εὐθὺς δεκτὴ ἔσται ἡ τοιαύτη εἰς κοινωνίαν, ἀλλὰ τρία ἔτη.

ARIST. Quæ contra voluntatem patris secuta est, fornicatrix censetur. Si vero parentes reconciliati fuerint, et factum remedium accipere videatur; triennio tamen substernatur.

ΑΡΙΣΤ. Παρὰ γνώμην πατρὸς ἡ ἀκολουθήσασα πόρνη κρίνεται. Εἰ δὲ καὶ οἱ γονεῖς διαλλαγεῖεν, καὶ τὸ γεγονὸς θεραπείαν ἔχειν δοκεῖ· ὅμως τριετίαν ὑποπιπτέτω.

Qui sub potestate sunt præter eorum sententiam sub quorum sunt potestate matrimonium contrahere non possunt. Si autem et contraxerint, nihil fecerunt, sed irrita est contractio. Puellæ autem quæ præter patrum suorum voluntatem homines aliquos secutæ fuerint, fornicationis supplicio subjiciuntur. Si autem postea parentes conjugium præter suam sententiam initium, admittunt, et indissolutum manere volunt, nihilominus quia ab initio cum eorum voluntate non factum fuit; non statim ad communionem recipientur, sed triennio pœnas solvent.

C

Οἱ ὑπεξούσιοι, παρὰ γνώμην τῶν ἐχόντων αὐτοὺς ὑπεξουσίους, συναλλάττειν γάμον οὐ δύνανται· εἰ δὲ καὶ συναλλάξουσιν, οὐδὲν ἔπραξαν, ἀλλ' ἀνίσχυρόν ἐστι τὸ συνάλλαγμα. Ὑπόκεινται δὲ καὶ τῷ τῆς πορνείας ἐπιτιμίῳ αἱ παρὰ γνώμην τῶν πατέρων αὐτῶν ἀκολουθήσασαί τισιν ἀνδράσι κόραι. Εἰ δὲ καὶ μετὰ ταῦτα οἱ γονεῖς τὸ παρὰ γνώμην αὐτῶν γενόμενον συνοικέσιον δέξονται, καὶ θελήσουσι μένειν ἄλυτον· ὅμως διὰ τὸ ἐξ ἀρχῆς μὴ κατὰ γνώμην αὐτῶν γενέσθαι, οὐκ εὐθὺς εἰς κοινωνίαν παραδεχθήσονται, ἀλλ' ἐπὶ τοιετίαν ἐπιτιμηθήσονται.

CANON XXXIX.

Quæ vixit cum adultero, est toto tempore adultera.

BALS. Mulier quædam, quæ adulterata fuerat et cum adultero una vivebat, punita est: cum autem mortuus esset ejus maritus, volebat conjungi adultero. Dicit itaque sanctus, quod ne hoc quidem fiet, sed etiam donec vivit cum adultero pœnam subire debet, etiamsi quindecim anni pœnitentiæ transacti sint. Illi enim demum eas, quæ in pœnitentia dantur, pœnas subisse videntur, et veniam adipisci, qui a malo abstinent. Qui autem in malo perseverant, eidem pœnæ sunt obnoxii, etiamsi eam millies subierint. Ita ergo in canonem propone; et ne dixeris omnem mulierem quæ cum adultero cohabitat, esse adulteram. Ejus enim uxor legitima illi cohabitans, est a reprehensione aliena, et quævis alia præter adulteram. Et lex quidem ecclesiastica hæc decernit. Civilis autem adulteræ nullo modo permittit cum adultero conjungi.

D

ΚΑΝΩΝ ΛΘ'.

Ἡ τῷ μοιχῷ συζῶσα μοιχαλίς ἐστι πάντα τὸν χρόνον.

ΒΑΛΣ. Γυνή τις μοιχεύσασα καὶ συζῶσα τῷ μοιχῷ ἐπετιμήθη· τοῦ ἀνδρὸς δὲ αὐτῆς τελευτήσαντος ἤθελε συζευχθῆναι τῷ μοιχῷ. Φησὶν οὖν ὁ ἅγιος ὡς οὔτε τοῦτο γενήσεται, ἀλλὰ καὶ μέχρις ἂν συζῇ τῷ μοιχῷ ἐπιτετιμημένη ὀφείλει εἶναι, κἂν τὰ ιε' ἔτη τῶν ἐπιτιμίων τῆς μοιχείας ἐπεραιώθησαν. Ἐκεῖνοι γὰρ τὰ ἐπὶ τῇ μετανοίᾳ δ.δόμενα ἐπιτίμια δοκοῦσι δουλεύειν, καὶ λαμβάνειν συγχώρησιν οἱ ἀφιστάμενοι τοῦ κακοῦ. Οἱ δὲ ἐπιμένοντες τῷ κακῷ ἐπὶ τὸ αὐτό εἰσιν ἐπιτίμιοι, κἂν μυριάκις τοῦτῳ δουλεύσωσιν. Οὕτω θεμάτισον τὸν κανόνα· καὶ μὴ εἴπῃς πᾶσαν γυναῖκα συζῶσαν τῷ μοιχῷ μοιχαλίδα εἶναι. Ἡ γὰρ νόμιμος γυνὴ αὐτοῦ ἀνεύθυνός ἐστι τούτῳ συνδιάγουσα, καὶ ἄλλη πᾶσα χωρὶς τῆς μοιχαλίδος. Καὶ ὁ μὲν ἐκκλησιαστικὸς νόμος ταῦτα διορίζεται· ὁ δὲ πολιτικὸς οὐ παραχωρεῖ τὴν μοιχαλίδα ὅπως δήποτε συζευχθῆναι τῷ μοιχῷ· φησὶ

Digitized by Google

γὰρ τὸ ξϛ' κεφάλ., τοῦ λζ' τίτλου, τοῦ ξ' βιβλίου· Ἡ ἅπαξ ἁμαρτήσασα μοιχείαν, ἐὰν μετὰ ταῦτα γένηται γαμετὴ τοῦ μοιχεύσαντος αὐτήν, οὐ σβέννυται τῷ προσχήματι τοῦ γάμου τοῦ κατὰ τὴν μοιχείαν γενομένου· καὶ τὸ ιγ' κεφάλ. τοῦ μβ' τίτλου· Ἐὰν ἐπὶ μοιχείᾳ γυναικὸς καταδικασθεὶς ἀγάγωμαι αὐτήν, εἰ καὶ μὴ αὐτὴ καταδικασθῇ, οὔτε ὁ γάμος ἔῤῥωται· ἀλλ' εἰ καὶ κληρονόμον αὐτὴν γράψω, ἢ ἐμὲ αὐτή, δημεύεται ἡ κληρονομία. Οὐδὲ στρατιωτικῶς τις διαθέμενος δύναται κληρονόμον γράψαι τὴν ἀπὸ φθορᾶς γαμηθεῖσαν, καὶ σύγκοιτον αὐτοῦ γενομένην· ἀλλὰ τοιούτου τινὸς συμβαίνοντος, χώρα τῷ δημοσίῳ. Κατὰ τρίτον θέμα τοῦ δεκάτου κεφ. τοῦ ε' τίτλου, τοῦ κη' βιβλίου, ὁ ἐπὶ μοιχείαν γυναικὸς κατηγορηθεὶς οὐ δύναται ταύτην γαμετὴν ἀγαγέσθαι.

ΖΩΝΑΡ. Εἰ μή τις ἀποσταίη τῆς ἁμαρτίας, μετανοεῖν οὐ πιστεύεται, οὔτε δέχεται εἰς μετάνοιαν. Μετάνοια γάρ ἐστι τὸ μεταμέλεσθαι τὸν ἁμαρτήσαντα ἐφ' οἷς ἥμαρτε, καὶ δάκνεσθαι ἐπ' αὐτοῖς. Ὁ δὲ ἐπιμένων τῇ ἁμαρτίᾳ οὔτε μεταμέλεσθαι, οὔτε δάκνεσθαι πιστεύεται, ἀλλὰ ἥδεσθαι ταύτῃ. Ἡ οὖν τῷ μοιχῷ ἀκολουθήσασα καὶ συμβιοῦσα αὐτῷ, πάντα τὸν χρόνον τῆς συμβιώσεως μοιχαλίς ἐστι, ἔτι πράττουσα τὸ κακόν, καὶ εἰς μετάνοιαν οὐ δεχθήσεται.

ΑΡΙΣΤ. Ἡ συζῶσα μοιχῷ διὰ βίου μοιχεύεται.

Διὰ τοῦτο γοῦν καὶ ἀπρόσδεκτός ἐστιν ἡ τοιαύτη τῇ ἐκκλησίᾳ· μετὰ γὰρ τὸ παυθῆναι τῆς ἁμαρτίας, τότε γίνεται ἐν ἐπιτιμίοις, καὶ διορθοῦται τὸ πταῖσμα αὐτῆς· ἐὰν δὲ ἐπιμένῃ τῇ μοιχείᾳ, ἀδιόρθωτός ἐστι, καὶ ἀπρόσδεκτος.

ΚΑΝΩΝ Μ'

Ἡ παρὰ γνώμην τοῦ δεσπότου ἀνδρὶ ἑαυτὴν ἐκδοῦσα ἐπόρνευσεν· ἡ δὲ μετὰ ταῦτα πεπαῤῥησιασμένῳ γάμῳ χρησαμένη, ἐγήματο. Ὥστε ἐκεῖνο μὲν πορνεία, τοῦτο δὲ γάμος. Αἱ γὰρ συνθῆκαι τῶν ὑπεξουσίων οὐδὲν ἔχουσι βέβαιον.

ΒΑΛΣ. Δούλη συνήφθη γαμικῶς ἀνδρί τινι ἐλευθέρῳ παρὰ γνώμην τοῦ οἰκείου δεσπότου. Καιροῦ δέ τινος παρελθόντος, ἢ ἐλευθερίας ἀξιωθεῖσα τὸν μετὰ τοῦ προτέρου ἀνδρὸς γάμον πεπαῤῥησιασμένον ἐποιήσατο, ἢ καὶ ὁ κύριος αὐτῆς ἐπὶ τῷ γενομένῳ πρότερον ἀνυποστάτῳ γάμῳ συνῄνεσεν. Ἠρωτήθη γοῦν ὁ ἅγιος εἰ ἀκόλαστόν ἐστι τὸ γεγονὸς συνοικέσιον, καὶ εἶπεν ὡς, ἐπεὶ αἱ συναινέσεις τῶν ὑπεξουσίων ἀβέβαιοι καὶ ἀνυπόστατοί εἰσι, κἀντεῦθεν οὐ συνέστη γάμος ἔννομος ἐν τῷ καιρῷ τῆς δουλείας· κἂν μετὰ ταῦτα συναίνεσις παρηκολούθησε τοῦ δεσπότου, ἢ αὐτὴ ἡ δούλη ἐλευθερωθεῖσα τῷ προτέρῳ γάμῳ ἐστοίχησεν, οὐ λογίζεται τὸ γεγονὸς καὶ ἐξ ἀρχῆς αὐτῆς ἔννομον διὰ τὴν μετὰ ταῦτα συναίνεσιν, κατὰ τὸν νόμον λέγοντα, *Τὰ ἐξ ἀρχῆς ἀβέβαια*, ἐκ τῶν μετὰ ταῦτα συμβαινόντων οὐ βεβαιοῦνται. Τοῦτο γὰρ ἐπὶ τῶν ἀνυποστάτων χώραν οὐκ ἔχει. Διά τοι τοῦτο χάριν μὲν τοῦ προτέρου κακοῦ ἐπιτίμια πορνείας τούτοις ἐπιφορτισθήσονται· ἡ δὲ μετὰ ταῦτα συμβίωσις ἔσται ἀνεπιτίμητος. Καὶ ταῦτα μὲν ὅταν ἀνυπό-

A Dicit enim cap. 66, tit. 37, lib. LX: Quæ semel adulterium commisit, si ejus, qui eam adulteravit, postea uxor fuerit, non exstinguitur prætextu matrimonii, quod post adulterium factum est. Et cap. 13, tit. 42 ejusdem libri: Si propter uxoris adulterium condemnatus ipsam duxero, etiamsi ipsa non est condemnata, non est validum matrimonium: sed etsi ipsam hæredem scripsero, vel ipsa me, publicatur hæreditas. Nec quis militariter testans potest eam hæredem scribere, quæ ex stupro est ducta et ei fuit concubina: sed si tale quid contingat, locus datur publico. Et juxta thema 3, cap. 10, tit. 5, lib. XXVIII. Qui propter adulterium uxoris accusatus est, non potest eam uxorem ducere.

B ZONAR. Nisi quis a peccato desistat, illum pœnitere haud credibile est, neque ad pœnitentiam admittitur. Est enim pœnitentia, cum eum, qui deliquit, admissi criminis pœnitet, atque ob illud angitur. Qui vero in peccato perseverat, nec eum pœnitere peccati, nec ob **98** id angi credimus, sed ex illo potius capere voluptatem. Quæ igitur adulterum secuta est, et cum eo vitam agit, toto tempore, quo cum eo degit, adultera est, cum in pravitate adhuc persistat, neque ad pœnitentiam admittitur.

ARIST. Quæ una cum adultero vivit, per vitam mœchatur.

C Idcirco itaque et talis in Ecclesiam non est admittenda. Postquam enim a peccato cessaverit, tunc pœnas dat, et lapsum suum emendat. Si autem in adulterio persistat, inemendabilis est et non recipienda.

CANON XL.

Quæ præter domini sententiam se viro tradidit, fornicata est: quæ autem postea libero matrimonio usa est, nupsit. Quare illud quidem fornicatio, hoc vero matrimonium est. Eorum enim, qui sunt in alterius potestate, pacta conventa firmi nihil habent.

D BALS. Ancilla quædam cuidam viro libero matrimonialiter conjuncta erat præter mentem sui domini. Cum autem aliquantum temporis processisset, vel libertate donata, quod cum priore viro contraxerat liberum habuit matrimonium, vel etiam ejus dominus prius facto, quod non consistebat, matrimonio consensit. Interrogatus ergo sanctus, an quod inter eos factum est matrimonium castigari non debeat, dixit; quod quoniam eorum qui sunt in potestate consensus infirmi sunt et non possunt consistere, ideo non constitutum est legitimum matrimonium tempore servitutis: et si domini consensus postea secutus fuerit, vel eadem ancilla manumissa ad prius matrimonium se contulerit, non videtur quod factum est etiam ab ipso legitimum propter sequentem consensum, secundum legem quæ dicit: *Quæ ab initio sunt infirma* ex iis quæ postea eveniunt non confirmantur. Hoc enim locum non habet in iis quæ non consistunt. Et ideo pro priori quidem malo fornicationis pœnæ eis impo-

Digitized by Google

nentur: posterior autem convictus pœna carebit. Et hæc quidem quando ancillæ matrimonium, quod consistere non potest, fuerit confirmatum, vel post ejus libertatem, vel post manifestum domini consensum, quem etiam tacita libertas necessario consequitur. Quid autem? ancilla, quæ vere matrimonio conjuncta est domino sciente et non contradicente, ut fornicatrix reputabitur, eo quod dominus non consenserit, annon? Sol. cap. 47, tit. 4, lib. XXVII. hæc dicit expresse. Si quis ancillam suam nuptum locavit, qui autem liber est, et locanti fide data, eam accepit, et forte etiam dotalibus confectis instrumentis, vel non confectis quidem, sed ejus tamen voluntate rem tractavit, non justum fuerit tales non confirmare nuptias, sed etiam tacitam libertatem, sive viro, sive mulieri convenire; et cum tale quid a domino factum sit, eum eamque decernimus ad ingenuitatem arripi, remque tanquam in liberis et ingenuis judicari. Si autem ipse quidem alterutrius personæ dominus matrimonium non constituerit, cum vero sciret quod fiebat de industria celavit, ut adversus conjunctorum alterutrum negotium postea consarcinaret, ejusmodi quidem maleficium, siquidem clare ostensum fuerit, punimus, et eis qui tam improbum consilium ceperunt, dominium auferimus, et hoc sit rursus quoque matrimonium, proinde ac si is consensisset ab initio qui possidebat. At ille quidem a dominio excidat: rursus autem servus ad ingenuitatem rapiatur. Cum hoc itaque evenit, vel si consensit, vel si improbe gessit dominus, clarum est, quod qui ex his matrimoniis nati sunt, erunt ex hac nostra lege liberi et ingenui. Et quoniam ex hoc apparet, ad libertatem arripi ancillam, quæ cum domini tolerantia nupsit libero, qui conjuncti sunt nulla pœna 99 affecti conservabuntur. Quod enim ad veterem legem attinet, quæ matrimonium solo consensu fieri decernit, ejusmodi quoque peractum est matrimonium per tacitum domini consensum. Si quis autem dixerit, quod cum non facta sit benedictio, ut hodie observatur, ii pœnas non effugient, etiamsi matrimonio conjuncti sint, domino vidente et patiente, audiet quod, quantum attinet ad pœnarum rationem, magis consideratur affectio, quam Novellarum constitutionum summum jus.

ZONAR. Si ancilla seipsam viro tradiderit præter domini voluntatem, fornicatur. Cum enim sub alterius sit potestate, conventa, id est, pactiones ineundi facultatem non habet. Infirmæ siquidem ac irritæ sunt. Quod si postea, postquam scilicet fornicata fuit, donata libertate, aut domino ipsius permittente, matrimonio libero, hoc est, manifesto palam est usa, jam instar legitimæ uxoris, non fornicariæ mulieris, existimabitur.

ARIST. Ancilla quæ se viro tradit, fornicatur: matrimonio vero jungitur, si cum domini consensu id facit. Quæ enim ab iis fiunt qui alienæ potestati subjiciuntur, invalida sunt.

A στατος γάμος τῆς δούλης στηριχθῇ ἢ μετὰ ἐλευθερίαν αὐτῆς, ἢ μετὰ φανερὰν συναίνεσιν τοῦ δεσπότου, ᾗ καὶ ἐλευθερία σιωπηρὰ ἐξ ἀνάγκης ἐπακολουθεῖ. Τί δέ; ἡ γαμικῶς συναφθεῖσα δούλη μετὰ ἀληθείας τοῦ δεσπότου εἰδότος καὶ μὴ ἀντιλέγοντος, ὡς πορνεύουσα λογισθήσεται διὰ τὸ μὴ συναινέσαι τὸν δεσπότην, ἢ μή; Λύσις. Τὸ μζ' κεφ., τοῦ δ' τίτλου, τοῦ κη' βιβλίου, φησὶ ταῦτα ῥητῶς· Εἴ τις ἐξέδωκε τὴν ἑαυτοῦ θεράπαιναν, ὁ δὲ ἐλεύθερος ὢν καὶ πιστεύσας τῷ διδόντι αὐτὴν ἔλαβεν, ἴσως καὶ προικῴων γενομένων συμβολαίων, ἢ μηδὲ γενομένων μὲν, τῆς δὲ ἑαυτοῦ γνώμης τὸ πρᾶγμα διοικησαμένης, οὐκ ἂν εἴη δίκαιον τὸν τοιοῦτον μὴ συνεστάναι γάμον, ἀλλὰ σιωπηρὰν ἐλευθερίαν ἀκολουθεῖν εἴτε τῷ ἀνδρὶ εἴτε τῇ γυναικί· καὶ τοιούτου τινὸς παρὰ τοῦ δεσπότου B γενομένου, θεσπίζομεν ἁρπάζεσθαί τε καὶ τὸν τοιοῦτον καὶ τὴν τοιαύτην εἰς εὐγένειαν, καὶ τὸ πρᾶγμα ὡς ἐπὶ ἐλευθέροις τε καὶ εὐγενέσι κρίνεσθαι. Εἰ δὲ αὐτὸς μὲν οὐ συναρμόσειε τὸν γάμον ὁ θατέρου τῶν προσώπων δεσπότης, εἰδείη δὲ τὸ γενόμενον, καὶ ἐξεπίτηδες ἀποκρύπτει, ἵνα ὕστερον πρᾶγμα ῥάψειε τῶν συναφθέντων θατέρῳ, τιμωρούμεθα τὴν τοιαύτην, εἴγε σαφῶς ἀποδειχθείη, κακουργίαν, καὶ ἀφαιρούμεθα τὴν δεσποτείαν τῶν οὕτω πονηρῶς βεβουλευμένων, καὶ ἔστω πάλιν καὶ τοῦτο γάμος, ὥσπερ ἂν εἰ συνῄνεσεν ὁ κεκτημένος τὴν ἀρχήν. Καὶ ὁ μὲν ἐκπιπτέτω τῆς δεσποτείας, αὖθις δὲ εἰς εὐγένειαν ἁρπαζέσθω τὸ δοῦλον πρόσωπον. Τοιούτου συμβαίνοντος ἀποτελέσματος, ἢ εἴπερ ἐκακούργησεν C ὁ κεκτημένος, πρόδηλον ὂν ὡς καὶ οἱ τεχθέντες ἐκ τῶν τοιούτων γάμων ἐλεύθεροί τε καὶ εὐγενεῖς κατὰ τόνδε ἡμῶν τὸν νόμον ἔσονται. Καὶ ἐπεὶ ἐκ τούτου παρίσταται εἰς ἐλευθερίαν ἁρπάζεσθαι τὴν μετὰ ἀνοχῆς τοῦ δεσπότου τῷ ἐλευθέρῳ γαμηθεῖσαν δούλην, ἀνεπιτίμητοι οἱ οὕτω συναφθέντες συντηρηθήσονται. Ὅσον γὰρ κατὰ τὸν παλαιὸν νόμον τὸν διορίζόμενον τὸν γάμον συνίστασθαι συναινέσει μόνῃ, καὶ τὸ τοιοῦτον συνοικέσιον πεπεράτωται διὰ τῆς σιωπηρᾶς συναινέσεως τοῦ δεσπότου. Εἰ δέ τις εἴπῃ ὡς ἱερολογίας μὴ γενομένης κατὰ τὸ σήμερον κρατοῦν, οἱ τοιοῦτοι οὐκ ἐκφεύξονται τὰ ἐπιτίμια, κἂν γαμικῶς συνήφθησαν τοῦ δεσπότου ὁρῶντος καὶ ἀνεχομένου· ἀκούει ὅτι εἰς τὸν λόγον τῶν ἐπιτιμίων ἡ διάθεσις μᾶλλον σκοπεῖται, καὶ οὐχὶ ἡ D ἀκρίβεια τῶν Νεαρῶν διαταγμάτων.

ΖΩΝΑΡ. Ἐὰν δούλη ἐκδῷ ἑαυτὴν ἀνδρὶ ὑπὸ τὸ θέλημα τοῦ δεσπότου αὐτῆς, πορνεύει. Ὑφ' ἑτέρου γὰρ οὖσα ἐξουσίαν οὐ δύναται συνθήκας, ἤγουν συμφωνίας ποιεῖν. Ἀβέβαιοι γάρ εἰσι καὶ ἀνίσχυροι. Εἰ δὲ μετὰ ταῦτα, μετὰ τὸ πορνεῦσαι δηλαδή, ἐλευθερωθεῖσα, ἢ παραχωρήσαντος τοῦ Κυρίου αὐτῆς, πεπαῤῥησιασμένῳ, ἀντὶ τοῦ, φανερῷ χρήσεται γάμῳ, ὡς γημαμένη λογισθήσεται τότε, καὶ οὐχὶ πόρνη.

ΑΡΙΣΤ. Ἑαυτὴν ἀνδρὶ ἐπιδοῦσα δούλη, πορνεύει· συνάπτεται δὲ, εἰ μετὰ γνώμης δεσπότου· τὰ γὰρ τῶν ὑπεξουσίων ἀβέβαια.

Digitized by Google

Ἐὰν οἱ ὑπεξούσιοι παῖδες παρὰ γνώμην τῶν γονέων αὐτῶν συναλλάττειν γάμον οὐ δύνανται, πολλῷ μᾶλλον οἱ οἰκέται. Διὰ τοῦτο γοῦν καὶ ἡ δούλη ἡ ἐκδιδοῦσα ἑαυτὴν ἀνδρὶ παρὰ γνώμην τοῦ ἰδίου δεσπότου, ὡς πόρνη ἐπιτιμηθήσεται· εἰ δὲ μετὰταῦτα κατὰ γνώμην τοῦ δεσπότου συναφθῇ αὐτῷ, νομίμως ἐγήματο.

A Si pueri sub potestate præter parentum suorum sententiam matrimonium contrahere non possunt, multo magis servi. Propterea itaque et ancilla quæ præter domini sui sententiam se viro dedit, ut fornicatrix pœnas luet. Si autem postea cum domini voluntate ei conjungatur, legitime nupsit.

ΚΑΝΩΝ ΜΑ'.

Ἡ ἐν τῇ χηρείᾳ ἐξουσίαν ἔχουσα ἑαυτῆς συνοικεῖν ἀνέγκλητος, εἰ μηδεὶς ἐστιν ὁ διασπῶν τὸ συνοικέσιον, τοῦ Ἀποστόλου εἰπόντος, *Ἐὰν ἀποθάνῃ ὁ ἀνὴρ, ἐλεύθερός ἐστιν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ.*

CANON XLI.

Quæ in viduitate habet sui potestatem, et viro cohabitat, ab omni accusatione est libera, si nemo est qui conjugium divellat; cum dicat Apostolus, *Si mortuus sit maritus, libera est, ut nubat cui velit, tantum in Domino* [1].

Γυνή τις χηρεύσασα ἤθελεν ἑτέρῳ συζευχθῆναι ἀνδρὶ, καὶ οὐ παρεχωρεῖτο, ἢ καὶ συζευχθεῖσα ἐπετιμᾶτο. Ἠρωτήθη οὖν περὶ τοῦτο ὁ ἅγιος καὶ ἀπεφήνατο ὅτι ἐξουσίαν ἔχει ἡ χήρα ἑτέρῳ συναφθῆναι ἀνδρὶ, ἐὰν τέως αὐτεξούσια ἐστί. Τοῦτο δὲ κρατήσει εἰς μόνην δευτερογαμίαν· τριτογαμίαν γὰρ ὁ ἅγιος οὐ παραχωρεῖ. Ὥστε καλῶς ἡ γυνὴ ἡ χηρεύσασα ἂν δευτερογαμήσῃ, καὶ δευτερογαμήσασα οὐκ ἐπιτιμηθήσεται, εἴπερ οὐκ ἔστιν ὑπεξουσία· ἐὰν γάρ ἐστιν ὑπεξουσία, ἐπεὶ ὄξχων ταύτην ὑπεξουσίαν δύναται διασπᾶσαι τὸν γάμον, ἐπιτιμηθήσεται καὶ αὕτη ὡς πορνεύσασα. Πλὴν καὶ αἱ γυναῖκες δευτερογαμοῦσαι τῷ ἐπιτιμίῳ τῶν δευτερογαμούντων ὑπόκεινται, καθὼς πολλάκις εἴπομεν. Ἀκούων δὲ τοῦ ἁγίου λέγοντος ἔχειν ἐπ' ἀδείας τὴν χήραν ᾧ θέλει γαμεῖσθαι, μὴ εἴπῃς δύνασθαι αὐτὴν ἀσεβεῖ ἢ ἑτέρῳ τινὶ ἀναξίῳ τοῦ γένους αὐτῆς συνάπτεσθαι· ἀλλ' εἰπὲ ὀφείλειν αὐτὴν κατὰ κανόνας καὶ νόμους δευτέρῳ ἀνδρὶ γαμεῖσθαι. Φησὶ γὰρ τὸ α' κεφ. τοῦ δ' τίτλου τοῦ κη' βιβλίου· Γάμος ἐστὶν ἀνδρὸς καὶ γυναικὸς συνάφεια καὶ συγκλήρωσις τοῦ βίου παντὸς, θείου τε καὶ ἀνθρωπίνου κοινωνία. Καὶ ὁ λα' κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου, καὶ ὁ οβ' κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου κωλύουσι τοὺς ὀρθοδόξους μετὰ αἱρετικῶν συνάπτεσθαι, καὶ τὸ β' θέμα τοῦ ζ' κεφ. τοῦ ε' τίτλου τοῦ κη' βιβλίου φησίν· Οὐκ ἔρρωται ὁ γάμος τῆς θυγατέρος ἢ ἐγγόνης τοῦ ἀξιωματικοῦ πρὸς ἀπελεύθερον ἢ σκηνικὸν, ἢ σκηνικοῦ υἱὸν ἢ σκηνικῆς. Ὁ δὲ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς διαφόρων συνοικέσια εὐγενῶν συναφθεισῶν ἀνδράσιν εὐγενέσι διέσπασε, καὶ τοὺς συναφθέντας μεγάλως ἐκόλασεν. Οἱόν τι πεποίηκε καὶ εἰς τὸν βασιλικὸν γραμματικὸν, κύριον Θεόδωρον τὸν Μεσαρίτην, τοῦ σεβαστοῦ τοῦ Βρυεννίου τὴν θυγατέρα χωρὶς εἰδήσεως βασιλικῆς εἰς γυναῖκα λαβόντα. Τὸ μέντοι τῷ κανόνι προσκείμενον, καὶ λέγον, μόνον ἐν Κυρίῳ, προσετέθη διὰ τοὺς ἀπίστους. Ἐν Κυρίῳ γὰρ συναλλάττει γάμον ἡ μετὰ ὀρθοδόξου, οὐ μὴν μετὰ αἱρετικοῦ συναφθεῖσα.

B Interrogatus est, et respondit, quod est in viduæ potestate ut alii viro conjungatur, si tunc est sui juris. Hoc autem in sola digamia servabitur: neque enim sanctus trigamiam permittit. Recte itaque mulier vidua secundo nubet, et cum secundo nupserit non punietur, si quidem non est sub potestate: sed si sit sub potestate parentis constituta, quoniam qui eam habet in potestate potest matrimonium dissolvere, ipsa quoque, ut quæ sit fornicata, punietur. Sed et mulieres, quæ secundo nubunt, digamorum supplicio subjiciuntur, ut sæpe diximus. Cum autem audis sanctum dicentem esse in potestate viduæ nubere cui velit, ne dixeris eam posse impio, vel alicui alii suo genere indigno conjungi. Sed dic eam debere secundum leges et canones secundo viro nubere. Dicit enim primum cap. tit. 4 lib. XXVIII: Matrimonium est viri et mulieris conjunctio, et totius vitæ consuetudo, divinarum et humanarum rerum societas. Et syn. Laodicenæ canon 31, et can. 72 syn. in Trullo, prohibent orthodoxos cum hæreticis conjungi, et thema 2, cap. 7 tit. 5, lib. XXVIII dicit: Non est validum matrimonium filiæ vel neptis viri senatorii cum liberto vel scenico, vel scenici aut scenicæ filio. Potens autem et sanctus noster imperator, cum nobilium aliquot mulierum, cum viris ignobilibus contracta essent matrimonia, ea separavit, et conjunctos valde punivit. Quemadmodum etiam fecit et in regium grammaticum dominum Theodorum Mesaritem qui Augusti Briennii 100 filiam, absque imperatoris scientia in uxorem acceperat. Quod autem adjicitur canoni, et dicit, Solum in Domino, adjectum est propter infideles. In Domino enim matrimonium contrahit, quæ cum orthodoxo, non cum hæretico matrimonium contrahit.

C

D

ΖΩΝΑΡ. Χηρεύσασα γυνὴ καὶ μὴ οὖσα ὑπεξουσία γονεῦσιν, ὥστε χρῄζειν τῆς ἐκείνων συναινέσεως ἐπὶ τῷ γάμῳ, ἀνέγκλητός ἐστι δεύτερον συναλλάξασα γάμον, εἰ μηδεὶς ἐστιν ὁ διασπῶν τὸ συνοικέσιον, τουτέστιν, εἰ μή τινές εἰσιν ὑπεξουσίαν αὐτὴν ἔχοντες, ἤτοι πατὴρ, ἢ πάππος, οἱ καὶ διασπᾶν δύνανται τὴν διὰ τοῦ γάμου συνάφειαν, μὴ συναινέσαντες ἐπ'

ZONAR. Mulier quæ vidua est, nec parentum potestati subjecta, ut illorum consensu ad nuptias contrahendas indigeat, absque ulla noxa secundis nuptiis illigari potest, si nemo sit qui conjugium dissolvat, hoc est, si nulli sint, qui illam suæ obnoxiam potestati habeant, pater nimirum, aut avus, quibus etiam dirimere matrimonii societatem datum

[1] I Cor. VII. 39.

Digitized by Google

est, nisi in illud consenserint. Subjicit deinde vir sanctus depromptum ex apostolicis verbis testimonium.

ARIST. Crimine vacat vidua quæ virum accipit. Vidua suæ est potestatis, mortuo ipsius viro; propterea si viro nupserit, accusationi non est obnoxia, modo in Domino, juxta Apostolum.

A αὐτῷ. Ἐπιφέρει δὲ ὁ ἅγιος μαρτυρίαν ἐξ ἀποστολικῶν ῥημάτων.

ΑΡΙΣΤ. Ἀνέγκλητος ἡ χήρα λαμβάνουσα. Αὐτεξουσία ἐστὶν ἡ χήρα, τελευτῶντος τοῦ ἀνδρὸς αὐτῆς· διὰ τοῦτο, εἰ λάβῃ ἄνδρα, ἀνέγκλητός ἐστι, μόνον ἐν Κυρίῳ, κατὰ τὸν Ἀπόστολον.

CANON XLII.

Quæ sine iis, qui habent potestatem, fiunt matrimonia, sunt fornicationes. Vivente ergo patre, vel domino, ii qui conveniunt non sunt ab accusatione liberi, donec conjugio domini annuerint: tunc enim accipit firmitatem conjugium.

ΚΑΝΩΝ ΜΒ'.

Οἱ ἄνευ τῶν κρατούντων γάμοι πορνεῖαί εἰσιν. Οὔτε οὖν πατέρος ζῶντος οὔτε δεσπότου οἱ συνιόντες ἀνεύθυνοί εἰσιν, ἕως ἂν ἐπινεύσωσιν οἱ κύριοι τὴν συνοίκησιν. Τότε γὰρ λαμβάνει τὸ τοῦ γάμου βέβαιον.

BALS. Hic canon veluti summa quædam est duorum proxime præcedentium canonum. Dicit enim, quod si filia familias vel ancilla matrimonium cum aliquo contraxerunt, sine voluntate eorum qui ipsas habent in potestate, hoc existimatur fornicatio, utpote quod non possit consistere. Quare et tanquam fornicatores punientur, et matrimonium, tanquam quod non possit consistere, solvetur. Sin autem ii, qui in eos habent potestatem, annuerint, hoc est, admiserint et voluerint matrimonium, tunc firmum reputabitur. Quæ autem de eorum qui sunt in potestate et dominorum consensu dicuntur, interpretare secundum canones proxime interpretatos.

ΒΑΛΣ. Ὁ κανὼν οὗτος ἀνακεφαλαίωσίς ἐστι τῶν προσεχῶν κανόνων. Φησὶ γὰρ ὡς, ἐὰν ὑπεξουσία θυγάτηρ ἢ δούλη γάμον πρός τινα συναλλάξωσιν ἄνευ γνώμης τῶν κρατούντων, ἤγουν τῶν ὑπεξουσιαζόντων αὐτῶν, πορνεία λογίζεται τὸ τοιοῦτον, ὡς ἀνυποστάτως γινόμενον. Διὸ καὶ ὡς πορνεύοντες ἐπιτιμηθήσονται, καὶ ὁ γάμος ὡς ἀνυπόστατος λυθήσεται. Εἰ δὲ ἐπινεύσουσιν οἱ τὴν ἐξουσίαν αὐτῶν ἔχοντες, ἀντὶ τοῦ, εἰ δέξονται καὶ θελήσουσι τὸν γάμον, τότε λογίζεται βέβαιος. Τὰ δὲ περὶ τῆς συναινέσεως τῶν ὑπεξουσίων καὶ τῶν δεσποτῶν ἑρμήνευσον κατὰ τοὺς προσεχῶς ἑρμηνευθέντας κανόνας.

ZONAR. Hic canon veluti summa quædam est duorum proxime præcedentium canonum. Ait namque, si filia vel serva aliorum potestati obnoxia cum aliquo matrimonium inierint, absque dominorum, hoc est eorum, quorum sub potestate sunt consensu, id pro fornicatione haberi, neque iis, qui hoc pacto copulati fuerint, impune esse oportere. Punietur siquidem ipsi, matrimoniumque dissolvetur. Quod si ii, quorum sub potestate sunt, annuerint, hoc est, approbarint ac voluerint nuptias tunc ratæ firmæque habebuntur.

ΖΩΝΑΡ. Ὁ κανὼν οὗτος ἀνακεφαλαίωσίς ἐστι τῶν προσεχῶν αὐτοῦ δύο κανόνων. Φησὶ γὰρ ὅτι, ἐὰν ὑπεξουσία θυγάτηρ ἢ δούλη γάμον πρός τινα συναλλάξωσιν ἄνευ γνώμης τῶν κρατούντων, ἤγουν τῶν ἐξουσιαζόντων αὐτῶν, πορνεία λογίζεται τὸ τοιοῦτο, καὶ οὐκ εἰσὶν ἀνεύθυνοι οἱ οὕτω συναφθέντες. Ἐπιτιμηθήσονται γάρ, καὶ ὁ γάμος λυθήσεται. Εἰ δὲ ἐπινεύσουσιν οἱ τὴν ἐξουσίαν αὐτῶν ἔχοντες, ἀντὶ τοῦ, εἰ δέξονται καὶ θελήσουσι τὸν γάμον, τότε λογίζεται βέβαιος.

ARIST. Qui aliis subsunt, filius, et servus, sine dominis matrimonium contrahentes, culpæ obnoxii sunt.

ΑΡΙΣΤ. Οἱ ὑπεξούσιοι, υἱὸς καὶ δοῦλος, δίχα τῶν κυρίων ζευγνύμενοι, οὐκ ἀνεύθυνοι.

CANON XLIII.

Qui mortis ictum dedit proximo, est homicida, sive prior percussit, sive ultus est.

ΚΑΝΩΝ ΜΓ'.

Ὃς θανάτου πληγὴν τῷ πλησίον δέδωκε, φονεύς ἐστιν, εἴτε ἦρξε τῆς πληγῆς, εἴτε ἠμύνατο.

BALS. Percussit quispiam aliquem, et interfecit, et cum juberetur reddere rationem cur interfecisset, dicebat: Ego non fui causa cædis, sed is qui occisus est, ut qui pugnæ initium fecit, et me prior percussit. Sanctus ergo de eo interrogatus, respondit, Homicida est qui quomodocunque hominem interfecit: sive primo loco eum, qui interfectus est, percussit, sive eum ulciscens, ut qui prior percussisset, vulnus ei intulit. Et canon quidem in his consistit. Interrogaverit autem quispiam, cum lex dicat in sexagesimo libro tit. 39 cap. 1, themate ultimo: Impune quis illum interficiet, qui vel ipsum, vel suos cogit ad petulantiam; et in titulo 17 ejusdem libri: **101** Vim vi licet repellere et arma armis: quomodo dicit canon eum, qui se defensu-

ΒΑΛΣ. Τὶς ἔπληξε καὶ ἐφόνευσέ τινα, καὶ ἀπαιτούμενος λόγους δοῦναι χάριν τοῦ φόνου, ἔλεγεν ὅτι Οὐκ ἐγὼ αἴτιος γέγονα τῆς πληγῆς, ἀλλ' ὁ φονευθείς, ὡς πεποιηκὼς τὴν ἀρχὴν τῆς διαμάχης, καὶ προπλήξας με. Ἐρωτηθεὶς οὖν περὶ τούτου ὁ ἅγιος, εἶπεν ὅτι Φονεύς ἐστιν ὁ ὁπωσδήποτε φονεύσας ἄνθρωπον, εἴτε πρώτως ἔπληξε τὸν φονευθέντα, εἴτε ἀμυνόμενος τοῦτον, ὡς πλήξαντα πρότερον αὐτόν. ἐπήγαγε τὴν πληγήν. Καὶ ὁ μὲν κανὼν ἐν τούτοι. Ἐρωτήσει δέ τις, ὡς τοῦ νόμου λέγοντος ἐν βιβλίῳ ξ', τίτλου λθ', κεφαλ. α', θέματι τελευταίῳ· Ἀκινδύνως τις φονεύει τὸν βιαζόμενον αὐτὸν ἢ τοὺς αὐτοῦ πρὸς ἀσέλγειαν· καὶ ἐν τίτλῳ ιζ' τοῦ αὐτοῦ βιβλίου· Ἔξεστι βίᾳ τὴν βίαν ἐξωθεῖν, καὶ ὅπλα ὅπλοις, πῶς ὁ κανὼν φησι τὸν ἐξ ἀμύνης πλήξαντα καὶ φονεύ-

Digitized by Google

σαντα κολάζεσθαι ὡς φονέα; *Λύσις.* Τὰ ἐκκλησιαστικὰ ἐπιτίμια οὐκ εἰσὶ κολαστικά, ἀλλὰ ἁγιαστικὰ καὶ ἰατρευτικά. Διὸ καὶ διορίζεται ὁ κανὼν τὸν κατὰ παραχώρησιν Θεοῦ ἐμπεσόντα ὁπωσδήποτε εἰς φόνον, καὶ αὐτοὺς τοὺς ἐν πολέμῳ φονεύοντας, θεραπεύεσθαι κατὰ ψυχήν· κἂν ὁ μὲν μεγαλωτέρας χρῄζει θεραπείας, ὡς φονεύων ἑκουσίως, ὁ δὲ μικροτέρας, ὡς φονεύων ἀκουσίως, ἢ ἐξ ἀμύνης, ἢ ἐν πολέμῳ. Ὁ δὲ πολιτικὸς νόμος κολάζει, οὐ θεραπεύει. Ὅθεν τὸν μὲν ἔχοντα διάθεσιν εἰς τὸ φονεῦσαι τιμωρεῖ ὡς φονέα, τὸν δὲ ἀκουσίως φονεύοντα οὐ τιμωρεῖ καὶ τὸν φονεύσαντα τὸν βιαζόμενον αὐτὸν ἀτιμώρητον συντηρεῖ, ὡς μὴ οἰκοθεν, ἀλλ' ἐξ αἰτίας τοῦ φονευθέντος εἰς τὸ φονεῦσαι κατεπειχθέντα. Οἶμαι δὲ ὅτι καὶ ὁ φονεύσας ἐξ ἀμύνης κατὰ τὸν πολιτικὸν νόμον τότε συντηρηθήσεται ἀκόλαστος, ὅταν ἐφόνευσε τὸν πληγὴν θανατηφόρον ἐπενεγκόντα αὐτῷ, ἢ βίαν ὁμοίαν, οὐ μὴν καὶ τὸν ἐλαφρὰν καὶ ἰάσιμον πληγὴν ἐπενεγκόντα αὐτῷ, ἤγουν μετρίαν βίαν, καὶ ἦν ἐδύνατο χωρὶς φόνου διαφυγεῖν. Τηνικαῦτα γὰρ ὡς φονεὺς κολασθήσεται. Φησὶ γὰρ τὸ ιδ' κεφ. τοῦ λθ' τίτλου τοῦ ξ' βιβλίου· Ὁ τὸν ἐπελθόντα φονεύσας ἐν ᾧ περὶ τῆς ζωῆς ἐκινδύνευεν, ἀνεύθυνός ἐστι φονεύειν. Καὶ κατὰ θέμα τοῦ αὐτοῦ τὸν λῃστὴν ἐπιόντα ἀκινδύνως ἔξεστι φονεύειν. Ἐγὼ δὲ εἶδον ἱερέα καθαιρεθέντα συνοδικῶς, ὅτι ἕτερον ἱερέα ἀναλαβόμενον παρὰ θέλησιν τούτου βιβλίον ἐκ τῆς ἐκκλησίας αὐτοῦ κατέσχε. καὶ ἀνελάβετο ἐριστικῶς ἐκ τούτου τὸ οἰκεῖον βιβλίον, κἀντεῦθεν συνέβη τὸν ἀφαιρεθέντα τὸ βιβλίον ἱερέα λειποθυμῆσαι, καὶ κἀθωρὶν ἀποθανεῖν. Ἕτερος δὲ μοναχὸς καὶ ἱερεὺς ἀπὸ τῆς μονῆς τοῦ Στερίου καθῃρέθη ὁμοίως, ὅτι μοναχόν τινα ὑβρίσαντα αὐτὸν ἀνθύβρισε τραχέως, καὶ συνέβη τὸν οὕτως ὑβρισθέντα, ἅμα τῷ ἀκοῦσαι τὴν ὕβριν, στενάξαι, καὶ τὴν ψυχὴν ἀπερεύξασθαι. Καὶ ἀρχιερεὺς, Ἀγαρηνὸν φονεύσας κατ' αὐτοῦ ξίφος ἀνατείναντα ἐν καιρῷ πολέμου, καθῃρέθη ὁμοίως.

ΖΩΝΑΡ. Ὁ πλήξας τινὰ καιρίως, ὥστε ἐκ τῆς πληγῆς ἐκείνης τὸν πληγέντα θανεῖν, φονεύς ἐστι· καὶ οὐκ ἐξαιρεῖται αὐτὸν τοῦ ἐγκλήματος τὸ μὴ κατάρξασθαι, ἀλλὰ πληγῆναι πρότερον παρ' ἐκείνου, καὶ οὕτω πλῆξαι αὐτὸν, ἀμυνόμενον τὸν πλήξαντα.

ΑΡΙΣΤ. Ὁ πλήξας πρὸς θάνατον, καὶ ἀρχόμενος, καὶ ἀμυνόμενος, ἀνδροφόνος.

Ἐάν τις ἐν μάχῃ πληγὴν ἐπάγῃ τινὶ καιρίαν, θάνατον ἀπειλοῦσαν, κἂν πρῶτος ἤρξατο τῆς πληγῆς, κἂν ὑπ' ἐκείνου πληγεὶς, καὶ ἐκδικῶν ἑαυτὸν καιρίως ἀντέπληξε, φονεύς ἐστιν· εἴτε δὲ ἑκούσιοι καὶ ἀμφότεροι, εἴτε ἀκούσιοι, ἀπὸ τοῦ ὀργάνου τοῦ πλήξαντος κριθήσονται, καὶ ἀπὸ τῶν λοιπῶν ὧν παρέδωκε γνωρισμάτων ἐν τῷ ὀγδόῳ κανόνι.

ΚΑΝΩΝ ΜΔ'.

Ἡ διάκονος ἡ τῷ Ἕλληνι συμπορνεύσασα οὐ δεκτή ἐστιν εἰς κοινωνίαν· εἰς δὲ τὴν προσφορὰν δεχθήσεται τῷ ζ' ἔτει, δηλονότι ἐν ἁγνείᾳ ζῶσα. Ὁ δὲ μετὰ τὴν πίστιν Ἕλλην πάλιν τῇ ἱεροσυλίᾳ προσιὼν ἐπὶ τὸν ἔμετον ἐπιστρέψει. Ἡμεῖς οὖν τῆς διακόνου

rus percussit et occidit, puniri ut homicidam? *Sol.* Pœnæ ecclesiasticæ non puniunt, sed sanctificant et medentur; et ideo decernit canon, ut qui quomodocunque Dei permissione in cædem inciderit, et ipsi etiam qui in bello occiderunt, in anima medicinam accipiant: etsi hic quidem majore opus habet medicina, ut qui sponte interfecit, ille vero minore, ut qui non voluntarie, vel in sui defensione vel in bello. Lex autem civilis punit, non medetur. Unde etiam eum, qui habet affectum interficiendi, punit ut homicidam: eum vero, qui involuntarie interficit, non punit; et eum, qui vim illi inferentem peremit, impunitum conservat, ut qui non ex se, sed ab eo qui fuit interfectus ad occidendum impulsus est. Existimo autem, quod qui etiam in sui defensione occidit, tunc impune abibit, quando eum interfecit, qui vulnus illi mortale inflixit, vel vim similem: non autem eum, qui levem ac medicabilem illi plagam attulit sive vim modicam, quam etiam sine cæde effugere potuit. Tunc enim ut homicida punietur. Dicit enim caput 14, tit. 39, lib. LX: Qui eum interfecit, qui ita invadebat, ut in vitæ periculum adduceretur, non est reus homicidii. Et secundum ejus thema, latronem invadentem impune licet interficere. Ego autem vidi sacerdotem synodaliter depositum, quod alterum sacerdotem, qui præter ejus voluntatem librum ex ecclesia sua accipiebat, detinuit, et librum proprium e manu ejus contentiose recepit, et ex eo evenit, ut sacerdos, cui liber ablatus est, deliquium animi pateretur, et ipsa hora moreretur. Alius autem monachus et sacerdos ex Tyrii monasterio similiter est depositus, quod monachum quemdam, qui eum injuria affecerat, gravi vicissim injuria affecit, et accidit, ut qui sic injuria affectus est, simul ac injuriam audivit, gemeret et animam eructaret. Antistes quoque qui Agarenum belli tempore ensem in ipsum vibrantem interfecerat, similiter depositus est.

ZONAR. Qui alteri lethale vulnus inflixit, ex quo postea vulnere percussus exspiravit, homicida est: nec ex eo liberatur a crimine, quod non ipse verberandi initium fecerit, sed prior ab illo fuerit vulneratus, exindeque ipsum, dum sibimet illatum vulnus ulciscitur, vulneraverit.

ARIST. Qui ad mortem percussit, tam lacessens, quam ulciscens, homicida est.

Si quis in pugna vulnus lethale cuipiam intulit, mortem minitans, licet primus vulnerare cœpit, aut ab eo percussus et sese ulciscens, lethaliter repercussit, homicida est. Num voluntarii autem ambo erant aut involuntarii, a percutientis instrumento judicabuntur, et ab aliis judiciis quæ in octavo canone tradidit.

CANON XLIV

Diaconissa, quæ una cum Græco fornicata est, non est ad communionem admittenda, ad oblationem autem septimo anno admittetur, scilicet si in castitate vitam agat. Græcus autem, qui post fidem rursus ad sacrilegium accedit, ad vomitum

Digitized by Google

revertitur. Nos vero diaconissæ corpus, ut consecratum, non amplius in usu carnali esse permittimus.

τὸ σῶμα ὡς καθιερωμένον οὐκ ἐπιτρέπομεν ἐν χρήσει εἶναι σαρκικῇ.

BALS. Quomodo, et quænam mulier diaconissa fit, ex diversis canonibus didicisti. Diaconissa ergo mulier alicui Græco fornicatorie conjuncta, non solum est deposita, sed etiam segregata; et qui cum ea rem habuit Græcus, fidelis effectus, voluit eam uxorem accipere, tanquam qui per sanctum baptismum a Græca immunditia liberatus esset, et qui ei legitime conjungi non impediretur, quæ per priorem fornicationem diaconalem auctoritatem deposuisset, et esset veluti libera. Sanctus ergo de utrisque **102** fuit interrogatus, et respondit, quod diaconissa, quæ fornicata est, et propterea fuit deposita, non segregabitur, ita ut non in ecclesia versetur, sed ad orationem et stationem cum fidelibus admittetur. Dictum enim est tricesimo secundo ejus can. quod clerici, qui peccatum ad mortem peccant, solum deponuntur, non etiam segregantur. Non enim vindicabis bis in idipsum. Porro et diaconissa propter fornicationem deposita ab ecclesiastica synaxi non segregabitur. Illi enim pro quavis pœna sufficit depositio. Quia autem qui fornicantur triennio non sunt sanctorum mysteriorum participes, statuit sanctus ut ea magis puniretur, quod cum Græco rem habuerit, eaque esset post septennium sacramentorum particeps a fornicatione se prorsus continens. Græcum autem qui credidit, et eam, quæ aliquando fuit diaconissa habere quærit, sacrilegii condemnationi subjicit, si diaconissæ corpus, quod Deo semel est dedicatum, per coitum coinquinaverit : et eum adeo canem vocat, qui ad suum vomitum revertitur, hoc est ad priorem infidelitatem per nefarium coitum. Quamobrem eam, quæ semel Deo est dedicata, etiamsi fuerit deposita, nullo modo sinit alicui conjungi, quod sit corpus ejus consecratum, et servari debeat ab omni coitu, et omni usu carnali juxta universalem regulam quæ dicit, Quod sanctum est non fit pollutum. Nota ergo hæc propter clericos et monachos, qui transformant et mutant habitum, imo et monachas etiam, et ascetrias volentes legitimis uxoribus aut viris conjungi. Existimo autem eas ab hoc canone recte secundo nubere prohibendas, nec sacerdotum uxores, sicut nec qui sunt sacrati sacerdotium recusantes, permittentur vivere ut laici, et secundo matrimonium contrahere : sacerdotum enim uxores, unum corpus et una caro sacerdotalis, per legitimam sacerdotii conjunctionem appellatæ, et ea de causa veluti consecratæ, non profanabuntur per secundas nuptias. Sacerdotes autem, qui semel secundas nuptias, eo quod Deo sunt consecrati, rejecerunt, et Deo hoc utique professi sunt, non sinentur per carnalem cupiditatem sacerdotalem dignitatem repudiare, et quam Deo fecerunt professionem infirmare, et carnali libidini servire : sed etiamsi semel sacerdotio renuntiaverint, corpora

ΒΑΛΣ. Ὅπως καὶ οἵα γυνὴ γίνεται διάκονος ἔμαθες ἀπὸ διαφόρων κανόνων. Διάκονος γοῦν γυνὴ πορνικῶς συμφθαρεῖσα Ἕλληνί τινι οὐ μόνον καθῃρέθη, ἀλλὰ καὶ ἀφωρίσθη· καὶ ὁ μετα ταύτης δὲ συμφθαρεὶς Ἕλλην, πιστὸς γενόμενος, ἤθελε ταύτην λαβεῖν εἰς γυναῖκα, ὡς διὰ τοῦ ἁγίου βαπτίσματος ἀπὸ τῆς Ἑλληνικῆς ἀκαθαρσίας καθαρθείς, καὶ δῆθεν μὴ ἐμποδιζόμενος νομίμως αὐτῇ συναφθῆναι, τὴν διακονικὴν ἀξίαν ἀποθεμένῃ, διὰ τῆς προγενομένης πορνείας, καὶ οἷον οὖσῃ ἐλευθέρᾳ. Ἠρωτήθη οὖν περὶ ἀμφοτέρων ὁ ἅγιος, καὶ ἀπεκρίνατο ὅτι ἡ πορνεύσασα διακόνισσα, καὶ διὰ τοῦτο καθαιρεθεῖσα, οὐκ ἀφορισθήσεται ὥστε μὴ ἐκκλησιάζειν, ἀλλὰ δεχθήσεται εἰς τὴν μετὰ τῶν πιστῶν εὐχὴν καὶ στάσιν. Εἴρηται γὰρ εἰς τὸν λβ' κανόνα αὐτοῦ, ὅτι οἱ τὴν πρὸς θάνατον ἁμαρτάνοντες ἁμαρτίαν κληρικοὶ καθαιροῦνται μόνον, οὐ μὴν καὶ ἀφορίζονται. Οὐ γὰρ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό. Καὶ ἡ διάκονος γοῦν, διὰ τὴν πορνείαν καθαιρεθεῖσα, οὐκ ἀφορισθήσεται ἐκ τῆς ἐκκλησιαστικῆς συνάξεως. Ἀρκεῖ γὰρ αὐτῇ ἀντὶ παντὸς ἐπιτιμίου ἡ καθαίρεσις. Ὅτι δὲ οἱ πορνεύοντες ἐπὶ τετραετίαν τῶν ἁγίων μυστηρίων οὐ μεταλαμβάνουσιν, ὥρισεν ὁ ἅγιος ἐπὶ πλέον ἐπιτιμηθῆναι αὐτὴν διὰ τὸ μετὰ Ἕλληνος συμφθαρῆναι, καὶ μετὰ ἑπταετίαν μεταλαβεῖν αὐτὴν τῶν ἁγιασμάτων, πάντως ἀποστᾶσαν ἐκ τῆς πορνείας. Τὸν δὲ πιστεύσαντα Ἕλληνα καὶ ζητοῦντα ἔχειν τὴν ποτε διακόνισσαν ἱεροσυλίας καταδίκῃ κάθυποβάλλει, ἐὰν τὸ ἅπαξ ἀφιερωθὲν σῶμα τῆς διακονίσσης διὰ τῆς ἐπιμιξίας κοινώσῃ· μᾶλλον μὲν οὖν καὶ κύνα αὐτὸν ἀποκαλεῖ εἰς τὸν ἴδιον ἔμετον ἐπιστρέφοντα, τουτέστιν εἰς τὴν προτέραν ἀπιστίαν διὰ τῆς ἀθέσμου μίξεως. Καὶ τὴν ἅπαξ καθιερωθεῖσαν τῷ Θεῷ, κἂν καθαιρεθῇ, οὐ παραχωρεῖ ὁπωσδήποτέ τινι συνάπτεσθαι, διὰ τὸ εἶναι τὸ σῶμα αὐτῆς καθιερωμένον, καὶ ὀφείλειν συντηρεῖσθαι πάσης κοινῆς καὶ σαρκικῆς χρήσεως· ἀνώτερον, κατὰ τὸν καθόλου λόγον τὸν λέγοντα· Τὸ ἱερὸν μιαρὸν οὐ γίνεται. Σημείωσαι ταῦτα διὰ τοὺς μετασχηματιζομένους κληρικούς τε καὶ μοναχούς, καὶ μέντοι καὶ μοναχὰς καὶ ἀσκητρίας, καὶ θέλοντας νομίμοις γυναιξὶν ἢ καὶ ἀνδράσιν συνάπτεσθαι. Οἶμαι δὲ ἀπὸ τοῦ κανόνος τούτου καλῶς ἵνα κωλυθῶσι δευτερογαμεῖν καὶ αἱ τῶν ἱερέων γυναῖκες, ὥσπερ οὐδὲ οἱ ἱερωμένοι τὴν ἱερωσύνην παραιτούμενοι παραχωρηθήσονται ὡς λαϊκοὶ διάγειν καὶ δευτερογαμεῖν· αἱ μὲν γὰρ γυναῖκες τῶν ἱερέων ἓν σῶμα καὶ μία σὰρξ ἱερατικὴ διὰ τῆς μετὰ ἱερέων νομίμου συναφείας χρηματίσασαι, κἀντεῦθεν οἷον ἱερωθεῖσαι, οὐ βεβηλωθήσονται διὰ τῆς δευτερογαμίας. Οὐδὲ ἱερεῖς ἅπαξ τὴν δευτερογαμίαν ἀποβέμενοι διὰ τοῦ ἱερωθῆναι, καὶ τοῦτο αὐτὸ εἰς Θεὸν ἐπαγγειλάμενοι, οὐ παραχωρηθήσονται διὰ τὴν σαρκικὴν ἐπιθυμίαν παραιτήσασθαι τὴν ἱερατικὴν ἀξίαν, καὶ τὴν εἰς Θεὸν ἐπαγγελίαν ἀθετῆσαι, καὶ τῇ σαρκικῇ ἐπιθυμίᾳ δουλεῦσαι· ἀλλὰ

Digitized by Google

κἂν παραιτήσωνται τὴν ἱερωσύνην, κωλυθήσονται τὰ ἅπαξ ἱερωθέντα σώματα αὐτῶν δευτέροις γάμοις βεβηλῶσαι.

A sua, quæ sunt Deo semel consecrata, prohibebuntur secundis nuptiis profanare.

ΖΩΝΑΡ. Ἐὰν διακόνισσα Ἕλληνι συμφθαρῇ, δεχθήσεται, φησίν, εἰς κοινωνίαν. Κοινωνίαν δὲ τὴν μετὰ τῶν πιστῶν σύστασιν ἐν ταῖς εὐχαῖς ἐνταῦθα νοητέον. Τῆς δὲ τῶν ἁγίων δώρων μεταλήψεως τῷ ἑβδόμῳ ἔτει ἀξιωθήσεται. Διὰ μὲν γὰρ τὴν ἔκπτωσιν τῆς διακονίας, οὐκ εἴργεται τῶν προσευχῶν, οὐδὲ εἰς τοὺς τόπους τῶν ἐπιτιμίων ἑστάναι καταδικάζεται· διὰ δὲ τὸ νύμφην λογίζεσθαι τοῦ Χριστοῦ, καὶ προδοῦναι τὴν τιμὴν ἑαυτῆς, βαρύτερον κολάζεται. Τῆς γὰρ πορνείας τετραετίᾳ ἐπιτιμωμένης, αὕτη εἰς ἑβδομον ἐνιαυτὸν παρατείνεται· καὶ τοῦτο, ἐὰν ἀπόσχηται τῆς ἁμαρτίας, καὶ ἐν ἁγνείᾳ ζῇ. Ἐὰν δὲ ὁ μιγεὶς αὐτῇ Ἕλλην τῇ πίστει προσελθὼν πάλιν ἱεροσυλῇ (ἱεροσυλίαν δὲ τὴν μετὰ τῆς διακονίσσης μίξιν καλεῖ), ἐπὶ τὸν ἴδιον, φησὶν, ἐπιστρέφει ἔμετον· τὸ γὰρ σῶμα τῆς διακονίσσης καθιερωμένον ἐστί· καὶ διὰ τοῦτο οὐκ ἐπιτραπήσεται ἐν χρήσει εἶναι σαρκικῇ, ἥγουν ἡδονῇ χρῆσθαι σαρκός. Ἴσως δὲ καὶ διὰ τὸ μιγῆναι ἀπίστῳ ἐπιτιμᾶται μᾶλλον ἡ διακόνισσα.

ZONAR. Si cum Græco diaconissa corrupta fuerit, ad communionem, inquit, admittetur. Communionis autem nomine, hoc loco, una cum fidelibus in sacra precatione stationem intellige. At vero sanctorum munerum perceptione, septimo demum anno digna habebitur. Quod enim exciderit a diaconatu, non propterea a sacris precationibus arcetur, neque ad pœnitentium stationes damnatur. Ex eo vero quod pro Christi sponsa habetur, suumque honorem prodidisse existimatur, in eam gravius animadvertitur. Cum namque fornicationi quadriennii pœna constituta sit, hæc ad septimum usque annum protenditur: idque modo a peccato absistat, ac vitam caste integreque traducat. Cæterum si Græcus, qui cum ea rem habuit, ad fidem conversus, sacrilegio iterum se contaminet (sacrilegium porro hunc cum diaconissa congressum appellat), ad proprium vomitum reverti asserit. Corpus namque diaconissæ consecratum est; ac proinde in usu carnali esse, hoc est, carnis voluptate uti amplius haud permittetur. Forte autem propter congressionem cum infideli, majore reprehensione diaconissa digna est.

ΑΡΙΣΤ. Διάκονος Ἕλληνι πορνευθεῖσα, καὶ μεταγνοῦσα, ἑπταετίαν ὑποπιπτέτω.

ARIST. Diaconissa cum gentili fornicata, et resipiscens, septennio substernatur.

Ἰδοὺ ἐνταῦθα δύο τὰ ἐπιτίμια· μετακινεῖται γὰρ τοῦ βαθμοῦ αὐτῆς ἡ διάκονος, καὶ ἐπὶ ἑπτὰ ἔτεσι τὴν ἐπιτίμησιν δέχεται, καὶ τῶν θείων ἁγιασμάτων ἐστέρηται, διὰ τὸ μετὰ Ἕλληνος συμπορνεῦσαι αὐτήν.

Ecce hic duo supplicia. Diaconissa enim et a gradu suo movetur, et septem annos pœnis subjicitur, et divinis sacramentis privatur, quia ista cum gentili fornicata est.

ΚΑΝΩΝ ΜΕ'.

Ἐάν τις, τὸ ὄνομα λαβὼν τοῦ Χριστιανισμοῦ, ἐνυβρίζῃ τὸν Χριστὸν, οὐδὲν ὄφελος αὐτῷ ἀπὸ τῆς προσηγορίας.

103 CANON XLV.

Si quis accepto nomine Christianismi Christum contumelia afficit, nulla est illi appellationis utilitas.

Τίς ἄπιστος, βαπτισθεὶς καὶ ἀξιωθεὶς τοῦ λέγεσθαι Χριστιανὸς, εἶχε μὲν τὴν εἰς Θεὸν ὀρθόδοξον πίστιν, οὐκ ἔπραττε δὲ καὶ τὰ τῶν Χριστιανῶν ἔργα, ἀλλ' ἐκάκιζεν ἴσως παραδόσεις ἐκκλησιαστικὰς καὶ κανονικοὺς διορισμοὺς, προτιμώμενος τὰς τῶν ἀπίστων ἐργασίας, καὶ τοιουτοτρόπως ὑβρίζων τὸν Χριστόν. Ἠρωτήθη οὖν ὁ ἅγιος, εἰ διὰ ταῦτα ὁ τοιοῦτος ἀπὸ τῆς τῶν πιστῶν ἐκβάλλεται ὁμηγύρεως, ἢ μᾶλλον ὀφείλει ἀκαταίτιατος εἶναι, ὡς τὴν ὀρθόδοξον πίστιν αἱρετισάμενος· καὶ εἶπεν ὅτι τὸ λαβεῖν διὰ τοῦ βαπτίσματός τινα Χριστιανοῦ ὄνομα οὐκ ὠφελεῖ αὐτὸν, ἐὰν μὴ ἐν πᾶσι κατὰ τοὺς ὀρθοδόξους πολιτεύεται. Ἐξ ἀνάγκης οὖν, ὥς τι σεσηπὸς μέλος, ἐκκοπείη ἀπὸ τῆς ὁλοκληρίας τοῦ ὑγιοῦς σώματος Χριστωνύμου λαοῦ, τουτέστιν, οὔτε ἐκκλησιάσει μετὰ τῶν Χριστιανῶν, οὔτε τοῖς τοῦ Χριστιανικοῦ ποιμνίου προβάτοις συναριθμηθήσεται. Εἰ δὲ θέλεις ἑρμηνεῦσαι τὸν κανόνα καὶ ἄλλως, ὅτι οὐ κυρίως Χριστιανὸς ὁ μὴ τὰς ἐντολὰς τοῦ Χριστοῦ ποιῶν, οὐχ ἕξεις τὸ ἐμποδών. Φησὶ γὰρ καὶ ὁ ἅγιος Ἰάκωβος ὁ ἀδελφόθεος ἐν τῇ Ἐπιστολῇ αὐτοῦ οὕτω· *Τί τὸ ὄφελος, ἀδελφοί μου, ἐὰν πίστιν τις λέγῃ*

BALS. Infidelis quispiam baptizatus, et dignus habitus qui Christianus diceretur, in Deum quidem fidem habuit orthodoxam, non agebat autem secundum opera Christianorum, sed ecclesiasticas forte traditiones, et canonicas definitiones vituperabat, infidelium operationes præferens, et eo modo Christum injuria afficiens. Interrogatus est ergo sanctus, an is propterea a fidelium communione expellatur, an potius nequaquam sit accusandus, ut qui fidem orthodoxam elegerit; et dixit quod accipere aliquem per baptismum nomen Christiani ipsum non juvat, nisi in omnibus, ut par est, juxta orthodoxos, vitam instituat: necessario ergo ut membrum putridum ab integritate excindetur sani corporis Christiani populi: hoc est neque cum Christianis in Ecclesia versabitur, neque gregis Christiani ovibus connumerabitur. Si velis autem canonem aliter quoque interpretari, quod non est proprie Christianus, qui non facit mandata Christi, nihil vetabit. Dicit enim sanctus Jacobus frater Dei in sua Epistola hoc modo: *Quid juvat, fratres mei, si quis se fidem habere dicat, opera*

Digitized by Google

autem non habeat? An potest fides eum servare[1]? Et Apostolus: *Fides sine operibus mortua est*[2].

ZONAR. Qui Christo credidit, et Christianus appellatus est, eum ex divinis præceptis vitam instituere oportet, ut hac ratione per ipsum Deus glorificetur, quemadmodum illis verbis præcipitur: *Sic luceat lux vestra coram hominibus*[3], et quæ deinceps. Si quis autem nominatur quidem Christianus, Dei vero præcepta transgreditur, contumeliam irrogat Christo, cujus de nomine appellatur, nec quidquam ex ea appellatione utilitatis trahet. Respondent porro hæc magni Basilii iis quæ sanctus Jacobus frater Domini asserit. Scribit ille nimirum in sua quadam Epistola: *Quid prodest, fratres mei, si quis se fidem habere dicat, opera autem non habeat? Num potest fides eum servare?*

ARIST. Christianus qui Christum contumelia afficit, nullum e nomine fructum percipiat.

Fides sine operibus mortua est. Nihil enim a nomine emolumenti surgit Christiano Christi mandata negligenti, et divinas illius leges conculcanti, eumque injuria valde afficienti.

CANON XLVI.

Quæ per ignorantiam nupsit ei qui ab uxore ad tempus derelictus est, deinde dimissa est, ut prior ad ipsum redeat, fornicatur quidem sed ignoranter. Nuptiis ergo non prohibebitur, sed melius est si sic manserit.

BALS. Hic canon situs est in contextu can. 93 syn. in Trullo, et quia de eo fusius illic tractatum est, lege eum et canonem 9 præsentis sancti Patris.

ZONAR. Sanctus hic in can. 9 disserens de muliere quæ virum suum reliquit: Mulier, ait, quæ virum suum reliquit, adultera est, si ad alium virum se contulit. Relictus autem, venia dignus est, et quæ cum ejusmodi habitat non condemnatur. Hic autem eam quæ viro nupsit, qui ad tempus ab uxore relictus est, priore vero revertente dimissa fuit, fornicatam ait sed ignoranter. Qui igitur illic mulierem non condemnat, quæ cum viro ab uxore relicto vixit: hic vero ipsam per ignorationem fornicatam fuisse affirmat? Quod si illa fornicata est, virum quoque qui illam duxit, fornicarium judicari consequens fuerit. Qui ergo venia dignus? Puto igitur can. 9 de eo loqui magnum Basilium, qui ab uxore plane est desertus, nec ut ad eum redeat ullo modo persuaderi potest. Quare et illi veniam dat, eamque quæ ei secundo nubit non condemnat. Hoc vero can. de ea loquitur quæ ob aliquam **104** ægritudinem a viro abscessit, quam etiam ob causam, illud (ad tempus) adjunxit. Si ergo mulier quæ secundas cum ipso contraxit nuptias temporariam hanc uxoris a viro secessionem noverat,

[1] Jacob. II, 14. [2] ibid. 26. [3] Matth. V, 15.

A ἔχειν, ἔργα δὲ μὴ ἔχῃ; Μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν; καὶ ὁ Ἀπόστολος· Ἡ πίστις χωρὶς ἔργων νεκρά ἐστιν.

ΖΩΝΑΡ. Τὸν τῷ Χριστῷ πιστεύσαντα καὶ ἐπιλεηθέντα Χριστιανὸν δεῖ κατὰ τὰς θείας ζῆν ἐντολάς, καὶ οὕτω δι' αὐτοῦ δοξάζεσθαι τὸν Θεὸν, κατὰ τὸ, *Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων*, καὶ τὰ ἑξῆς. Εἰ δέ τις Χριστιανὸς μὲν καλεῖται, παραβαίνει δὲ τὰς ἐντολὰς τοῦ Θεοῦ, ὑβρίζει τὸν Χριστὸν, οὗ τὴν κλῆσιν ἐπάγεται, καὶ οὐδὲν ἔσται αὐτῷ ὄφελος ἐκ τῆς προσηγορίας. Ταῦτα δὲ ὁ μέγας Βασίλειος τῷ ἁγίῳ Ἰακώβῳ συμφωνῶν τῷ ἀδελφῷ τοῦ Κυρίου φησίν. Ἐκεῖνος γὰρ ἐν τῇ Ἐπιστολῇ αὐτοῦ λέγει· *Τί τὸ ὄφελος, ἀδελφοί μου, ἐὰν πίστιν λέγῃ τις ἔχειν, ἔργα δὲ μὴ* B *ἔχῃ; Μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν;*

ΑΡΙΣΤ. Ὑβρίζων Χριστιανὸς τὸν Χριστὸν ἀπὸ τῆς κλήσεως ἀνωφέλητος.

Ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν. οὐδὲν γὰρ ἀπὸ τῆς προσηγορίας ὄφελος τῷ Χριστιανῷ τὰ τοῦ Χριστοῦ ἐντάλματα ἀθετοῦντι καὶ τοὺς θείους αὐτοῦ νόμους καταπατοῦντι, καὶ πραγματικῶς αὐτὸν ἐνυβρίζοντι.

ΚΑΝΩΝ ΜΣ'.

Ἡ τῷ καταλειφθέντι πρὸς καιρὸν παρὰ τῆς γυναικὸς ἐν ἀγνοίᾳ γημαμένη, εἶτα ἀφεθεῖσα διὰ τὸ ἐπανελθεῖν πρὸς αὐτὸν τὴν πρωτέραν, ἐπόρνευσε μὲν, ἐν ἀγνοίᾳ δέ. Γάμου οὖν οὐκ εἰρχθήσεται, κάλλιον δὲ ἐὰν μείνῃ οὕτως. C

ΒΑΛΣ. Ὁ παρὼν κανὼν κατεστρώθη εἰς τὸ ὕφος τοῦ ιγ' κανόνος τῆς ἐν τῷ Τρούλλῳ συνόδου· καὶ ἐπεὶ ἐκεῖσε τὰ περὶ τούτου πλατύτερον ἡρμηνεύθησαν, ἀνάγνωθι τοῦτον, καὶ τὸν θ' κανόνα τοῦ παρόντος ἁγίου Πατέρος.

ΖΩΝΑΡ. Ἐν τῷ ἐννάτῳ κανόνι ὁ ἅγιος οὗτος, περὶ γυναικὸς καταλιπούσης τὸν ἴδιον ἄνδρα διατατόμενος, Ἡ καταλιποῦσα τὸν ἴδιον ἄνδρα, φησὶ, μοιχαλίς ἐστιν, εἰ ἐπ' ἄλλον ἦλθεν ἄνδρα. Ὁ δὲ καταλειφθεὶς συγγνωστὸς, καὶ ἡ συνοικοῦσα τῷ τοιούτῳ οὐ κατακρίνεται. Ἐνταῦθα δὲ τὴν τῷ καταλειφθέντι πρὸς καιρὸν παρὰ τῆς γυναικὸς γημαμένην, ἐπανελθούσης δὲ τῆς προτέρας, ἀφεθεῖσαν πορνεῦσαι λέγει, ἐν ἀγνοίᾳ δέ. Πῶς οὖν ἐκεῖσε μὲν D οὐ κατακρίνει τὴν συνοικήσασαν ἀνδρὶ, καὶ καταλειφθέντι παρὰ τῆς γυναικὸς αὐτοῦ, ἐνταῦθα δὲ πορνεῦσαι αὐτὴν φησὶν ἐν ἀγνοίᾳ; Εἰ δὲ ἐκείνη πεπόρνευκε, καὶ ὁ γήμας αὐτὴν ἀνὴρ πορνεῦσαι κατὰ τὸ ἀκόλουθον νομίζοιτο ἄν. Πῶς οὖν συγγνωστὸς ἔσται; Οἶμαι τοίνυν ὅτι ἐν τῷ θ' κανόνι περὶ διόλου καταλειφθέντος παρὰ τῆς γυναικὸς λέγει ὁ μέγας Βασίλειος, καὶ μὴ πεισθείσης ἐπανελθεῖν πρὸς αὐτόν. Καὶ διὰ ταῦτα κἀκείνῳ συγγινώσκει καὶ τὴν κατὰ δεύτερον γάμον αὐτῷ συνοικήσασαν οὐ κατακρίνει. Ἐν δὲ τῷ παρόντι κανόνι περὶ καταλιπούσης τὸν ἄνδρα διά λύπην τινὰ λέγει· διὸ καὶ τὸ, πρὸς καιρὸν, προσέθετο. Εἰ μὲν οὖν ἔζει ἡ κατὰ

Digitized by Google

δεύτερον γάμον αὐτῷ συνοικήσασὰ τὴν πρόσκαιρον ἀπόστασιν ἐκ τοῦ οἰκείου ἀνδρὸς, καὶ οὕτω συνῴκησε τῷ καταλειφθέντι ἀνδρὶ, μοιχαλίς ἐστιν, ὅτι ἀλλότριον ἄνδρα ἐσφετερίσατο, ὡς τὸ τέλος τοῦ ἐννάτου περιέχει κανόνος· εἰ δὲ ἠγνόει τοῦτο, ἴσως γὰρ ἐξ ἀλλοδαπῆς ἦν χώρας, καὶ ἠγνοεῖτο τὸ κατ' αὐτὸν, μετὰ δέ τινα καιρὸν ἐπανῆλθε πρὸς τὸν ἄνδρα ἡ καταλιποῦσα αὐτὸν, καὶ διὰ τοῦτο ὁ πρὸς τὴν δευτέραν γυναῖκα ἐλύθη γάμος· πορνεῦσαι λέγει τὴν γυναῖκα ταύτην ὁ ἅγιος, πλὴν ἐν ἀγνοίᾳ· πορνεῦσαι δὲ ταύτην λέγει, ὡς μὴ λυθέντος τοῦ προτέρου γάμου. Τοῦ πρώτου δὲ μὴ λυθέντος, πῶς ἂν ἡ πρὸς τὴν δευτέραν γυναῖκα συνοίκησις δεύτερος δόξῃ γάμος; Εἰ δὲ γάμος οὐκ ἔστι, πάντως ἔσται πορνεία. Καὶ ὁ μὲν ἀνὴρ πόρνος κυρίως λογισθήσεται, ἡ δὲ γυνὴ πορνεῦσαι μὲν λέγεται, πλὴν ἐν ἀγνοίᾳ. Οὐ γὰρ πορνείαν ἁμαρτῆσαι σκοπὸν ἔσχεν, ἀλλὰ γάμον συστήσασθαι ἔννομον. Τὸ δὲ πρᾶγμα περιέστη εἰς τὸ μὴ λογίζεσθαι γάμον, διὰ τὸ ἔτι μένειν τὸν πρῶτον γάμον. Τῆς δὲ πρὸς τὰς δύο συναφείας μὴ λογιζομένης γάμον, τί ἂν λέγοιτο ἡ συνάφεια ἢ πορνεία, πλὴν ἐν ἀγνοίᾳ γινομένη; Διὸ καὶ ἐπήγαγεν ὁ κανών· Γάμου οὖν οὐκ εἰρχθήσεται. Οὐ γὰρ ὡς παρ' ἀνδρὸς ἀφεθεῖσα λογίζεται. Ἐπεὶ εἰ τοῦτο ἦν καὶ ἑτέρῳ ἐμίχθη, μοιχαλὶς ἐκρίνετο ἄν, κατὰ τὸν ἔννατον κανόνα. Ὅτι οὐδὲ κυρίως γάμος πρὸς τὴν δευτέραν γυναῖκα συμβίωσις δοκεῖ, διὰ τοῦτο γάμου οὐκ εἴργεται ἡ γυνή. Ὡς δὲ ἁπλῶς γυνὴ ὀνομασθεῖσα ἀνδρὸς, εἰ μὴ ἑτέρῳ συναφθείη ἔτι ζῶντος ἐκείνου, κρεῖσσον ἂν ποιήσῃ, φησὶν ὁ ἅγιος. Οὐ γὰρ εὔσχημον ζῶντος τοῦ ἀνδρὸς τὴν ὀνομασθεῖσαν ἐκείνῳ γυναῖκα ἑτέρῳ συμβιοῦν· λέγει γὰρ καὶ ὁ νόμος τῆς πολιτείας, ὅτι ἐν τοῖς γάμοις οὐ τὸ ἐπιτεταραμμένον, ἀλλὰ τὸ εὐπρεπὲς σκοποῦμεν.

A atque ita cum relicto viro habitavit, adultera est, quod alienum sibi virum usurpavit, ut in fine can. 9 continetur. Sed si id ignorabat, forte enim peregrinus erat, nec quæ ad ipsum spectabant nota erant, aliquo porro temporis intervallo ad virum, quem ipsum descruerat revertit, ac proinde nuptiæ cum secunda uxore sunt dissolutæ; mulierem hanc sanctus fornicatam esse asserit, sed per ignorationem. Fornicatam porro eam dicit, quod non fuerint priores solutæ nuptiæ; prioribus autem non solutis, quomodo inita cum secunda muliere societas secundum matrimonium videatur? Quod si matrimonium non sit, erit plane fornicatio. Ac vir quidem, fornicarius proprie judicabitur, mulier autem, fornicata quidem esse dicitur, verum per B ignorationem. Non enim fornicationis peccatum admittere illi mens erat, sed legitimas contrahere nuptias. Verum eo res recidit, ut nuptiæ minime existimarentur, propterea quod prius adhuc matrimonium consisteret. Cum vero hæc cum duabus mulieribus conjunctio, matrimonium censeri haud possit, quid aliud ea dicatur conjunctio quam fornicatio, per ignorationem tamen admissa? Quam etiam ob causam subjicit canon: A matrimonio ergo non prohibebitur. Non enim, veluti a viro dimissa judicabitur. Si namque id esset, aliique viro juncta foret, adultera judicaretur, ex noni canonis constitutione. Quoniam vero haudquaquam proprie illa cum secunda muliere cohabitatio, matrimonium dici potest, propterea a matrimonio C mulier haud arcetur. Cum vero uxor citra exceptionem dicta fuerit viri, si nulli alteri, eo adhuc vivente copulata fuerit, laudabilius, inquit sanctus vir, fecerit. Neque enim honestum fuerit, viro adhuc superstite, quæ illius mulier dicta est, cum altero vitam agere. In nuptiis siquidem, lex quoque civilis testatur quod nos non tam quid permissum sit, quam quid honestati conveniat, consideramus.

ΑΡΙΣΤ. Ἐγήματό τις ἀνδρὶ κατὰ ἄγνοιαν ἀφεμένῳ, εἶτα ἡ προτέρα ἀνέφηνεν· ἡ δ' ἀφεθεῖσα πόρνη λογίζεται κατὰ ἄγνοιαν· καὶ εἰ θέλει, ζεύγνυται· κάλλιον δὲ, εἰ μὴ ζεύγνυται.

ARIST. Nupsit quædam ignorans viro dimisso: postea prior apparuit: dimissa autem fornicatrix per ignorantiam reputatur: et si vult nubit, melius autem si non nubat.

Κατελείφθη ἀνὴρ παρὰ τῆς ἰδίας γυναικὸς πρὸς καιρόν· ὁ δὲ, ὡς ἀπολυθεὶς ὑπ' ἐκείνης, ἑτέραν ἔλαβεν, ἀγνοοῦσαν τὸ πρὸς καιρὸν καταλειφθῆναι αὐτόν. Ἐπανῆλθε πρὸς αὐτὸν ἡ προτέρα, καὶ παραδεξάμενος ταύτην, τὴν δευτέραν ἀφῆκεν· ὡς πόρνη κρίνεται αὐτὴ ἡ ἀφεθεῖσα, πλὴν κατὰ ἄγνοιαν· καὶ διὰ τοῦτο, εἰ βουληθῇ γάμου κοινωνίᾳ συναφθῆναι ἑτέρῳ, οὐ κωλυθήσεται· οὐ γὰρ ἀπολελυμένη λογίζεται· ὅτι μηδὲ ἀνὴρ αὐτῆς κυρίως ἐγένετο ὁ ταύτην ἀφέμενος. Ἐὰν δὲ θελήσῃ μεῖναι ἐν ἀγαμίᾳ, καὶ μὴ ἐπ' ἄλλον ἐλθεῖν γάμον, κάλλιον τοῦτο.

Vir ad tempus ab uxore sua derelictus fuit, ille autem acsi ab ea dimissus fuisset aliam duxit, quæ nescivit eum ad tempus derelinqui: rediit ad eum D prima, et cam recipiens secundam dimisit, ut fornicatrix judicatur dimissa, sed per ignorantiam; et ideo si matrimonii communione alii conjungi velit, non prohibebitur. Non enim dimissa reputatur, quoniam qui eam dimisit proprie non erat ipsius vir. Si autem extra matrimonium manere vellet, et ad alterum conjugium non venire, hoc melius esset.

ΚΑΝΩΝ ΜΖ'

Ἐγκρατῖται καὶ Σακκοφόροι, καὶ Ἀποτακτῖται τῷ αὐτῷ ὑπόκεινται λόγῳ, ᾧ καὶ Ναυατιανοὶ, ὅτι περὶ μὲν ἐκείνων κανὼν ἐξεφωνήθη, εἰ καὶ διάφορος, τὰ δὲ κατὰ τούτους ἀποσεσιώπηται· ἡμεῖς μέντοι ἑνὶ λόγῳ ἀναβαπτίζομεν τοὺς τοιούτους. Εἰ δὲ παρ' ἡμῖν ἀπηγόρευται τοῦτο, τὸ τοῦ ἀνα

CANON XLVII.

Encratitæ, et Saccophori, et Apotactitæ subjiciuntur eidem rationi, cui et Novatiani, quia de illis editus est canon, etsi diversus: quæ autem sunt adversus eos, silentio prætermissa sunt, nos autem una ratione tales rebaptizamus. Si autem prohibita est apud vos hæc rebaptizatio,

Digitized by Google

sicut et a Romanis, alicujus œconomiæ gratia, A nostra tamen ratio vires obtineat, quandoquidem est veluti Marcionistarum germen eorum hæresis, nuptias abhorrentium, et vinum aversantium et Dei creaturam inquinatam esse dicentium, eos igitur in Ecclesiam non admittimus nisi in nostrum baptismum baptizati fuerint. Ne dicant enim, In Patrem, et Filium, et Spiritum sanctum baptizati sumus, qui quidem Deum esse malorum effectorem existimant, instar Marcionis et reliquarum hæresium. Quamobrem si hoc placuerit, oportet plures convenire episcopos, et sic canonem exponere, ut et is qui fecit sit extra periculum, **105** et qui respondet, in responsione de his fide dignus habeatur. B

BALS. Quinam sint Encratitæ, Saccophori, Apotactitæ, Novatiani, et Marcionistæ, et quænam sint hæc hæresium genera, in diversis canonibus dictum est. Præsens autem canon non eget interpretatione, quia nec ut decretum a sancto scriptum est, sed ut sententiæ ipsius explicatio. Legitimam enim constitutionem ad synodalem definitionem remisit. Tu autem lege canon. 7 syn. 2 et disce quinam ex hæreticis baptizantur, postquam recepti fuerint et qui non.

ZONAR. Hoc loco, vir sanctus, Novatianos quoque cum aliis, quandocunque se Ecclesiæ sistant, baptizandos esse decernit, quippe qui forte Mar- C cionis placitis adhærescant. Septimus autem canon secundæ synodi, dum eos qui cum solo chrismate admittendi sunt numerat, cum iis Novatianos quoque percenset. Omnino vero canonis illius definitioni stare oportet, quippe qui et posterior est, et a synodo editus : et quia ne magnus quidem Basilius, hunc veluti canonem pronuntiavit, sed suam sententiam, rogatus, aperuit : deinde subdit, quemadmodum et ipse, in proposita quæstione, haud plane exploratum habeat quid sentiat, illis verbis, Quamobrem si hoc placuerit, oportet plures simul esse episcopos, et sic canonem exponere, ut et is qui fecit sit extra periculum canone a pluribus episcopis explicato; ac eodem modo videlicet, memoratos homines baptizanti nullum adsit periculum, D quasi adversus canones fecerit, et qui de ejusmodi interrogantibus respondet, fide dignus, ob constitutum canonem, existimetur. Quæ porro ad Marcionistarum, et Encratitarum hæreses pertinent, supra in canonis explicatione descripta sunt.

ARIST. Encratitas, et Saccophoros, et Apotactitas denuo baptizabis. Quamvis enim asserant quod in Patrem, et Filium, et Spiritum sanctum baptizati sunt, quandoquidem tamen Deum malorum auctorem impie affirmant, juxta Marcionem, nisi denuo baptizentur, non sunt recipiendi.

In primo quidem ipsius canone, magnum hoc Ecclesiæ luminare, Encratitarum et Novatianorum, sive Catharorum baptisma juxta œconomiæ ratio-

βαπτισμοῦ, ὥσπερ οὖν καὶ παρὰ Ῥωμαίοις, οἰκονομίας τινὸς ἕνεκα, ἀλλ' ὁ ἡμέτερος λόγος ἰσχὺν ἐχέτω, ὅτι, ἐπειδὴ ὥσπερ Μαρκιωνιστῶν ἐστιν αὐτοσχέδιάστημα ἡ κατ' αὐτοὺς αἵρεσις βδελυσσομένων τὸν γάμον καὶ ἀποστρεφομένων τὸν οἶνον, καὶ τὴν κτίσιν τοῦ Θεοῦ μεμιασμένην εἶναι λεγόντων, οὐ δεχόμεθα οὖν αὐτοὺς εἰς τὴν ἐκκλησίαν, ἐὰν μὴ βαπτισθῶσιν εἰς τὸ ἡμέτερον βάπτισμα. Μὴ γὰρ λεγέτωσαν ὅτι Εἰς Πατέρα καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα ἐβαπτίσθημεν, οἳ γε κακῶν ποιητὴν ὑποτιθέμενοι τὸν Θεὸν, ἐφαμίλλως τῷ Μαρκίωνι καὶ ταῖς λοιπαῖς αἱρέσεσιν. Ὥστε ἐὰν ἀρέσῃ τοῦτο, δεῖ πλείονας ἐπισκόπους ἐν ταὐτῷ γενέσθαι, καὶ οὕτως ἐκθέσθαι τὸν κανόνα, ἵνα καὶ τῷ ποιήσαντι τὸ ἀκίνδυνον ᾖ, καὶ ὁ ἀποκρινόμενος τὸ ἀξιόπιστον ἔχῃ ἐν τῇ περὶ τούτων ἀποκρίσει.

ΒΑΛΣ. Τίνες εἰσὶν οἱ Ἐγκρατῖται, οἱ Σακκοφόροι, οἱ Ἀποτακτῖται, οἱ Ναυατιανοὶ, καὶ οἱ Μαρκιωνισταὶ, καὶ ποῖα τὰ εἴδη τῶν αἱρέσεων αὐτῶν, εἴρηται ἐν διαφόροις κανόσιν. Ὁ δὲ παρὼν κανὼν ἑρμηνείας οὐ δέεται· διότι οὐδὲ ὡς ὅρος ἐγράφη παρὰ τοῦ ἁγίου, ἀλλ' ὡς γνωμάτευμα. Τὴν γὰρ θεσμοθεσίαν εἰς συνοδικὸν διορισμὸν ἀπέλυσεν. Σὺ δὲ ἀνάγνωθι τὸν ζ' κανόνα τῆς δευτέρας συνόδου, καὶ μάθῃς τίνες ἀπὸ τῶν αἱρετικῶν μετὰ δεχθῆναι βαπτίζονται, καὶ τίνες οὐ βαπτίζονται.

ΖΩΝΑΡ. Ἐνταῦθα ὁ ἅγιος τοὺς Ναυατιανοὺς βαπτίζεσθαι διορίζεται, μετὰ τῶν ἄλλων προσερχομένους τῇ Ἐκκλησίᾳ, τοὺς ὡς τάχα φρονοῦντας τὰ τοῦ Μαρκίωνος. Ὁ δὲ τῆς δευτέρας συνόδου ἕβδομος κανὼν ἀπαριθμῶν τοὺς χρίσματι μόνῳ ὀφείλοντας δέχεσθαι, καὶ τοὺς Ναυατιανοὺς ἐκείνοις συναριθμεῖ. Πάντως δ' ἐπικρατέστερος ὁ κανὼν ἔσται ἐκεῖνος, οἷα μεταγενέστερος καὶ συνοδικός· καὶ ὅτι οὐδὲ ὁ μέγας Βασίλειος ὡς κανόνα τοῦτον ἐξεφώνησεν, ἀλλὰ τὴν οἰκείαν γνώμην πρὸς ἐρώτησιν ἐδήλωσεν· εἶτα ἐπήγαγεν, ὥσπερ καὶ αὐτὸς μὴ βεβαίως πρὸς τὸ ἐρωτηθὲν διακείμενος, τὸ, Ὥστε, ἐὰν ἀρέσῃ τοῦτο, δεῖ πλείονας ἐπισκόπους ἐν ταὐτῷ γενέσθαι, καὶ οὕτως ἐκθέσθαι τὸν κανόνα, ἵνα διὰ τοῦ κανόνος ὑπὸ πλειόνων ἐπισκόπων ἐκτεθέντος καὶ τῷ ποιήσαντι τὸ ἀκίνδυνον ᾖ· καὶ ταὐτὸν δηλαδὴ καὶ βαπτίσαντι τοὺς εἰρημένους μὴ ᾖ κίνδυνος, ὡς παρὰ κανόνας ποιήσαντι, καὶ ὁ ἀποκρινόμενος τοῖς περὶ τοιούτων ἐρωτῶσι τὸ ἀξιόπιστον ἔχει ἐκ τοῦ κανόνος. Τὰ δὲ περὶ τῆς αἱρέσεως τῶν Μαρκιωνιστῶν καὶ Ἐγκρατιτῶν προεγράφησαν ἐν τῇ τοῦ κανόνος ἐξηγήσει.

ΑΡΙΣΤ. Ἐγκρατίτας, καὶ Σακκοφόρους, καὶ Ἀποτακτίτας, ἀναβαπτίσεις. Εἰ γὰρ καὶ λέγοιεν ὅτι εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα ἐβαπτίσθησαν, ἀλλ' ἐπεὶ κακῶν ποιητὴν τὸν Θεὸν βλασφημοῦσι κατὰ Μαρκίωνα, μὴ ἀναβαπτιζόμενοι, ἀδεκτοι.

Ἐν μὲν τῷ πρώτῳ αὐτοῦ κανόνι ὁ μέγας οὗτος τῆς Ἐκκλησίας φωστὴρ τὸ τῶν Ἐγκρατιτῶν καὶ Ναυατιανῶν, ἤτοι Καθαρῶν, βάπτισμα κατὰ λόγον

Digitized by Google

οἰκονομίας ἐδίξατο, καὶ προσέταξε μόνῳ τῷ ἁγίῳ μύρῳ τούτους χρίεσθαι, προσερχομένους τῇ καθολικῇ πίστει, καὶ τὰς αἱρέσεις αὐτῶν ἀναθεματίζοντας· ἐνταῦθα δὲ, ἐπιδιορθούμενος τὸ κατ' οἰκονομίαν ἐκεῖσε δεχθὲν, ὁρίζει τοὺς Ἐγκρατίτας καὶ τοὺς λοιποὺς ἀναβαπτίζεσθαι, διὰ τὸ τὴν αἵρεσιν αὐτῶν ἀποβλάστημα εἶναι τῶν Μαρκιωνιστῶν, βδελυσσομένων καὶ αὐτῶν, ὡς ἐκείνων, τὸν γάμον, καὶ ἀποστρεφομένων τὸν οἶνον, καὶ τὴν κτίσιν τοῦ Θεοῦ μεμιασμένην εἶναι λεγόντων. Πλὴν ὁ ἕβδομος κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου, καὶ ὁ ἕβδομος τῆς ἐν Κωνσταντινουπόλει, καὶ ὁ ἐννενηκοστὸς πέμπτος τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου, τῶν Ναυατιανῶν, καὶ Καθαρῶν, καὶ Τεσσαρεσκαιδεκατιτῶν τὸ βάπτισμα δέχεται, προσερχομένων τῇ Ἐκκλησίᾳ, καὶ ἀναθεματιζόντων πᾶσαν αἵρεσιν, καὶ τὴν ἑαυτῶν. Χρίονται δὲ μόνῳ τῷ ἁγίῳ μύρῳ μέτωπα, ὀφθαλμοὺς, ῥῖνας, στόμα, καὶ ὦτα.

A nem admisit, et jussit, eos solo chrismate sancto ungi, cum ad catholicam accedunt fidem et hæreses suas anathematizant. Hic autem corrigens quod ibi propter œconomiam admissum fuit, statuit Encratitas, et reliquos iterum baptizari, quia istorum hæresis est Marcionistarum germen, et his non minus quam istis nuptias detestantibus, et vinum fastidio damnantibus, et Dei creaturam contaminatam esse dicentibus. Sed septimus synodi Laodicenæ canon, et septimus Constantinopolitanæ, et nonagesimus quintus sextæ in Trullo synodi, et Novatianorum, et Catharorum, et Quartadecimanorum baptisma recipit, si ad Ecclesiam adveniunt, et omnem hæresim etiam suam anathematizant. Solo autem sancto unguntur chrismate frontes, oculos, B nasos, os, et aures.

ΚΑΝΩΝ ΜΗ'.

Ἡ δὲ ἐγκαταλειφθεῖσα παρὰ τοῦ ἀνδρὸς, κατὰ τὴν ἐμὴν γνώμην, μένειν ὀφείλει. Εἰ γὰρ ὁ Κύριος εἶπεν, ὅτι *Ἐάν τις καταλείπῃ γυναῖκα ἐκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι*, ἐκ τοῦ μοιχαλίδα αὐτὴν ὀνομάσαι, ἀπέκλεισεν αὐτὴν τῆς πρὸς ἕτερον κοινωνίας. Πῶς γὰρ δύναται ὁ μὲν ἀνὴρ ὑπεύθυνος εἶναι, ὡς μοιχείας αἴτιος, ἡ δὲ γυνὴ ἀναίτιος εἶναι, ἡ μοιχαλὶς παρὰ Κυρίου διὰ τὴν πρὸς ἕτερον ἄνδρα κοινωνίαν προσαγορευθεῖσα;

CANON XLVIII.

Quæ a marito dimissa est, mea quidem sententia manere debet. Si enim Dominus dixit : *Si quis reliquit uxorem præterquam ratione fornicationis, facit eam adulterari* [1], ex eo quod eam adulteram nominet, exclusit eam a societate cum alio. Quomodo enim potest vir quidem esse reus, ut auctor adulterii, mulier autem nulli esse culpæ affinis quæ adultera appellata est propter consuetudinem cum alio viro?

ΒΑΛΣ. Ὡς ἔοικεν, ἐρωτηθεὶς ὁ ἅγιος, εἰ ὀφείλει νομίμῳ ἀνδρὶ συνάπτεσθαι ἡ παραλόγως διαζυγεῖσα παρὰ τοῦ οἰκείου ἀνδρὸς, εἶπεν, ἐπεὶ ὁ Κύριος ἀπεφήνατο μοιχαλίδα εἶναι τὴν καταλειφθεῖσαν παρεκτὸς πορνείας ὑπὸ τοῦ οἰκείου ἀνδρὸς, πάντως ἐὰν ἑτέρῳ συζευχθῇ, ὀφείλει ἡ τοιαύτη γυνὴ ἡσυχάζειν καὶ ἑτέρῳ μὴ συναφθῆναι. Κατασκευάζων δὲ τὸν οἰκεῖον λόγον προστίθησιν ὅτι, κἂν οὐ δέδωκεν αὐτὴ τὴν αἰτίαν τῆς ἐγκαταλείψεως, ἀλλ' ὁ ἀνὴρ, ὅμως καὶ αὐτὴ εἰ μὴ καρτερήσει τὴν παράλογον διάζευξιν, καὶ ἀνακαλέσεται τὸν οἰκεῖον ὁμόζυγον, ἀλλ' ἑτέρῳ συναφθῇ, ὡς μοιχαλὶς κατακριθήσεται· τὸν ἄνδρα δὲ ταύτης ὑπεύθυνον εἶναί φησιν, ὡς γινόμενον αἴτιον τῆς μοιχείας. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Σὺ δὲ ἀνάγνωθι τὸν πη' κανόνα, καὶ τὸν ιγ' τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὰ παρ' ἡμῶν ἐν τούτοις γραφέντα περὶ τῶν καταλειψασῶν τοὺς οἰκείους ἄνδρας, καὶ τὸ ἐναντίον. Ἐρωτήσει δέ τις ποίᾳ εὐθύνῃ ὑπόκειται ὁ ἀνὴρ τῆς καταλειφθείσης γυναικὸς ἀνευλόγως, καὶ ἑτέρῳ συμβιωσάσης; Λύσις. Τινὲς εἶπον τῷ πρὸ μοιχείας ἐγκλήματι εἶναι τοῦτον ὑπεύθυνον· ἐμοὶ δὲ οὐ δοκεῖ. Ἐπεὶ γὰρ παρὰ τῷ θελήματι τῆς γυναικὸς πρόκειται τὸ συζυγῆναι αὐτὴν ἑτέρῳ, καὶ οὕτω μοιχευθῆναι, καὶ τὸ καρτερῆσαι, καὶ μὴ γενέσθαι μοιχείαν, πῶς ὁ ἀνὴρ, μὴ μοιχεύσας, ὡς μοιχὸς κολασθήσεται; Οἶμαι οὖν ὅτι ὡς μὲν μοιχὸς οὐ κολασθήσεται, γενήσεται δὲ ἐπ' αὐτῷ ὡς ἀνευλόγως πέμψαντι διαζύγιον, κατὰ τὸ ιγ' κεφ. τῆς λδ' Ἰουστινιανείου Νεαρᾶς, ἤτοι τὸ δ' κεφ. τοῦ ζ' τίτλου τοῦ

106 BALS. Ut est verisimile, sanctus interrogatus est, an debet marito legitime conjungi quæ præter rationem a proprio marito separata est. Dixit itaque quod quia Dominus eam esse adulteram pronuntiavit quæ extra fornicationem a suo marito dimissa est, si alii omnino conjuncta fuerit, debet ea mulier quiescere, et alii non conjungi. Suum itaque dictum confirmans adjicit, quod etsi ea dimissionis causam non dederit, sed maritus, ipsa tamen si injustum divortium non toleranter tulerit et ad suum conjugem redierit, sed alii conjuncta fuerit, ut adultera condemnabitur : ejus autem maritum dicit esse reum ut qui fuerit auctor adulterii. Et in his quidem consistit canon. Tu autem lege octogesimum octavum canonem et nonagesimum tertium synodi in Trullo, et quæ in his a nobis scripta sunt de iis quæ suos maritos reliquerunt et contra. Interrogaverit autem quispiam, cui pœnæ est obnoxius maritus mulieris, quæ injuste dimissa est, et cum alia vitæ societatem iniit? *Sol.* Quidam dixerunt eum esse reum adulterii : sed mihi non ita videtur. Quoniam enim in mulieris voluntate situm est ut ipsa alii jungatur, et sic adulteretur, et toleranter pati, et non fieri adulterium, quomodo maritus, qui non est adulteratus, ut adulter punietur? Existimo ergo quod ut adulter quidem non punietur, agetur autem in eum, ut qui præter rationem divortii libellum emiserit, ut vult decimum quartum caput tricesimæ quartæ Justiniani Novellæ seu quar-

[1] Matth. v 32.

Digitized by Google

tum caput septimi tituli vicesimi octavi libri quod sic habet : Quia autem nonnulli student nostram legem transgredi in qua specialiter causas enumeravimus, ex quibus solis potest emitti divortium, vel a viro, vel a muliere, jubemus præter illas causas nullo modo fieri divortium, vel factum confirmari, vel ex consensu matrimonium dissolvere, et peccata aliis condonare. Sin autem præter causas a nobis definitas ausi fuerint aliqui dissolvere matrimonium, jubemus, si quidem descendentes habeant, sive ex ipso, sive ex alio matrimonio, dare illis eorum substantias, secundum legum ordinem, virumque et mulierem intrudi in monasterium toto vitæ suæ tempore, et ex uniuscujusque facultatibus circiter quatuor uncias monasteriis in quæ immittuntur separari : marito scilicet ne usum quidem habente ejus partis, quæ datur liberis. Sin autem descendentes non habeant, sed ascendentes inveniantur, ipsi tertiam partem facultatum accipiant, præterquam si impiæ matrimonii solutioni consenserint. Duæ autem partes monasteriis in quæ unusquisque injicitur, separentur. Sin autem nec descendentes, nec ascendentes fuerint, vel si etiam ascendentes ei quod factum est consenserint, jubemus omnes facultates dari monasteriis in quæ conjecti sunt, ne propter hanc inventionem, Dei quoque judicium contemnatur, et lex nostra transiliatur. Sed et eos, qui ejusmodi nefarios contractus componunt, corporalibus pœnis subjici jubemus, et mitti in exsilium. Si autem ii qui matrimonium solvere conati sunt, rursus velint seipsos matrimonio conjungere, prinsquam in monasteria injiciantur, damus eis hoc agendi facultatem et prædictas illis pœnas condonamus, et ut facultates suas habeant ipsis concedimus, et ut ita inter se vivant, perinde ac si nihil inter se hujusmodi peccassent : si una autem persona velit revocare matrimonium, si altera persona non consenserit, adversus eum qui non vult, pœnæ serventur. Hæc autem omnia servari jubemus, et in hac urbe regia, et in provinciis, et per comitem privatorum, et scholam Palatinorum, et per præsides provinciarum, et eorum ordines, ipsis scientibus, quod si peccato hujusmodi commisso se segniter gesserint, et non hæc omnia servaverint, et exterminationem, et publicationem subibunt. Hæc autem ipsa servare jubemus loci quoque sanctissimos **107** episcopos, ut eorum providentia, personæ quæ traditæ sunt, in monasteria conjiciantur, et ex rebus ipsis ea quæ a nobis definita sunt, monasteriis præbeantur.

ZONAR. Quæ a viro dimissa est mulier, cœlibem illam agere oportere affirmat, aut si alteri se viro adjunxerit, adulteram judicari : profertque Domini sententiam, dicentis : *Qui dimisit uxorem suam, excepta fornicationis causa, facit eam adulterari*, ut proinde, inquit, ex quo adultera ipsa a Domino nominata est, vetita illi sit, cum alio viro matrimonii

κη' βιβλίου ἔχον οὕτως· Ἐπεὶ δέ τινες τὸν ἡμέτερον παραβαίνειν σπουδάζουσι νόμον, ἐν ᾧ ἰδικῶς τὰς αἰτίας ἀπηριθμησάμεθα ἐξ ὧν μόνων διαζύγιον δύναται πέμπεσθαι ἢ ἐκ τοῦ ἀνδρὸς, ἢ ἐκ τῆς γυναικὸς, κελεύομεν παρ' ἐκείνας τὰς αἰτίας μηδενὶ τρόπῳ διαζύγια γίνεσθαι, ἢ ἐρρῶσθαι τὰ γινόμενα, ἢ κατὰ συναίνεσιν τοὺς γάμους διαλύειν, καὶ συγχωρεῖν ἀλλήλοις τὰ ἁμαρτήματα. Εἰ δὲ παρὰ τὰς ἀφ' ἡμῶν διωρισμένας αἰτίας τολμήσουσί τινες διαλύειν τὸν γάμον, κελεύομεν, εἰ μὲν κατιόντας ἔχοιεν εἴτε ἐξ αὐτοῦ εἴτε ἐξ ἄλλου γάμου, τὰς οὐσίας αὐτῶν ἐκείνοις δίδοσθαι, κατὰ τὴν τῶν νόμων τάξιν, καὶ τόν τε ἄνδρα καὶ τὴν γυναῖκα εἰς μοναστήριον ἐμβάλλεσθαι ἐπὶ πάντα τὸν τῆς ζωῆς αὐτῶν χρόνον, καὶ ἐκ τῆς ἑκάστης περιουσίας ἀνὰ τέσσαρας οὐγγίας τοῖς μοναστηρίοις ἐν οἷς ἐμβάλλονται, ἀφορίζεσθαι· τοῦ ἀνδρὸς δηλονότι μηδὲ χρῆσιν ἔχοντος τοῦ διδομένου τοῖς παισὶ μέρους. Εἰ δὲ κατιόντας μὴ ἔχοιεν, ἀλλὰ ἀνιόντες εὑρίσκονται, τὸ τρίτον μέρος τῆς οὐσίας λαμβάνειν αὐτοὺς, εἰ μὴ τῇ ἀσεβείᾳ τῆς λύσεως τοῦ γάμου συνήνεσαν. Τὰ δὲ δύο μέρη τοῖς μοναστηρίοις, ἐν οἷς ἕκαστος ἐμβάλλεται, ἀφορίζεσθαι. Εἰ δὲ μήτε κατιόντες μήτε ἀνιόντες εἶεν, ἢ καὶ εἰ οἱ ἀνιόντες συνήνεσαν τῷ γεγονότι, κελεύομεν πᾶσαν τὴν οὐσίαν τοῖς μοναστηρίοις, ἐν οἷς ἐνεβλήθησαν δίδοσθαι, ἵνα μὴ διὰ ταύτης περινοίας καὶ τὸ τοῦ Θεοῦ κρίμα καταφρονηθείη, καὶ ὁ ἡμέτερος νόμος παραβαθῇ. Ἀλλὰ καὶ τοὺς ὑπουργοῦντας ταῖς τοιαύταις λύσεσι τῶν γάμων, ἢ τὰ τοιαῦτα ἀθέμιτα συμβόλαια συντιθέντας ταῖς εἰς σῶμα ποιναῖς ὑποβάλλεσθαι κελεύομεν, καὶ εἰς ἐξορίαν πέμπεσθαι. Εἰ δὲ οἱ τὸν γάμον λύειν ἐπιχειρήσαντες βουληθῶσι πάλιν ἑαυτοὺς συζευγνύναι, πρὶν ἐμβληθῶσι μοναστηρίοις, ἄδειαν αὐτοῖς δίδομεν τοῦτο ποιεῖν, καὶ τὰς προειρημένας ποινὰς συγχωροῦμεν αὐτοῖς, καὶ τὰς ἰδίας περιουσίας ἔχειν, καὶ οὕτω πρὸς ἀλλήλους ζῆν, ἕως ἂν εἰ μηδὲν τοιοῦτον ἡμαρτημένον ἐτύγχανε· τοῦ ἑνὸς δὲ βουλομένου τὸν γάμον ἀναλύεσθαι, εἰ μὴ συναινέσει τὸ ἕτερον πρόσωπον, κατὰ τοῦ μὴ βουλομένου κρατεῖν τὰς ποινάς. Ταῦτα δὲ πάντα φυλάττεσθαι κελεύομεν ἔν τε τῇ βασιλίδι ταύτῃ πόλει καὶ ἐν ταῖς ἐπαρχίαις διά τε τοῦ κόμητος τῶν πριβάτων καὶ τῆς τῶν Παλατίνων σχολῆς, καὶ τῶν ἐν ταῖς ἐπαρχίαις ἀρχόντων, καὶ τῶν τάξεων αὐτῶν, εἰδότων αὐτῶν ὡς, εἰ ῥᾳθυμήσουσι τοιούτου τινὸς ἁμαρτανομένου, καὶ μὴ πάντα ταῦτα παραφυλάξουσι, καὶ ἐξορίαν καὶ ζημίαν ὑποστήσονται. Ταῦτα δὲ αὐτὰ κελεύομεν παραφυλάττειν καὶ τοὺς κατὰ τόπον ὁσιωτάτους ἐπισκόπους, ὥστε προνοίᾳ αὐτῶν τὰ παραδεδομένα πρόσωπα ἐν μοναστηρίοις ἐμβάλλεσθαι, καὶ ἐκ τῶν πραγμάτων αὐτῶν τὰ παρ' ἡμῖν διορισθέντα τοῖς μοναστηρίοις παρέχεσθαι.

ΖΩΝΑΡ. Τὴν παρὰ τοῦ ἀνδρὸς ἀπολυθεῖσαν γυναῖκα ἀπαιτεῖσθαι λέγει ἄζυγα μένειν, ἢ ἑτέρῳ συνοικοῦσαν, μοιχαλίδα λογίζεσθαι· καὶ τὴν τοῦ Κυρίου ἀπόφασιν παράγει, εἰπόντος· *Ὁ ἀπολύσας τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας ποιεῖ αὐτὴν μοιχᾶσθαι*· ὥστε, φησὶν, ἐκ τοῦ μοιχαλίδα αὐτὴν παρὰ τοῦ Κυρίου ὀνομασθῆναι, κεκω-

Digitized by Google

λυται αὐτῇ ἡ πρὸς ἕτερον ἄνδρα συμβίωσις. Ἐπεὶ γὰρ ὁ ἀνὴρ ὑπεύθυνός ἐστιν, ὡς ποιῶν αὐτὴν μοιχᾶσθαι, πάντως καὶ ἡ γυνὴ ὡς μοιχευομένη κατακριθήσεται, ὅτι καὶ μοιχαλὶς παρὰ τοῦ Κυρίου ὠνόμασται.

societas. Cum enim vir culpæ obnoxius sit, quasi adulterandi causam ipsi præbeat, uxor quoque plane velut adultera condemnabitur, quandoquidem adultera Domini quoque voce appellata fuit.

ΑΡΙΣΤ. Ἡ παρ' ἀνδρὸς ἀφεθεῖσα μενέτω οὕτως. Εἰ γὰρ μοιχᾶται, κατὰ τὸν τοῦ Κυρίου λόγον, τῆς πρὸς ἕτερον κλείεται κοινωνίας.

Εἰ τὴν ἀπολελυμένην γαμήσας μοιχᾶται, μᾶλλόν ἐστι ἡ γυνὴ μοιχαλίς, ἡ καὶ τὸν ἄνδρα διὰ τῆς πρὸς αὐτὴν κοινωνίας, μοιχὸν καθιστῶσα. Καὶ διὰ τοῦτο μένειν ὀφείλει ἡ παρὰ τοῦ ἀνδρὸς ἀφεθεῖσα ἐν ἀγαμίᾳ.

ARIST. Quæ a viro dimittitur, sic maneat. Si enim mœchatur, juxta Domini dictum, alius communione excluditur.

Si qui dimissam duxit, adulteratur, multo magis mulier est adultera, quæ etiam virum per communionem cum ipsa adulterum reddit. Et ideo quæ a viro suo dimissa est extra matrimonium manere debet.

ΚΑΝΩΝ ΜΘ'.

Αἱ πρὸς ἀνάγκην γινόμεναι φθοραὶ ἀνεύθυνοι ἑστωσαν. Ὥστε καὶ ἡ δούλη, εἰ ἐβιάσθη παρὰ τοῦ ἰδίου δεσπότου, ἀνεύθυνός ἐστι

CANON XLIX.

Stupra quæ per vim inferuntur, non sint accusationi obnoxia. Quare etsi ancillæ vis allata fuerit a proprio domino, ea a culpa est libera.

ΒΑΛΣ. Ἡ παροῦσα ἀπόκρισις ἐξεφωνήθη χάριν δούλης τινὸς κατὰ βίαν ὑπὸ τοῦ ἰδίου δεσπότου πορνευθείσης. Φησὶ γὰρ ὡς, ἐπεὶ καὶ ἄλλαι πᾶσαι φθοραὶ αἱ κατὰ ἀνάγκην καὶ βίαν γινόμεναι, παρὰ τῶν πολεμίων δηλαδὴ πρὸς τὰς αἰχμαλωτισθείσας, καὶ παρὰ ἀρχοντικῶν προσώπων πρὸς τὰς ὑπ' αὐτῶν ἀρχομένας, ἐξ ἀνάγκης καὶ ἡ δούλη ἡ κατὰ βίας συμφθαρεῖσα τῷ ἰδίῳ δεσπότῃ οὐχ ὑποπεσεῖται τοῖς τῶν πορνευόντων ἐπιτιμίοις. Ἀνάγνωθι κανόνα πρῶτον τοῦ ἁγίου Διονυσίου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἐκ τοῦ λόγου αὐτοῦ τοῦ εἰς τὸ Πάσχα. Ταῦτα δέ, ὡς ἐμοὶ δοκεῖ, κρατήσουσιν ὅσον εἰς τὸ μὴ ἐπιτιμηθῆναι διὰ τὴν φθορὰν τῆς πορνείας τὰς φθαρείσας. Ἐπεί τοί γε ἂν κατὰ βίαν ἢ ἄγνοιαν ἐμπέσῃ τις εἰς πρᾶγμα κωλύον αὐτὸν ἀπὸ διακονίας ἱερατικῆς, οὐκ ὠφεληθήσεται εἰς τὸ εἶναι καὶ ἐφεξῆς μετὰ τῶν ἱερωμένων, διὰ τὸ μὴ κατὰ γνώμην οἰκείαν ἐμπεσεῖν εἰς τὸ κακόν, ἀλλὰ καθαιρηθήσεται. Καὶ ἀνάγνωθι τὸν πρῶτον κανόνα τῆς ἐν Ἀγκύρᾳ συνόδου, καὶ τὸν κζ' κανόνα τοῦ παρόντος ἁγίου Πατέρος. Διὰ γὰρ τοῦτο, ὡς οἶμαι, οὐδὲ οἱ κατὰ αὐθεντίαν βασιλικὴν ἀποκειρόμενοι δύνανται μετασχηματίζεσθαι προβαλλόμενοι τὸν παρόντα κανόνα τοῦ ἁγίου βασιλείου· ἀλλ' ἔσονται ἐξ ἀνάγκης μοναχοί, κἂν κατὰ βίαν ἀπεκάρησαν· ὥσπερ καὶ ἡ κατὰ βίαν φθαρεῖσα, ἐὰν ἦν διακόνισσα, ἐπιτιμίῳ μὲν οὐχ ὑποπεσεῖται, διακονικὸν δέ τι οὐκ ἐνεργήσει, διὰ τὸ παραχωρῆσαι Θεοῦ ἐμπεσεῖν εἰς κακόν, ἀφαιρούμενον ἐξ αὐτῆς τὴν διακονίσσης ἀξίαν.

BALS. Præsens edita est responsio ob ancillam quamdam, quæ a domino suo vim passa est. Dicit enim, quod quoniam et alia omnia stupra, quæ necessitate et vi perpetrantur, ab hostibus scilicet in captivas, et a personis quæ regunt, in eas personas quibus præsunt, necessario quoque ancilla, quæ vi cum suo domino rem habuit, non incidet in pœnas fornicatorum. Lege canonem primum sancti Dionysii archiepiscopi Alexandrini ex ejus sermone in Pascha. Hæc autem, ut mihi videtur, obtinebunt, quantum ad hoc, ut quæ stupratæ fuerunt, propter stuprum fornicationis supplicio afficiantur. Nam si per vim vel ignorantiam aliquis in rem inciderit, quæ eum a sacerdotali ministerio arceat, non adjuvabitur ex eo, quod non propria voluntate in hoc malum inciderit, ut sit deinceps cum sacratis; sed deponetur. Et lege primum canonem synodi Ancyranæ, et can. 27 præsentis sancti Patris. Propterea enim, ut existimo, nec qui imperatoria auctoritate tondentur, possunt transformari, habitumve mutare sancti Basilii præsentem canonem producentes; sed erunt necessario monachi, etiamsi vi tonsi fuere: quemadmodum et quæ vi stuprata est, si erat diaconissa, in pœnam quidem non incidet, sed nihil amplius diaconicum exercebit, quod ea Dei permissu in malum inciderit, quod ei aufert diaconicam auctoritatem.

ΖΩΝΑΡ. Τὰς βιαίως γινομένας φθορὰς γυναιξὶν οὐκ εἰς ἁμαρτίαν χρὴ λογίζεσθαι. Εἰ γὰρ δούλην τις οἰκείαν βιάσηται, ἡ δὲ ἄκουσα τῷ τοῦ δεσπότου ὑποκύψει θελήματι, οὐκ ἐπιτιμηθήσεται ὡς πορνεύουσα· οὔτε εἴ τις ἡρπάγη παρά τινος ἀκουσίως καὶ ἐφθάρη, καὶ ὅσαι ὁμοιοτρόπως ἐφθάρησαν.

ZONAR. Stupra quæ per vim mulieribus inferuntur criminis loco duci non oportet. Si etenim quis ancillam suam violaverit, ea vero invita domini voluntati succubuerit, nequaquam ut fornicaria multabitur: neque si quæ ab aliquo præter voluntatem rapta est, et corrupta, et quæcunque simili modo vitiatæ fuerunt.

ΑΡΙΣΤ. Φθορὰ κατηναγκασμένη ἀνεύθυνος· καὶ δούλη βιαζομένη παρὰ δεσπότου ἀνεύθυνος.

Ἡ βιασθεῖσα παρὰ τοῦ ἰδίου δεσπότου δούλη ἀνεπιτίμητος.

ARIST. Corruptio per vim admissa culpa vacat. Et ancilla a domino coacta insons est.

Si ancillæ vis a domino suo allata sit reprehensioni non est obnoxia.

ΚΑΝΩΝ Ν'.

Τριγαμίας νόμος οὐκ ἔστιν, ὥστε νόμῳ τρίτος γά-

108 CANON L.

Trigamiæ lex non est, quare lege tertium matrimo-

Digitized by Google

nium non approbatur. Verumtamen ea ut Ecclesiæ inquinamenta videmus : sed publicis condemnationibus non subjicimus, ut quæ soluta fornicatione sunt magis expetenda.

BALS. Cum audis sanctum dicentem non esse legem in trigamia, ne dixeris etiam a lege civili prohibere trigamiam : a lege enim concessa est. Sed ecclesiasticam hic legem intellige : legem autem civilem dic antiquam, quæ ante sanctum Patrem observabatur, non autem eam quæ multis post sæculis lata est, scilicet Porphyrogenetæ, et imperatoris domini Constantini decisionem, quæ sita est in quarto canone hujus sancti, quam etiam lege, ut dicit Zonaras. Neque enim fieri potest ut hoc dicat, quod in sancti mentem venire non poterat, utpote quod multis post sæculis factum est. Quod autem etiam a lege antiqua tertium matrimonium permissum est, lege lib. xxviii tit. 8, cap. 63, thema 6 et tit. 14, cap. 4. Nota autem, quod ex hoc præsenti canone apparet non dissolvi tertium matrimonium ut contra leges factum. Dicit enim, quod inquinamenta quidem Ecclesiæ tertia matrimonia omnino reputantur, ut quæ ab Ecclesia non permittuntur, si rogata fuerint. Publicis autem condemnationibus, seu manifestis divulsionibus non subjiciuntur, quod sint ejusmodi conjugia fornicatione meliora. Qui autem matrimonium ita contraxerunt, per polygamiam minus effuse peccant. Qui autem fornicantur, laxis habenis in vitia feruntur, ut qui indiscriminatim ex alia muliere ad aliam transeant.

ZONAR. Quarto etiam canone, hic sanctus, trigamiam polygamiæ nomine appellari dixit, et non matrimonium, quin potius castigatam fornicationem nuncupari : et hoc loco inquinamentum Ecclesiæ nominavit. Cæterum publice, inquit, hoc est aperte, ac sine tergiversatione ipsam minime condemnamus, eousque ut etiam dissolvatur ejusmodi matrimonium. Idcirco vero non dissolvitur, quod præ soluta fornicatione, incastigata nimirum et quæ ab alia ad aliam mulierem passim digreditur, est præoptandum, tanquam fornicatio quidem, verumtamen castigata, quippe cum vir una muliere sit contentus. Porro cum audis trigamiæ non esse legem, ecclesiasticam legem, ac spiritualem intellige. Per Novellam siquidem Porphyrogenetæ et Constantini, tertiæ nuptiæ, non sine nota tamen ac multis, permittuntur.

ARIST. Qui tertium contrahit matrimonium leges transgreditur. Hæc autem, ut Ecclesiæ inquinamenta, non sunt publice traducenda, tolerabiliora dissoluta fornicatione judicata.

Lex quidem politica tertias nuptias agnoscit, et filios ex eis susceptos pro legitimis habet, et ad hæreditatem vocat: At a canonibus tertiæ nuptiæ non admittuntur, sed istas ut Ecclesiæ inquinamentum habent. Sed quandoquidem licenter in fornicatione viventi sive dimissa sint magis expetendæ, publicis quidem condemnationibus non subjicitur : hoc est,

A μος οὐκ ἄγεται. Τὰ μέντοι τοιαῦτα ὡς ῥυπάσματα τῆς Ἐκκλησίας ὁρῶμεν· δημοσίαις δὲ καταδίκαις οὐχ ὑποβάλλομεν, ὡς τῆς ἀνειμένης πορνείας αἱρετώτερα.

ΒΑΛΣ. Ἀκούων τοῦ ἁγίου λέγοντος μὴ εἶναι νόμον ἐπὶ τριγαμίας, μὴ εἴπῃς καὶ ἀπὸ τοῦ νόμου τοῦ πολιτικοῦ κωλύεσθαι τὴν τριγαμίαν· ἐκκεχώρηται γὰρ ἀπὸ τοῦ νόμου. Ἀλλὰ νόμον ἐνταῦθα τὸν ἐκκλησιαστικὸν νόει· νόμον δὲ πολιτικὸν εἰπὲ τὸν παλαιὸν πρὸ τοῦ ἁγίου Πατρὸς κρατοῦντα, οὐ μὴν τὸν μεταγενέστερον κατὰ πολὺ, δηλονότι τὸν τοῦ Πορφυρογεννήτου καὶ βασιλέως κυρίου Κωνσταντίνου τόμον, τὸν καταστρωθέντα εἰς τὸν δ' κανόνα τούτου τοῦ ἁγίου, ὃν καὶ ἀνάγνωθι, καθὼς ὁ Ζωναρᾶς φησι. Τοῦτο γὰρ λέγειν ἀνένδεκτον, διὰ τὸ μηδὲ B εἰς ἔννοιαν τοῦ ἁγίου ἐλθεῖν τὸ μετὰ πολλὰς ἑκατονταετηρίδας γεγονός. Ὅτι δὲ ἀπὸ τοῦ παλαιοῦ νόμου ἐκκεχώρηται ὁ τρίτος γάμος, ἀνάγνωθι βιβλίον κη' τίτλου η' κεφ. ξγ' θέμα ς', τίτλου ιδ' κεφ. δ'. Σημείωσαι δὲ ὅτι καὶ ἀπὸ τοῦ παρόντος κανόνος ἀναφαίνεται ὅτι οὐ διασπᾶται ὁ τρίτος γάμος ὡς παράνομος. Φησὶ γὰρ ὅτι ῥύπασμα μὲν τῆς Ἐκκλησίας λογίσονται οἱ τρίτοι γάμοι πάντως, ὡς μὴ ἐκχωρούμενοι ὑπὸ τῆς Ἐκκλησίας, ἐὰν ἐρωτηθῶσι. Δημοσίαις δὲ καταδίκαις, ἤτοι φανεροῖς διασπασμοῖς, οὐχ ὑποβλέβληνται, διὰ τὸ εἶναι τὰ τοιαῦτα συνοικέσια κρείττονα τῆς πορνείας. Οἱ μὲν γὰρ οὕτω γαμήσαντες συνεσταλμένην ἁμαρτίαν διὰ τὴν πολυγαμίαν ποιοῦσιν· οἱ δὲ πορνεύοντες ἀνειμένην καὶ C ἐξηπλωμένην ἁμαρτίαν ἐργάζονται ὡς ἐξ ἑτέρας γυναικὸς εἰς ἑτέραν ἀδιαφόρως μεταβαίνοντες.

ΖΩΝΑΡ. Καὶ ἐν τῷ τετάρτῳ κανόνι ὁ ἅγιος οὗτος τὴν τριγαμίαν πολυγαμίαν ἔφησεν ὀνομάζεσθαι, καὶ μὴ γάμον, μᾶλλον δὲ πορνείαν κεκολασμένην· κάνταῦθα ῥύπασμα τῆς Ἐκκλησίας ἐκάλεσε. Πλὴν, φησὶ, δημοσίᾳ, ἀντὶ τοῦ φανερῶς καὶ ἀνυποστόλως, οὐ καταδικάζομεν αὐτήν· ὥστε καὶ διασπᾷν τὸ τοιοῦτον συνοικέσιον. Οὐ διασπᾶται δὲ, ὅτι παρὰ τὴν ἀνειμένην πορνείαν, τὴν ἀκόλαστον δηλαδὴ, καὶ ἐξ ἑτέρας γυναικὸς εἰς ἑτέραν μεταβαίνουσαν, αἱρετωτέρα ἐστὶν, ὡς πορνεία μὲν, κεκολασμένη δὲ, οἷα μιᾷ ἀρκουμένου τοῦ ἀνδρὸς γυναικί. Ἀκούων δὲ ὅτι τριγαμίας νόμος οὐκ ἔστιν, ἐκκλησιαστικὸν καὶ πνευματικὸν νόει νόμον. Ἀπὸ γὰρ Νεαρᾶς τοῦ Πορ- D φυρογεννήτου καὶ Κωνσταντίνου ἐφέρεται καὶ ὁ τρίτος γάμος, μετὰ μέντοι διαστίξεων καὶ ἐπιτιμίων.

ΑΡΙΣΤ. καν. νϚ'. Ὁ ἑκούσιος φονευτὴς εἰκοσαετίαν ὑποπιπτέτω· ὁ ἀκούσιος δεκαετίαν· ὁ μοιχὸς πεντεκαιδεκαετίαν· ὁ πόρνος ἑπταετίαν· αἱ παραπίπτουσαι μετὰ τὴν ὁμολογίαν παρθένοι πεντεκαιD δεκαετίαν.

Ὁ ἑκουσίως φονεύσας, μετὰ δὲ τοῦτο μεταμεληθεὶς, εἴκοσιν ἔτεσιν ἀκοινώνητός ἐστι τοῦ ἁγιάσματος. Τὰ δὲ εἴκοσιν ἔτη οὕτως οἰκονομηθήσεται ἐπ' αὐτῷ. Ἐν τέσσαρσιν ἔτεσιν ὀφείλει προσκλαίειν, ἔξω τῆς θύρας ἐστὼς τοῦ εὐκτηρίου οἴκου, καὶ τῶν εἰσιόντων πιστῶν δεόμενος εὐχὴν ὑπὲρ αὐτοῦ ποιεῖσθαι, ἐξαγορεύων τὴν ἰδίαν παρανομίαν· μετὰ δὲ ταῦτα τὰ τέσσαρα ἔτη εἰς τοὺς ἀκροωμένους δεχθήσεται, καὶ ἐν πέντε ἔτεσι μετ' αὐτῶν ἐξελεύσεται·

Guill. Beveregii notæ.

(13) *Ὁ ἀκουσίως φονεύσας.* Scholiastes Harmenopuli, Τοὺς φονεῖς ὁ Νηστευτὴς, τοὺς μὲν ἑκουσίους, ἐπὶ πενταετίαν καταδικάζει· τοὺς δὲ ἀκουσίους ἐπὶ τριετίαν. *Homicidas Jejunator, voluntarios quidem in quinquagennium condemnat : non voluntarios autem ad triennium.* Harm. ep. an. s. 5, t. 5.

Digitized by Google

ἐν ἑπτὰ ἔτεσι μετὰ τῶν ἐν ὑποπτώσει προσευχομένων ἐξελεύσεται· ἐν τέσσαρσι συστήσεται μόνον τοῖς πιστοῖς, προσφορᾶς δὲ οὐ μεταλήψεται. Πληρωμένων δὲ τούτων, μεθέξει τῶν ἁγιασμάτων.

ΑΡΙΣΤ. καν. νζ'. Ὁ ἀκουσίως φονεύσας δέκα ἔτη ἀκοινώνητος ἔσται· ἤγουν δύο προσκλαίων, τρεῖς ἀκροώμενος, τέσσαρσιν ὑποπίπτων, ἑνὶ συνεστὼς, καὶ τῷ ἐξῆς εἰς τὰ ἅγια δεγόμενος. *Σαφὴς.*

A precantur, exibit. Quatuor cum fidelibus tantum consistet, oblationis autem non particeps erit. Hisce autem expletis de sacramentis participabit.

ARIST. Can. 57. Qui involuntarie quempiam occidit, decennio excommunicatus erit: nimirum biennio deflet, triennio audit, quadriennio substernitur, uno anno consistit: et deinceps ad sacra admittitur. *Perspicuus.*

ΚΑΝΩΝ ΝΗ'.

Ὁ μοιχεύσας ἐν ιε' ἔτεσιν (14) ἀκοινώνητος ἔσται τῶν ἁγιασμάτων· οἰκονομηθήσεται δὲ τὰ ιε' ἔτη ἐπ' αὐτῷ οὕτως· Ἐν δὲ μὲν ἔτεσι προσκλαίων ἔσται· ἐν ε' δὲ ἀκροώμενος· ἐν δ' ὑποπίπτων· ἐν δυσὶ συνεστὼς; ἄνευ κοινωνίας.

CANON LVIII.

Qui adulteravit, in quindecim annis sacramentis non communicabit. In his autem quindecim annis sic quoque dispensabitur: Quatuor annis erit deflens, quinque audiens, quatuor subtratus, in duobus consistens sine communione.

B

ΚΑΝΩΝ ΝΘ'.

Ὁ πόρνος ἐν ἑπτὰ (15) ἔτεσιν ἀκοινώνητος ἔσται τῶν ἁγιασμάτων, δύο προσκλαίων, καὶ δύο ἀκροώμενος, δύο ὑποπίπτων, καὶ ἐν ἑνὶ συνεστὼς μόνον· τῷ ὀγδόῳ δὲ δεχθήσεται εἰς τὴν κοινωνίαν

CANON LIX.

Fornicator septem annis sacramentis non communicabit, duobus deflens, et duobus audiens et duobus substratus, uno solo consistens, octavo autem ad communionem admittetur.

ΒΑΛΣ. Εἰ καὶ σαφέστατά εἰσι τὰ ἐν τοῖς παροῦσι δυσὶ κανόσι διορισθέντα, κατὰ τὴν φράσιν, ἀλλὰ κατὰ τὴν πρᾶξιν πάντη δυσχερέστατά εἰσιν· οὐδεὶς γὰρ κατὰ τὴν τούτων περίληψιν θεραπεύεται· καὶ εἰ μὴ τὸ ἄφατον ἔλεος τοῦ φιλανθρωπίνου Θεοῦ, ἀπώλετο ἂν πᾶσα σάρξ· μὴ ἐναντιωθῇ δέ σοι ὁ κβ' κανὼν τοῦ ἁγίου Πατέρος, λέγων τοὺς ἐξ ἁρπαγῆς φθείροντας γυναῖκας ἐπὶ τετραετίᾳ ἐπιτιμᾶσθαι. Ἐκεῖσε μὲν γὰρ ὁ ἅγιος τῶν πρὸ αὐτοῦ Πατέρων ἐδήλωσε τὴν διαταγήν· ἀρτίως δὲ τὴν οἰκείαν γνώμην ἐξήνεγκεν.

BALS. Etiamsi, quæ præsentibus duobus canonibus decreta, quod ad dictionem attinet, sunt clarissima, quantum tamen ad praxin, sunt omnino difficilia. Nemo enim ea, quæ illic continetur, ratione curatur: et nisi esset inenarrabilis homini clementis Dei misericordia, omnis caro periisset. Ne autem contrarius esse tibi videatur canon 22 sancti Patris, qui dicit, eos qui ex raptu mulieribus C stuprum afferunt quadriennio puniri. Illic enim sanctus ea, quæ a Patribus qui ipsum præcessere statuta sunt, ostendit; nunc autem suam sententiam protulit.

ΖΩΝΑΡ. Ἐν τῷ κβ' κανόνι ὁ ἅγιος οὗτος περὶ τῶν ἐξ ἁρπαγῆς φθειράντων γυναῖκας διαταττόμενος, καὶ προϊὼν λέγει· Ἔστι δὲ ἡ τῆς πορνείας ἐπιτίμησις ἐν τέσσαρσιν ἔτεσιν ὡρισμένη. Χρὴ δὲ τῷ πρώτῳ ἐκβάλλεσθαι τῶν προσευχῶν, καὶ προσκλαίειν αὐτὸν τῇ θύρᾳ τῆς ἐκκλησίας· τῷ δευτέρῳ δεχθῆναι εἰς ἀκρόασιν, τῷ τρίτῳ εἰς μετάνοιαν, τῷ τετάρτῳ εἰς σύστασιν μετὰ τοῦ λαοῦ, ἀπεχόμενον τῆς προσφορᾶς· εἶτα αὐτῷ ἐπιτρέπεσθαι τὴν κοινωνίαν τοῦ ἀγαθοῦ. Ἐνταῦθα δὲ ἑπταετίαν ὁρίζει τῆς πορνείας τὸ ἐπιτίμιον. Ἔοικεν οὖν ὁ αὐτὸς ἑαυτῷ ἐναντιοῦσθαι· ἀλλ' οὐκ οἶμαι. Τὴν μὲν γὰρ D

ZONAR. Vicesimo secundo hic sanctus vir cum de mulierum a se raptarum corruptoribus decretum edidisset, continuata mox oratione hæc habet: Est autem quatuor annorum præfinita fornicatoribus multa. Oportet autem eum primo anno a precibus expelli et deflere præ foribus ecclesiæ. Secundo autem ad auditionem admitti. Tertio ad pœnitentiam. Quarto cum congregationem cum populo abstinentiam ab oblatione, deinde ei permitti boni communionem. Hoc autem loco septennium fornicationi, multæ nomine decernit. Videtur ergo esse sibi ipsemet contrarius. Verum ego non ita censeo.

Guill. Beveregii notæ.

(14) *Ὁ μοιχεύσας ἐν ιε' ἔτεσιν.* Harmenopuli epitome hujus canonis his verbis concipitur. Ὁ μοιχεύσας πεντεκαιδεκαετίαν· τέσσαρα μὲν ἔτη προσκλαίων· πέντε δὲ ἀκροώμενος· τέσσαρα ὑποπίπτων· καὶ ἑνὶ συνεστώς. *Qui adulterium commisit, quindecim annis: quatuor quidem annis ploraus; quinque vero audiens; quatuor succumbens; et uno consistens.* In quam epitomen hoc habetur scholium: *Προσκλαίων·* ἤγουν ἔξω τῆς ἐκκλησίας ἱστάμενος, καὶ τῶν εἰσιόντων δεόμενος ὑπὲρ αὐτοῦ εὔχεσθαι. *Ἀκροώμενος·* ἤγουν ἔξω ἱστάμενος ἐν τῷ νάρθηκι. *Ὑποπίπτων·* ἤγουν ἐντὸς τῆς ἐκκλησίας ἱστάμενος, ὀπισθεν τοῦ ἄμβωνος, καὶ ἐξερχόμενος μετὰ τῶν κατηχουμένων. *Συνεστώς·* ἤγουν τοῖς πιστοῖς συνευχόμενος, τῶν ἁγιασμάτων μήπω ἀξιούμενος, εἰ μὴ μετὰ τοῦτο. *Plorans:* hoc est, stans extra Ecclesiam, et ingredientes orans, ut pro se preces fundant. *Audiens:* hoc est, stans foras in Narthece. *Succumbens:* hoc est, stans intra ecclesiam post ambonem, et cum catechumenis exiens. *Consistens:* hoc est, cum fidelibus orans, ad sacramenta nondum admissus, nisi post hoc. Harm. ep. can. sect. 5, t. 3

(15) *Ὁ πόρνος ἐν ἑπτά.* Scholiastes Harmenopuli, Τὸν πόρνον ὁ Νηστευτὴς ἐπὶ διετίαν καταδικάζει, εἰ μόνον μέχρις ἑσπέρας καθ' ἑκάστην νηστεύει, καὶ ξηροφαγεῖ, καὶ μετανοίας ποιεῖ σν'· τὸν δὲ μοιχὸν ἐπὶ τριετίαν, εἰ μόνον νηστεύει, καὶ ξηροφαγεῖ, καὶ μετανοίας ποιεῖ σν'. *Scortatorem Jejunator ad biennium condemnat, si duntaxat usque ad vesperam quotidie jejunet, et sicçis vescatur, et pœnitentias 250 peragat.* Harm. ep can. s. 5, t. 3

Digitized by Google

Quadriennii namque multam, veluti constitutionem a majoribus editam protulit : idque satis declaratur ex illis verbis : Est quatuor annorum præfinita fornicationis multa, a majoribus nempe nostris decreta. Septennium vero, tanquam ex sua ipse sententia explicavit : fornicationi ut aliis quoque criminibus graviorem pœnam injungens.

ARIST Can. 58. Adulter quindecim annis non communicabit. Quatuor deflens, quinque audiens, quatuor substratus et duobus consistens sine communione. *Perspicuus.*

ARIST. Can. 59. Fornicator septem, duobus deflens, duobus audiens, duobus substratus et uno consistens : octavo ad communionem admittetur. *Perspicuus.*

A τετραετίαν ὡς διαταγὴν τῶν πρὸ αὐτοῦ εἰσήνεγκε· καὶ τοῦτο δηλοῦται ἐκ τοῦ εἰπεῖν· Ἔστιν ἡ τῆς πορνείας ἐπιτίμησις ἐν τέσσαρσιν ἔτεσιν ὡρισμένη, ἤγουν παρὰ τῶν πρὸ ἡμῶν διατεταγμένη· τὴν δὲ ἑπταετίαν ὡς οἰκείαν γνώμην εἰσήγαγε, βαρύτερον κολάζων τὴν πορνείαν, ὡς καὶ ἄλλα τῶν ἁμαρτημάτων πολλά.

ΑΡΙΣΤ. καν. νη'. Ὁ μοιχεύσας δεκαπέντε ἔτη οὐ κοινωνήσει· τέσσαρα προσκλαίων, πέντε ἀκροώμενος, τέσσαρα ὑποπίπτων, καὶ δύο συνεστὼς ἄνευ κοινωνίας. *Σαφής.*

B ΑΡΙΣΤ. καν. νθ'. Ὁ πόρνος ἑπτά· δύο προσκλαίων, δύο ἀκροώμενος, δύο ὑποπίπτων, καὶ ἑνὶ συνεστὼς, τῷ ὀγδόῳ δεχθήσεται εἰς κοινωνίαν. *Σαφής.*

116 CANON LX

Quæ virginitatem professa a voto suo ac professione lapsa est, peccati adulterii tempus in sua vitæ dispensatione complebit. Idem et in iis qui vitam monasticam profitentur et labuntur.

BALS. Sæpe diximus, quod virgines mulieres dedicabantur ecclesiis cum laico amictu et ab episcopis nutriebantur, ut quæ et virgines manere et ecclesiis assidere profiterentur. Hanc ergo virginem, quæ hæc professa est, lapsa, seu fornicata est, decernit sanctus ut adulteram tractari seu puniri : et non solum eas, sed et monachas et monachos similiter post conversionem curari. Ne tibi autem videatur adversari can. 19 synodi Ancyranæ, decernens lapsas virgines pœnis digamorum subjici. Is enim a præsente canone sublatus est, qui est multo recentior : lege et can. 18 præsentis sancti Patris, et nota quod ex præsenti canone monachi qui fornicantur et non deponuntur, ut qui non habeant lectoris characterem a suo præfecto, vel episcopalem ordinationem, post defectionem, instar adulterorum puniuntur. Similiter etiam ascetriæ et monachæ. Lege et tit. 11 præsentis operis cap. 5, 8 et 9.

ZONAR. Ecce hic quoque vir sanctus gravius multiplici ratione punit eam quæ virginitatem professa, promissionem fefellisset. Cum enim undevicesimus Ancyranæ synodi canon, his plane verbis constet : Quicunque virginitatem profitentes, professionem suam irritam reddunt, ii bigamorum definitionem impleant : hic, peccati, inquit, adulterii tempus explebit. Est autem digamorum quidem multa, communionis annua privatio, adulterii vero ad quindecim annos protenditur. Consule decimum octavum canonem.

ARIST. Quæ virginitatem professa et lapsa est, adulteri tempus explebit. Idem et in iis qui vitam monasticam professi et lapsi sunt, observandum. *Perspicuus.*

ΚΑΝΩΝ Ξ'.

Παρθένος, ὁμολογήσασα καὶ ἐκπεσοῦσα τῆς ἐπαγγελίας, τὸν χρόνον τοῦ ἐπὶ τῆς μοιχείας ἁμαρτήματος ἐν τῇ οἰκονομίᾳ τῆς καθ' ἑαυτὴν ζωῆς πληρώσει. Τὸ αὐτὸ καὶ ἐπὶ τῶν βίον μονάζοντα ἐπαγγελλομένων, καὶ ἐκπιπτόντων.

ΒΑΛΣ. Πολλάκις εἴπομεν ὅτι παρθένοι γυναῖκες ἀνετίθεντο ταῖς ἐκκλησίαις μετὰ λαϊκοῦ σχήματος καὶ ἀνετρέφοντο παρὰ τῶν ἐπισκόπων, ὡς ἐπαγγειλάμεναι παρθενεύειν καὶ προσεδρεύειν ταῖς ἐκκλησίαις. Τὴν γοῦν παρθένον ταύτην τὴν ταῦτα ἐπαγγειλαμένην, ἐκπεσοῦσαν, ἤτοι πορνεύσασαν, ὁρίζει ὁ ἅγιος κατὰ τὰς μοιχαλίδας οἰκονομεῖσθαι ἤτοι C ἐπιτιμᾶσθαι, καὶ οὐ μόνον ταύτας, ἀλλὰ καὶ τὰς μοναχὰς, καὶ τοὺς μοναχοὺς ὁμοίως μετὰ ἐπιστροφὴν θεραπεύεσθαι. Μὴ ἐναντιωθῇ δέ σοι ὁ ιθ' κανὼν τῆς ἐν Ἀγκύρᾳ συνόδου, διοριζόμενος τὰς ἐκπεσούσας παρθένους τῷ ἐπιτιμίῳ τῶν διγάμων ὑποκεῖσθαι. Ἀνῃρέθη γὰρ ὑπὸ τοῦ παρόντος κανόνος μεταγενεστέρου ὄντος κατὰ πολύ. Ἀνάγνωθι καὶ τὸν ιη' κανόνα τοῦ παρόντος ἁγίου Πατέρος, καὶ σημείωσαι ὅτι ἀπὸ τοῦ παρόντος κανόνος οἱ πορνεύοντες μοναχοὶ καὶ μὴ καθαιρούμενοι, ὡς μὴ ἔχοντες σφραγῖδα ἀναγνώστου ἀπὸ τοῦ ἡγουμένου αὐτῶν, ἢ χειροτονίαν ἐπισκοπικὴν μετὰ ἀπόστασιν δεχόμενοι, κατὰ τοὺς μοιχοὺς ἐπιτιμῶνται. Ὡσαύτως καὶ αἱ ἀσκήτριαι καὶ αἱ μοναχαί. Ἀνάγνωθι καὶ τοῦ ια' τίτλου τοῦ παρόντος συντάγματος κεφ. ε', η' καὶ θ'.

ΖΩΝΑΡ. Ἰδοὺ κἀνταῦθα ὁ ἅγιος οὗτος βαρύτερον κατὰ τὸ πολλαπλάσιον κολάζει τὴν παρθενίαν ὁμολογήσασαν, καὶ ψευσαμένην τὴν ἐπαγγελίαν. Τοῦ γὰρ ἐννεακαιδεκάτου κανόνος τῆς ἐν Ἀγκύρᾳ συνόδου οὕτω ῥητῶς περιέχοντος· Ὅσοι παρθενίαν ἐπαγγελλόμενοι ἀθετοῦσι τὴν ἐπαγγελίαν, τὸν τῶν διγάμων ὅρον ἐκπληρούτωσαν· οὗτος, τὸν χρόνον, φησὶ, τοῦ τῆς μοιχείας ἁμαρτήματος ἐκπληρώσει. Ἔστι δὲ τὸ μὲν τῶν διγάμων ἐπιτίμιον ἀκοινωνησία ἐπὶ ἐνιαυτὸν, τὸ δέ γε τῆς μοιχείας ἐπὶ ἐνιαυτοὺς πεντεκαίδεκα. Ζήτει κανόνα ιη'.

ΑΡΙΣΤ. Ἡ παρθενίαν ὁμολογήσασα, καὶ ἐκπεσοῦσα, τὸν χρόνον τοῦ μοιχεύσαντος πληρώσει. Τὸ αὐτὸ καὶ ἐπὶ τῶν μονάζειν ἐπαγγειλαμένων, καὶ ἐκπεσόντων. *Σαφής.*

Digitized by Google

ΚΑΝΩΝ ΞΑ'. CANON LXI.

Ὁ κλέψας (16), εἰ μὲν ἀφ' ἑαυτοῦ μεταμεληθείς κατηγορήσει ἑαυτοῦ, ἐνιαυτὸν κωλυθήσεται μόνης κοινωνίας τῶν ἁγιασμάτων. Εἰ δὲ ἐλεγχθείη, ἐν ἔτεσιν ἕτεσιν, μερισθήσεται δὲ αὐτῷ ὁ χρόνος εἰς ὑπόπτωσιν, εἰς σύστασιν, καὶ τότε ἀξιούσθω τῆς κοινωνίας.

Qui furatus est, si ex se quidem pœnitentia motus seipsum accusaverit, anno a sola sacramentorum communione arcebitur. Sin autem convictus fuerit, duobus annis; tempus vero illi ad substrationem dividetur et ad consistentiam, et tunc communione dignus habeatur.

ΒΑΛΣ Οἱ θεῖοι κανόνες μετριώτερον κολάζουσι τοὺς ἐξομολογουμένους τὰ οἰκεῖα ἁμαρτήματα. Διὸ καὶ ὁ μέγας Βασίλειος τὸν μὲν ἐξομολογησάμενον ἢν ἐποιήσατο κλοπὴν διορίζεται μόνης κωλύεσθαι τῆς τῶν ἁγιασμάτων μεταλήψεως ἐφ' ἕνα ἐνιαυτόν, τὸν δὲ κατακριθέντα ὡς κλέπτην ἢ ἁλόντα ἐπὶ διετίαν ἐπιτιμᾶσθαι, μήτε δὲ ἐν προσκλαίοντος τόπῳ τοῦτον ἵστασθαι, μήτε ἐν ἀκροωμένου, ἀλλ' ἐν τῷ τοῦ ὑποπίπτοντος, καὶ τῷ τοῦ συνεστῶτος, καὶ μετὰ τὴν τῶν δύο χρόνων παραδρομὴν τῆς κοινωνίας τῶν ἁγιασμάτων ἀξιοῦσθαι. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Σὺ δὲ τὸν παρόντα εὔχου κανόνα μὴ ἐξικνεῖσθαι κατὰ τὸν ὁρισμὸν τοῦ κλέπτου τὸν λέγοντα· Κλέπτης ἐστὶν ὁ παρὰ γνώμην τοῦ δεσπότου τὸ ἀλλότριον ψηλαφῶν, ἐν εἰδήσει τοῦ λυπῆσαι αὐτόν. Οὐδεὶς γὰρ σχεδὸν τῶν ἐν τῷ βίῳ τυρβαζομένων, ὡς ἐμοὶ δοκεῖ, τῶν ἁγιασμάτων ἀξιωθήσεται, εἰ τοῦτο δοθῇ· ὅτι καὶ διακονιται μοναστηρίων, κἂν καὶ εὐλαβέστατοι ὦσι, παρὰ γνώμην τῶν καθηγουμένων αὐτῶν ἀπὸ τῶν διακονιῶν αὐτῶν ἰδιοῦνταί τι μέτριον εἰς ζωάρκειαν, ἢ καὶ πρὸς ἑτέρους μετατιθέασι, καὶ παῖδες ἀπὸ τῶν γονέων ὑποσυλῶσιν. Ἐῶ λέγειν ὑπὸ χεῖρα λειξουρίας, λαθραίας ὑποχρατήσεις τῶν ἀνηκόντων τοῖς κυρίοις αὐτῶν· Ἰλιὰς γάρ εἰσι ταῦτα κακῶν, καὶ μεγεθύνουσι τὸ κακόν· ἀλλ' ἐκφωνηθῆναι τὸν κανόνα εἰς τοὺς ἀναιδεῖς κλέπτας. Ἀνάγνωθι καὶ τὸ ξς' κεφ. τοῦ ιβ' τίτλου τοῦ ξ' βιβλίου λέγον· Ὁ κλέπτης, εἰ καὶ μεταμεληθεὶς ἀποδῷ τῷ δεσπότῃ τὸ πρᾶγμα, οὐ παύεται εἶναι κλέπτης.

BALS. Divini canones lenius puniunt eos qui sua peccata confitentur, et ideo statuit magnus Basilius, ut qui suum furtum confessus est, sola sacramentorum communione anno arceatur: is autem qui ut fur condemnatus est, vel in furto fuit deprehensus, biennio puniatur, nec in deflentis, nec in audientis, sed in substrati et consistentis loco ponatur et post duorum annorum lapsum sacramentorum communione dignus habeatur. Et canon quidem in his consistit. Tu autem opta, ne præsens canon secundum furis definitionem intelligatur, quæ dicit: Fur est, qui præter domini voluntatem aliena contrectat, sciens se eum molestia afficere. Nullus enim fere eorum qui in vita versantur sacramentis, ut mihi videtur, communicabit, si hoc datum fuerit. Nam monasteriorum quoque ministri, etiamsi sint religiosissimi, præter suorum præfectorum sententiam, aliquid sibi modicum e ministeriis suis ad vitam sustentandam privatim accipiunt, aut ad alios transferunt, et filii a parentibus subripiunt. Mitto servorum luxuriam, **117** clandestinas nempe subreptiones eorum, quæ ad dominos suos pertinent. Hæc sunt malorum filias et malum dilatant. Sed ut intelligatur editus hic canon in fures impudentes. Lege et cap. 66 tit. 12 lib. 60 quod dicit, Fur, etiamsi pœnitentia motus rem domino reddiderit, fur esse non desinit.

ΖΩΝΑΡ. Ὁ μὲν ἐξομολογούμενος ἀγνοουμένην κλοπὴν ἐνιαυτὸν τῆς τῶν ἁγίων δώρων κοινωνίας κωλύεται μόνης· ὁ δὲ ἐλεγχθείς, ἢ ἁλοὺς κλέπτων, ἐπὶ διετίαν ἐπιτιμᾶται. Οὔτε δὲ ἐν προσκλαίοντος τόπῳ, οὔτε ἐν ἀκροωμένου σταθήσεται, ἀλλ' ἐν τῷ τοῦ ὑποπίπτοντος καὶ συνεστῶτος· καὶ ἐν τούτοις ἡ διετία αὐτῷ μερισθήσεται· καὶ οὕτω τῆς κοινωνίας τῶν ἁγιασμάτων ἀξιωθήσεται.

ZONAR. Qui quidem furtum cum esset occultum, sponte confitetur, uno anno a sola communione arcetur; qui vero convictus, aut deprehensus fuerit, biennio multatur. Neque vero in flentis aut in audientis loco consistet, sed in substrati et consistentis: ac in duobus hisce locis ei biennii tempus dividetur, et sic sacramentorum communione dignus existimabitur.

ΑΡΙΣΤ. Ὁ κλέψας, καὶ μεταγνοὺς, ἐνιαυτόν· ἐλεγχθεὶς δὲ, καὶ ἕτερον ἕνα.

ARIST. Qui furatus est et resipiscit, annum, convictus autem et alterum annum excommunicatus erit.

Τῷ κλέψαντι, καὶ μὴ ἀφ' ἑαυτοῦ μεταμεληθέντι, καὶ ἣν ἐποιήσατο κλοπὴν ἐξομολογησαμένῳ, ἀλλ' ἐλεγχθέντι ὑπό τινων, τὸ τῆς διετίας ἐπιτίμιον οὕτως αὐτῷ ἐπιμερισθήσεται, ὥστε ἕνα χρόνον μετὰ

Furanti et de eo non resipiscenti, nec furtum quod fecit confitenti, sed ab aliis convicto, duorum annorum pœna ei sic dividetur: ut unum cum succumbentibus stet: secundo autem cum fidelibus

Guill. Beveregii notæ.

(16) Ὁ κλέψας. Constantini Harmenopuli epitome hujus canonis, Ὁ κλέψας καὶ ὁμολογήσας ἐνιαυτὸν κωλυθήσεται, ἐλεγχθεὶς δὲ δύο. *Qui furtum fecerit, et confessus fuerit, anno arcebitur: convictus autem biennio.* Scholium, Τὸν τοιοῦτον ὁ Νηστευτὴς ἐπὶ μ' ἡμέρας, κατεδικάζει· τὸν δὲ ἐλεγχθέντα, ἐπὶ μῆνας ἓξ. ξηροφαγοῦντα, καὶ μετανοίας ρ' ἑκάστης ἡμέρας ποιοῦντα. *Talem Jejunator ad 40 dies condemnat: convictum vero ad sex menses, quibus vesci debeat siccis, et pœnitentias 100 quotidie peragere.* Harm. ep can. s. 5, t. 3.

Digitized by Google

et cum iis in precibus communicet. Et sic post duos elapsos annos, communione dignus habeatur.

τῶν ὑποπιπτόντων ἵστασθαι· τὸν δὲ δεύτερον μετὰ τῶν πιστῶν, καὶ συγκοινωνεῖν αὐτοῖς τῶν εὐχῶν· καὶ οὕτω μετὰ τῆς διετίας παραδρομὴν ἀξιοῦσθαι τῆς κοινωνίας.

CANON LXII.

Qui suam in maribus turpitudinem ostendit, ei tempus dispensabitur illius qui adulterii scelus admisit.

CANON LXIII.

Qui in brutorum concubitu suam impietatem profitetur, eamdem rationem confitens observat.

BALS. Tanquam adulteros definit sanctus puniri masculorum concubitores et qui bruta ineunt omnes, postquam scilicet a malo defecerint et confessi fuerint. De masculorum autem concubitoribus. Lege etiam ultimum caput 37 tit. 60 lib. quod dicit: Iis qui bruta ineunt, seu pecora insiliunt, penis abscindatur.

ARIST. Can. 62. Qui cum maribus concumbit, ut adulter. *Perspicuus.*

ARIST. Can. 63. Qui in brutorum concubitu suam ostendit turpitudinem, similiter. *Perspicuus.*

CANON LXIV.

Perjurus undecim annis non erit communionis particeps: duobus annis deflens, tribus audiens, quatuor substratus, anno solum consistens et tunc communione dignus habebitur.

BALS. De perjuris lege cap. 18 tit. 13 præsentis operis, et quæ a nobis in illo scripta sunt.

ZONAR. In can. 62, 63, 64. Perspicui sunt hi canones, neque ulla explanatione indigent.

ARIST. Perjurus annos decem; duos deflens, tres audiens, quatuor substratus, unum consistens, et tunc communione dignus habebitur. *Perspicuus.*

118 CANON LXV.

Qui præstigias vel veneficium fatetur, is homicidæ tempore confitebitur, ita dispensatus, ut qui in unoquoque peccato seipsum convicit.

BALS. Præstigiæ quidem sunt, per solas incantationes, ac dæmonum invocationes quamcunque actionem facere. Veneficium autem est, per noxia pharmaca esculentum vel proculentum aliquid componere et hominem veneno perimere. Lege etiam cap. 20 tit. 13 præsentis operis, et quæ in eo sunt et cap. 25 tit. 9 operis ejusdem, et quæ in eo sunt.

ΚΑΝΩΝ ΞΒ'.

Ὁ τὴν ἀσχημοσύνην ἐν τοῖς ἄρρεσιν ἐπιδεικνύμενος τῷ χρόνῳ τοῦ ἐν τῇ μοιχείᾳ παρανομοῦντος οἰκονομηθήσεται.

ΚΑΝΩΝ ΞΓ'.

Ὁ ἐν ἀλόγοις τὴν ἑαυτοῦ ἀσέβειαν ἐξαγορεύων τὸν αὐτὸν λόγον ἐξομολογούμενος παραφυλάττεται.

ΒΑΛΣ. Κατὰ τοὺς μοιχοὺς (17) διορίζεται ὁ ἅγιος κολάζεσθαι τοὺς ἀρρενοκοίτας καὶ τοὺς ἀλογευομένους πάντας μετὰ ἀπόστασιν καὶ ἐξομολόγησιν τοῦ κακοῦ. Καὶ ἀνάγνωθι περὶ ἀρρενοκοιτῶν καὶ τὸ τελευταῖον κεφ. τοῦ λζ' τίτλου τοῦ ξ' βιβλίου, λέγον· Οἱ ἀλογευόμενοι, ἤτοι κτηνοβάται, καυλοκοπείσθωσαν.

ΑΡΙΣΤ. Καν. ξβ'. Ὁ ἀρσενοκοίτης, ὡς μοιχός. *Σαφής.*

ΑΡΙΣΤ. Καν. ξγ'. Ὁ ἐν ἀλόγοις τὴν αὐτοῦ ἀσέβειαν ἐξαγορεύων ὁμοίως. *Σαφής.*

ΚΑΝΩΝ ΞΔ'.

Ἐπίορκος (18) ἐν δέκα ἔτεσιν ἀκοινώνητος ἔσται· δυσὶν ἔτεσι προσκλαίων, τρισὶν ἀκροώμενος, τέσσαρσιν ὑποπίπτων, ἑνιαυτὸν συνεστὼς μόνον, καὶ τότε τῆς κοινωνίας ἀξιούμενος.

ΒΑΛΣ. Περὶ ἐπιόρκων ἀνάγνωθι τὸ ιη' κεφ. τοῦ ιγ' τίτλου τοῦ παρόντος συντάγματος καὶ τὰ ἐν ἐκείνῳ παρ' ἡμῶν γραφέντα.

ΖΩΝΑΡ. Οἱ κανόνες οὗτοι σαφεῖς εἰσιν, ἐξηγήσεως μὴ δεόμενοι.

ΑΡΙΣΤ. Ὁ ἐπίορκος δεκαετίαν· δύο προσκλαίων, τρεῖς ἀκροώμενος, τέσσαρας ὑποπίπτων, ἑνιαυτὸν συνεστώς· καὶ τότε τῆς κοινωνίας ἀξιούμενος. *Σαφής.*

ΚΑΝΩΝ ΞΕ'.

Ὁ γοητείαν (19) ἢ φαρμακείαν ἐξαγορεύων τὸν τοῦ φονέως χρόνον ἐξομολογήσεται, οὕτως οἰκονομούμενος, ὡς ἐν ἑκάστῳ τῷ ἁμαρτήματι ἑαυτὸν ἐλέγξας.

ΒΑΛΣ. Γοητεία μέν ἐστι, τὸ δι' ἐπῳδῶν καὶ ἐπικλήσεως δαιμόνων ποιῆσαί τινα πρᾶξιν οἱανδήτινα· φαρμακεία δὲ τὸ διὰ φαρμάκων δηλητηρίων συσκευάσαί τι βρώσιμον ἢ πόσιμον καὶ φαρμακεῦσαι ἄνθρωπον. Καὶ ἀνάγνωθι τὸ κ' κεφ. τοῦ ιγ' τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ, καὶ τὸ κε' κεφ. τοῦ θ' τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ.

Guill. Beveregii notæ.

(17) *Κατὰ τοὺς μοιχούς.* Hoc scholium in præsentem canonem, Theodoro Balsamoni hic attributum, in codice Amerbachiano Joanni Zonaræ totum ascribitur.

(18) *Ἐπίορκος.* Scholiastes Harmenopuli, Τοῦτον ὁ Νηστευτὴς ἐπὶ ἔτος ἓν ξηροφαγοῦντα, καὶ νηστεύοντα μέχρι; ἑσπέρας, καὶ μετανοίας ποιοῦντα σύ'. *Hunc Jejunator ad annum damnat, siccis vescentem, et jejunantem usque ad vesperam, et 250 pœnitentias peragentem.* Harmen. ep. can. s. 5, t. 3.

(19) *Ὁ γοητείαν.* Scholiastes Harmenopuli, Ὁ δὲ Νηστευτὴς τοὺς γόητας καὶ τοὺς φαρμακοὺς ἐπὶ τριετίαν καταδικάζει, μετὰ μετανοιῶν ἑκάστης ἡμέρας σν', καὶ νηστείας, καὶ σκληραγωγίας· ὁμοίως δὲ καὶ τὰς γυναῖκας τὰς ποιούσας περίαπτα, καὶ μαντευομένας. *Jejunator autem magos et venefícos ad triennium damnat, cum pœnitentiis quotidianis 250 cumque jejunio et rigida vivendi ratione. Similiter et mulieres, quæ amuleta faciunt, et quæ hariolantur.* Harmen. ep. can. sect. 5, tit. 3.

Digitized by Google

ΖΩΝΑΡ. Γοητεία μέν ἐστι τὸ δι' ἐπῳδῶν καὶ ἐπικλήσεως δαιμονίων ποιῆσαί τινα εἰς βλάβην ἑτέρων· οἷον εἰς πάρεσιν μελῶν, καὶ εἰς χρονίαν, ἢ καὶ διὰ βίου ὅλου κατάκλισιν, καὶ εἰς ἕτερα ὅμοια· φαρμακεία δὲ τὸ διὰ φαρμάκων δηλητηρίων ἢ τῶν φρενῶν ἐξιστᾷν τινας, ὅπερ καὶ ὁ ὑοσκύαμος δύναται· βοτάνη δ' ἐστὶν οὗτος, ἧς τὸ σπέρμα ὀλέθριον, ἢ ἄλλως βλάπτον. Εἰκότως δὲ κατὰ τοὺς φονεῖς οὗτοι ἐπιτιμῶνται· ὅτι αἱ μὲν γοητεῖαι καὶ ἐπικλήσεις δαιμόνων ἔχουσιν· αἱ δὲ φαρμακεῖαι ἢ ἀναιροῦσιν, ἢ τῶν φρενῶν ἐξιστῶσι, καὶ εὐκταῖον τὸν θάνατον ποιοῦσι τῷ πάσχοντι, εἴ ποτε ἀνανήψει· εἰ μὴ ἐκείνῳ, ἀλλὰ τοῖς γε προσήκουσι τῷ ἀνθρώπῳ. Φονέως δὲ χρόνον τοῦ ἑκούσιον τολμήσαντος φόνον φησὶν· ἤγουν εἰκοσαετίαν. A

ZONAR. Præstigiæ quidem sunt, cum per incantationes, atque invocationes dæmonum, aliqua in aliorum damnum efficiuntur: qualis est dissolutio tabesque membrorum, ac diuturna, aut etiam vitæ æqualis ægrotatio, ac decubitus, aliaque hujusmodi. Veneficium vero est cum vel per noxia pharmaca de potestate mentis homines dimoventur, quod etiam hyoscyamus præstat: est hoc porro herbæ genus, cujus semen perniciosum, aut alia ratione lædens. Cæternm haud immerito pœnis homicidarum ejusmodi homines subjiciuntur, quandoquidem præstigiæ scilicet dæmonum invocationes continent, veneficia vero aut interficiunt, aut de mentis potestate deturbant mortemque illi qui hæc patitur, optabilem faciunt, si quando forte resipiscat; ac si minus illi, certe iis qui hominem aliqua cognatione attingunt. Præfinitum porro homicidæ tempus, qui voluntariam cædem patravit; viginti annorum intellige.

ΑΡΙΣΤ. Ὁ γόης, καὶ ὁ φαρμακὸς, ὡς φονεύων. Τὸ τοῦ ἑκουσίου φονέως ἐπιτίμιον ἐπιγνώσονται οὗτοι. B

ARIST. Incantator et veneficus ut homicida. Hi voluntarii homicidæ pœnas persolvent.

ΚΑΝΩΝ ΞϚ'.

Ὁ τυμβωρύχος (20) ἐν δέκα ἔτεσιν ἀκοινώνητος ἔσται· ἐν δυσὶ προσκλαίων, ἐν γ' ἀκροώμενος, ἐν δ' ὑποπίπτων, ἑνιαυτὸν συνεστὼς, καὶ τότε ἐκχθησόμενος.

ΒΑΛΣ. Περὶ τυμβωρύχων ἀνάγνωθι τὸ κγ' κεφ. τοῦ ιγ' τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὸ κζ' κεφ. τοῦ θ' τίτλου τοῦ παρόντος συντάγματος.

ΖΩΝΑΡ. Τυμβωρύχος ἐστὶν ὁ τοὺς τάφους ἀνοίγων καὶ συλῶν τὰ τοῖς νεκροῖς συνθαπτόμενα· εἴη δ' ἂν καὶ ὁ τοὺς λίθους τῶν τάφων ἀφαιρούμενος. Ζήτει καὶ τοῦ Νύσσης κανόνα ἕβδομον.

C

ΑΡΙΣΤ. Ὁ τυμβωρύχος δεκαετίαν, ὡς ὁ ἐπίορκος.

CANON LXVI.

Qui sepulcra effodit decem annis carebit communione: duobus deflens, tribus audiens, quatuor substratus, uno consistens, et tunc admittendus.

BALS. De sepulcrorum effossoribus lege caput 23 tit. 13 præsentis operis et cap. 27 tit. 9 operis ejusdem.

ZONAR. Est τυμβωρύχος, qui sepulcra aperit, ac spoliat, quæ mortuorum cadaveribus apposita sunt detrahens: est etiam, quicunque lapides a sepulcris avellit. Quære et Nysseni canonem septimum.

ARIST. Qui sepulcrum effodit, decennium, ut perjurus.

ΚΑΝΩΝ ΞΖ'.

Ἀδελφομιξία τὸν τοῦ φονέως χρόνον ἐξομολογήσεται.

CANON LXVII.

Cum sorore coitus homicidæ tempore punietur.

ΚΑΝΩΝ ΞΗ'.

Ἡ τῆς ἀπειρημένης συγγενείας εἰς γάμον σύστασις, εἰ φωραθείη, ὡς ἐν ἁμαρτήμασιν ἀνθρώπων γινομένη, τὰ τῶν μοιχῶν ἐπιτίμια δέξεται.

CANON LXVIII.

Prohibitæ cognationis in matrimonium conjunctio, si deprehensa fuerit, ut quæ in hominum peccatis facta est, subibit adulterorum pœnas.

ΒΑΛΣ. Ἀνάγνωθι τὸ κθ' κεφ. τοῦ θ' τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὸ β' κεφ. τοῦ ιγ' τίτλου, καὶ βιβλίου ξ' τίτλου λζ' κεφ. οζ', λέγον· Οἱ πρὸς γάμον συναπτόμενοι, ἢ ἄλλως σαρκικῶς συμπλεκόμενοι, ἐξάδελφοι, καὶ οἱ ἐξ αὐτῶν τικτόμενοι παῖδες, καὶ μόνον, ἢ καὶ πατὴρ, καὶ υἱὸς πρὸς μητέρα καὶ θυγατέρα, ἢ δύο ἀδελφοὶ εἰς δύο ἀδελφὰς, ἢ δύο ἀδελφοὶ εἰς μητέρα καὶ θυγατέρα, ἢ ἀνεψιὸς εἰς τὴν γεγενημένην τοῦ θείου γυναῖκα, ἢ θεῖος εἰς τὴν γεγενημένην τοῦ ἀνεψιοῦ γυναῖκα πρὸς τῷ χωρισμῷ καὶ τυπτέσθωσαν. Καὶ ταῦτα μὲν οὕτως. Ἐπεὶ δὲ εἰς τὴν ἑρμηνείαν τοῦ β' κεφ. τοῦ ιγ' τίτλου D

Bals. Lege cap. 29 tituli 9 præsentis operis et cap. 2 tit. 13 et lib. LX. tit. 37 cap. 77 quod dicit: Qui matrimonio conjunguntur, vel alias carnaliter copulantur patrueles, fratres et liberi qui ex eis nascuntur et solum, vel etiam pater et filius cum matre et filia, vel duo fratres cum duabus sororibus, vel duo fratres cum matre et filia, vel consobrinus eum ea quæ fuit avunculi, vel avunculus cum ea quæ fuit uxor consobrini, **119** præter separationem etiam verberentur. Et hæc quidem hoc modo. Quia autem in interpretatione cap. 2 tit. 13 præsentis operis inter alia ostendimus, quod regium quidem jussum factum est, pro-

Guill. Beveregii notæ.

(20) Ὁ τυμβωρύχος. Harmenopuli epitome, Ὁ τυμβωρύχος, ὡς ὁ ἐπίορκος *Sepulcrorum effossor, ut perjurus.* Scholiastes in eumdem, Τοῦτον ὁ Νηστευτὴς ἐπὶ ἔτος ἓν καταδικάζει, μετὰ μετανοιῶν ἑκάστης ἡμέρας σ'. *Hunc Jejunator ad unum annum condemnat, cum pœnitentiis quotidianis* 200. Harm. ep. can. sect. 5, tit. 5.

Digitized by Google

hibens unum et eumdem duabus secundis sororibus patruelibus legitime conjungi, non fuit autem prius positum, sed et Ecclesia prohibet ejusmodi matrimonium; debes scire, quod postquam nos hæc scripsimus, tempore sanctissimi et universalis patriarchæ domini Theodosii, 30 Julii mensis indictionis XII facta est declaratio synodalis, quæ ad verbum sic habet: Sanctissimus metropolitanus Apro, frater et comministrer nostræ mediocritatis Romanus Artabasdus, allato synodaliter scripto quod hæc verbatim continebat: Puella quædam, quæ Irene dicitur, sponsalia contraxit cum quodam Joanne, nata decem annos. Cum autem dicta essent illicita illius sponsalia, facta est judiciaria declaratio permittens eos utique separari qui sponsalia contraxissent, quod essent, ut dictum est, sponsalia contra leges facta. Vult ergo Irene hodie legitime conjungi Theodoro, qui est Joannis secundus patruelis et interrogat, an habeat aliquod impedimentum, rogavit nostram mediocritatem et sacram fraternitatem, ut ab ea ediscerei, an nullum habeat impedimentum contractus, de quo scriptura facta est. Ab ea ergo et præsente fratrum congregatione audivit, quod ejusmodi contractus nullo modo est prohibitus. Quia enim quæ cum Joanne contracta sunt sponsalia, ut quæ propter Irenes ætatem consistere non possent, soluta sunt, recte Irene secundo ejus patruelis lege matrimonii conjungetur. Neque enim Irenem cognatam personam reputat Theodorus, nec cognationis vinculis ac finibus constringitur, eo quod sextum cognationis gradum excesserit.

τοῦ παρόντος συντάγματος παρεδηλώσαμεν μετὰ τῶν ἄλλων, ὅτι γέγονε μὲν πρόσταγμα βασιλικὸν κωλῦον τὸν αὐτὸν καὶ ἕνα δυσὶ δευτέραις ἐξαδέλφαις νομίμως συνάπτεσθαι, οὐκ ἔφθασε δὲ κατασταθῆναι, ἀλλὰ καὶ ἡ Ἐκκλησία κωλύει τὸν τοιοῦτον γάμον· ὀφείλεις εἰδέναι ὅτι μετὰ τὸ γράψαι ἡμᾶς ταῦτα γέγονεν εἰς τὴν ἐφημερίαν τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου Θεοδοσίου κατὰ τὴν λ' τοῦ Ἰουλίου μηνὸς τῆς ιβ' ἰνδικτιῶνος σημείωμα συνοδικὸν ἔχον κατὰ ῥῆμα οὕτως· Ὁ ἱερώτατος μητροπολίτης Ἄπρω ὁ ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος Ῥωμανὸς ὁ Ἀρτάβασδος ἔγγραφον προκομίσας συνοδικῶς τάδε κατὰ ῥῆμα διαλαμβάνον· Κόρη τις, Εἰρήνη καλουμένη, ἔλαβεν εὐχὴν μνηστείας μετά τινος Ἰωάννου, δεκαετὴς οὖσα τότε τὴν ἡλικίαν. Λαληθείσης δὲ τῆς περὶ τούτου ἀθεμίτου μνηστείας γέγονε σημείωμα δικαστικὸν ἐπιτρέπον διαζυγῆναι τοὺς τάχα μνηστευσαμένους διὰ τὸ εἶναι τὴν μνηστείαν, ὡς εἴρηται, παράνομον. Βούλεται οὖν σήμερον ἡ Εἰρήνη νομίμως συναφθῆναι τῷ Θεοδώρῳ δευτέρῳ ὄντι ἐξαδέλφῳ τοῦ Ἰωάννου, καὶ ἐρωτᾷ εἰ ἔχει τινὰ παρεμπόδισμόν, ἐξῆσε τὴν ἡμῶν μετριότητα καὶ τὴν ἱερὰν ἀδελφότητα μαθεῖν εἴπερ οὐκ ἔχει κωλύμην τινὰ τὸ περὶ οὗ γέγονεν ἡ γραφὴ συνάλλαγμα. Ἤκουσεν οὖν ἐξ αὐτῆς καὶ ἐκ τῆς παρουσιαζούσης τῶν ἀδελφῶν ὁμηγύρεως ὅτι τὸ τοιοῦτο συνάλλαγμα πανταχόθεν ἀκώλυτόν ἐστιν. Ἐπεὶ γὰρ ἡ μετὰ τοῦτο τελεσθεῖσα μνηστεία ὡς ἀνυπόστατος λέλυται διὰ τὴν τῆς Εἰρήνης ἀνηβότητα, καλῶς ἡ Εἰρήνη δευτέρῳ ἐξαδέλφῳ αὐτοῦ κατὰ νόμον γάμου συζευχθήσεται. Οὔτε γὰρ συγγενικὸν πρόσωπον τὴν Εἰρήνην λογίζεται ὁ Θεόδωρος, οὔτε τοῖς ἐξ ἀγχιστείας δεσμοῖς καὶ ὅροις συσφίγγεται, διὰ τὸ ὑπερβῆναι τὸν ἐξ ἀγχιστείας ἕκτον βαθμόν.

ZONAR. Si quis cum cognata persona, quam sibi matrimonio copulare legibus interdictum est, nuptias contraxerit, adulterii multa punietur, ipsæque nuptiæ dirimentur.

ZΩΝΑΡ. Ἐὰν γάμον τις συστήσεται ἐπὶ συγγενὲς πρόσωπον, πρὸς ὃ ἀπηγόρευται συνιστᾶν γάμον, τῇ τῆς μοιχείας ἐπιτιμίῳ κολασθήσεται, διασπωμένου καὶ τοῦ γάμου.

ARIST. Can. 67. Qui cum sorore miscetur, ut homicida.

Si quidem eorumdem parentum sit soror ex eodem patre et eadem matre ac ille connata, cui commiscetur frater, viginti annos ut homicida punietur, sed postquam ab illegitima et improba actione recessit. Si autem alterius tantum parentis sit soror, a patre solo aut a matre sola, triennio succumbet, et in decimo anno cum fidelibus admittetur, et cum iis alios duos annos ad preces congregatus, ex eo tempore boni communione dignus judicabitur, ut septuagesimus quintus canon statuit.

ΑΡΙΣΤ. Καν. ξ'. Ὁ ἀδελφόμικτος ὡς ὁ φονεύς.

Εἰ μὲν ὁμοθαλὴς ἐστιν ἡ ἀδελφὴ ᾗ συνεμίγη ὁ ἀδελφὸς, ἐκ τοῦ αὐτοῦ πατρὸς καὶ τῆς αὐτῆς μητρὸς συγγεννηθεῖσα αὐτῷ, ἐπὶ εἰκοσαετίαν, ὡς ὁ ἑκούσιος φονεὺς, ἐπιτιμηθήσεται, μετὰ δὲ τὸ ἀποστῆναι τῆς ἀθεμίτου καὶ παρανόμου πράξεως· εἰ δὲ ἑτεροθαλὴς ἐστιν ἡ ἀδελφὴ, ἀπὸ μόνου πατρὸς ἢ ἀπὸ μόνης μητρὸς, ἐπὶ τριετίαν ὑποπεσεῖται, καὶ τῷ δεκάτῳ ἔτει δεχθήσεται μετὰ τῶν πιστῶν, καὶ μετ' αὐτῶν ἕτερα δύο ἔτη συστὰς εἰς εὐχὴν, οὕτως ἔκτοτε τῆς τοῦ ἁγαθοῦ κοινωνίας ἀξιωθήσεται, καθὼς ὁ ἑβδομηκοστὸς πέμπτος κανὼν διαλαμβάνει.

ARIST. Can. 68. Prohibitum in consanguinitate matrimonium eadem qua adulterium pœna castigatur.

Quicunque propter cognationem matrimonii lege mulierem ducere prohibetur, hic si in eam peccaverit, adulterorum pœnas recipiet. Sed quoniam diversa sunt eorum qui in adulterii judicium cadunt supplicia, ad cognationis propinquitatem

ΑΡΙΣΤ. Καν. ξη'. Ὁ ἀπειρημένος ἐν συγγενείᾳ γάμος κατὰ μοιχόν.

Ὅστις κεκώλυται λαβεῖν νόμῳ γάμου γυναῖκα διὰ τὴν συγγένειαν, οὗτος, εἰ ἁμαρτήσει εἰς αὐτὴν, τὰ τῶν μοιχῶν ἐπιτίμια δέξεται. Ἐπεὶ δὲ διάφορά εἰσι τὰ ἐπιτίμια τῶν ὑποπιπτόντων τῷ τῆς μοιχείας κρίματι, πρὸς τὴν ἐγγύτητα τῆς συγγενείας δίκη-

Digitized by Google

ται ταῦτα. Αὐτίκα γὰρ, ὡς ὁ ἑβδομηκοστὸς ἕβδομος κανὼν καὶ ὁ ἑβδομηκοστὸς ὄγδοος διαλαμβάνουσιν, ὁ τὴν νόμιμον αὐτοῦ γυναῖκα καταλιπὼν, καὶ ἑτέραν ἀγόμενος, καὶ δύο ἀδελφὰς κατὰ διαφόρους καιροὺς λαβὼν εἰς συνοικέσιον, τῷ τῆς μοιχείας ὑπόκειται κρίματι, ἀλλ' οὐκ ἐπιτιμῶνται, ὡς ὁ μοιχεύσας μετὰ ὑπάνδρου, ἐπὶ πεντεκαίδεκα ἔτεσιν, ἀλλ' ἐπὶ ἑπταετίαν τῆς κοινωνίας εἴργονται, ἐνιαυτὸν προσκλαίοντες, διετίαν ἐπακροώμενοι, τριετίαν ὑποπίπτοντες, καὶ τῷ ἑβδόμῳ συνιστάμενοι τοῖς πιστοῖς.

A

ea accipit. Illico enim ut septuagesimus septimus canon, et septuagesimus octavus statuunt, qui legitimam suam uxorem derelinquit et aliam ducit, et qui duas sorores diversis temporibus in matrimonium accipit, adulterii judicio subjiciuntur, sed non puniuntur ut qui cum muliere viro subjecta adulteratus est, ad quindecim annos, sed septennium a communione arcentur, annum deflentes, biennium audientes, triennium succumbentes, et septimo cum fidelibus constituti.

ΚΑΝΩΝ ΞΘ'.

Ἀναγνώστης, ἐὰν τῇ ἑαυτοῦ μνηστῇ πρὸ τοῦ γάμου συναλλάξειεν, ἐνιαυτὸν ἀργήσας εἰς τὸ ἀναγινώσκειν δεχθήσεται, μένων ἀπρόκοπος. Κλεψιγαμήσας δὲ ἄνευ μνηστείας παυθήσεται τῆς ὑπηρεσίας. Τὸ αὐτὸ καὶ ὑπηρέτης.

B

120 CANON LXIX.

Lector, si cum sua sponsa ante matrimonium commercium habuerit, postquam anno cessaverit, ad legendum recipietur, manens non ulterius promovendus. Quod si absque desponsatione furtim coierit, cessabit a ministerio. Idem et minister.

ΒΑΛΣ. Ἀναγνώστου τινὸς συναφθέντος οἰκείᾳ μνηστῇ πρὸ τοῦ γάμου κατὰ θέλησιν καὶ αὐτῆς (τοῦτο γάρ ἐστι τὸ, συναλλάξειεν), ἠρωτήθη ὁ ἅγιος εἰ ὀφείλει ὁ τοιοῦτος· ὡς κλεψιγαμήσας εὐθύνεσθαι μετὰ τὸν γάμον; Ἔλεγον γάρ τινες ὡς, ἐπεὶ ἡ μνηστεία οὐκ ἔστι γάμος τέλειος (δύναται γὰρ τὸ λαβὸν μέρος τὸν τὴν μνηστείαν συνιστῶτα ἀρραβῶνα τοῦτον εἰς τὸ διπλοῦν, καὶ τὴν μνηστείαν λύειν), λογίζεται ὁ ἀναγνώστης μὴ μετὰ νομίμου γαμετῆς μιγῆναι, ἀλλὰ μετὰ ἐλευθέρας, κἀντεῦθεν συναριθμηθῆναι τοῖς κλεψιγαμήσασι. Φησὶν οὖν ὁ ἅγιος ὡς ὁ ἀναγνώστης οὗτος ὁ μετὰ τῆς οἰκείας μνηστῆς πρὸ τοῦ γάμου σαρκικῶς ἑνωθεὶς, καθὸ μὲν μετὰ τῆς μεμνηστευμένης αὐτοῦ συνεμίγη καὶ οὐχὶ μετὰ ἀλλοτρίας πάντη γυναικὸς, ὡς πορνεύσας οὐ λογισθήσεται· καθὸ δὲ οὐκ ἀνέμεινε καὶ τὴν τελείου γάμου τελεσιουργίαν, ὡς μικροψυχήσας κολασθήσεται, τουτέστιν ὀφορισθήσεται ἐπὶ ἕνα ἐνιαυτόν· εἶτα δεχθήσεται εἰς τὸ εἶναι μόνον ἀναγνώστην. Εἰς μείζονα γὰρ προκοπὴν οὐκ ἀναβιβασθήσεται, τουτέστιν, οὔτε διάκονος γενήσεται, οὔτε ἱερεὺς, πολλῷ δὲ πλέον ἐπίσκοπος. Ἐὰν δὲ, φησὶν, ἀναγνώστης συνέλθῃ μετά τινος γυναικὸς μὴ μνηστευθείσης ἴσως αὐτῷ, κἂν λόγους ἴσως ἐποιεῖτο μετ' αὐτῆς, ὥστε λαβεῖν αὐτὴν καὶ εἰς γυναῖκα ταύτην ἔσχεν, οὐ μόνον οὐ προκόψει, ἀλλὰ καὶ ἀπ' ἐντεῦθεν καθαιρέσει ὑποβληθήσεται, μὴ ὠφελούμενος ἐκ τοῦ μετὰ ταῦτα λαβεῖν αὐτὴν νόμιμον γαμετήν. Τὸ αὐτὸ δὲ ἔσται καὶ εἰ; ὑπηρέτην, ἤτοι καὶ εἰς ὑποδιάκονον. Καὶ οὗτος γὰρ τοιουτοτρόπως κλεψιγαμήσας καθαιρεθήσεται. Πρὸς δὲ τὸ ἐν φάκτον τὸ περὶ τῆς κλεψιγαμίας ἀπόδος τὸν περὶ τοῦ διακόνου διορισμὸν, μὴ μέντοι γε καὶ εἰς τὸ προκόπτειν τοῦτον μετὰ τὸ μιγῆναι τῇ οἰκείᾳ μνηστῇ εἴτε καὶ μή. Οὐ γὰρ ἐφεῖται ὑποδιακόνῳ, ὡς καὶ τῷ ἀναγνώστῃ μετὰ τὴν χειροτονίαν γυναῖκα μνηστεύεσθαι καὶ γάμον συναλλάττειν, διότι φησὶν ὁ τῶν ἁγίων ἀποστόλων κς' κανὼν ταῦτα· Τῶν εἰς κλῆρον προελθόντων ἀγάμων κελεύομεν βουλομένους γαμεῖν ἀναγνώστας καὶ ψάλτας μόνον. Εἰ δέ τις κλεψιγαμήσας, μετὰ ταῦτα ὑπηρέτης γέγονεν, ἐξωθείσθω τοῦ βαθμοῦ

C

D

BALS. Cum quidam lector cum sua sponsa ante matrimonium ejus voluntate congressus esset (id enim significat verbum συνάλλάξειεν) sanctus interrogatus est, an is debeat, ut qui furtim congressus est, castigari post matrimonium? Dicebant enim nonnulli, quod quoniam sponsalia non sunt perfectum matrimonium (potest enim pars, quæ accipit arrham, quæ sponsalia constituit, eam reddere duplicatam, et solvere sponsalia) existimatur lector non cum legitima uxore, sed cum muliere libera rem habere, et ideo cum iiis annumerari qui furtim coeunt. Dicit itaque sanctus, quod is lector, quia cum sua sponsa ante matrimonium carnaliter copulatus est, quia cum desponsata sibi, et non cum omnino aliena muliere coiit, tanquam fornicatus sit, non reputabitur. Sed quia non exspectavit perfecti matrimonii mysterium, ut qui pusillo animo sit, punietur, id est anno uno segregabitur: deinde admittetur ad hoc, ut sit solum lector. Ad majorem enim promotionem non proveherur, hoc est, neque diaconus erit, nec sacerdos, multo autem minus episcopus. Sin autem, inquit, lector cum muliere aliqua coierit, quæ non sit sibi desponsa, etsi cum ea forte locutus erat de ea accipienda in uxorem, etiamsi et post coitum eam in uxorem accepit, non solum non promovebitur, sed etiam eo ipso depositioni subjicietur, nihil ex eo adjutus, quod eam postea legitime uxorem acceperit. Idem autem erit etiam in ministrum seu hypodiaconum. Nam et is, cum eo modo furtim coierit, deponetur. Ad unum autem factum, quod est de furtivo coitu, refer quod de diacono definitur, non autem etiam ad hoc ut promoveatur, postquam cum propria sponsa coierit, vel non. Non enim permittitur hypodiacono, sicut et lectori, post ordinationem desponsam habere mulierem, et matrimonium contrahere, quoniam Apostolorum can. 26 hæc habet: Eorum qui ad clerum non ducta uxore pervenerunt, jubemus volentes solum lectores et cantores matrimonium contrahere. Si quis autem furtivo concubitu congressus, postea

Digitized by Google

minister factus sit, suo gradu exturbetur, cognito crimine. Et hæc quidem hoc modo. Scias autem, quod, quæ hoc canone continentur, in synodali judicio varie disceptata sunt, et dixerunt nonnulli hæc locum habuisse, quando sponsalia consensu contrahebantur et dissolvebantur. Nunc autem, quando non aliter contrahuntur nec solvuntur nisi iis modis et causis; quibus perfectum quoque matrimonium contrahitur et solvitur, hæc omnia exoleverunt. Unde nec permittitur alicui eorum, qui sunt ex tribunali morte vel aliqua alia causa ante nuptias a suo sponsa separato, alii mulieri conjungi, et is qui hoc fecerit, ut bigamus deponitur: similiter et lector qui in tale quid incidit, ad alium gradum non promovetur. Volebant autem eum quoque, qui hodie cum sua sponsa rem habuit, id impune fecisse, quod non possunt solvi sponsalia. Cum autem augustus ille et magnus drungarius dominus Stephanus Comnenus esset matrimonio jungendus dominæ Eudochiæ augusti illius et magni domestici domini Joannis filiæ, et prohiberetur, eo quod soror ejus domina Irene desponsa esset illi Augusto dom. Alexio in primis Augusti dom. Joannis inclyti Imp. filio, qui erat primus patruelis magni drungarii et fieri non poterat, ut duo primi patrueles duabus sororibus conjungerentur **121** synodice agitatum est tempore sanctissimi patriarchæ domini Nicolai Muzalonis, an ex eo impediatur magi drungarii contractus: statutum est autem non impediri, eo quod sponsalia perfecti matrimonii locum non teneant. Porro sanctissimus quoque patriarcha dominus Theodosius concessit Mesopotamitano dom. Michaeli, cui Maria quædam desponsa forte fuerat, et, quod ea ante matrimonium mortem obierat, aliam acceperat, ut alii sine præjudicio post mortem ejus conjungeretur, maxime cum et liberos haberet, et trigenta annos excessisset, dicens hoc non reputari trigamiam, utpote quod sponsalia pro perfecto matrimonio non sufficerent. Hæc autem idcirco statuta sunt, quod non dictum est affinitatem etiam inter partes desponsantes fuisse. Si enim affinitas fuisset, tale quippiam nunquam constitutum esset, ne manifestus incestus, et illegitimum matrimonium permitteretur. Quinetiam tali affinitate non interveniente, quandoquidem a can. 98 synodi in Trullo, et cap. 2 tit. 58, lib. LX et them. 3, cap. 12, tit. 37, ejusdem lib. LX, satis constat eum, qui alteri desponsatam duxerit, adulterii crimine teneri, quando et sponsalia tunc pœnæ solutione dissolvebantur, et non ut hodie matrimonio æquivalebant, dico quæ ita permittuntur non esse extra periculum, adstipulante etiam præsentis canonis auctoritate.

αὐτοῦ, διαγνωσθέντος τοῦ ἁμαρτήματος. Καὶ ταῦτα μὲν οὕτως. Ἰστέον δὲ ὅτι τὰ περὶ τοῦ τοιούτου κανόνος διαφόρως ἐλαλήθησαν εἰς τὸ συνοδικὸν δικαστήριον, καὶ εἶπόν τινες ὡς ταῦτα χώραν εἶχον, ὅτε ἡ μνηστεία συναινέσει συνίστατο καὶ ἐλύετο. Ἀρτίως δὲ ὅτε ἄλλως οὐ συνίσταται οὐδὲ λύεται εἰ μὴ κατὰ τοὺς τρόπους καὶ τὰς αἰτίας καθ' ἃς καὶ ὁ τέλειος γάμος συνίσταται καὶ λύεται, ταῦτα πάντα ἀπρακτοῦσιν. Ὅθεν οὐδὲ ἐφεῖταί τινι τῶν τοῦ βήματος θανάτῳ ἢ ἄλλῃ αἰτίᾳ ἐκ τῆς οἰκείας διαζευχθέντι μνηστῆς πρὸ τοῦ γάμου ἑτέρᾳ συνάπτεσθαι γυναικὶ, καὶ τὸν τοῦτο ποιήσαντα ὡς δευτερογαμήσαντα καθαιρεῖσθαι· ὡσαύτως καὶ τὸν ἐμπεσόντα εἰς τοιοῦτόν τι ἀναγνώστην μὴ προκοπτειν εἰς ἕτερον βαθμόν. Ἤθελον δὲ καὶ τὸν μιγέντα σήμερον μετὰ τῆς οἰκείας μνηστῆς ἀνεπιτίμητον πάντη συντηρεῖσθαι διὰ τὸ ἄλυτον τῆς μνηστείας. Τοῦ δὲ σεβαστοῦ ἐκείνου καὶ μεγάλου δρουγγαρίου κυρίου Στεφάνου τοῦ Κομνηνοῦ μέλλοντος συζευχθῆναι τῇ κυρίᾳ Εὐδοκίᾳ τῇ θυγατρὶ τοῦ σεβαστοῦ ἐκείνου καὶ μεγάλου δομεστίκου κυρίου Ἰωάννου, καὶ κωλυομένου διὰ τὸ τὴν αὐταδέλφην ταύτης κυρίαν Εἰρήνην μνηστευθῆναι τῷ σεβαστῷ ἐκείνῳ κυρίῳ Ἀλεξίῳ τῷ υἱῷ τοῦ πρωτοσεβάστου ἐκείνου κυρίου Ἰωάννου τοῦ ἀοιδίμου σεβαστοκράτορος, τῷ ὄντι πρώτῳ ἐξαδέλφῳ τοῦ μεγάλου δρουγγαρίου, καὶ ἀδύνατον εἶναι δύο πρώτους ἐξαδέλφους δυσὶν ἀδελφαῖς συνάπτεσθαι, ἐλαλήθη συνοδικῶς ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυρίου Νικολάου τοῦ Μουσάλωνος, εἰ ἐκ τούτου ἐμποδίζεται τὸ τοῦ μεγάλου δρουγγαρίου συνάλλαγμα· καὶ διεγνώσθη μὴ ἐμποδίζεσθαι, διὰ τὸ τὴν μνηστείαν τόπον τελείου γάμου μὴ ἐπέχειν. Καὶ ὁ ἁγιώτατος δὲ πατριάρχης κύριος Θεοδόσιος ἐξεχώρησε τῷ Μεσοποταμίτου κυρίου Μιχαὴλ μνηστευσαμένῳ Μαρίαν τινὰ τυχὸν, καὶ διὰ τὸ τελευτῆσαι ταύτην πρὸ τοῦ γάμου, ἑτέραν λαβόντι, ἀπροκριματίστως μετὰ τὸν ταύτης θάνατον ἑτέρᾳ συναφθῆναι, ἔχοντι καὶ ταῦτα παῖδας, καὶ τὸν τριακοστὸν ὑπεραναβάντι χρόνον, εἰπὼν μὴ λογίζεσθαι τοῦτο τριγαμίαν, ὡς τῆς μνηστείας μὴ ἀρκούσης ἀντὶ τελείου γάμου. Ταῦτα δὲ οὕτω διεγνώσθη διὰ τὸ μὴ λαληθῆναι καὶ γενέσθαι συνάφειαν μέσον τῶν μνηστήρων. Εἰ γὰρ γέγονε συνάφεια, οὐκ ἂν διεγνώσθη τοιοῦτόν τι, ἵνα μὴ προφανὴς αἱμομιξία καὶ ἀθέμιτος γάμος ἐγχωρηθῇ. Ὅπου γε καὶ συναφείας μὴ γεγονυίας, ἐπεὶ ἀπὸ τοῦ ἐννενηκοστοῦ ὀγδόου κανόνος τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ ἀπὸ τοῦ δευτέρου κεφαλαίου τοῦ πεντηκοστοῦ ὀγδόου τίτλου τοῦ ἑξηκοστοῦ βιβλίου, καὶ ἀπὸ τοῦ τρίτου θέματος τοῦ δωδεκάτου κεφαλαίου τριακοστοῦ ἑβδόμου τίτλου τοῦ αὐτοῦ ἑξηκοστοῦ βιβλίου, παρίσταται τὸ περὶ μοιχείας ἐγκλήματι καθίστασθαι ἔνοχον τὸν τὴν ἑτέρᾳ μνηστευσαμένην γήμαντα, ὅτε καὶ ἡ μνηστεία μετὰ δόσεως προστίμου ἐλύετο, καὶ οὐκ ἦν ἰσοδύναμος τῷ γάμῳ ὡς σήμερον, λέγω μὴ εἶναι ἀκίνδυνα τὰ οὕτως ἐγχωρηθέντα συνεργουμένῃ καὶ τῇ τοῦ παρόντος κανόνος δυνάμει.

ZONAR. Si cum sua sponsa lector rem habuerit ante matrimonium, etiam volente illa (id enim si-

ΖΩΝΑΡ. Ἐὰν τῇ οἰκείᾳ μνηστῇ ἀναγνώστης μιχθῇ πρὸ τοῦ γάμου, κἀκείνης θελούσης (τοῦτο γὰρ

Digitized by Google

δηλοῖ τὸ, συναλλάξει), ἐνιαυτὸν ἀφορίζεται, εἶτα δέχεται μὴ προβιβαζόμενος εἰς μείζονα βαθμόν. Ἐὰν δὲ ἀνευμνηστείας συνέλθῃ γυναικὶ, κἂν λόγους ἴσως ἐποιεῖτο μετ' αὐτῆς, ὥστε λαβεῖν αὐτὴν εἰς γυναῖκα, κἂν συνεζύγη αὐτῇ μετὰ ταῦτα, ἐκπίπτει τῆς ὑπηρεσίας. Τὸ αὐτὸ δέ φησι καὶ περὶ ὑπηρέτου, ἤγουν ὑποδιακόνου. Πρὸς δὲ τὸ ἓν φάκτον ἀποδοτέον τὸ περὶ τοῦ ὑποδιακόνου, ἤγουν τὸ ἐκπίπτειν αὐτὸν τῆς ὑπηρεσίας κλεψιγαμήσαντα. Οὐ γὰρ ἐφεῖται ὑποδιακόνῳ μετὰ τὴν χειροθεσίαν γυναῖκας μνηστεύεσθαι καὶ γάμον συναλλάσσειν. Φησὶ γὰρ ὁ τῶν ἁγίων ἀποστόλων κανὼν κς' ταῦτα· Τῶν εἰς κλῆρον προελθόντων ἀγάμων κελεύομεν βουλομένους γαμεῖν ἀναγνώστας καὶ ψάλτας μόνον. Εἰ δέ τις κλεψιγαμήσας μετὰ ταῦτα ὑπηρέτης γέγονεν, ἐξωθήσεται τοῦ βαθμοῦ αὐτοῦ, διαγνωσθέντος τοῦ ἁμαρτήματος.

ΑΡΙΣΤ. Ὁ πρὸ γάμου συναλλάσσων ἀναγνώστης μνηστῇ μετ' ἐνιαυτὸν δεχθεὶς μενέτω ἀναγνώστης ἀπρόκοπος· κλεψίγαμος δὲ, ἀπωθείσθω. Τὸ αὐτὸ καὶ ὑπηρέτης.

Ἀναγνώστης γυναῖκα μνηστευσάμενος καὶ πρὸ τοῦ γάμου μετ' αὐτῆς συμφθαρεὶς, ἐπὶ ἐνιαυτὸν ἀργήσει, καὶ οὕτω δεχθήσεται εἰς τὸ ἀναγινώσκειν, εἰς μείζονα προκοπὴν μὴ προβιβαζόμενος, ἀλλ' ἐπὶ τοῦ αὐτοῦ μένων βαθμοῦ. Ὁ δὲ καὶ πρὸ τῆς μνηστείας κλεψιγαμήσας τέλεον τοῦ βαθμοῦ αὐτοῦ μετακινηθήσεται. Τὸ αὐτὸ δὲ ἐπιτίμιον καὶ εἰς τοὺς ἀχειροτονήτους ὑπηρέτας τῆς Ἐκκλησίας κρατήσει.

A gnificat verbum illud συναλλάξει) uno anno segregatus mox admittitur, ad majorem gradum nequaquam promovendus. Quod si absque desponsatione cum muliere congrediatur, et si forte de illa sibi uxore adjungenda cum ea verba fecerit, etiamsi et postea eam duxerit, a ministerio excidit. Idem vero ait etiam de ministro nempe hypodiacono. Ad unum porro factum referendum est, id quod de hypodiacono dicitur : nimirum, ut a ministerio excidat, si matrimonium furtim iniverit. Nec enim hypodiacono permittitur, post impositionem manuum mulierem sponsam assumere, cumque illa conciliare nuptias. Hæc namque habet sanctorum apostolorum canon vicesimus sextus : Ex iis, qui non ducta uxore ad clerum promoti sunt, jubemus, B si velint, uxorem ducere lectores et cantores solos. Si quis autem postea minister furtim matrimonium inierit, ubi crimen agnitum fuerit, de suo gradu dejicietur.

ARIST. Lector qui ante nuptias rem cum sponsa habuit, post annum receptus, maneat lector ulterius non promovendus ; qui furtivum vero iniit matrimonium, expellatur. Idem et minister.

Lector feminam desponsans et ante matrimonium cum ea corruptus, annum otiosus erit, et sic ad legendum recipietur, ad majorem promotionem non procedens, sed in eodem persistens gradu. Qui autem et ante desponsationem furtim coierit, gradu suo perfecte movetur. Idem autem supplicium et in eos Ecclesiæ ministros qui nullam habuerunt manuum impositionem obtinebit. C

ΚΑΝΩΝ Ο'.

Διάκονος ἐν χείλεσι μιανθείς, καὶ μεχρι τούτου ἡμαρτηκέναι ὁμολογήσας, τῆς λειτουργίας ἐπισχεθήσεται· τοῦ δὲ μετέχειν τῶν ἁγιασμάτων μετὰ τῶν διακόνων ἀξιωθήσεται. Τὸ αὐτὸ δὲ καὶ πρεσβύτερος. Εἰ δέ τι πλεῖον φωραθείη τις ἡμαρτηκὼς, ἐν οἱῳ ἂν ᾖ βαθμῷ, καθαιρεθήσεται.

ΒΑΛΣ. Τὸν ἐν χείλεσι μιανθέντα διάκονον, ἢ ἱερέα, καὶ ἐξομολογησάμενον τὸ ἁμάρτημα, διορίζεται ὁ ἅγιος κωλύεσθαι τῆς ἱερουργίας, μὴ μέντοι γε δὲ καὶ τῆς τῶν ἁγιασμάτων μεταλήψεως ἀπείργεσθαι, ἀλλὰ μεταλαμβάνειν ἐντὸς τοῦ ἁγίου βήματος μετὰ τῶν ἰσοβάθμων αὐτοῦ ἱερέων ἢ διακόνων. Τὸν δὲ μὴ μέχρι τούτου ἡμαρτηκότα, ἀλλὰ καὶ εἰς πλέον ἐξολισθήσαντα, θέλει καθαιρεῖσθαι. Ταῦτα τοῦ κανόνος διοριζομένου, ἠρωτήθη πολλάκις, Τί ἐστι τὸ ἐν χείλεσι μιανθῆναι τὸν ἱερωμένον; Καί τινες εἶπον εἶναι τὸ μέχρι φιλήματος ἐμπαθοῦς καὶ ἐρωτικοῦ πρὸς γυναῖκα γινομένου ἡμαρτηκέναι τινὰ, κατὰ τὸ εὐαγγελικὸν ῥητὸν τὸ λέγον; *Ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοιχευσεν αὐτὴν.* Ἄλλοι εἶπον ὡς τινες τῷ ἀφροδισίῳ πυρὶ διακαῶς ἐκκαόμενοι ὡς κύλικι χρῶνται τῷ γυναικείῳ αἰδοίῳ, καὶ δι' αὐτοῦ (ὢ τοῦ

122 CANON LXX.

Diaconus, qui pollutus est in labris, et se eo usque peccasse confessus est, a ministerio prohibebitur : ut autem sit sacramentorum cum diaconis particeps dignus habebitur. Id ipsum autem presbyter quoque. Si quid autem amplius pecasse quis deprehensus fuerit, in quocunque sit gradu, deponetur.

BALS. Diaconum vel sacerdotem, qui in labris pollutus peccatum confessus est, decernit sanctus esse a sacro ministerio arcendum, non tamen esse a sacramentorum quoque participatione prohibendum, sed intra sacrum tribunal cum gradu sibi D æqualibus sacerdotibus vel diaconis communicare ei permittendum. Eum autem, qui non eo usque solum peccavit, sed amplius etiam lapsus est, vult esse deponendum. Hæc cum can. definiat, sæpe interrogatum est, Quid sit sacratum hominem in labris pollui ? et dicebant aliqui esse aliquem peccasse cum muliere ad lascivum et amatorium osculum, secundum evangelicum dictum, quod est, *Qui aspexit mulierem ad concupiscendum eam, mœchatus est cum ea* [1]. Alii dicebant, quod quidam Veneris igne ardenter inflammati, muliebri pudendo tanquam poculo utuntur, et per ipsum (o exsecrandi

[1] Matth. v, 28.

Digitized by Google

fugitli exsecrabilem potum) libunt, et labra sua polluunt. Alii dicebant: Nonnulli insano amore capti muliebre pudendum exosculantur, nec erubescunt, sed dicunt: Labra nostra penes nos sunt, quis nobis erit dominus? Ego autem legens Julium Pollucem, inveni eum in secundo libro scriptorum suorum de nominibus nominantem μυρτοχειλίδας, et χρημνώματα, et πτερυγώματα, quæ sunt hinc et illinc prominentes muliebri pudendi paries et membra. Doctissimus quoque Aristoteles in sua physiologia de partibus animalium ea labra nominat. Multi quoque, qui scripta amatoria conscripserunt, ea et hiare, et expuere, et lingulis instructa esse dicunt. Existimo ergo, quod qui est in sacris, si per istiusmodi labra pollutus fuerit, ut qui rem quidem valde exosam fecerit, ad tempus segregabitur, ut qui autem perfectum peccatum per coitum non commisit, non deponetur. Quia autem nonnulli dicunt, eum qui in labris pollutus est et confessus, debere deponi, quod dicat sanctus eum non oportere ministrare, dicimus sanctum hoc noluisse. Etsi enim videatur esse supplicium acerbius ejus qui in labris pollutus est, ex eo quod non tempus definitum prohibitionis ministerii, sed non jam etiam apparet depositio. Illum enim deponendum esse decrevit, qui majus aliquid per coitum perpetrarit.

A μύσους κατάπτυστον πόμα) πίνουσι, καὶ τὰ χείλη καταμιαίνουσιν. Ἕτεροι λέγουσιν ὡς τινες· ἐρωτομανοῦντες τὴν γυναικείαν καταφιλοῦσιν αἰσχύνην, καὶ οὐκ αἰσχύνονται, ἀλλὰ λέγουσι· Τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι· τίς ἡμῶν ἔσται κύριος; Ἐγὼ δέ, ἀναγινώσκων τὸν Ἰούλιον Πολυδεύκην, εὗρον ἐν τῷ δευτέρῳ βιβλίῳ τῶν ὀνομαστικῶν συγγραμμάτων αὐτοῦ, ὀνομάζοντα μυρτοχειλίδας, καὶ χρημνώματα, καὶ πτερυγώματα τὰ ἔνθεν κακεῖθεν μέρη καὶ μέλη τῆς γυναικείας αἰσχύνης. Καὶ ὁ σοφώτατος δὲ Ἀριστοτέλης ἐν τῇ περὶ ζώων μορίων φυσιολογίᾳ αὐτοῦ χείλη ταῦτα κατονομάζει. Καὶ πολλοὶ δὲ ἐρωτικὰ μουσουργοῦντες συγγράμματα κεχηνῆναι ταῦτά φασι, καὶ ἀποπτύειν, καὶ ἐπιγλωττίοις σεμνύνεσθαι. Νομίζω οὖν ὅτι ὁ διὰ B τοιούτων χειλέων ὁπωσδήποτε μιανθεὶς ἱερωμένος, ὡς μὲν ἔχθιστον ἐργασίαν πεποιηκὼς πρὸς καιρὸν ἀφορισθήσεται· ὡς δὲ τέλειον ἁμάρτημα διὰ συνουσιασμοῦ μὴ ποιησάμενος, οὐ καθαιρεθήσεται. Ἐπεὶ δέ τινες λέγουσι τὸν ἐν χείλεσι μιανθέντα καὶ ἐξομολογησάμενον ὀφείλειν καθαιρεῖσθαι, διὰ τὸ λέγειν τὸν ἅγιον μὴ λειτουργεῖν τοῦτον, φαμὲν ὅτι ἀβούλητόν ἐστι τοῦτο τῷ ἁγίῳ. Κἂν γὰρ ἐμφαίνεται δριμυτέραν εἶναι τὴν τιμωρίαν τοῦ ἐν χείλεσι μιανθέντος ἐκ τοῦ μὴ ὁρισθῆναι καιρὸν τῇ ἐπισχέσει τῆς λειτουργίας, ἀλλ' οὐκ ἤδη καὶ καθαίρεσις ἀναφαίνεται. Ἐκεῖνον γὰρ διορίζεται καθαιρεῖσθαι, τὸν καὶ πλέον τι ἔργον διὰ συνουσιασμοῦ πεποιηκότα.

ZONAR. Habet hic canon ambiguitatem, proinde a nonnullis quidem alio modo, ab aliis rursum aliter intelligitur. Alii siquidem pollutum labiis accipiunt, eum nimirum qui ad osculum usque lascivum et amatorium cum muliere processit. Est enim id quoque pollutio. Etenim si vel ipse consensus in peccatum solus rationem coinquinare existimatur, multo plus sane habebit impuritatis, si quis ad osculum usque lascivum progrediatur. Hunc ergo a ministerio prohiberi dicunt, hoc est, ad tempus segregrari, atque a diaconatus functionibus arceri, cum diaconis vero sacramentorum solummodo participem esse, quasi satis pœnarum luat ex eo quod ad tempus a ministerio prohibeatur. Atque ad hujus sententiæ confirmationem, verba quæ deincepe in eodem canone subjiciuntur adducunt, quibus, si D quispiam amplius peccaverit, deposi jubet. Ex eo asserentes sancti viri mentem declarari, temporaneam nempe prohibitionem decrevisse: ejusque prohibitionis tempus, exiguum videlicet illius arbitrio, cui peccatis emendandi cura mandata est, permisisse. Alii vero perpetuam esse prohibitionem **123** ac depositionem procul dubio asserunt. Proinde nec ullum quidem tempus definitum esse aiunt; verum ipsi cum diaconis communicandi potestatem esse factam ob levitatem criminis: qui vero gravius peccaverit, huic sancti viri decreto depositionem irrogatam, depositionis verbo perpetuam ejus, qui peccavit, e suo gradu dejectionem indicando. Ejusmodi enim homini nec cum diaconis

ΖΩΝΑΡ. Ὁ παρὼν κανὼν ἐν ἀμφιβολίᾳ ἐστίν, ἄλλως μὲν παρ' ἐνίων νοούμενος, ἑτέρως δ' αὖθις παρ' ἄλλων. Οἱ μὲν γὰρ τὸν χείλεσι μιανθέντα, ἤγουν τὸν μέχρι φιλήματος ἐμπαθοῦς, καὶ ἐρωτικῶς φθάσαντα πρὸς γυναῖκα· μίασμα γὰρ καὶ τοῦτο· εἰ γὰρ ἡ συγκατάθεσις εἰς ἁμαρτίαν λογίζεται μόνον ῥυπροῦσα τὸν λογισμὸν, πολλῷ πλέον εἴη ἂν ἀκαθαρσία, καὶ τὸ μέχρι φιλήματος ἐλθεῖν τινα ἐμπαθῶς γινομένου· ἐπισχεθῆναι τῆς λειτουργίας φασὶν, ἤγουν ἐπὶ καιρὸν ἀφορισθῆναι, καὶ κωλυθῆναι τῆς τοῦ διακονεῖν ἐνεργείας, μετέχειν δὲ μόνον τῶν διακόνων, ὡς ἀρκοῦντος εἰς τιμωρίαν τῷ καιρικῶς κεκωλύσθαι τῆς διακονίας. Καὶ εἰς σύστασιν τῆς γραφῆς κέχρηνται τῷ τὸν πλέον τι ἁμαρτήσαντα καθαιροῦντι, ἐκ τούτου λέγοντες δῆλοῦσθαι τὸν νοῦν τοῦ ἁγίου, ὅτι καιρικὴν ὥρισε τὴν ἐπίσχεσιν· τὸ τοῦ καιροῦ τῆς ἐπισχέσεως μέτρον καταλιπὼν τῇ κρίσει τοῦ οἰκονομοῦντος αὐτόν. Οἱ δὲ τὴν ἐπίσχεσιν διηνεκῆ λέγουσιν εἶναι καὶ καθαίρεσιν ἀντίκρυς. Διὸ μηδὲ καιρὸν φασὶν ὁρισθῆναι· τοῦ δὲ μετὰ τῶν διακόνων κοινωνεῖν ἀξιοῦσθαι αὐτὸν, διὰ τοῦ ἁμαρτήματος ἐλαφρότερον· τὸν δὲ καὶ εἰς πλέον προχωρήσαντα καθαιρεῖσθαι θεσπίσαι τὸν ἅγιον, διὰ τῆς καθαιρέσεως τὴν τελείαν ἔκπτωσιν τὴν ἐκ τοῦ οἰκείου βαθμοῦ τοῦ ἡμαρτηκότος παραδηλώσαντα. Τὸν τοιοῦτον γὰρ μηδὲ μετὰ τῶν διακόνων ἐντὸς τοῦ θυσιαστηρίου μεταλαμβάνειν, ἀλλὰ μετὰ τῶν λαϊκῶν. Ἐγὼ δὲ τῇ πρετίρᾳ τίθεμαι γνώμῃ, καὶ ὡς φιλανθρωποτέρᾳ, καὶ διὰ τὸν κανόνα τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, τὸν λέγοντα· Ἐὰν

Digitized by Google

πρόθηται τις ἐπιθυμῆσαι γυναικὸς συγκαθευδῆναι αὐτῇ, μὴ ἔλθῃ δὲ εἰς ἔργον αὐτοῦ ἡ ἐνθύμησις, φαίνεται ὅτι ὑπὸ τῆς χάριτος ἐρρύσθη. Εἰ γοῦν ὁ ἐπιθυμήσας συγκαθευδῆναι γυναικί, καὶ μέχρι κοίτης προβάς, εἰς ἔργον δὲ μὴ ἐξολισθήσας, ἀλλὰ πρὸ τῆς μίξεως εἰς ἑαυτὸν γένομενος, καὶ ἀποπηδήσας, καὶ τοῦ ἔργου ἀποσχόμενος, ὑπὸ τῆς χάριτος ῥυσθῆναι πιστεύεται, ὁ μόνῳ φιλήματι μιανθείς, καὶ εἰς πλέον μὴ ἀποχωρήσας, μᾶλλον ἂν πιστευθήσεται ῥυσθῆναι ὑπὸ τῆς χάριτος. Ὃν δὲ ἡ χάρις ἐρρύσατο, πῶς ἂν τις κατακρινεῖ; Καὶ ταῦτα βαρεῖαν οὕτω κατάκρισιν, ἤγουν ἔκπτωσιν τοῦ οἰκείου βαθμοῦ;

A intra septa altaris communicandi facultatem esse, sed una cum laicis. Ego vero priorem amplector sententiam, tum quia benignior est, tum ob synodi Neocæsariensis canonem, qui sic habet : Si quis proposuerit concupiscere mulierem ad dormiendum cum ipsa, ejus autem desiderium ad opus non venerit, videtur esse a gratia liberatus. Ergo si qui cum muliere dormire optavit atque usque ad concubitum processit, cæterum in opus minime est delapsus, verum priusquam illi commisceretur seipse collegit, ac se proripiens ab opere abstinuit, creditur a divina gratia esse liberatus; qui solo pollutus est osculo, nec ultra progressus est, multo magis a gratia liberatus esse existimabitur. Quem porro gratia liberavit, quonam modo quispiam condemnet? idque gravi adeo damnatione, quæ nimirum a proprio gradu depositionem contineat?

ΑΡΙΣΤ. Ὁμολογήσας; πρεσβύτερος ἢ διάκονος χείλεσι μιανθῆναι, τῆς λειτουργίας εἰρχθέντες, τῶν ἁγιασμάτων μετεχέτωσαν· εἰ δέ τι πλέον τούτου φανείη ἡμαρτηκώς, καθαιρεθήσεται.

B ARIST. Presbyter et diaconus confessi se labiis coinqu nato, a ministerio depulsi, sacramentorum sint participes. Si quid autem amplius quispiam peccasse deprehendatur, deponetur.

Τὸ ἐν χείλεσι μιανθῆναι διαφόρως ἑρμηνεύεται. Πλὴν ἐγγράφως παραδοθῆναι οὐ χρὴ διὰ τὸ τοῦ πράγματος αἰσχρόν. Εἴ τις δὲ τῶν διακόνων ἢ πρεσβυτέρων τῷ τοιούτῳ ἁμαρτήματι περιπέσῃ, κατὰ τὸν παρόντα κανόνα τὸ ἐπιτίμιον δέξεται.

Illud in labris pollutum esse varie intepretatur. Sed in scriptis tradi non oportet propter rei turpitudinem. Si quis autem e diaconis aut presbyteris in istiusmodi peccatum inciderit, supplicium juxta hunc canonem recipiet.

ΚΑΝΩΝ ΟΑ'.

'Ο συνεγνωκὼς ἑκάστῳ τῶν προειρημένων ἁμαρτημάτων, καὶ μὴ ὁμολογήσας, ἀλλ' ἐλεγχθείς, τοῦ τοσούτου χρόνου, εἰς ὃν ὁ ἐργάτης τῶν κακῶν ἐπιτετίμηται, καὶ αὐτὸς ἔσται ἐν ἐπιτιμίῳ.

CANON LXXI.

Qui uniuscujusque prædictorum peccatorum fuit conscius, et non confessus, sed convictus est, tanto tempore, quanto malorum effector punitus est, ipse quoque punietur.

ΒΑΣ. Τοὺς συνειδότας τισὶν ἁμαρτάνουσιν οἷα δή τινα ἁμαρτήματα, καὶ μὴ ὁμολογοῦντας αὐθαιρέτως; ταῦτα τοῖς ἐπισκόποις, ἀλλὰ συγκαλύπτοντες αὐτά, διορίζεται ὁ ἅγιος μετὰ ἔλεγχον πάντως νόμιμον παρομοίως τοῖς ἡμαρτηκόσι τὰ κακὰ ἐπιτιμᾶσθαι. Συνεγνωκότα δὲ ἐνταῦθα μὴ εἴπῃς τὸν ἔχοντα εἴδησιν μόνην, καὶ μὴ δυνάμενον κωλῦσαι, μηδὲ τὸν συμβουλευσάμενον χωρὶς κακοθελοῦς διαθέσεως· ἀλλὰ τὸν συμπράξαντα, ἢ συναιρόμενον, ἢ συμβουλευσάμενον μετὰ δόλου, ἢ ἔχοντα εἴδησιν καὶ δυνάμενον κωλῦσαι, καὶ μὴ κωλύσαντα. Φησὶ γὰρ τὸ β' θέμα τοῦ μη' κεφ. τοῦ ια' τίτλου τοῦ ξ' βιβλίου, ὅτι 'Ο γινώσκων τὸν κλέπτην, κἂν μὴ καταμηνύσῃ αὐτὸν, οὐκ ἔστι κλέπτης. 'Ο δὲ κρύπτων τὸν κλέπτην, κλέπτης ἐστί· καὶ τὸ β' θέμα τοῦ ν' κεφ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου· Σπουδὴ καὶ συμβουλὴ γίνεται, ὅταν διὰ τὴν ἔχθραν γένηται τοῦ κλεπτομένου. Ὥσπερ γὰρ ἡ κλοπὴ, οὕτω καὶ ἡ σπουδὴ χωρὶς δόλου κακοῦ οὐ γίνεται· καὶ συμβουλεύει μὲν ὁ τὴν κλοπὴν ὑποτιθέμενος, σπουδάζει δὲ ὁ ὑπηρεσίαν τινὰ καὶ βοήθειαν ἐπὶ τῇ κλοπῇ παρεχόμενος· καὶ ξγ' κεφ.· 'Ο δείξας τῷ φυγόντι τὴν ὁδὸν, οὐκ ἔστι κλέπτης· καὶ κεφ. γ' τοῦ ς' τίτλου τοῦ αὐτοῦ βιβλίου· 'Ο ἀδόλως συμβουλεύσας οὐκ ἐνέχεται, οὔτε ὁ παιγνιωδῶς· καὶ ὁ παλαιὸς τοῦ ια' κεφ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου· Ἀπὸ μόνης γὰρ συμβουλῆς οὐ τίκτεται φούρτι. Καὶ ὁ ἱεροψάλτης δὲ Δαβὶδ οὐ κολάζει τὸν θεωροῦντα κλέπτην ἢ μοιχὸν, ἀλλὰ τὸν συντρέχοντα, ἤγουν συμπράττοντα τῷ κλέπτῃ, καὶ

BAI.S. Qui conscii sunt nonnullis peccata aliqua C committentibus, nec hæc sua sponte episcopis confitentur, sed ea celant, statuit sanctus, post legitimam accusationem, eos æque puniri, ac qui mala perpetrarunt. Conscium autem hic ne dixeris eum qui solam habet scientiam, et prohibere non potest, nec eum qui consuluit absque improba affectione : sed eum qui opem et auxilium tulit, vel dolose consuluit; vel eum qui scit et potest prohibere, nec prohibuit. Dicit enim thema 2. cap. 48. tit. 11. lib. 60. quod qui novit furem, etiamsi eum non revelaverit, fur non est. Qui autem furem occultat, fur est. Et thema 2. cap. 51, ejusdem libri et tit. studio et consilio fit, quando fit, propter odium ejus cui furto quid auferetur. Sicut furtum enim ita et studium non fit sine dolo malo. Et consulit quidem, qui furtum suadet : studet autem, qui operam aliquam et auxilium ad furtum præbet. Et cap. 63. Qui fugienti viam ostenderit non est fur. Et cap. 3 : tit. 6. ejusdem lib : Qui sine dolo consuluit, non tenetur, nec qui per ludum. Antiqua quoque cap. 11. ejusdem libri et tit.: Ex solo enim consilio furti actio non nascitur. Sacer quoque psaltes David non punit cum qui furem vel adulterum aspectat, sed eum qui currit cum fure, vel ei fert auxilium, et eum qui dividit, hoc est, commune facit cum adultero peccatum. Qui ergo mali tantum habet scientiam, et non potest prohibere, et qui consuluit absque improba affectione non

Digitized by Google

punientur. **124** Qui autem scivit, et cum prohibere posset non prohibuit, et qui malo animo consuluit, multo autem magis qui opem tulit, punietur. Nota autem quod ubique confessio levat pœnam, probatio autem eam auget.

A τὸν συμμεριζόμενον, τουτέστι κοινωποιούμενον μετὰ τοῦ μοιχοῦ τὸ ἁμάρτημα. Ὁ γοῦν εἰδὼς μὲν μὴ ἔχων τοῦ κακοῦ καὶ μὴ δυνάμενος κωλῦσαι, καὶ ὁ συμβουλευσάμενος χωρὶς κακοβελοῦς διαθέσεως, οὐκ ἐπιτιμηθήσονται. Ὁ δὲ εἰδὼς, καὶ δυνάμενος κωλῦσαι, καὶ μὴ κωλύσας, καὶ ὁ κακοβελῶς συμβουλευσάμενος, πολλῷ δὲ πλέον ὁ συμπράξας τιμωρηθήσεται. Σημείωσαι δὲ ὅτι πανταχοῦ ἡ ἐξομολόγησις κουφίζει τὴν κλῆσιν· ὁ δὲ ἔλεγχος μεγαλύνει αὐτήν.

ZONAR. Cum [illegible]riminibus presbyterorum et diaconorum et aliorum qui in ecclesiasticis ordinibus constituti sunt, hucusque vir sanctus sermonem habuerit: nunc de iis, qui peccatorum illis conscii sunt, decernit, dicens: Si quis admissorum ab iis, quos enumeravimus, hominibus criminum B conscius fuerit, nec ea fuerit confessus, ac episcopo aperuerit, quinimo ea occulte, et cum sciret, silentio texisse et celasse ea sit convictus, tanto tempore, quanto is qui crimen admisit, ipse quoque punietur.

ZΩΝΑΡ. Εἰπὼν περὶ ἁμαρτημάτων πρεσβυτέρων καὶ διακόνων καὶ τῶν λοιπῶν ἐκκλησιαστικῶν ταγμάτων ὁ ἅγιος, νῦν καὶ περὶ τῶν συνειδότων αὐτοῖς ἁμαρτήματα διατάττεται λέγων, ὡς Ὁ συνειδὼς τισι τῶν εἰρημένων ἁμαρτήματα, καὶ μὴ ὁμολογήσας καὶ δῆλα θέμενος τῷ ἐπισκόπῳ αὐτὰ, ἀλλὰ συγκαλύπτων ταῦτα, ἐλεγχθεὶς δὲ ὅτι εἰδὼς ἐσιώπα καὶ συνέκρυπτε ταῦτα, ἐπὶ τοσοῦτον χρόνον καὶ αὐτὸς ἐπιτιμηθήσεται, ἐφ' ὅσον ὁ τὴν ἁμαρτιαν πεποιηκώς.

ARIST. Qui conscius est cuipiam, et celat, eidem pœnæ subjicitur.

Si quis conscius sit cuilibet peccatum aliquod ex prædictis peccatis admittenti, et illud non confiteatur, sed peccatum celasse convincatur; idem subibit supplicium, et tali tempore quale et quantum ipse malorum operator luet.

ΑΡΙΣΤ. Ὁ συνεγνωκὼς ἑκάστῳ καὶ ἀποκρύπτων τὸ ἴσον ἐπιτετίμηται.

Ἐάν τις σύνοιδέ τινι ἁμαρτάνοντι ἁμάρτημά τι τῶν προειρημένων ἁμαρτημάτων, καὶ οὐχ ὁμολογήσει αὐτὸ, ἀλλ' ἐλεγχθῇ τὸ ἁμάρτημα ἀποκρύπτων· τὸ αὐτὸ δέξεται ἐπιτίμιον, καὶ ἐν τοσούτῳ χρόνῳ, οἷον καὶ ὅσον ὁ τῶν κακῶν ἐργάτης ἐπιτετίμηται.

CANON LXXII.

Qui se vatibus, vel ejusmodi aliis tradit, ipse quoque homicidarum tempore punietur.

C

ΚΑΝΩΝ ΟΒ'.

Ὁ μάντεσιν ἑαυτὸν ἐπιδοὺς, ἢ τισι τοιούτοις, τὸν χρόνον τῶν φονέων καὶ αὐτὸς ἐπιτιμηθήσεται.

BALS. In cap. 35. tit. 9. præsentis operis, et in cap. 20. tit. 13. multa scripsimus de vatibus, magis, et similibus, et lege ea, et qui in iis capitibus declarantur canones et leges, et scies quomodo hi puniantur civiliter et ecclesiastice. Nunc autem sanctus decernit eos, qui se ejusmodi hominibus dedunt, homicidarum quoque tempore puniri. Quia autem nonnulli præsentem canonem interpretantes dicebant, eos sic quoque puniri debere, qui ad mulieres accedunt, quæ cum hordeo se quædam incerta, vel etiam futura revelare profitentur; dico esse differentiam vatum, et incantatricum vetularum quæ per incantationes simpliciores seducunt. Illi enim dæmones invocant: hæ vero virtutem D potius et sanctificationem simulantes, cum divinis canticis futura nonnunquam describunt, et quæ sunt obscura per hordeum proferunt; ut faciunt et quæ dicuntur κρίτριαι, et qui saccos pannosque induunt bene barbati et comati monachi. Ii enim et seducentes et seducti futura vaticinantur, tanquam ab angelica renuntiatione edocti. Debent itaque, qui non Deum negarunt, sed per improbitatem sanctitatem simulant, ut mihi videtur, mitius et non instar eorum qui Deum negaverunt, puniri. Sin autem dixeris hordei latrices et incantatrices aniculas dæmones invocare, eæ quoque necessario, ut magi et vates, extremo supplicio punientur. Lege et can. 83 præsentis sancti, et quæ in eo sunt.

ΒΑΛΣ. Ἐν τῷ ιε' κεφ. τοῦ θ' τίτλου τοῦ παρόντος συντάγματος, καὶ τῷ κ' κεφ. τοῦ ιγ' τίτλου, διάφορα ἐγράψαμεν περὶ μάντεων, μάγων, καὶ τῶν ὁμοίων, καὶ ἀνάγνωθι ταῦτά τε καὶ τοὺς ἐν τοῖς αὐτοῖς κεφ. δηλουμένους κανόνας τε καὶ νόμους, καὶ μάθῃς ὅπως οὗτοι κολάζονται πολιτικῶς τε καὶ ἐκκλησιαστικῶς. Ἀρτίως δὲ ὁ ἅγιος διορίζεται τοὺς ἀνατιθεμένους ἑαυτοὺς τοιούτοις τισὶ κατὰ τοὺς χρόνους τῶν φονέων ἐπιτιμᾶσθαι. Ἐπειδή τινες ἑρμηνεύοντες τὸν παρόντα κανόνα εἶπον ὀφείλειν οὕτως ἐπιτιμᾶσθαι καὶ τοὺς προσερχομένους γυναιξὶ μετὰ κριθῶν ἐπαγγελλομένας ἀνακαλύπτειν δῆλά τινα, ἢ καὶ μέλλοντα· λέγω ὅτι διαφορά ἐστι μάντεων γοητευτριῶν, καὶ γοητευτριῶν γραῶν διὰ ἐπασμάτων τοὺς ἁπλουστέρους ἀπατουσῶν. Οἱ μὲν γὰρ δαίμονας ἐπικαλοῦνται· αἱ δὲ, μᾶλλον ἀρετὴν καὶ ἁγιασμὸν ὑποκρινόμεναι, μετὰ θείων ψαλτῳδημάτων ἐνίοτε χειρογραφοῦσι τὰ μέλλοντα, καὶ κριθοφοροῦσι τὰ δῆλα, καθὼς ποιοῦσι καὶ αἱ λεγόμεναι κρίτριαι, καὶ οἱ σακκενδυτοῦντες καὶ οἱ ῥακενδυτοῦντες ἡγένειοι, ἡγκόμοι μοναχοί. Καὶ οὗτοι γὰρ πλανῶντές τε καὶ πλανώμενοι τὰ μέλλοντα προφοιβάζουσιν, ὡς ἐξ ὑποφητείας ἀγγελικῆς. Διά τοι τοῦτο ὀφείλουσιν οἱ μὴ ἀρνησάμενοι τὸν Θεὸν, ἀλλὰ διὰ λειτουργείαν ἀγιωσύνην ὑποκρινόμενοι, ὡς ἐμοὶ δοκεῖ, μετριωτέρως καὶ μὴ κατὰ τοὺς ἀρνησιθέους κολάζεσθαι. Εἰ δὲ εἴπῃς τὰ κριθοφόρα καὶ γοητευτοτόκα γραΐδια δαίμονας ἐπικαλεῖσθαι, ἐξ ἀνάγκης καὶ αὗται κατὰ τοὺς μάντεις καὶ μάγους ἐσχάτῳ ἐπιτιμηθήσονται. Ἀνάγνωθι καὶ τὸν πγ' κανόνα τοῦ παρόντος ἁγίου, καὶ τὰ ἐν αὐτῷ.

Digitized by Google

ΖΩΝΑΡ. Μαντεῖαι μὲν πάλαι ἦσαν αἱ περὶ τῶν ψευδωνύμων θεῶν γινόμεναι προρρήσεις, ἢ πρὸς ἐρωτήσεις ἀποκρίσεις· εἰ δὲ καὶ τὰ χρηστήρια ἐκλελοίπασι μετὰ τὴν σάρκωσιν τοῦ Κυρίου, ἀλλὰ καὶ νῦν γίνονται παρά τινων δι' ἐπῳδῶν καὶ ἐνεργείας δαιμονικῆς προρρήσεις, εἰ καὶ ψευδεῖς αἱ πλείους ἐλέγχονται· οἷαί εἰσι καὶ αἱ παρὰ γυναικῶν τινων γινόμεναι, αἳ κριθὰς ἐν χερσὶ τιθεῖσαι δι' ἐκείνων προλέγουσί τινα· ἄλλαι δὲ, σποδιᾷ ἐπικύπτουσαι, προμηνύουσί τινα μέλλοντα. Συναριθμείσθωσαν τούτοις καὶ οἱ ἐκ τῶν ἀστέρων προγινώσκειν λέγοντες τὰ ἐσόμενα, καὶ οἱ τούτοις χρώμενοι, οὓς πάντας τῷ ἐπιτιμίῳ τῶν φονέων καθυπάγει. A

ZONAR. Vaticinia olim erant, quæ falsis diis edebantur prædictiones, vel quæ ad quæstiones responsa dabantur. Porro, quamvis oracula post assumptam a Domino carnem defecerint, tamen his quoque temporibus, per incantationes et dæmonum ministeria, vaticinia quædam proferuntur; etiamsi mendacii pleraque convincantur : qualia sunt quæ a nonnullis mulieribus fiunt, quæ hordeum in manibus habentes, quædam per illud divinant; aliæ vero cineri incumbentes, futura quædam prædicunt. Adjungantur hisce præterea, qui se ex astris ventura nosse profitentur, et qui eos consulunt; quos quidem omnes, homicidarum pœnis multandos esse decernit.

ΑΡΙΣΤ. Ὁ μάντεσιν ἢ τοιούτοις τισὶν ἑαυτὸν δοὺς τὸν χρόνον τῶν φονέων οἰκονομηθήσεται. B

125 ARIST. Qui vatibus, vel ejusmodi aliis se tradit, homicidarum tempus ei constituetur.

Ὁ μὲν ἑαυτὸν ἐπιδοὺς μάντεσιν, ἢ γόησιν, ἢ φαρμακοῖς, ἐπὶ τῷ μαθεῖν τὴν κακοτεχνίαν αὐτῶν, ὡς ὁ ἑκουσίως φονεύων ἐπιτιμηθήσεται· ὁ δὲ πιστεύων μάντεσιν, εἰσάγων αὐτοὺς εἰς τὸν οἶκον ἑαυτοῦ ἐπὶ ἀνευρέσει καὶ καθάρσει φαρμακειῶν ἢ ἀποκαλύψει τινῶν ἀπορρήτων, ἐξαετίαν ἐπιτιμᾶται· ὡς ὁ ἑξηκοστὸς πρῶτος κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου διαλαμβάνει, καὶ ὁ ὀγδοηκοστὸς τρίτος τῆς ἀνὰ χεῖρας ταύτης τρίτης ἐπιστολῆς τοῦ μεγάλου Βασιλείου.

Qui se vatibus, aut præstigiatoribus, aut veneficis tradit, ut malas istorum artes discat, ut voluntarie occidens, punietur. Sed qui talibus fidem habet, eosque in domum suam introducit, ad veneficiorum inventionem aut purgationem, aut secretorum quorumdam revelationem, sexennium punietur. Ut sextæ in Trullo synodi canon 61 decernit, nec non 83 tertiæ hujus magni Basilii epistolæ quæ sub manu est.

ΚΑΝΩΝ ΟΓ'.

Ὁ τὸν Χριστὸν ἀρνησάμενος, καὶ παραβὰς τὸ τῆς σωτηρίας μυστήριον, ἐν παντὶ τῷ χρόνῳ τῆς ζωῆς αὐτοῦ προσκλαίειν ὀφείλει, καὶ ἐξομολογεῖσθαι χρεωστεῖ, ἐν τῷ καιρῷ ᾧ ἐκβαίνει τοῦ βίου ἁγιασμάτων ἀξιούμενος πίστει τῆς παρὰ Θεοῦ φιλανθρωπίας. C

CANON LXXIII.

Qui Christum negavit, et salutis mysterium transgressus est, eum toto vitæ suæ tempore oportet deflere, et confiteri convenit, in tempore quo e vita excedit, sacramento dignum habitum, propter fidem divinæ clementiæ.

ΒΑΛΣ. Ὁ μὲν κανὼν σαφής ἐστι. Διορίζεται γὰρ τοὺς ἀρνησαμένους τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ μὴ δεξαμένους τὸ μυστήριον τῆς ἐνσάρκου οἰκονομίας αὐτοῦ, προσκλαίειν καὶ ἐξομολογεῖσθαι παρ' ὅλον τὸν τῆς ζωῆς αὐτῶν χρόνον, κατὰ μόνας δὲ τὰς τελευταίας ἀναπνοὰς ἀξιοῦσθαι τῆς τῶν ἁγιασμάτων μεταλήψεως· τῆς δὲ ἐν Ἀγκύρᾳ συνόδου καὶ τοῦ ἁγίου ἱερομάρτυρος Πέτρου μηδένα τοιοῦτον καθυποβαλλόντων ἐσχάτῳ ἐπιτιμίῳ ἀκοινωνησίας, καὶ οἷον ἐναντιουμένων τῷ παρόντι κανόνι, εἰπὲ ὅτι ἀγάλογα ἔθεντο οἱ Πατέρες τὰ ἐπιτίμια πρὸς τοὺς ἰδίους καιρούς. Οἱ μὲν γὰρ ἦσαν ἐν καιροῖς σφοδρῶν διωγμῶν, ὅτε καὶ ἡ πίστις ἀστήρικτος ἦν, καὶ διὰ τοῦτο τοῖς παραπίπτουσι μετριώτερον προσεφέροντο, συγκαταβαίνοντες διὰ τὴν ἀνάγκην τῶν διωκτῶν· ὁ δὲ μέγας Βασίλειος, ἐν καιρῷ τυγχάνων ὅτε ἡ πίστις ἐπλατύνθη καὶ βεβαιοτέρα ἐγένετο, σφοδρότερον προσφέρετο τοῖς ἀρνουμένοις τὴν πίστιν. Ἢ εἰπὲ ὅτι οἱ μὲν Πατέρες διετάξαντο περὶ τῶν κατὰ βίαν τυραννικὴν ἀρνησαμένων τὸν Χριστὸν, καὶ διὰ τοῦτο κουφίζουσι τὰ ἐπιτίμια· ὁ δὲ παρὼν κανὼν διατάττεται περὶ τῶν ἑκουσίως καὶ χωρὶς ἀνάγκης τινὸς ἀρνησαμένων τὸν Χριστὸν, καὶ διὰ τοῦτο βαρεῖαν κόλασιν ἐπάγει αὐτοῖς. Τὸ δὲ προσκλαίειν τούτους καὶ ἐξομολογεῖσθαι δι' ὅλης τῆς οἰκείας ζωῆς λέγουσί τινες μὴ ἐκλαμβά- D

BALS. Canon quidem clarus est : statuit enim ut qui Christum Dominum nostrum negaverunt, et ejus quæ in carne fuit œconomiæ mysterium non susceperunt, defleant et confiteantur toto tempore vitæ suæ, in sola autem extrema respiratione digni habeantur sacramentorum participatione. Cum autem Ancyrana synodus, et sacrosanctus martyr Petrus extremo excommunicationis supplicio nemine subjiciant, et præsenti canoni veluti adversentur, dic quod Patres statuerunt pœnas suis temporibus convenientes. Qui enim erant temporibus vehementium persecutionum, quando etiam fides non erat valde stabilis, et propterea in eos qui labebantur, se mitius gerebant, una condescendentes propter persecutorum necessitatem. Magnus autem Basilius qui erat eo tempore quo fides dilatata firmiorque facta est, fuit vehementior in eos qui fidem negabant. Vel dic quod Patres quidem de iis statuerunt qui per vim tyrannicam Christum negarunt, et ideo pœnas mitigant. Præsens autem canon de iis decernit qui sua sponte, et sine aliqua necessitate Christum negaverunt, et propterea gravem illis pœnam inflixit. Illos autem deflere, et per totam vitam confiteri, dicunt nonnulli non accipi ad hoc ut ponantur in loco deflentium : Hoc enim, inquiunt, est a sancti misericordia,

Digitized by Google

et Dei clementia, quæ vincit omne peccatum, alienum; ideo volunt eos quidem deflere, et peccatum confiteri toto vitæ tempore, sed loca pœnarum peragrare secundum canones Ancyranæ synodi. Sed sacramentorum communione digni non habebuntur, nisi in extrema respiratione. Ei autem sententiæ assentior et ipse, ut humaniori, et quod nec sancti quidem verbis apparet eum qui sic peccavit statui in loco peccatorum deflentium.

A νεσθαι εἰς τὸ ἵστασθαι αὐτοὺς καὶ εἰς τὸν τόπον τῶν προσκλαιόντων. Τοῦτο γάρ, φησὶν, ἔξω τῆς συμπαθείας ἐστὶ τοῦ ἁγίου καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας τῆς νικώσης πᾶσαν ἁμαρτίαν· διὸ καὶ ἀξ οὗσι προσκλαίειν μὲν τούτους, καὶ ἐξομολογεῖσθαι τὸ ἁμάρτημα δι' ὅλης τῆς οἰκείας ζωῆς, τοὺς τόπους δὲ τῶν ἐπιτιμίων ἀνύειν κατὰ τοὺς κανόνας τῆς ἐν Ἀγκύρᾳ συνόδου· τῆς μέντοι μεταλήψεως τῶν ἁγιασμάτων οὐκ ἀξιωθήσονται εἰ μὴ ἐν ταῖς τελευταίαις ἀναπνοαῖς. Ταύτῃ δὲ τῇ γνώμῃ συντίθεμαι καὶ αὐτὸς, ὡς φιλανθρωποτέρᾳ, καὶ ὅτι οὐδὲ ἀπὸ τῶν ῥημάτων τοῦ ἁγίου ἀναφαίνεται τὸ ἵστασθαι τὸν οὕτως ἡμαρτηκότα εἰς τὸν τόπον τῶν προσκλαιόντων.

ZONAR. Hic quidem vir sanctus, indiscrete omnes qui Christianismum negaverunt, toto vitæ tempore, a communione arceri, ac deflere jubet. Alexandrinus vero archiepiscopus, et sanctus martyr Petrus, multa discrimina, in suis canonibus, eorum qui fidem negavere, constituit, ac varia tempora luendarum ab ipsis pœnarum decernit; toto autem vitæ tempore, neminem a communione arcet. Tum Ancyrana quoque synodus, quæ ipso quoque sancto martyre Petro antiquior est, multas eorum qui immolaverunt divisiones statuit, aliaque aliis tempora multarum præscribit; cæterum ad usque vitæ exitum, neminem a communione prohibendum esse definivit. Dixerit vero quispiam multas a Patribus pro temporum suorum ratione fuisse constitutas. Nam alii quidem temporibus vehementium persecutionum vixerunt, cum adhuc fides minus firmas **126** radices egisset, ac proinde cum iis qui lapsi fuerant, mitius agebant, una descendentes, ob necessitatem persecutionum. Magnus vero Basilius, cum per ea tempora viveret, quibus late fusa erat fides, ac firmior facta, res autem Græcorum in angustum valde contractæ, in eos qui fidem negassent severiorem se præbuit, quod sponte, et sine vi lapsi sunt, ac propterea toto vitæ tempore, communionis expertes ipsos manere jussit.

ZΩΝΑΡ. Ὁ μὲν ἅγιος οὗτος ἀδιαστίκτως πάντας τοὺς ἀρνησαμένους τὸν Χριστιανισμὸν διὰ βίου ἀκοινωνήτους εἶναι κελεύει καὶ προσκλαίειν· ὁ δὲ Ἀλεξανδρείας ἀρχιεπίσκοπος καὶ ἱερομάρτυς Πέτρος πολλὰς διαστίξεις τῶν ἀρνησαμένων τὴν πίστιν ποιεῖται ἐν τοῖς αὐτοῦ κανόσι, καὶ διαφόρους τοὺς τῶν ἐπιτιμίων χρόνους ἐπ' αὐτοῖς ὁρίζει· διὰ βίου δὲ οὐδένα ποιεῖ ἀκοινώνητον. Καὶ ἡ ἐν Ἀγκύρᾳ δὲ σύνοδος ἀρχαιοτέρα οὖσα καὶ τοῦ ἱερομάρτυρος ἁγίου Πέτρου διαιρέσεις πολλὰς τῶν ἐπιθυσάντων ποιεῖται, καὶ καιροὺς ἐπιτιμίων ἄλλους ἄλλοις ὁρίζει· μέχρι δὲ τελευτῆς οὐδένα ὥρισεν εἶναι ἀκοινώνητον. Εἴποι δέ τις ὅτι ἀνάλογα τὰ ἐπιτίμια ἔθεντο οἱ Πατέρες πρὸς τοὺς ἰδίους καιρούς. Οἱ μὲν γὰρ ἦσαν ἐν καιροῖς σφοδρῶν διωγμῶν, ὅτε ἔτι καὶ ἡ πίστις ἀστήρικτος ἦν· καὶ διὰ τοῦτο τοῖς παραπίπτουσι μετριώτερον προσεφέροντο, συγκαταβαίνοντες διὰ τὴν ἀνάγκην τῶν διωγμῶν· ὁ δὲ μέγας Βασίλειος ἐν καιρῷ τυγχάνων, ὅτε ἡ πίστις ἐπλατύνθη, καὶ βεβαιοτέρα ἐγένετο, τὰ δὲ τοῦ Ἑλληνισμοῦ εἰς στενὸν κατήντησαν κομιδῆ, τοῖς ἀρνουμένοις τὴν πίστιν σφοδρότερον προσεφέρετο, ὡς ἑκουσίως καὶ βίᾳ χωρὶς παραπίπτουσι, καὶ διὰ τοῦτο ἀκοινωνήτους αὐτοὺς διὰ βίου μένειν ὡρίσατο.

B

C

ARIST. Qui Christum negavit, totam vitam pœnitentiam aget.

Qui Christum negavit, totum vitæ suæ tempus deflere debet, et in vitæ exitu communione dignus judicetur.

ΑΡΙΣΤ. Ὁ ἀρνησίχριστος διὰ βίου μετανοεῖσθαι.

Ὁ τὸν Χριστὸν ἀρνησάμενος πάντα τὸν τῆς ζωῆς αὐτοῦ χρόνον ὀφείλει προσκλαίειν· ἐν δὲ τῇ ἐξόδῳ τοῦ βίου ἀξιούσθω τῆς κοινωνίας.

CANON LXXIV.

Si autem unusquisque eorum qui in prælictis peccatis fuere, confessus bonus evaserit, et is cui a Dei benignitate ligandi et solvendi credita est potestas, si fiat clementior, videns summam ejus, qui peccavit confessionem, ad diminuendum pœnarum tempus, non erit dignus damnatione, cum quæ est in Scripturis, nobis historia significet, quod qui cum majori labore confitentur, Dei misericordiam celerius apprehendant.

D

ΚΑΝΩΝ ΟΔ'.

Ἐὰν μέντοι ἕκαστος τῶν ἐν τοῖς προγεγραμμένοις ἁμαρτήμασι γενομένων σπουδαῖος γένηται ἐξομολογούμενος, ὁ πιστευθεὶς τῆς τοῦ Θεοῦ φιλανθρωπίας λύειν, καὶ δεσμεῖν, εἰ φιλανθρωπότερος γένοιτο, τὸ ὑπερβάλλον τῆς ἐξομολογήσεως ὁρῶν τοῦ ἡμαρτηκότος, εἰς τὸ ἐλαττῶσαι τὸν χρόνον τῶν ἐπιτιμίων, οὐκ ἔστι καταγνώσεως ἄξιος, τῆς ἐν ταῖς Γραφαῖς ἱστορίας γνωριζούσης ἡμῖν τοὺς μετὰ μείζονος πόνου ἐξομολογουμένους ταχέως τὴν τοῦ Θεοῦ φιλανθρωπίαν καταλαμβάνειν.

BALS. Ne quis propter temporarium pœnarum longitudinem tristitia afficiatur, dicit sanctus quod regionis pontifex, qui quemadmodum summo inter apostolos Petro regni cœlorum a Deo claves creditæ fuerunt, ligandique et solvendi potestatem ac-

ΒΑΛΣ. Ἵνα μή τις ἀκηδιάσῃ διὰ τὸ ἐπιτεταμένον τῶν χρονικῶν ἐπιτιμίων, φησὶν ὁ ἅγιος ὡς ὁ κατὰ χώραν ἀρχιερεὺς ὁ κατὰ τὸν ἐν ἀποστόλοις κορυφαιότατον Πέτρον τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν ἀπὸ τοῦ Θεοῦ ἐμπιστευθείς, καὶ ἐξουσίαν λα-

Digitized by Google

δῶν δεσμεῖν καὶ λύειν, ἐὰν ἴδῃ τὸν διά τι ἁμάρτημα ἐπιτιμηθέντα μετ' εὐχαριστίας τῶν ἐπιτιμίων τὴν θεραπείαν δεξάμενον, καὶ μετὰ θερμοτέρας σπουδῆς τὴν μετάνοιαν ἐπιδεικνύμενον, ἐλαττώσει τοὺς χρόνους τῶν ἐπιτιμίων, μὴ πτοούμενος κατάγνωσιν, ὡς ὅῆθεν παραβαίνων τὴν περὶ τῶν χρόνων τῶν ἐπιτιμίων κανονικὴν ἀκρίβειαν. Διδάσκει γὰρ ἡμᾶς ἡ Γραφὴ ὅτι εἰς τοὺς μετὰ μείζονος πόνου ἐξομολογουμένους ταχέως ἡ φιλανθρωπία καταλαμβάνει τοῦ Θεοῦ. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Σὺ δὲ ἀνάγνωθι τὸ λθ' κεφ. τοῦ θ' τίτλου τοῦ παρόντος συντάγματος, καὶ τοὺς ἐν αὐτῷ καταστρωθέντας νόμους, καὶ μάθῃς ὅτι διαφορά ἐστι τῶν ἀποφαινομένων δικαστῶν κολάσεις σωματικὰς κατὰ τὰ τῶν γεγονότων ὑπευθύνων ἐγκλήματα, καὶ τῶν ὁριζόντων ἐπισκόπων ἐπιτίμια ἐκκλησιαστικὰ κατὰ τῶν ἐξομολογουμένων ἁμαρτήματα ψυχικά. Οἱ μὲν γὰρ τὰς ὁρισθείσας ἀπὸ τοῦ νόμου ποινὰς οὔτε αὔξειν οὔτε μειοῦν δύνανται χωρὶς βασιλικῆς κελεύσεως· οἱ δὲ τὰ φορτία τῶν ἡμετέρων ἁμαρτιῶν ἀναδεχόμενοι, ὡς καὶ λόγους ὑπὲρ ἡμῶν τῷ Θεῷ μέλλοντες δώσειν, κατὰ τὸ δοκοῦν αὐτοῖς καὶ αὔξουσι καὶ μειοῦσι τὰ ἐπιτίμια, διά τοι τοῦτο καὶ ἐξουσίαν ἔχουσι μὴ μόνους τοὺς χρόνους τῶν ἐπιτιμίων ἐλαττοῦν, ἀλλὰ καὶ τὰ ἐπιτίμια μεταμείβειν. Κἂν γὰρ ἐπὶ τριετίαν τυχὸν ὁρισθῇ τὸν ἡμαρτηκότα τόδε τι μὴ κρεωφαγῆσαι, μηδὲ συστῆναι τοῖς πιστοῖς, ὡσαύτως μηδὲ μεταλαβεῖν τῶν θείων ἁγιασμάτων· ἀλλ' ὁ τὴν ἐξομολόγησιν δεξάμενος πρὸς τὴν ποιότητα τοῦ ἐπιτιμωμένου προσώπου, καὶ τὴν θερμότητα τῆς ἐξομολογήσεως αὐτοῦ, καὶ τὴν σπουδὴν τῆς μετανοίας, τάδε μὲν τῶν ἐπιτιμίων μετριάσει, ἕτερα δὲ πολλαπλασιάσει. Ὥστε μὴ ἐκληπτέον τὸν κανόνα, καθώς τινες εἶπον, εἰς μόνην ἐλάττωσιν τοῦ χρόνου τῶν ἐπιτιμίων, ἀλλὰ καὶ εἰς ἅπαν εἶδος ἐπιτιμίων. Τινὸς δὲ στρατιώτου περιπεσόντος ἑκουσίου φόνου ἐγκλήματι, παρὰ ἀρχιερέως τινὸς μετὰ μέτριον πάνυ καιρὸν ἐγγράφως ἀθωωθέντος, ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς δυσχεράνας ἐπὶ τῷ γενομένῳ, διωρίσατο ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυρίου Λουκᾶ σκοπηθῆναι συνοδικῶς, εἰ καλῶς τῷ στρατιώτῃ ἐπεφιλοτιμήθη ἡ τῶν ἐπιτιμίων ἀθώωσις, κατεσπουδασμένως οὕτω καὶ οἷον εἰπεῖν οὐ συμπαθῶς, ἀλλὰ προσπαθῶς. Τοῦ δὲ ἀρχιερέως τὸν παρόντα κανόνα προβαλλομένου καὶ ἑτέρους μετεωρίζοντας τόχα τὴν ἐπιφορτιζομένην αὐτῷ βαρεῖαν κουφότητα, ἡ ἁγία σύνοδος, τοὺς κανόνας ὀρθοτομήσασα κατὰ τὴν ἐνοῦσαν αὐτοῖς ἐκ τοῦ παναγίου Πνεύματος θειοτάτην ἔλλαμψιν, τὸν μὲν στρατιώτην καὶ αὖθις ἀλυκτοπέδαις ἐπιτιμίων κανονικῶν καθυπέβαλε· τὸν δὲ ἀρχιερέα μεζονι ὁρισμῷ ἀλειτουργησίας ἐστενοχώρησεν, εἰποῦσα ὡς τοῖς ἀρχιερεῦσι μὲν ἐφεῖται αὔξειν καὶ μειοῦν τὰ κανονικὰ ἐπιτίμια· ἀραχνιαίοις δὲ μίτοις δεσμεῖν τὰ καλωδίοις ἐντρίτοις καταδεσμεῖσθαι ὀφείλοντα οὐκ ἐνεδόθη. Λέγεται δὲ ὅτι καὶ διὰ τὴν τοῦ τοιούτου στρατιώτου ὑπόθεσιν ἐξέθετο ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς τὴν περὶ τῶν ἑκουσίων φονέων Νεαρὰν· ἣν καὶ ἀνάγνωθι ὄπισθεν καταστρωθεῖσαν, καὶ διαλαμβάνουσαν μετὰ τῶν ἄλλων καὶ ταῦτα·

cepit, si viderit eum qui propter aliquod peccatum pœna affectus est, cum gratiarum actione pœnarum medelam susceptisse, et ardentiore studio pœnitentiam ostendere, tempus pœnæ diminuet, non timens condemnationem tanquam qui utique canonicam temporis pœnarum definitionem transgrediatur. Docet enim nos Scriptura, quod qui jam majori labore confitentur, eos Dei misericordia celerius apprehendit. Et in his quidem canon. Tu autem lege cap. 39 tit. 9, præsentis operis, et leges quæ in ea sitæ sunt, et ex his scies quod est differentia inter judices, qui pronuntiant corporales punitiones adversus eos qui sunt criminibus obnoxii, et episcopos qui decernunt pœnas ecclesiasticas adversus eos qui animæ peccata confitentur. Illi enim pœnas a lege constitutas nec possunt augere, nec minuere sine jussu imperatoris. Illi vero nostrorum peccatorum onera suscipientes, tanquam Deo pro nobis rationes reddituri, et pro suo arbitratu pœnas et augent, et minuunt, et ideo in eorum est potestate non solum pœnarum tempora minuendi, sed etiam pœnas commutandi. Etsi enim verbi gratia constitutum est, ut qui hoc vel illud peccatum commisit carnem non comedat, nec cum fidelibus consistat, similiter nec sit divinorum sacramentorum per triennium particeps : qui tamen confessionem susçepit pro personæ cui pœna imponitur qualitate, et ejus confessionis vehementia, et pœnitentiæ studio, has quidem pœnas moderabitur, illas vero multiplicabit. Quare non est accipiendus hic canon, ut nonnulli dicebant, ad solam temporis pœnarum diminutionem, sed ad omne pœnæ genus. Cum autem quidam miles in voluntariæ cædis crimen incidisset, et a quodam antistite, post valde modicum tempus, datis scriptis, absolutus esset, potens et sanctus noster imperator, et dominus, id factum ægre ferens, statuit tempore sanctissimi illius patriarchæ domini Lucæ, ut synodaliter consideraretur, **127** an recte illi militi concessa esset a pœnis absolutio, tanto in eum studio et per quamdam non misericordiam, sed potius animi affectionem. Cum autem antistes præsentem canonem proponeret, et alios moderantes utique eam quæ illi objiciebatur nimiam pœnæ levitatem, sancta synodus, canones limitibus circumscribens, secundum divinissimam inspirationem, quæ ex sancto illis Spiritu inerat, militem quidem canonicarum pœnarum rursus compedibus subjecit : antistitem autem ad aliquantum temporis ab officio suspensione punivit, dicens quod antistitibus quidem licet pœnas canonicas augere, et diminuere : aranearum autem filis ligare quæ debent tribus rudentibus alligari, non concessum est. Dicitur autem, quod etiam propter illius militis causam edidit potens et sanctus noster imperator de voluntariis homicidiis novellam, quam etiam lege retro sitam, et hæc quoque cum aliis tractantem : De iis autem quæ ab illis fiunt, postquam ad sanctissimam Dei magnam Ecclesiam confugerint, imperialis mea majestas non scit perfecte, audit tamen quæ non bona sunt.

Digitized by Google

Περὶ δὲ τῶν γινομένων ἐπ' αὐτοῖς μετὰ τὸ προσδραμεῖν τῇ ἁγιωτάτῃ τοῦ Θεοῦ Μεγάλῃ Ἐκκλησίᾳ ἡ μὲν βασιλεία μου ἀκριβῶς οὐκ οἶδεν· ἀκούει δὲ ὅμως οὐκ ἀγαθά.

ZONAR. Postquam enumeravit magnus Basilius varia multarum tempora, pro varietate criminum accommodata, postremo rem totam antistitum arbitrio permittit. His namque ligandi et solvendi a Deo credita est potestas : ac siquidem illi, inquit, confitentes studio virtutis incitatos, atque in pœnis obeundis egregie alacres animadverterint, ac propterea definita a canonibus tempora contraxerint, nulla erunt accusatione digni. Etenim docent nos, inquit, sacræ Litteræ, eos qui majori cum labore confitentur, Dei misericordiam celerius apprehendere; quod in Manasse, et Ezechia, et aliis multis præterea contigisse, memoriæ proditum est.

ARIST. Is cui concredita est ligandi et solvendi potestas, quorumcunque e prædictis peccatorum magnam videns contritionem, tempus diminuet.

Supplicia quidem in unumquodque peccatum decreverunt, sed cui a Deo ligandi et solvendi concredita est potestas, ad confessionem cujusque et contritionem respiciens, si diminuerit suppliciorum tempus, non erit condemnatione dignus.

CANON LXXV.

Qui cum propria ex patre vel ex matre sorore pollutus est, in domum orationis ne permittatur accedere, donec ab iniqua et nefaria actione desistat. Postquam autem in horrendi peccati sensum et animadversionem venerit, triennio defleat, stans ad fores domus oratoriæ, et rogans populum ingredientem ad orationem, ut unusquisque pro ipso misericorditer ad Dominum intensas fundat preces. Postea autem alio triennio ad solam auditionem admittatur, et Scripturam ac doctrinam audiens ejiciatur, et nec oratione dignus habeatur. Deinde si quidem illam cum lacrymis exquisivit, et Domino cum cordis contritione, et valida humiliatione supplex procidit, detur ei substratio in aliis tribus annis : et sic postquam pœnitentiæ fructus dignos ostenderit, decimo anno in fidelium orationes suscipiatur, sine oblatione; et cum duobus annis una cum fidelibus ad orationem substiterit, sic deinceps dignus habeatur boni communione.

128 CANON LXXVI.

Idem est decretum in eos quoque qui suas nurus accipiunt.

BALS. Quo præsentes decernunt canones, quomodo punitur qui cum sua sorore rem habet,

ΖΩΝΑΡ. Ἀπαριθμησάμενος ὁ μέγας Βασίλειος διαφόρους χρόνους ἐπιτιμίων πρὸς διάφορα ἁμαρτήματα, τελευταῖον τὸ πᾶν τοῖς ἀρχιερεῦσιν ἀνέθετο. Οὗτοι γὰρ οἱ τὸ δεσμεῖν καὶ λύειν ἐμπιστευθέντες παρὰ Θεοῦ, καὶ εἰ ὁρῷεν οὗτοι, φησὶ, τοὺς ἐξομολογουμένους σπουδαίους ὄντας, καὶ θερμότητα ἐν τῇ μετανοίᾳ ἐπιδεικνυμένους, καὶ ἐλαττῶσι διὰ τοῦτο τοὺς ὡρισμένους χρόνους, οὐκ ἔσονται καταγνώσεως ἄξιοι. Διδάσκει γὰρ, φησὶν, ἡμᾶς ἡ Γραφὴ ὅτι τοὺς μετὰ μείζονος πόνου ἐξομολογουμένους ταχέως ἡ φιλανθρωπία τοῦ Θεοῦ καταλαμβάνει· ὅπερ ἐπὶ τοῦ Μανασσῆ γενέσθαι ἱστόρηται, καὶ ἐπὶ Ἐζεκίου, καὶ ἐπὶ ἄλλων πολλῶν.

ΑΡΙΣΤ. Ὁ δεσμεῖν καὶ λύειν ἐξουσίαν λαβὼν, οὑτινοσοῦν τῶν ἡμαρτηκότων ἐν τῶν προῤῥηθέντων μεγάλην ὀρῶν συντριβὴν, ἐλαττώσει τὸν χρόνον.

Τὰ μὲν ἐπιτίμια ἐφ' ἑκάστῳ ἐτέθησαν ἁμαρτήματι· ὁ δὲ παρὰ Θεοῦ πιστευθεὶς τὸ δεσμεῖν καὶ λύειν, πρὸς τὴν ἐξομολόγησιν καὶ τὴν συντριβὴν ἀφορῶν ἑκάστου, εἰ ἐλαττώσει τῶν ἐπιτιμίων τὸν χρόνον, οὐ καταγνώσεως ἔσται ἄξιος.

ΚΑΝΩΝ ΟΕ'.

Ὁ ἀδελφῇ ἰδίᾳ (21) ἐκ πατέρος ἢ ἐκ μητέρος συμμιανθείς, εἰς οἶκον προσευχῆς μὴ ἐπιτρεπέσθω παρεῖναι, ἕως ἂν ἀποστῇ τῆς παρανόμου καὶ ἀθεμίτου πράξεως. Μετὰ δὲ τὸ ἐλθεῖν εἰς συναίσθησιν τῆς φοβερᾶς ἁμαρτίας, τριετίαν προσκλαιέτω, τῇ θύρᾳ τῶν εὐκτηρίων οἴκων παρεστηκὼς, καὶ δεόμενος τοῦ λαοῦ εἰσιόντος ἐπὶ τὴν προσευχὴν, ὥστε ἕκαστον μετὰ συμπαθείας ὑπὲρ αὐτοῦ ἐκτενεῖς ποιεῖσθαι πρὸς Κύριον τὰς δεήσεις. Μετὰ δὲ τοῦτο ἄλλην τριετίαν εἰς ἀκρόασιν μόνην παραδεχθήτω, καὶ ἀκούων τῆς Γραφῆς καὶ τῆς διδασκαλίας ἐκβαλλέσθω, καὶ μὴ καταξιούσθω προσευχῆς. Ἔπειτα εἰ πέρ μετὰ δακρύων ἐξεζήτησεν αὐτὴν, καὶ προσέπεσε τῷ Κυρίῳ μετὰ συντριμμοῦ καρδίας καὶ ταπεινώσεως ἰσχυρᾶς, διδόσθω αὐτῷ ὑπόπτωσις ἐν ἄλλοις τρισὶν ἔτεσι. Καὶ οὕτως ἐπειδὰν τοὺς καρποὺς τῆς μετανοίας ἀξίους ἐπιδείξηται, τῷ δεκάτῳ ἔτει εἰς τὴν τῶν πιστῶν εὐχὴν δεχθήτω, χωρὶς προσφορᾶς. Καὶ δύο ἔτη συστὰς εἰς τὴν εὐχὴν τοῖς πιστοῖς, οὕτω λοιπὸν καταξιούσθω τῆς τοῦ ἀγαθοῦ κοινωνίας.

ΚΑΝΩΝ ΟΣ'.

Ὁ αὐτὸς τύπος καὶ περὶ τῶν τὰς νύμφας ἑαυτῶν λαμβανόντων.

ΒΑΛΣ. Οἱ παρόντες δύο κανόνες διατάττονται ὅπως ἐπιτιμᾶται ὁ συμφθειρόμενος ἀδελφῇ ἰδίᾳ,

Guill. Beveregii notæ.

(21) *Ὁ ἀδελφῇ ἰδίᾳ.* Scholiastes Harmenopuli, τὸν δὲ τοιοῦτον ὁ Νηστευτὴς ἐπὶ τριετίαν καταδικάζει, μετὰ νηστείας, καὶ ξηροφαγίας καὶ μετανοιῶν ἑκάστης ἡμέρας φ' τὸν δὲ εἰς νύμφην, ἐπὶ διετίαν μετὰ μετανοιῶν τ', ὁμοίως δὲ καὶ τὸν εἰς πενθερὰν· τὸ δὲ νῦν ἔχον, ἡ σύνοδος ἐπὶ ἓξαετίαν τοὺς τοιούτους καταδικάζει, ἅμα τοῖς γόνοις καὶ τοῖς ἀδρόφωσι. *Talem Jejunator ad triennium condemnat, cum jejunio, et siccorum esu, et pœnitentiis quotidianis* 500. *Qui vero cum nura* [*sua se polluit*] *ad biennium cum pœnitentiis* 300. *Similiter et qui cum socru. Verum ut nunc res est, synodus tales condemnat ad sexennium, una cum magis et homicidis.* Harm. ep. can. s. tit. 3.

Digitized by Google

κἂν μὴ ἐξ ἀμφοτέρων τῶν γονέων συνάπτηται αὐτῇ, ἀλλὰ ἐξ ἑνὸς (ἥτις λέγεται καὶ ἑτεροθαλὴς) καὶ ὅπως ἐπιτιμᾶται ὁ μιανθεὶς μετὰ τῆς νύμφης αὐτοῦ. Καὶ φασὶ τούτους ἐξωθεῖσθαι μὲν ἀπὸ τῆς ἐκκλησίας μέχρις ἂν τῆς ἁμαρτίας ἀπόσχωνται· μετὰ δὲ τὸ ἀποστῆναι οἰκονομεῖσθαι εἰς τοὺς δ' τόπους τῶν ἐπιτιμίων, καὶ οὕτως ἀξιοῦσθαι τῆς ἁγίας μεταλήψεως. Οἱ δὲ δ' τόποι ἀνύονται διὰ χρόνων δώδεκα. Ἀνάγνωθι καὶ τὸ δεύτερον κεφ. τοῦ ιγ' τίτλου τοῦ παρόντος συντάγματος· καὶ σημείωσαι ὅτι τοῖς ἀφισταμένοις οὐχὶ τοῖς ἔτι ἐμμένουσι τῇ ἁμαρτίᾳ δίδονται τὰ ἐπιτίμια. Τούτοις γὰρ ἀκοινώνητα παντελῶς εἰσι τὰ τῶν πιστῶν.

A etiamsi non ex ambobus ei parentibus conjuncta sit, sed ex uno (quæ etiam ἑτεροταλὴς dicitur), et quomodo punitur qui cum sua nuru polluitur, et dicit eos quidem debere extrudi ab Ecclesia donec a peccato abstinuerint : postquam autem destiterint, distribui in quatuor loca, eorum qui agunt pœnitentiam : et sic sancta communione dignos haberi. Quatuor autem loca duodecim annis perficiuntur. Lege et caput 2 tit. 13, præsentis operis, et nota quod iis qui desistunt, non iis qui perseverant in peccato, dantur pœnæ. His enim nihil quod sit fidelium, penitus communicatur.

ΖΩΝΑΡ. Ὁ ἀδελφῇ συμφθαρεὶς ἑαυτοῦ, κἂν μὴ ἐξ ἀμφοτέρων τῶν γονέων ἡ ἀδελφότης ἐστίν, ἀλλ' ἐξ ἑνὸς, πάντη ἐξωθεῖται τῆς Ἐκκλησίας, ἕως τῆς τοιαύτης ἁμαρτίας ἀπόσχηται. Ἀποσχόμενος δὲ οἰκονομεῖται ὡς ὁ κανὼν διατάττεται, προσκλαίων, ἀκροώμενος, ὑποπίπτων, συνεστώς· καὶ οὕτως ἀξιοῦται τῆς τοῦ ἀγαθοῦ κοινωνίας.

B ZONAR. Qui cum sorore corruptus est, quamvis non ex utroque parente, sed ex alterutro tantum fraternitas sit, ex Ecclesia prorsus expellitur, donec ab ejusmodi peccato absistat. Postquam vero abstinuerit, ex præscripta in hoc canone forma multatur, ita ut inter flentes degat, tum inter audientes, inde in substratione, mox cum fidelibus consistat : atque ita demum ad boni communionem admittatur.

ΑΡΙΣΤ. καν. ος'. Ὁ ἀδελφῇ πατρόθεν ἢ μητρόθεν συμμιανθεὶς μὴ εἰσίτω εἰς οἶκον προσευχῆς ἕως ἀποστῇ· εἶτ' ἀνανήψας, τριετίαν προσκλαιέτω, τριετίαν ἀκροάσθω, τριετίαν ὑποπιπτέτω, καὶ τῷ δεκάτῳ δεχέσθω γωρὶς προσφορᾶς, καὶ δύο ἔτη συστὰς εἰς εὐχὴν, λοιπὸν ἀξιούσθω τῆς κοινωνίας.

ARIST. Can. 75. Qui cum sorore ex patre vel matre coinquinatur, domum orationis ne ingrediatur, donec desistat. Postea cum resipuerit, triennio defleat, triennio audiat, triennio substernatur, et anno decimo recipiatur sine oblatione, et biennio ad orationem cum consisterit, communione dignus habeatur.

Οὗτος ὁ κανὼν συνηρμηνεύθη τῷ ἑξηκοστῷ ἑβδόμῳ κανόνι. C

Hic canon una cum sexagesimo septimo canone interpretatus est.

ΑΡΙΣΤ. καν. ος'. Τὰ αὐτὰ καὶ περὶ τῶν τὰς νύμφας λαμβανόντων. Σαφής.

ARIST. Can. 76. Eadem et de iis qui nurus suas accipiunt, decernuntur. *Perspicuus.*

ΚΑΝΩΝ ΟΖ'.

CANON LXXVII.

Ὁ μέντοι καταλιμπάνων τὴν νομίμως συναφθεῖσαν αὐτῷ γυναῖκα, καὶ ἑτέραν ἀγόμενος κατὰ τὴν τοῦ Κυρίου ἀπόφασιν τῷ τῆς μοιχείας ὑπόκειται κρίματι. Κεκανόνισται δὲ παρὰ τῶν Πατέρων ἡμῶν τοὺς τοιούτους ἐνιαυτὴν προσκλαίειν, δεκτίαν ἀκροᾶσθαι, τριετίαν ὑποπίπτειν, τῷ ἑβδόμῳ συνίστασθαι τοῖς πιστοῖς, καὶ οὕτω τῆς προσφορᾶς καταξιοῦσθαι, ἐὰν μετὰ δακρύων μετανοήσωσιν.

Qui mulierem quidem sibi legitime copulatam dimittit, et aliam ducit, secundum Domini sententiam, adulterii judicio subjicitur : et a Patribus nostris canonice statutum est, ut ii anno defleant, biennio audiant, triennio substernantur : septimo cum fidelibus consistant : et ita oblatione digni habeantur, si cum lacrymis pœnitentiam egerint.

ΚΑΝΩΝ ΟΗ'. D

CANON LXXVIII.

Ὁ αὐτὸς κρατείτω τύπος καὶ ἐπὶ τῶν δύο ἀδελφὰς λαμβανόντων εἰς συνοικέσιον, εἰ καὶ κατὰ διαφόρους χρόνους.

Eadem autem forma observetur, et in iis qui duas sorores in matrimonio accipiunt, etsi diversis temporibus.

ΚΑΝΩΝ ΟΘ'.

CANON LXXIX.

Οἱ δὲ ταῖς μητρυιαῖς ἑαυτῶν ἐπιμαινόμενοι τῷ αὐτῷ ὑπόκεινται κανόνι ᾧ καὶ οἱ ταῖς ἑαυτῶν ἀδελφαῖς ἐπιμαινόμενοι.

Ii autem qui in suas novercas insaniunt, sunt eidem canoni obnoxii, cui et ii qui in suas sorores insaniunt.

ΒΑΛΣ. Τὸν εἰς ἑτεροθαλῆ ἀδελφὴν ἢ νύμφην οἰκείαν μιανθέντα ἐπὶ δωδεκαετίαν ἐπιτιμᾶσθαι διωρίσατο ὁ ἅγιος ἐν τῷ οε' καὶ ος' κανόνι. Ἀρτίως δὲ, ἤγουν ἐν τῷ οζ', ἐν τῷ οη καὶ ἐν τῷ οθ' κανόνι παρακελεύεται τοὺς καταλιμπάνοντας τὰς ἑαυτῶν συμβίους, καὶ ἑτέρας πρὸς γάμον ἀγομένους, ἀλλὰ μὴν καὶ τοὺς λαμβάνοντας εἰς συνοικέσιον δύο ἀδελ-

BALS. Eum qui in suam ex altero germine sororem vel suam nurum pollutus est, duodecim annis puniendum statuit sanctus in canon. 75 et 76. Nunc autem scilicet in can. 77, 78 et 79 jubet, ut qui suas consortes dimittunt, et alias ducunt in matrimonium, quin etiam ii qui duas sorores in matrimonium accipiunt, scilicet post unius mortem, et

Digitized by Google

qui cum suis novercis polluuntur, ut adulteri puniantur. Addit autem in canone 76 ut qui suam uxorem relinquit, et alii conjungitur, a Patribus septennio puniatur : et sic si cum lacrymis pœnitentiam egerit, sancta **129** communione dignus habeatur. Hæc cum ita se habeant, dicat quispiam quod cum can. 48 in quindecim annis puniat adulterum, et præsens canon dicat septem annis puniri eos qui suas uxores dimittunt, et aliis conjungantur, quid nobis sit sequendum ? *Sol.* Ea quæ in can. 53 continentur. Hic enim sanctus Patrum definitionem, non ut decretum, sed ut in memoria revocationem adduxit, et ut sciamus quid ab illis prius statutum est, et quid ab ipso contra statutum : et hoc significatur, ex eo quod dicit sanctos debere eos puniri, ut adulteros. Si quis autem generale juris dictum proferet, dicens, Expressa plus valere quam tacita, audiet, quod si esset quidam alius sancti can. qui quindecim annis puniret adulteros, rationem fortasse haberet quod dicitur. Quia autem sunt etiam ejusdem sancti utrique canones, necessario, quod ab eo posterius cautum est, attendi debet, ut quod jam esset editum per canonem 58. De iis autem qui suas uxores relinquunt, lege etiam canonem 48 præsentis sancti Patris : et antepenultimum thema ult. cap. tit. 37 lib. IX quod dicit : Qui duas uxores habere tentavit, non lege, sed facto voluntatis, recte adulterii crimini subjicitur. Quæ autem illi nupsit posterior, si nesciret eum habere uxorem legitimam, ei venia debitur. Lege et canonem 2 Neocæsar. synodi, qui dicit eos ab Ecclesia ad mortem usque expelli, et ne tibi contrarius esse videatur; sed dic antediciæ quidem synodi canonem statutum esse de iis qui in malo persistunt : præsentem vero de iis qui diseteruerunt, et confessi sunt : et propterea illi quidem perfecta excommunicatione damnantur : hi vero quindecim annis puniuntur. Nota autem ex præsentibus canonibus, quod non solum in his peccatis, sed etiam in reliquis cessatio dat locum pœnis. Qui enim in malo perseverat, etiamsi millies punitus fuerit, et toties bonum fecerit, habet vulnus immedicabile, quod vinculis quæ cicatricem induunt non constringitur. Nota præterea, quod quæ in antiqua lege continentur præter ea quæ ab Ecclesia aperte suscepta sunt, exoluere, et qui eis utitur, judaizat. Ecce enim apparet, quod etiam apud sanctos Patres leges susceptæ sunt quæ ratione cognationis matrimonia prohibent. Porro lex quoque antiqua, quæ permittit ut frater defuncti ejus uxorem accipiat, ut fratri semen suscitet, in usu non est. Porro Latini quoque qui matrimonia, quæ ratione cognationis vetita sunt, indiscriminatim contrahunt, in canonem impingunt.

ἐγγιστείας γάμους κωλύοντας. Καὶ ὁ νόμος ὁ παλαιὸς ὁ ἐπιτρέπων τὸν τοῦ τελευτήσαντος ἀδελφὸν λαμβάνειν τὴν γυναῖκα αὐτοῦ, ὡς ἂν ἀναστήσῃ σπέρμα τῷ ἀδελφῷ, ἠπράκτησε· καὶ οἱ Λατῖνοι δὲ, οἱ τὰ ἐξ ἀγχιστείας συνοικέσια ἀδιαφόρως συναλλάττοντες, τῷ κανόνι προσκρούουσιν.

ZONAR. In can. 77. Qui uxores suas relinquunt, aliasque sibi matrimonio jungunt, tanquam adulte-

A φὰς πάντως μετὰ θάνατον τῆς μιᾶς, καὶ τοὺς μοιχευομένους μετὰ τῶν μητρυιῶν αὐτῶν, ὡς μοιχοὺς ἐπιτιμᾶσθαι. Προστίθησι δὲ ἐν τῷ ος' κανόνι τὸν καταλιμπάνοντα τὴν οἰκείαν γυναῖκα, καὶ συναπτόμενον μεθ' ἑτέρας, ἐπὶ ἑπταετίαν ἐπιτιμᾶσθαι παρὰ τῶν Πατέρων, καὶ οὕτως ἐὰν μετὰ δακρύων μετανοήσωσι τῆς ἁγίας μεταλήψεως ἀξιοῦσθαι. Τούτων οὕτως ἐχόντων, ἐρεῖ τις ὡς, τοῦ νη' κανόνος ἐν ιε' ἔτεσι τὸν μοιχὸν ἐπιτιμῶντος, καὶ τοῦ παρόντος κανόνος ἐν ζ' ἔτεσι λέγοντος ἐπιτιμᾶσθαι παρὰ τῶν Πατέρων τοὺς καταλιμπάνοντας τὰς οἰκείας γυναῖκας, καὶ ἑτέραις συναπτομένους, τίνι προσέχειν ὀφείλομεν; Λύσις. Τοῖς ἐν τῷ νη' κανόνι περιεχομένοις. Ἐνταῦθα γὰρ οὐχ ὡς ὅρον ἔθετο ὁ ἅγιος τὴν τῶν Πατέρων διατύπωσιν, ἀλλ' B ὡς ἀνάμνησιν, καὶ ἵνα γινώσκωμεν τί τε παρ' ἐκείνων προώρισται, καὶ τί παρὰ τούτου μεθώρισται· καὶ ζηλοῦται τοῦτο ἐκ τοῦ εἰπεῖν τὸν ἅγιον ὀφείλειν τούτους ἐπιτιμᾶσθαι κατὰ μοιχούς. Εἴ δέ τις ἐρεῖ νόμιμον γενικὸν λέγον κρατεῖν τὰ ἐκπεφωνημένα παρὰ τὰ σεσιωπημένα, ἀκούσει ὅτι, εἰ μὲν ἑτέρου ἦν ἁγίου κανὼν ὁ ἐπὶ ιε' ἔτη τοὺς μοιχοὺς ἐπιτιμῶν, ἴσως ἂν εἶχετο λόγου τὸ λεγόμενον· ἐπειδὴ δὲ τοῦ αὐτοῦ ἁγίου καὶ ἀμφότεροί εἰσι κανόνες εἰσὶν, ἐξ ἀνάγκης τῷ παρὰ τούτου μεταγενεστέρως ὁρισθέντι προσέχειν ὀφείλομεν, ὡς ἤδη καὶ ἐκφωνηθέντι διὰ τούτου νη' κανόνος. Περὶ δὲ τῶν καταλιμπανόντων τὰς οἰκείας γυναῖκας ἀνάγνωθι καὶ τὸν μη' κανόνα τοῦ παρόντος ἁγίου Πατέρος, καὶ τὸ παρατέλευτον θέμα τοῦ τελευταίου C κεφαλαίου τοῦ λζ' τίτλου τοῦ ζ' βιβλίου λέγον· Ὁ δύο γυναῖκας ἔχειν πειρασθεὶς οὐ νόμῳ, ἀλλὰ φάκτῳ προαιρέσεως, καλῶς ὑποκείσεται τῷ τῆς μοιχείας ἐγκλήματι. Ἡ δὲ εἰς ὕστερον αὐτῷ γαμηθεῖσα, εἰ ἠγνόει αὐτὸν ἔχειν νόμιμον γαμετὴν, συγγνωσθήσεται. Ἀνάγνωθι καὶ τὸν β' κανόνα τῆς ἐν Νεοκαισαρείᾳ συνόδου λέγοντα τοὺς τοιούτους ἐξωθεῖσθαι τῆς ἐκκλησίας μέχρι θανάτου. Καὶ μὴ ἐναντιωθῇ σοι· ἀλλ' εἰπὲ τὸν μὲν τῆς διαληφθείσης συνόδου κανόνα ὁρισθεσθῆναι περὶ τῶν ἐξιόντων τοῦ κακοῦ· τὸν δὲ παρόντα περὶ τῶν ἀποστάντων καὶ ἐξομολογησαμένων. Καὶ διὰ τοῦτο ἐκεῖνοι μὲν ἀκοινωνησίᾳ παντελεῖ κατακρίνονται· οὗτοι δὲ πεντεκαίδεκα ἔτεσιν ἐπιτιμῶνται. Σημείωσαι δὲ D ἀπὸ τῶν παρόντων κανόνων ὅτι οὐ μόνον εἰς ταῦτα τὰ ἁμαρτήματα, ἀλλὰ καὶ εἰς τὰ λοιπὰ ἡ ἀπόστασις δίδωσι χώραν τοῖς ἐπιτιμίοις. Ὁ γὰρ ἐπιμένων τῷ κακῷ, κἂν μυριάκις ἐπιτιμηθῇ, καὶ τοσαυτάκις ἀγαθοεργήσῃ, ἀνίατον ἔχει τραῦμα, μὴ συσφιγγόμενον καταδέσμοις οὐλοτικοῖς. Ἔτι σημείωσαι ὅτι τὰ τοῦ παλαιοῦ νόμου ἄνευ ὧν ῥητῶς ἐδέξατο ἡ Ἐκκλησία, ἐσχόλασαν, καὶ ὁ χρώμενος τούτοις, Ἰουδαΐζει. Ἰδοὺ γὰρ ἀναφαίνεται ὅτι καὶ παρὰ τοῖς ἁγίοις Πατράσιν οἱ νόμοι ἐδέχθησαν, οἱ τοὺς ἐξ

ZΩNAP. Τοὺς τὰς ἑαυτῶν συμβίους καταλιμπάνοντας καὶ ἑτέρας πρὸς γάμον ἀγομένους φησὶν ὁ

Digitized by Google

ἅγιος ὡς μοιχὸς παρὰ τοῦ Κυρίου κατακεκρίσθαι. Λέγει γὰρ ἐν Εὐαγγελίοις ὁ Κύριος· *Ὁ ἀπολύσας τὴν γυναῖκα παρεκτὸς λόγου πορνείας, καὶ γαμήσας ἑτέραν, μοιχᾶσθαι.* Οἱ δὲ Πατέρες, φησὶν, ἡμῶν ἐκανόνισαν τοὺς τοιούτους ἐν ἑπταετίᾳ ἐπιτιμᾶσθαι· καὶ οὕτω δέχεσθαι εἰς μετάληψιν τῆς προσφορᾶς, ἐὰν μετὰ δακρύων μετανοήσωσιν. Εἰπὼν δὲ τὸ παρὰ τῶν Πατέρων ἐπενεχθὲν αὐτοῖς ἐπιτίμιον, οὐδὲν προσέθετο, ἀρκεῖν ἡγησάμενος ὅτι μοιχεία τὸ ἁμάρτημα κατὰ τὸν τοῦ Κυρίου λόγον ἀπέφηνεν. Ἕπεται γὰρ ὡς μοιχικὰ ὁ τοῖς μοιχεύουσιν εἰς ἐπιτίμησιν ὁρισθεὶς παρ' αὐτοῦ χρόνος.

ros a Domino condemnatos fuisse sanctus vir asserit. Ait namque in Evangeliis Dominus : *Qui uxorem suam dimiserit, excepta fornicationis causa, aliamque duxerit, mœchatur* [1]. Nostri vero, inquit, Patres, septennio ejusmodi multari, suis canonibus sanxerunt, atque ita ad communicationem oblationis admitti, si quidem cum lacrymis pœnitentiam egerint. Postquam vero multam hisce hominibus Patrum decreto irrogatam exposuit, nihil ulterius addidit ; sufficere arbitratus, quod adulterium crimen esse ex Domini verbis indicavit. Ex eo namque consequitur, quemadmodum adulterio, ita et adulteris pœnæ tempora ab ipso constituta esse.

ΑΡΙΣΤ. Καν. ΟΖ'. Ὁ τὴν ἰδίαν ἀφεὶς, καὶ λαμβάνων ἑτέραν, μοιχὸς ὤν, ἑπταετίαν ὑποπιπτέτω.

ARIST. Can. 77. Qui propria uxore dimissa aliam accipit, cum sit mœchus, septennio substernatur.

Καὶ οὗτος ὁ κανὼν συνηρμηνεύθη τῷ ἑξηκοστῷ ὀγδόῳ κανόνι.

Et hic canon una cum sexagesimo octavo canone interpretatus est.

ΖΩΝΑΡ. Ὁ δὲ δεύτερος κανὼν τῆς ἐν Νεοκαισαρείᾳ γενομένης συνόδου ; Εἰ μὴ λύσει, φησὶ τὸν γάμον, ἐξωθείσθω τῆς Ἐκκλησίας μέχρι θανάτου.

130 ZONAR. In can. 78. Secundus autem Neocæsariensis synodi canon : Nisi, inquit, hasce nuptias solverit, ab Ecclesia, ad extremum usque spiritum, ejiciatur.

ΑΡΙΣΤ. Καν. ΟΗ'. Ὁ αὐτὸς κρατείτω τύπος καὶ ἐπὶ τῶν δύο ἀδελφὰς λαμβανόντων, εἰ καὶ κατὰ διαφόρους καιρούς.

ARIST. Can. 78. Eadem etiam ob inet forma in iis qui duas sorores ducunt, etsi diversis temporibus.

ΑΡΙΣΤ. Καν. ΟΘ'. Ὁ τῇ μητρυᾷ ἐπιμανείς, ὡς ἐπιμανεὶς ἀδελφῇ.

ARIST. Can. 79. Qui in novercam insanit, ut qui insanit in sororem.

ΚΑΝΩΝ Π'.

CANON LXXX.

Τὴν πολυγαμίαν οἱ πατέρες ἀπεσιώπησαν, ὡς κτηνώδη καὶ παντελῶς ἀλλοτρίαν τοῦ γένους τῶν ἀνθρώπων. Ἡμῖν δὲ παρίσταται πλέον τι πορνείας εἶναι τὸ ἁμάρτημα, διὸ εὔλογον τοὺς τοιούτους ὑποβάλλεσθαι τοῖς κανόσι. Δηλονότι ἑνιαυτὸν προσκλαύσαντας, καὶ ἐν τρισὶν ὑποπεσόντας, οὕτω δεκτοὺς εἶναι.

Patres polygamiam silentio prætermisere, ut belluinam, et penitus ab hominum genere alienam. Nobis autem probatur eam majus esse fornicatione peccatum, et ideo consentaneum est, ut ii canonibus subjiciantur, ut scilicet postquam anno fleverint, et tribus substrati fuerint, sic suscipiantur.

ΒΑΛΣ. Ἐν τῷ δ' κανόνι περὶ τριγάμων καὶ πολυγάμων ὁροθετήσας ὁ ἅγιος, ὅσα τὸ Πνεῦμα τὸ ἅγιον διὰ τῆς τούτου ἐκαλλιγράφησε δεξιᾶς, ἄρτι φησὶν ὡς οἱ μὲν Πατέρες οὐδὲν περὶ πολυγαμίας εἰρήκασιν, ἀλλὰ τῷ τῆς ἀφασίας σκότει ταύτην ἐκάλυψαν, ὡς κτηνώδη, καὶ τῆς ἀνθρωπίνης ἀπεξενωμένην διαγωγῆς. Αὐτῷ δὲ δοκεῖ ταύτην εἶναι χείρονα τῆς πορνείας. Διὸ καὶ τὸν τῇ τῆς πολυγαμίας ἀκαθαρσίᾳ ἐξ ἀλόγου κατασχεθέντα κανονικοῖς ἐπιτιμίοις καθυποβάλλεσθαι διωρίσατο· δηλονότι ἐπὶ ἑνιαυτὸν μετὰ τῶν προσκλαιόντων ἱστασθαι, ἐπὶ τρισὶν ἑνιαυτοῖς ἐν ὑποπτώσει εἶναι, καὶ μετὰ τῶν κατηχουμένων ἐξιέναι, καὶ οὕτω δέχεσθαι. Ἐρωτήσει δέ τις, ὡς τοῦ διαληφθέντος τετάρτου κανόνος διαλαμβάνοντος τὴν τριγαμίαν πορνείαν κεκολασμένην παρὰ τῶν Πατέρων ὀνομασθῆναι, καὶ ἐξισοῦντος ἐν πᾶσι ταύτας, πῶς ὁ παρὼν κανὼν φησιν, ἀποσιωπηθῆναι τὴν πολυγαμίαν παρὰ τῶν Πατέρων, ὑπερκεῖσθαι δὲ καὶ τῆς πορνείας τὸ ταύτης ἁμάρτημα ; *Λύσις.* Τριγαμία μὲν τῷ νόμῳ ἐπιγινώσκεται, τετραγαμία δὲ καὶ ἐφεξῆς οὔτε τοῖς

BALS. Cum sanctus in can. 4 de trigamis, et polygamis ea definiisset, quæ Spiritus sanctus per ejus manum dextram pulchre describenda curavit, nunc dicit, quod Patres quidem nihil de polygamia dixerunt, sed eam de industria silentio prætermiserunt, ut belluinam, et ab hominum instituto alienam : sibi autem videtur eam esse fornicatione deteriorem. Quare et eum qui polygamiæ impuritate propter rationis inopiam alligatus est, canonicis esse pœnis subjiciendum decrevit : scilicet ut stet anno cum deflentibus, tribus annis sit in substratione, et cum catechumenis egrediatur, et sic admittatur. Rogaverit autem quispiam, cum prædictus canon 4 contineat trigamiam et polygamiam castigatam fornicationem esse a Patribus nominatam, easque in omnibus exæquet : quomodo dicit præsens canon fuisse polygamiam a Patribus silentio prætermissam, et ejus peccatum fornicationem superare ? *Sol.* Trigamia quidem a lege agnoscitur, tetragamia autem, et deinceps, nec canonibus, nec legibus admissa est. Omnis ergo matrimonialis con-

[1] Matth. v, 32.

Digitized by Google

ΖΩΝΑΡ. Ἐπὶ πᾶσιν οἷς διετάξατο ὁ μέγας Βασίλειος ἐπάγει ὅτι. Εἰ καὶ χρόνους ὡρίσαμεν μετανοίας ἐπὶ τοῖς ἁμαρτήμασιν, ἀλλ' οὐ χρόνῳ κρίνομεν τὴν μετάνοιαν. ὥστε τοῦ τεταγμένου καιροῦ παρελθόντες ἐφ' ἑκάστῳ τῶν ἁμαρτανόντων ἐκ παντὸς δέχεσθαι αὐτούς. Ἀλλὰ τοὺς καιροὺς τῆς μετανοίας δοκιμάζομεν, καὶ τῷ τρόπῳ προσέχομεν, ἤγουν τῇ διαθέσει τοῦ μετανοοῦντος· ὡς κἀνταῦθα νοεῖσθαι τὰ τοῦ αὐτοῦ κανόνος· ἤτοι τὸ τοῖς σπουδαίοις μὲν ἐλαττοῦσθαι τὸν χρόνον· τοῖς δ' ἀμελῶς διακειμένοις καὶ ἐπιτείνεσθαι. Εἰ δέ τινες φησὶ, δυσαποσπάστως ἔχουσι τῶν ἰδίων ἐθῶν, καὶ οὐκ ἀφίστανται τῶν ἁμαρτημάτων, πρὸς τοὺς τοιούτους οὐδὲν ἡμῖν κοινόν. Ἀκούομεν γὰρ ἐκ τῆς Γραφῆς ὅτι « *Σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν* · ἤγουν Βλέπε μὴ καὶ σεαυτὸν ἀπολέσῃς; ἀδιορθώτοις συγκοινωνῶν. Καὶ ἐξῆς ποιεῖται παραίνεσιν πρὸς ἀρχιερεῖς, τοὺς δυναμένους λύειν καὶ δεσμεῖν τοὺς ἁμαρτάνοντας, καί φησι· Μὴ τοίνυν καταδεξώμεθα συναπόλλυσθαι τοῖς τοιούτοις, ἀλλὰ φοβηθέντες τὸ βαρὺ κρῖμα καὶ τὴν φοβερὰν ἡμέραν τῆς ἀνταποδόσεως τοῦ Κυρίου πρὸ ὀφθαλμῶν λαβόντες μὴ θελήσωμεν ἀλλοτρίαις ἁμαρτίαις συναπόλλυσθαι. Εἰ γὰρ μὴ ἐπαίδευσεν ἡμᾶς τὰ φοβερὰ Κυρίου, μηδὲ αἱ τηλικαῦται πληγαὶ εἰς αἴσθησιν ἡμᾶς ἤγαγον, ὅτι διὰ τὴν ἀνομίαν ἡμῶν ἐγκατέλιπεν ἡμᾶς ὁ Κύριος, καὶ παρέδωκεν εἰς χεῖρας ἐχθρῶν, καὶ ἀπήχθη αἰχμάλωτος ἡμᾶς εἰς τοὺς πολεμίους ὁ λαὸς, καὶ παρεδόθη τῇ διασπορᾷ, διότι ταῦτα ἐτόλμων οἱ τὸ ὄνομα τοῦ Χριστοῦ περιφέροντες. Εἰ δὲ μὴ ἔγνωσαν μηδὲ συνῆκαν, ὅτι διὰ ταῦτα ἦλθεν ἡ ὀργὴ τοῦ Θεοῦ ἐφ' ἡμᾶς· τίς ἡμῖν κοινὸς πρὸς τούτοις λόγος; Ἀλλὰ διαμαρτύρασθαι αὐτοῖς καὶ νυκτὸς καὶ ἡμέρας καὶ δημοσίᾳ καὶ ἰδίᾳ ὀφείλομεν· συναπάγεσθαι δὲ αὐτῶν τῇ πονηρίᾳ μὴ καταδεχώμεθα, προσευχόμενοι μάλιστα μὲν κερδῆσαι αὐτοὺς, ἐξελέσθαι τῆς παγίδος τοῦ πονηροῦ· ἐὰν δὲ τοῦτο μὴ δυνηθῶμεν, τὰς γοῦν ἑαυτῶν ψυχὰς τῆς αἰωνίου κατακρίσεως περισώσασθαι.

ΑΡΙΣΤ. Μὴ χρόνῳ κρίνῃς, ἀλλὰ τρόπῳ τὰ ἐπιτίμια. Εἰ δ' ἐμμένωσι ταῖς ἁμαρτίαις, καὶ ἀντιλέγοιεν, σὺ δὲ σῶζε τὴν οἰκείαν ψυχήν.

Τὰ μὲν ἐπιτίμια ὡρίσθησαν, ὡς ἐγράφησαν· οὐ δεῖ δὲ πρὸς τὸν χρόνον τῶν ἐπιτιμίων ἀφορᾷν, ἀλλὰ πρὸς τὸν τρόπον τῆς μετανοίας. Καὶ εἰ μετὰ δακρύων καὶ συντριμμοῦ καρδίας, καὶ ταπεινώσεως ἰσχυρᾶς τὰς ἐξομολογήσεις ποιοῦνται οἱ ἁμαρτάνοντες, καὶ ἀφίστανται τοῦ κακοῦ καὶ ἐξ ὅλης ψυχῆς ἐκζητοῦσι τὸν Κύριον, παρὰ τῇ ἐξουσίᾳ ἔσται τοῦ δεσμεῖν καὶ λύειν ἐμπεπιστευμένου, τὸν χρόνον αὐτῶν ἐλαττῶσαι· ἐὰν δὲ δυσαποσπάστως ἔχωσι τῶν ἰδίων ἐθῶν οἱ πταίοντες, καὶ τῇ ἁμαρτίᾳ, καὶ ταῖς ἡδοναῖς

A serviunt, ita etiam in negligentibus intenduntur; et quod illi puniantur qui a malo desistunt. Qui enim in suis cupiditatibus permanent, absoluta excommunicatione condemnantur.

ZONAR. His omnibus ita constitutis, subdit magnus Basilius: Etsi tempora pœnitentiæ expendis peccatis definiverimus, non tamen pœnitentiam ex temporis diuturnitate dijudicamus, ut exacto in singulos eorum qui peccaverunt, præstituto tempore, omnino illos admitti sit necesse: sed fructus pœnitentiæ pensamus, modumque inspicimus, hoc est, quonam modo pœniteris sit affectus; ut ex hoc loco septuagesimi quarti quoque canonis sententia B percipi possit: nempe serio pœnitentibus, tempus multæ contrahendum; qui vero negligunt, et contemnunt, prorogandum. Si qui vero, inquit, a propriis moribus abduci nequeunt, nec a peccatis absistunt, cum ejusmodi nihil nobis commune est. Audimus namque in sacris Litteris, *Servans serva animam tuam*: hoc est, Cave ne te ipsemet perdas, si cum improbis communicaveris. Exindeque ad hortationem submectit ad antistites quibus peccatores ligandi, et solvendi facultas est data, quæ sic habet. Ne igitur cum hujusmodi hominibus perire in animam inducamus, verum expavescentes grave judicium, ac formidabilem diem retributionis Domini præ oculis habentes, ne velimus una cum alienis C peccatis perire; etenim si non docuerunt nos terribilia Domini, neque nobis tam multæ res adversæ persuadere poterunt, nos ob nostram vivendi licentiam a Domino destitutos, atque in hostium manus traditos fuisse, abductumque captivum ab hostibus populum, diss patumque late, ac disjectum, eo quod ejusmodi patrare sunt ausi, qui Christi nomen circumferebant; si vero non cognoverunt, neque intellexerunt, hasce ob causas in nos iram Dei venisse, quæ est communis nobis cum iis ratio? Verum eos obtestari, die nocteque, publice, ac privatim debemus: cæterum abduci nos ab eorum pravitate nequaquam sinamus, habentes quidem in votis, in primis ipsos lucrari, atque ex cacodæmonis cassibus eripere: verum si id minime possimus, nostras D certe animas ab æterna damnatione vindicare studeamus.

137 ARIST. Ne tempore, sed modo pœnas expendendas: si autem in peccatis permanent et contradicant, tu vero serva animam tuam.

Pœnæ quidem definitæ fuerunt, prout scriptæ sunt. Non ad tempus autem pœnarum, sed ad modum pœnitentiæ respicere oportet. Et si cum lacrymis et contritione cordis et humiliatione seria et impensa confiteantur peccatores, et a malo desistant, et Dominum ex toto animo quærant, licebit ei cui ligandi et solvendi commissa est potestas, earum tempus contrahere: sin vero a propriis moribus haud facile avellantur ii, qui offendunt, et peccato et carnis voluptatibus, quam Domino, servire ma-

Digitized by Google

luerint, nec vitam ex Evangelio institutam suscipiant, nulla ad illos pœnarum ratio est. In immorigero enim et rebelli populo audire docti sumus : *Servans serva animam tuam.*

A τῆς σαρκὸς δουλεύειν μᾶλλον αἱροῦνται ἢ τῷ Κυρίῳ, καὶ τὴν κατὰ τὸ Εὐαγγέλιον ζωὴν μὴ καταδέχωνται, οὐδεὶς πρὸς αὐτοὺς λόγος ἐπιτιμίων. Ἐν γὰρ λαῷ ἀπειθεῖ καὶ ἀντιλέγοντι δεδιδάγμεθα ἀκούειν, ὅτι *Σώζων σῶζε τὴν ἑαυτοῦ ψυχήν.*

CANON LXXXV.

Ne itaque cum eis perire in animum inducamus, sed grave judicium formidantes, et terribilem retributionis diem præ oculis habentes, ne velimus una cum alienis peccatis perire; si enim nos non docuerunt terribilia Domini, nec tot plagæ non in sensum deduxerunt, quod propter nostram iniquitatem nos dereliquit Dominus et tradidit in manus Barbarorum, et populus ad hostes captivus abductus est, et dispersioni traditus, eo quod ea audebant qui Christi nomen B circumferebant, si non noverunt, nec intellexerunt, quod propter hæc venit in nos ira Dei, quæ est nobis communis cum his ratio? sed et noctu et interdiu, et publice, et privatim ipsis testificari debemus : cum eorum autem improbitatibus abire nolumus, eos quidem lucrifacere optantes, et a mali laqueo eripere. Sin autem hoc non possumus, studeamus nostras animas ab æterna condemnatione servare.

ΚΑΝΩΝ ΠΕ'.

Μὴ τοίνυν καταδεξώμεθα συναπόλλυσθαι τοῖς τοιούτοις, ἀλλὰ φοβηθέντες τὸ βαρὺ κρῖμα καὶ τὴν φοβερὰν ἡμέραν τῆς ἀνταποδόσεως τοῦ Κυρίου πρὸ ὀφθαλμῶν λαβόντες μὴ θελήσωμεν ἁμαρτίαις ἀλλοτρίαις συναπόλλυσθαι· εἰ γὰρ μὴ ἐπαίδευσεν ἡμᾶς τὰ φοβερὰ τοῦ Κυρίου, μηδὲ αἱ τηλικαῦται πληγαὶ εἰς αἴσθησιν ἡμᾶς ἤγαγον, ὅτι διὰ τὴν ἀνομίαν ἡμῶν ἐγκατέλιπεν ἡμᾶς ὁ Κύριος, καὶ παρέδωκεν εἰς χεῖρας βαρβάρων, καὶ ἀπήχθη αἰχμάλωτος εἰς τοὺς πολεμίους ὁ λαὸς, καὶ παρεδόθη τῇ διασπορᾷ, διότι ταῦτα ἐτόλμων, οἱ τὸ ὄνομα τοῦ Χριστοῦ περιφέροντες, εἰ μὴ ἔγνωσαν μηδὲ συνῆκαν, ὅτι διὰ ταῦτα ἦλθεν ἐφ' ἡμᾶς ἡ ὀργὴ τοῦ Θεοῦ, τίς ἡμῖν κοινὸς πρὸς τούτους λόγος; ἀλλὰ διαμαρτύρασθαι αὐτοῖς καὶ νυκτὸς καὶ ἡμέρας καὶ δημοσίᾳ καὶ ἰδίᾳ ὀφείλομεν, συναπάγεσθαι δὲ αὐτῶν ταῖς πονηρίαις, μὴ καταδεχώμεθα, προσευχόμενοι μάλιστα μὲν κερδῆσαι αὐτοὺς καὶ ἐξελέσθαι τῆς παγίδος τοῦ πονηροῦ. Ἐὰν δὲ τοῦτο μὴ δυνηθῶμεν, σπουδάσωμεν τὰς γοῦν ἑαυτῶν ψυχὰς τῆς αἰωνίου κατακρίσεως περισώσασθαι.

BALS. Hæc verba suasoria sunt ad antistites, et C omnes qui habent potestatem ligandi, et solvendi. Hortatur enim ipsos ne peccatis consentiant, nec eorum communionem sustineant qui in peccatis perseverant, et ideo cum illis pereant. Sed eos perpetuo admoneant, ut a malo desistant et orent pro eorum salute. Sin autem, inquit, eos corrigere non possitis, studete vosmet ab eis alienare, et sic ab æterno etiam supplicio servemini.

ΒΑΛΣ. Ταῦτα παραινετικὰ ῥήματά (22) εἰσι πρὸς τοὺς ἀρχιερεῖς καὶ πάντας τοὺς δυναμένους δεσμεῖν καὶ λύειν. Παρακαλεῖ γὰρ αὐτοὺς μὴ συναινεῖν τοῖς ἁμαρτάνουσι, μηδὲ ἀνέχεσθαι τὴν κοινωνίαν τῶν ἐπιμενόντων ταῖς ἁμαρτίαις, κἀντεῦθεν τούτοις συναπόλλυσθαι, ἀλλὰ διηνεκῶς νουθετεῖν αὐτοὺς χάριν τοῦ ἀποστῆναι τοῦ κακοῦ, καὶ προσεύχεσθαι ὑπὲρ τῆς σωτηρίας τούτων. Εἰ δὲ πολλάκις οὐ δυνηθῆτε, φησὶ διορθώσασθαι τούτους, σπουδάσατε ἑαυτοὺς ἐκ τούτων ἀποξενῶσαι· καὶ οὕτω περισωθείητε καὶ ἐκ τῆς αἰωνίου κολάσεως.

ΤΟΥ ΑΥΤΟΥ ΕΞ ΕΤΕΡΟΥ ΛΟΓΟΥ ΠΡΟΣ ΤΟΝ ΜΑΚΑΡΙΟΝ ΑΜΦΙΛΟΧΙΟΝ ΕΠΙΣΤΟΛΗ ΠΕΡΙ ΒΡΩΜΑΤΩΝ ΔΙΑΦΟΡΑΣ.

138 EJUSDEM EX ALIO SERMONE AD BEATUM AMPHILOCHIUM EPISTOLA DE CIBORUM DIFFERENTIA.

CANON LXXXVI.

Egregiis autem Encratitis ad præclaram eorum objectionem, Cur nos quoque non omnia comedimus, illud dicatur, quod etiam excrementa nostra abominamur. Nam dignitate quidem olera nobis carnes sunt : quod vero ad eorum quæ sunt utilia attinet discretionem, sicut et in oleribus id quod est noxium a convenienti separamus : ita et in carnibus quod noxium est ab utili discernimus. Nam olus quidem est cicuta, quemadmodum et vulturina caro, caro est : tamen nec quis hyoscyamum comederit, mentis compos, nec canem attigerit, nisi magnaur gente necessitate. Quamobrem qui comedit non inique fecit.

ΚΑΝΩΝ ΠΣ'.

Τοῖς δὲ κομψοῖς ἐγκρατευταῖς πρὸς τὸ σεμνὸν αὐτῶν πρόβλημα, διὰ τί καὶ ἡμεῖς οὐχὶ πάντα ἐσθίομεν, ἐκεῖνα λεγέσθω, ὅτι καὶ τὰ περιττώματα ἡμῶν βδελυσσόμεθα. Κατὰ μὲν γὰρ τὴν ἀξίαν λάχανα χόρτου ἡμῖν ἐστι τὰ κρέα, κατὰ δὲ τὴν ἕξιν τῶν συμφερόντων διάκρισιν, ὡς καὶ ἐν λαχάνοις τὸ βλαβερὸν τοῦ καταλλήλου χωρίζομεν· οὕτω καὶ ἐν τοῖς κρέασι τοῦ χρησίμου τὸ βλαβερὸν διακρίνομεν. Ἐπεὶ λάχανόν ἐστι καὶ τὸ κώνειον, ὥσπερ κρέας ἐστὶ καὶ τὸ γύπειον· ἀλλ' ὅμως οὔτε ὑοσκύαμον φάγοι ἄν τις νοῦν ἔχων, οὔτε κυνὸς ἅψαιτο μὴ μεγάλης ἀνάγκης, κατεπειγούσης. Ὥστε φαγὼν οὐκ ἠνόμησεν.

Guill. Beveregii notæ.

(22) *Ταῦτα παραινετικὰ ῥήματα.* Hæc Balsamonis ascripta ἑρμηνεία in codice Amerbachiano Zonaræ tota attribuitur. Et quidem in hisce præsertim Canonicis explicandis Epistolis Balsamon Zonaræ scholia sæpe totidem fere verbis exscribit.

Digitized by Google

ΒΑΛΣ. Οἱ Ἐγκρατῖται, ὡς τάχα μετιόντες ἐγκράτειαν, ἐβδελύσσοντο τὸ σαρκοφαγεῖν, καὶ ἀκούοντες μὴ καλῶς ποιεῖν, ἀντεπῆγον τοῖς ὀρθοδόξοις· Ἔτι καὶ ὑμεῖς ἔνια τῶν βρωμάτων βδελύττεσθε, διὸ καὶ ἀπέχεσθε αὐτῶν. Πρὸς τοῦτο οὖν ὁ ἅγιος λέγει ὅτι οὐ θαυμαστὸν εἴ τινων ἀπεχόμεθα ἢ βδελυσσόμεθα αὐτά· ὅτι καὶ τὰ περιττώματα ἡμῶν βδελυττόμεθα, καίτοι ἐκ τῆς οὐσίας ὄντα τῆς ἡμετέρας σαρκός. Περιττώματα δέ εἰσι τὰ οὖρα, τὰ σκύβαλα, οἱ χυμοὶ, τὰ διὰ στόματος καὶ ῥινῶν κενούμενα ὑγρὰ, καὶ ὅσα τοιαῦτα. Ὡς οὖν ἐκεῖνα ἐκτρεπόμεθα, οὕτω καί τινα τῶν βρωμάτων οὐ προσιέμεθα. Πάντα μὲν γὰρ λάχανα χόρτου τὰ κρέα ἡμῖν λογίζονται, κατὰ τὸ φάγεσθαι πάντα ὡς λάχανα χόρτου· διακρίνοντες δὲ καὶ χωρίζοντες τὸ βλαβερὸν χρώμεθα τῷ μὴ βλάπτοντι, καὶ ὥσπερ ἐν τοῖς λαχάνοις λάχανόν ἐστι καὶ τὸ κώνειον, καὶ ὁ ὑοσκύαμος, ἀλλὰ βλαβερὰ ὄντα φεύγομεν αὐτά· οὕτω καὶ ἐν τοῖς κρέασι κρέας ἐστὶ καὶ τὸ γύπειον καὶ τὸ τοῦ κυνός· ἀλλ' οὐκ ἂν τις γεύσαιτο κυνὸς, εἰ μὴ σφόδρα λιμώττει. Ὁ δὲ γευσάμενος ἐκ βίας οὐκ ἠνόμησεν.

A BALS. Encratitæ, qui continentiam forte persequebantur, vesci carnibus abhorrebant, et cum eis diceretur id non recte a se fieri, opponebant orthodoxis: Vos quoque nonnullos cibos abhorretis, et ideo ab eis abstinetis. Ad hoc dicit sanctus: Non est mirum si ab aliquibus abstinemus, vel eadem abominamur; nam et nostra excrementa abhorremus, etsi sint ex nostræ carnis substantia: sunt autem excrementa, urinæ, stercora, humores qui per os et nares emittuntur, et quæcunque ejusmodi. Quemadmodum ergo illa aversamur, ita cibos quoque aliquos non admittimus. Omnia enim olera carnes a nobis existimantur, quod omnia comedamus ut olera. Discernentes autem, et separantes id quod est noxium, eo quod B non lædit utimur; et quemadmodum in oleribus est cicuta, et hyoscyamus, tamen, quia sunt noxia, ea fugimus: ita et in carnibus, caro est caro vulturina, et caro canis: sed tamen nemo gustaverit, nisi valde esuriat. Qui autem per vim gustavit, non egit inique.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΔΙΟΔΩΡΟΝ ΕΠΙΣΚΟΠΟΝ ΤΑΡΣΟΥ ΠΕΡΙ ΤΟΥ ΔΥΟ ΑΔΕΛΦΑΣ ΑΓΟΜΕΝΟΥ ΕΙΣ ΓΑΜΟΝ.

139 EJUSDEM AD DIODORUM TARSENSEM EPISCOPUM, DE EO QUI DUAS SORORES IN MATRIMONIUM DUXIT.

ΒΑΛΣ. Τῆς ἐπιστολῆς ταύτης ἐμνήσθη ὁ ἅγιος ἐν τῷ κγ' κανόνι αὐτοῦ. Ἀπεστάλη δὲ πρὸς Διόδωρον Ταρσοῦ ἐπίσκοπον, ὃς, ἐρωτηθεὶς πρός τινος εἰ δύναιτο τῆς γυναικὸς αὐτοῦ θανούσης τὴν ἐκείνης ἀδελφὴν ἀγαγέσθαι πρὸς γάμον, ἀπεκρίνετο ἐγγράφως μὴ κωλύεσθαι. Τοῦ δὲ μεγάλου Βασιλείου ἀπαγορεύοντος τὸν τοιοῦτον γάμον, ἡ τοῦ Διοδώρου ἐγγραφος ἀπόκρισις ἐνεφανίσθη αὐτῷ, τὸν εἰρημένον ἐπιτρέπουσα γάμον. Ὅθεν ἀπέστειλεν αὐτῷ ταῦτα.

C BALS. Hujus epistolæ meminit sanctus in 23 suo canone. Missa est autem ad Diodorum Tarsensem episcopum, qui a quodam interrogatus, an uxore sua mortua sororem illius in matrimonium ducere posset; in scriptis respondit, eum non prohiberi. Cum autem magnus Basilius ejusmodi matrimonium prohiberet, scriptis mandata Diodori responsio illi ostensa est, quæ prædictum matrimonium permittebat. Unde illi hæc misit.

Ἀφίκετο πρὸς ἡμᾶς γράμματα τὴν ὑπογραφὴν ἔχοντα Διοδώρου· τὰ δὲ ἐφεξῆς ἄλλου τινὸς πρέποντα εἶναι ἢ Διοδώρου. Δοκεῖ μοι γάρ τις τῶν τεχνικῶν τὸ σοῦ πρόσωπον ὑποδὺς, οὕτως ἑαυτὸν ἀξιόπιστον ἐθελῆσαι ποιῆσαι τοῖς ἀκροωμένοις· ὃς γε ἐρωτηθεὶς ὑπό τινων, εἰ θεμιτὸν αὐτὸν πρὸς γάμον τῆς τελευτήσης αὐτῷ γυναικὸς τὴν ἀδελφὴν ἀγαγέσθαι, οὐκ ἔφριξε τὴν ἐρώτησιν· ἀλλὰ καὶ πράως ἤνεγκε τὴν ἀκοὴν, καὶ τὸ ἀσελγὲς ἐπιθύμημα πάνυ γενναίως αὐτῷ καὶ ἀγωνιστικῶς συγκατέπραξεν. Εἰ μὲν οὖν παρῆν μοι τὸ D γράμμα, αὐτὸ ἂν ἀπέστειλα, καὶ ἐξῆρκες σαυτῷ τε ἀμῦναι καὶ τῇ ἀληθείᾳ. Ἐπεὶ δὲ ὁ δείξας πάλιν ἀφείλετο, καὶ ὥσπερ τι τρόπαιον καθ' ἡμῶν περιέφερε, κεκωλυκότων τὸ ἐξ ἀρχῆς, ἔγγραφον λέγειν ἔχων τὴν ἐξουσίαν, ἀπέστειλά νῦν σοι, ὥστε διπλῇ τῇ χειρὶ ἡμᾶς ἐλθεῖν ἐπὶ τὸν νόθον ἐκεῖνον λόγον, καὶ μηδεμίαν αὐτῷ ἰσχὺν καταλιπεῖν· ἵνα μὴ ἔχῃ βλάπτειν ῥᾳδίως τοὺς ἐντυγχάνοντας.

Venerunt ad nos litteræ Diodori inscriptionem habentes: quæ autem deinceps sequuntur, ea alius potius quam Diodori esse convenit. Videtur enim vafer quispiam tuam personam sublisse, ut se sic auditoribus fide dignum efficeret; qui ab aliquibus interrogatus, an fas sit demortuæ ejus uxoris sororem in matrimonium ducere, interrogationem non abhorruit: sed auditionem æquo animo tulit, et ad salacem ejus cupiditatem valde illi strenue magnaque contentione auxilium tulit. Si ipse itaque litteras haberem, eas ad te misissem, ipsequeque ad te et veritatem defendendam suffecisses. Quia autem is qui ostendit rursus abstulit, et adversus nos, qui ab initio prohibueramus, veluti trophæum circumtulit, dicendo se scriptis mandatam habere potestatem: nunc ad te scripti, ut manu duplici ad illam adulterinam orationem veniamus, et nullas ei vires relinquamus; ne possit eos facile lædere, in quos incidit.

ΒΑΛΣ. Ἀνατρέψαι τὰ παρὰ τοῦ Διοδώρου μέλλων ὁ ἅγιος, τεχνικῶς μέτεισι τὴν ἀνατροπὴν, καὶ προκαθιστᾷ τὸν οἰκεῖον λόγον, ἵνα μὴ δοκῇ ἐντρέπειν αὐτὸν, καὶ οὕτως ἐνστατικώτερον αὐτὸν ἀπεργάσηται, καί φησιν ὅτι Τὸ γράμμα εἰς ὄνομα μὲν σὸν ἐπεγέγραπτο· δοκεῖ δέ μοι ὅτι ἄλλος τῶν τὰ τοιαῦτα τεχνάζε-

BALS. Quæ a Diodoro scripta sunt confutaturus sanctus, confutationem artificiose aggreditur, et ejus dictum ita proponit, ut non videatur ipsum pudore suffundere, et ita eum ad insistendum acriorem efficiat, et dicet: Litteræ quidem sub tuo nomine scriptæ fuerant: mihi autem videtur aliquis eorum,

Digitized by Google

qui ad hæc machinanda et excogitanda apti sunt, volens efficere, ut quod a se disceretur fide dignum esset, litteris tuum nomen subscripsisse. Qui interrogatus, an fas esset, seu legitimum aut justum sororem uxoris suæ mortuæ in matrimonium ducere; ei, qui interrogavit, in impia interrogatione auxilium tulit, id est, intemperantiam et libidinem permittendo, ipse quoque videtur fuisse actionis particeps. Si itaque, inquit, litteras habuissem, eas ad te misissem, teque et veritatem defendisses, seu tibi auxilium tulisses, ut falso accusatus, nefaria dicere et scribere, quod te et veritatem tangit. Veritatem quidem, cum falsum illi prælatum fuerit: te autem, ut qui ea, quæ non decet, permiseris. Quia autem is, qui ostendit, rursus abstulit, et tanquam aliquod trophæum adversus nos circumtulit. Est autem trophæum signum aliquod, quod in bello vincenti datur, ut ex eo sit manifestum, quæ pars adversario vicerit. Unde a versis hostibus, dum adversariis terga dant seu vertunt, trophæum nominatum est (a verbo Græco τρέπω, quod verto significat.) Quia ergo non habeo litteras, nunc ad te scripsi, ut adgrediamur, ut duplici manu, tua scilicet et mea, contendamus adversus adulterinam illam orationem alienam et conflictam, et vires ei non relinquamus; ut non facile eos lædat, qui in illam incidunt et legunt.

A σθαι καὶ μηχανᾶσθαι ἐπιτηδείων, θέλων ἀξιόπιστον ποιῆσαι τὸν οἰκεῖον λόγον, ἐπέγραψε τῷ γράμματι τὸ σὸν ὄνομα. Ὅστις, ἐρωτηθεὶς εἰ θέμιτον, ἦγον εἰ νόμιμον ἢ δίκαιόν ἐστι τὴν ἀδελφὴν τῆς τελευτησάσης ἰδίας γυναικὸς ἀγαγέσθαι πρὸς γάμον, τὸ ἀσεβὲς ἐρώτημα τῷ ἐρωτήσαντι συγκατέπραξεν, ἀντὶ τοῦ, διὰ τὸ ἐπιτρέψαι τὴν ἀσέλγειαν, κἀκεῖνος δοκεῖ κοινωνῆσαι τῆς πράξεως. Εἰ μὲν οὖν εἶχον, φησὶ, τὸ γράμμα, ἔπεμψα ἂν σοι αὐτὸ, καὶ ἡμυνα; ἂν ἑαυτῷ καὶ τῇ ἀληθείᾳ, ἤτοι ἐβοήθησας ἄν, ὡς ψευδῶς τάχα κατηγορηθεὶς εἰπεῖν καὶ γράψαι ἀθέμιτα, ὅπερ καὶ σοῦ καθάπτεται καὶ τῆς ἀληθείας· τῆς μὲν ἀληθείας, ὡς τοῦ ψεύδους ἐκείνης προτιμηθέντος, σοῦ δὲ, ὡς ἐπιτρέψαντος ἃ μὴ ἐχρῆν. Ἐπειδὴ δὲ ὁ δείξας πάλιν ἀφείλετο, καὶ ὥσπερ εἰ B τρόπαιον καθ' ἡμῶν περιέφερε. Τρόπαιον δέ ἐστι σημεῖόν τι τῷ νικήσαντι ἐν πολέμῳ διδόμενον, ἵν' εἴη δῆλη ἐκ τούτου ἡ τρέψασα μοῖρα τοὺς πολεμίους· ὅθεν ὠνόμασαι τρόπαιον, ἐκ τοῦ τροπὴν τῶν πολεμίων γενέσθαι, τρεψάντων τὰ νῶτα τοῖς ἐναντίοις. Ἐπεὶ οὖν γράμμα οὐκ ἔχω, ἐπέστειλα νῦν σοι, ἵνα ἐπέλθωμεν, ἵνα ἀνταγωνισώμεθα διπλῇ τῇ χειρὶ, τῇ ἐμῇ δηλαδὴ καὶ τῇ σῇ, κατὰ τοῦ νόθου ἐκείνου λόγου τοῦ ξένου καὶ τοῦ πεπλασμένου, καὶ μὴ ἐάσωμεν αὐτῷ δύναμιν, ἵνα μὴ εὐκόλως βλάπτῃ τοὺς ἐντυγχάνοντας αὐτῷ καὶ ἀναγινώσκοντας.

140 CANON LXXXVIII.

Primum itaque, quod in ejusmodi rebus maximum est, morem nostrum objicere possumus, ut vim legis habentem, eo quod nobis a viris sanctis traditæ sint regulæ. Mos autem ille est ejusmodi, ut si quis impuritatis vitio aliquando victus in illicitam duarum sororum conjunctionem inciderit, neque id matrimonium existimetur, neque omnino in Ecclesiæ cœtum admittantur, priusquam a se invicem dirimantur. Quare etiamsi nihil aliud dici posset, satis esset ipsa consuetudo ad boni custodiam. Sed quia qui hanc scripsit epistolam, adulterino argumento malum tantum conatus est in mores hominum inducere, necesse est, ut nec ratiocinationum subsidium omittamus, quanquam, in rebus valde conspicuis, argumentatione potior est uniuscujusque prænotio.

ΚΑΝΩΝ ΠΗ'.

Πρῶτον μὲν οὖν, ὃ μέγιστον ἐπὶ τῶν τοιούτων C ἐστι, τὸ παρ' ἡμῖν ἔθος, ὃ ἔχομεν προβάλλειν, νόμου δύναμιν ἔχον, διὰ τὸ ὑφ' ἁγίων ἀνδρῶν τοὺς θεσμοὺς ἡμῖν παραδοθῆναι. Τοῦτο δὲ τοιοῦτόν ἐστιν· ἐάν τις, πάθει ἀκαθαρσίας ποτὲ κρατηθεὶς, ἐκπέσῃ πρὸς δυεῖν ἀδελφῶν ἄθεσμον κοινωνίαν, μήτε γάμον ἡγεῖσθαι τοῦτον, μήθ' ὅλως εἰς Ἐκκλησίας πλήρωμα παραδέχεσθαι πρότερον, ἢ διαλῦσαι αὐτοὺς ἀπ' ἀλλήλων. Ὥστε εἰ καὶ μηδὲν ἕτερον εἰπεῖν ἦν, ἐξήρκει τὸ ἔθος πρὸς τὴν τοῦ καλοῦ φυλακήν. Ἐπειδὴ δὲ ὁ τὴν ἐπιστολὴν γράψας, ἐπιχειρήματι κιβδήλῳ κακὸν τοσοῦτον ἐπειράθη τῷ βίῳ ἐπαγαγεῖν, ἀνάγκη μηδὲ ἡμᾶς τῆς ἐκ τῶν λογισμῶν βοηθείας ὑφέσθαι· καίτοι γε ἐπὶ τῶν σφόδρα ἐναργῶν μείζων ἐστὶ τοῦ λόγου ἡ παρ' ἑκάστου πρόληψις.

Scriptum est, inquit, in Levitico: *Uxorem super sorore ejus non accipies æmulam, ad revelandam turpitudinem ejus super eam, adhuc vivente ea* [1]. Inde igitur manifestum esse dicit mortuæ sororem accipere licere. Ad hoc primum quidem dicam, quæcunque lex dicit, iis qui in lege sunt dicere; alioqui sic et circumcisioni et Sabbato et abstinentiæ ciborum subjiciemur. Neque enim si quid inveniamus appositum nostris voluptatibus, jugo servitutis legis nos ipsi subjiciemus: si quid autem visum fuerit grave in legalibus, tunc ad libertatem, quæ in Christo est, confugiemus. Interrogati sumus an scriptum sit, ut accipiatur uxor post ipsius sororem. Di-

[1] Levit. XVIII, 18.

D Γέγραπται, φησὶν, ἐν τῷ Λευϊτικῷ· *Γυναῖκα ἐπ' ἀδελφῇ αὐτῆς οὐ λήψῃ ἀντίζηλον, ἀποκαλύψαι τὴν ἀσχημοσύνην αὐτῆς ἐπ' αὐτῇ, ἔτι ζώσης αὐτῆς.* Δῆλον δὴ οὖν ἐκ τούτου εἶναί φησιν, ὅτι συγχωρεῖται λαμβάνειν τελευτησάσης. Πρὸς δὴ τοῦτο πρῶτον μὲν ἐκεῖνο ἐρῶ· ὅτι, ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ· ἐπεὶ οὕτω γε καὶ περιτομῇ, καὶ Σαββάτῳ, καὶ ἀποχῇ βρωμάτων ὑποκεισόμεθα. Οὐ γὰρ δὴ, ἐὰν μέν τι εὕρωμεν συντρέχον ἡμῶν ταῖς ἡδοναῖς, τῷ ζυγῷ τῆς δουλείας τοῦ νόμου ἑαυτοὺς ὑποθήσομεν· ἐὰν δέ τι φανῇ βαρὺ τῶν νομίμων, τότε πρὸς τὴν ἐν Χριστῷ ἐλευθερίαν ἀποδραμούμεθα. Ἠρωτήθημεν εἰ γέγραπται λαμβάνειν γυναῖκα ἐπ' ἀδελφῇ. Εἴπομεν, ὅπερ ἀσφαλὲς ἡμῖν

Digitized by Google

καὶ ἀληθὲς, ὅτι οὐ γέγραπται. Τὸ δ' ἐκ τῆς τοῦ ἀκολούθου ἐπιφορᾶς, τὸ σιωπηθὲν συλλογίζεσθαι νομοθετοῦντός ἐστιν, οὐ τὰ τοῦ νόμου λέγοντος· ἐπεὶ οὕτω γε ἐξέσται τῷ βουλομένῳ κατατολμῆσαι καὶ ἔτι ζώσης τῆς γυναικὸς λαμβάνειν τὴν ἀδελφήν. Τὸ γὰρ αὐτὸ τοῦτο σόφισμα καὶ ἐπ' ἐκείνου ἁρμόζει. Γέγραπται γὰρ, φησὶν, *Οὐ λήψῃ ἀντίζηλον*, ὡς τήν γε ἔξω τοῦ ζῆλου λαβεῖν οὐκ ἐκώλυσεν. Ὁ δὴ συνηγορῶν τῷ πάθει ἀζηλότυπον εἶναι διορίζεται τὸ ἦθος τῶν ἀδελφῶν. Ἀνῃρημένης οὖν τῆς αἰτίας, δι' ἣν ἀπηγόρευσε τὴν ἀμφοτέρων συνοίκησιν, τί τὸ κωλύον ἔσται λαμβάνειν τὰς ἀδελφάς; Ἀλλ' οὐ γέγραπται ταῦτα, φήσομεν. Ἀλλ' οὐδὲ ἐκεῖνα ὥρισται. Ἡ δὲ ἔννοια τοῦ ἀκολούθου ὁμοίως ἀμφοτέραις τὴν ἄδειαν δίδωσιν. Ἔδει δὲ, καὶ μικὸν ἐπὶ τὰ κατόπιν τῆς νομοθεσίας ἐπαναδραμόντα, ἀπηλλάχθαι πραγμάτων. Ἔοικε γὰρ οὐ πᾶν εἶδος ἁμαρτημάτων περιλαμβάνειν ὁ νομοθέτης· ἀλλ' ἰδίως ἀπαγορεύειν τὰ τῶν Αἰγυπτίων, ὅθεν ἀπῆρεν ὁ Ἰσραὴλ, καὶ τὰ τῶν Χαναναίων, πρὸς οὓς μεθίσταται. Ἔχει γὰρ οὕτως ἡ λέξις· *Κατὰ τὰ ἐπιτηδεύματα τῆς Αἰγύπτου, ἐν ᾗ παῳκήσατε ἐν αὐτῇ, οὐ ποιήσετε· καὶ κατὰ τὰ ἐπιτηδεύματα γῆς Χαναὰν, εἰς ἣν ἐγὼ εἰσάξω ὑμᾶς ἐκεῖ, οὐ ποιήσετε, καὶ ἐν τοῖς νομίμοις αὐτῶν οὐ πορεύσεσθε.* Ὥστε τοῦτο εἰκός που τὸ εἶδος τῆς ἁμαρτίας μὴ ἐμπολιτεύεσθαι τότε παρὰ τοῖς ἔθνεσι· διὸ μηδὲ τῆς ἐπ' αὐτῷ φυλακῆς προσδεηθῆναι τὸν νομοθέτην, ἀλλ' ἀρκεσθῆναι τῷ ἀδιδάκτῳ ἕθει πρὸς τὴν τοῦ μύσους διαβολήν. Πῶς οὖν, τὸ μεῖζον ἀπαγορεύσας, τὸ ἔλαττον ἐσιώπησεν; Ὅτι ἐδόκει πολλοὺς τῶν φιλοσάρκων, πρὸς τὸ ἔτι ζώσαις ἀδελφαῖς συνοικεῖν, τὸ ὑπόδειγμα βλάπτειν τοῦ πατριάρχου. Ἡμᾶς δὲ τί χρὴ ποιεῖν; Τὰ γεγραμμένα λέγειν, ἢ τὰ σιωπηθέντα προσεξεργάζεσθαι; Αὐτίκα τὸ μὴ δεῖν μιᾷ ἑταίρᾳ κεχρῆσθαι πατέρα καὶ υἱὸν ἐν μὲν τοῖς νόμοις τούτοις οὐ γέγραπται, παρὰ δὲ τῷ Προφήτῃ μεγίστης κατηγορίας ἠξίωται. *Υἱὸς γὰρ*, φησὶ, *καὶ πατὴρ πρὸς τὴν αὐτὴν παιδίσκην εἰσεπορεύοντο.* Πόσα δὲ εἴδη ἄλλα τῶν ἀκαθάρτων παθῶν τὸ μὲν τῶν δαιμόνων διδασκαλεῖον ἐξεῦρεν, ἡ δὲ θεία Γραφὴ ἀπεσιώπησε, τὸ σεμνὸν ἑαυτῆς ταῖς τῶν αἰσχρῶν ὀνομασίαις καταῤῥυπαίνειν οὐχ αἱρουμένη, ἀλλὰ γενικοῖς ὀνόμασι τὰς ἀκαθαρσίας διέβαλεν! Ὡς καὶ ὁ ἀπόστολος Παῦλός φησι· *Πορνεία δὲ καὶ ἀκαθαρσία πᾶσα μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις·* τῷ τῆς ἀκαθαρσίας ὀνόματι τάς τε τῶν ἀῤῥένων ἀῤῥητοποιίας καὶ τὰς τῶν θηλειῶν περιλαμβάνων. Ὥστε οὐ πάντως ἡ σιωπὴ ἄδειαν φέρει τοῖς φιληδόνοις.

Ἐγὼ δὲ οὐδὲ σεσιωπῆσθαι τὸ μέρος τοῦτό φημι, ἀλλὰ καὶ πάνυ σφοδρῶς ἀπηγορευκέναι τὸν νομοθέτην. Τὸ γὰρ, *Οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου, ἀποκαλύψαι ἀσχημοσύνην αὐτῶν* ἐμπεριεκτικόν ἐστι καὶ τούτου τοῦ εἴδους τῆς οἰκειότητος. Τί γὰρ ἂν γένοιτο οἰκειότερον ἀνδρὶ τῆς ἑαυτοῦ γυναικὸς, μᾶλλον δὲ τῆς ἑαυτοῦ σαρκός; Οὐ γὰρ ἔτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία. Ὥστε διὰ τῆς γυναικὸς

A cimus, quod tutum nobis est et verum, hoc scriptum non esse. Quod autem silentio prætermissum est, id per consecutionis illationem colligere, legislatoris est, non legem recitantis; siquidem hoc pacto licebit volenti facinus aggredi, etiam adhuc viventis uxoris accipere sororem. Nam ipsum illud sophisma etiam ad eam rem appositum est. Scriptum est, inquit, *Non accipies æmulam:* proinde accipi eam extra æmulationem non prohibuit. Qui autem libidini patrocinabitur, æmulationis expertem esse affirmabit indolem sororum. Quare sublata causa, ob quam ambarum connubium prohibuit, quid impediet quominus sorores accipiantur? Sed hæc scripta non sunt, aiemus. Sed neque illa statuta sunt. Consecu-
B tionis autem intelligentia pariter ambabus licentiam tribuit. Verum oportebat paulisper ad ea quæ legem præcedunt recurrendo, difficultate liberari. Videtur enim non omne peccatorum genus comprehendere legislator: sed peculiariter Ægyptiorum unde Israel exierat, et Chananæorum ad quos transferebatur, mores interdicere. Sic enim habet ad verbum: *Secundum instituta terræ Ægypti, in qua habitastis in ea, non facietis: et secundum instituta terræ Chanaan, in quam ego inducam vos illuc, non facietis, neque in legitimis eorum ambulabitis* [1]. Verisimile est hoc peccati genus tunc inter gentes non viguisse. Quapropter opus non fuit legislatori, ut illud ca-
C vendum curaret: sed satis ei fuit mos non doctus ad sceleris reprehensionem. Quomodo igitur majore vetito, minus prætermisit? Quia videbatur multis carni indulgentibus, ut cum sororibus adhuc viventibus habitarent, noxium esse exemplum patriarchæ. Nos autem quid facere oportet? Quæ scripta sunt dicere, an prætermissa accuratius scrutari? Protinus, non oportere uti una pellice patrem et filium, in his legibus scriptum non est, sed apud Prophetam crimini maximo datur. *Filius enim*, inquit, *et pater ad eamdem puellam ingrediebantur* [2]. Quot autem alia cupiditatum impurarum genera dæmonum quidem
D doctrina excogitavit, tacuit vero divina Scriptura, honestatem suam rerum turpium appellationibus fœdare nolens, sed generatim impuritates vituperavit! Sic ut et Apostolus Paulus ait: *Fornicatio autem et omnis immunditia ne nominetur quidem in vobis, sicut decet sanctos* [3]: immunditiæ nomine tum virorum tum mulierum obscena facinora comprehendens. Quare non omnino silentium licentiam dat voluptariis.

141 Ego autem neque tacitam illam partem fuisse dico: imo etiam a legislatore vehementer admodum fuisse prohibitam. Illud enim, *Non ingredieris ad omnem carnis tuæ affinem ad revelandam eorum turpitudinem* [4], hanc etiam affinitatis speciem complectitur. Etenim quid viro affine magis est quam sua ipsius uxor, imo quam sua ipsius caro? Non enim amplius duæ sunt, sed

[1] Levit. xviii, 3. [2] Amos ii, 7. [3] Ephes. v, 3. [4] Levit. xviii, 6.

Digitized by Google

una caro. Itaque per uxorem soror ad viri affinitatem transit. Quemadmodum enim matrem uxoris non assumet, neque filiam uxoris, propterea quod neque suam ipsius matrem, neque suam ipsius filiam; ita nec uxoris sororem, propterea quod neque suam ipsius sororem. Et vice versa, neque uxori licebit sese viri affinibus conjungere. Sunt enim utrinque communia affinitatis jura. Ego porro cuilibet de nuptiis consulenti testificor, præterire figuram hujus mundi, et tempus breve esse, *Ut qui habent uxores tanquam non habentes sint* [1]. Quod si mihi perperam legat illud: *Crescite et multiplicamini* [2]: rideo legum tempora non discernentem. Fornicationis remedium nuptiæ secundæ, non occasio lasciviæ. Si se non continent, nubant, inquit [3], non vero et nubentes legem violent.

Isti autem, quorum animus vitio turpitudinis lippus est, ne ad naturam quidem respiciunt, quæ jam olim generis nomina discrevit. Ex qua enim cognatione natos appellabunt? Fratresne, an consobrinos vocabunt? siquidem nomen utrumque eis ob confusionem congruit. Ne facias, o homo, amitam novercam infantium; nec quæ in matris loco fovere debet, eam æmulatione implacabili armaveris. Nam solum novercarum genus etiam post mortem odium ac inimicitiam extendit. Imo, alii inimici mortuis reconciliantur; novercæ odisse post mortem incipiunt. Summa dictorum hæc est: Si quis legitime nuptias appetit, totus orbis terrarum patet: sin libidine impellitur, ob id magis etiam excludatur, *Ut discat vas suum possidere in sanctificatione et honore, non in passione desiderii* [4]. Me plura dicere parantem modus epistolæ cohibet. Precor autem, ut vel nostra admonitio vitium superet, vel non serpat in nostram regionem hoc placulum; sed in quibus admissum est locis, in his permaneat.

A ἡ ἀδελφὴ πρὸς τὴν τοῦ ἀνδρὸς οἰκειότητα μεταβαίνει. Ὡς γὰρ μητέρα γυναικὸς οὐ λήψεται, οὐδὲ θυγατέρα τῆς γυναικὸς, διότι μηδὲ τὴν ἑαυτοῦ μητέρα, μηδὲ τὴν ἑαυτοῦ θυγατέρα· οὕτως οὐδ' ἀδελφὴν γυναικὸς, διότι μηδὲ ἀδελφὴν ἑαυτοῦ. Καὶ τὸ ἀνάπαλιν, οὐδὲ τῇ γυναικὶ ἐξέσται τοῖς οἰκείοις τοῦ ἀνδρὸς συνοικεῖν. Κοιναὶ γὰρ ἐπ' ἀμφοτέρων τῆς συγγενείας τὰ δίκαια. Ἐγὼ δὲ παντὶ τῷ περὶ γάμου βουλευομένῳ διαμαρτύρομαι, ὅτι παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου, καὶ ὁ καιρὸς συνεσταλμένος ἐστὶν, *Ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν*. Ἐὰν δέ μοι παραναγινώσκῃ τὸ, *Αὐξάνεσθε καὶ πληθύνεσθε*· καταγελῶ τοῦ τῶν νομοθεσιῶν τοὺς καιροὺς μὴ διακρίνοντος. Πορνείας παραμυθία ὁ δεύτερος γάμος, οὐκ ἐφόδιον εἰς ἀσέλγειαν. Εἰ οὐκ ἐγκαρτερεύονται, γαμησάτωσαν, φησίν· οὐχὶ δὲ καὶ γαμοῦντες παρανομείτωσαν.

B

Οἱ δὲ οὐδὲ πρὸς τὴν φύσιν ἀποβλέπουσιν, οἱ τὴν ψυχὴν λημῶντες τῷ πάθει τῆς ἀτιμίας, πάλαι διακρίνασαν τὰς τοῦ γένους προσηγορίας. Ἐκ ποίας γὰρ συγγενείας τοὺς γεννηθέντας προσαγορεύσουσιν; Ἀδελφοὺς αὐτοὺς ἀλλήλων ἢ ἀνεψιοὺς προσεροῦσιν; ἀμφότερα γὰρ αὐτοῖς προσαρμόσει διὰ τὴν σύγχυσιν. Μὴ ποιήσῃς, ὦ ἄνθρωπε, τὴν θείαν μητρυιὰν τῶν νηπίων· μηδὲ τὴν ἐν μητρὸς τάξει θάλπειν ὀφείλουσαν, ταύτην ἐφοπλίσῃς ταῖς ἀμειλίκτοις ζηλοτυπίαις. Μόνον γὰρ τὸ γένος τῶν μητρυιῶν καὶ μετὰ θάνατον ἐλαύνει τὴν ἔχθραν· μᾶλλον δὲ οἱ μὲν ἄλλως πολέμιοι τοῖς τεθνηκόσι σπένδονται· αἱ δὲ μητρυιαὶ τοῦ μίσους μετὰ τὸν θάνατον ἄρχονται.

C

Κεφάλαιον δὲ τῶν εἰρημένων, Εἰ μὲν νόμῳ τις ὁρμᾶται πρὸς τὸν γάμον, ἡνοικται πᾶσα ἡ οἰκουμένη· εἰ δὲ ἐμπαθὴς αὐτῷ ἡ σπουδὴ, διὰ τοῦτο καὶ πλέον ἀποκλεισθήτω, *Ἵνα μάθῃ τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ, μὴ ἐν πάθει ἐπιθυμίας*. Πλείονά με λέγειν ὡρμημένον τὸ μέτρον ἐπέχει τῆς ἐπιστολῆς. Εὔχομαι δὲ ἡ τὴν παραίνεσιν ἡμῶν ἰσχυροτέραν τοῦ πάθους ἀποδειχθῆναι, ἢ μὴ ἐπιδημῆσαι τῇ ἡμετέρᾳ τὸ ἄγος τοῦτο· ἀλλ' ἐν οἷς ἂν ἐτολμήθη τόποις ἐναπομεῖναι.

BALS. Magni Patris ad Diodorum epistola, etiamsi omni sapientia et vera eloquentia plena sit, et Spiritus sancti vocem edit; tamen non est hoc tempore quærenda. Decernit enim ne in matrimonii societatem duæ sorores a quopiam accipiantur, quod Dei gratia hodie ne in mentem quidem hominis Christiani venit, et propterea nec ampliore interpretatione opus habuit. Habe autem hanc divinam epistolam assidue in memoria. Etsi enim id, quod in ea definitum est, non tractatur; quæ tamen in ea comprehenduntur, epicheremata, enthymemata, et epenthymemata, vel potius quæcunque ex Veteri (Testamento) et ex magno apostolo Paulo et composita et opposita fuerunt, in aliis causis mul-

D

ΒΑΛΣ. Ἡ πρὸς Διόδωρον ἐπιστολὴ τοῦ μεγάλου Πατέρος κἂν πάσης σοφίας καὶ ἀληθοῦς ῥητορείας πεπλησμένη ἐστὶ, καὶ τὴν κιννύραν τοῦ παναγίου Πνεύματος ὑποφθεγγίζηται, ἀλλ' οὐκ ἔστι ζητητέα ἐν ταῖς παρούσαις ἡμέραις. Ὀροθετεῖ γὰρ μηδένα λαμβάνειν πρὸς κοινωνίαν γάμου ἀδελφὰς δύο, ὅπερ Θεοῦ χάριτι σήμερον οὐδὲ εἰς ἐν θύμησιν ὅλως ἔρχεται ἀνθρώπου Χριστιανοῦ, καὶ διὰ τοῦτο οὐδὲ πλείονος ἑρμηνείας ἐδεήθη. Ἔχε δὲ ταύτην τὴν θείαν ἐπιστολὴν διηνεκῶς ἐπὶ μνήμης. Κἂν γὰρ τὸ ὁροθέτημα ταύτης οὐ τρακταίζεται, ἀλλὰ τὰ ἐν ταύτῃ περιεχόμενα, ἐπιχειρήματα, ἐνθυμήματά τε καὶ ἐπενθυμήματα καὶ μᾶλλον ὅσα ἀπό τε τῆς Παλαιᾶς καὶ τοῦ μεγάλου ἀποστόλου

[1] 1 Cor. vii, 29. [2] Gen. i, 28; ix, 1. [3] 1 Cor. vii, 9. [4] I Thess. iv, 4.

Digitized by Google

Παύλου συνετέθησάν τε καὶ ἀνατέθησαν, μεγάλως A συντελοῦσιν ἐπὶ ἑτέραις ὑποθέσεσι. Σημείωσαι δὴ ἀπὸ ταύτης ὅτι καὶ τὰ ἄγραφα ἐκκλησιαστικὰ ἔθη, ὡς οἱ ἔγγραφοι κανόνες, τὸ ἀπαρεγχείρητον ἔχουσι· καὶ ὅτι ταῖς Μωσαϊκαῖς νομοθεσίαις προσέχειν οὐκ ὀφείλομεν. Καὶ ἕτερα δὲ πολλὰ παρασημείωσαι ἐκ ταύτης τῆς ἐπιστολῆς, ἀναγκαιότατά τε καὶ χρησιμώτατα.

ZONAR. Προκαταστήσας (a) τὸν λόγον ὁ ἅγιος, καὶ ὡς ἐν ἄλλῳ προσώπῳ τρέψας τὸν γράψαντα, νῦν καὶ πρὸς ἀναιροπὴν τοῦ γράμματος χωρεῖ· καὶ πρῶτον μὲν τὸ ἔθος προβάλλεται καὶ νόμου δύναμιν ἔχειν φησὶν, ὡς τῶν θεσμῶν ἦτοι τῶν νενομισμένων, τῶν δεδογμένων ὑπὸ ἁγίων ἀνδρῶν, παραδεδομένων. Καὶ ὁ πολιτικὸς δὲ νόμος τὸ κρατῆσαν ἔθος νόμου δύναμιν ἔχειν διακελεύεται· κἂν μὴ ὑπὸ ἁγίων ἀνδρῶν τὰ νενομισμένα τοῖς πολίταις ἐδογματίσθησαν. Φησὶ γὰρ βιβλίον β' τῶν Βασιλικῶν, τίτλῳ α', κεφ. λβ', περὶ ὧν ἔγγραφος οὐ κεῖται νόμος παραφυλάττειν δεῖ τὸ ἔθος καὶ τὴν συνήθειαν, καὶ τὰ ἑξῆς. Καὶ αὖθις· Παλαιὰ συνήθεια ἀντὶ νόμου φυλάττεται. Καὶ πάλιν· Ἡ μακρὰ συνήθεια ἀντὶ νόμου κρατεῖ, ἐν οἷς οὐκ ἔστιν ἔγγραφος. Ἔθος δὲ λέγει ὁ ἅγιος οὗτος τὸ ἐν τῇ Ἐκκλησίᾳ ἐνεργούμενον. Ἐὰν γάρ τις δυσὶν ἀδελφαῖς ἀθέσμως μιχθῇ, φησὶν, οὐ πρότερον παραδέχεται εἰς Ἐκκλησίαν, εἰ μὴ χωρισθεῖεν ἀπ' ἀλλήλων οἱ οὕτω μιανθέντες, ὡς μηδὲ γάμου τοῦ τοιούτου μύσους λογιζομένου. Κἂν οὖν ἄλλο τι οὐκ εἴχομεν εἰπεῖν, τοῦτο τὸ ἔθος ἤρκει εἰς ἀποτροπὴν τοῦ κακοῦ. Ἐπεὶ δὲ, φησὶν, ὁ συνηγορήσας διὰ τῆς ἐπιστολῆς τῷ κακῷ, τῷ παλαιῷ ἐχρήσατο νόμῳ, τῷ λέγοντι, B *Γυναῖκα ἐπ' ἀδελφῇ αὐτῆς οὐ λήψῃ ἀντίζηλον ἀποκαλύψαι ἀσχημοσύνην αὐτῆς, ἔτι ζώσης αὐτῆς*· κἀντεῦθεν συνήγαγεν, ὅτι συγχωρεῖται λαμβάνειν τελευτησάσης τὴν ἀδελφὴν αὐτῆς· πρῶτον μὲν ὁ ἅγιος λέγει, ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ. Εἰ γὰρ μὴ τοῦτο καὶ περιτμηθησόμεθα, καὶ τὰ Σάββατα φυλάξομεν, καὶ βρωμάτων διαφόρων ἀφεξόμεθα· οὐ γὰρ τῶν περιποιούντων ἡμῖν ἡδονὰς ἀνθεξόμεθα ἐκ τοῦ παλαιοῦ· τῶν δὲ βαρύ τι ἐχόντων ἀφεξόμεθα, καὶ τῇ διὰ τοῦ Χριστοῦ ἡμῖν δοθείσῃ ἐλευθερίᾳ τότε προσδραμούμεθα. Ὁ γὰρ τοῦ Χριστοῦ νόμος ἠλευθέρωσεν ἡμᾶς τῶν βαρέων τοῦ νόμου, τῶν τῆς περιτομῆς δηλαδὴ, καὶ τῆς τῶν κεκωλυμένων βρωμάτων ἀποχῆς, τοῦ τὸν γονορρυῆ ἀκάθαρτον κρίνεσθαι, καὶ τὸν ἁψάμενον C νεκροῦ, καὶ τὸν λεπρωθέντα, καὶ ἄλλων πολλῶν. Ἠρωτήθην, φησὶν, εἰ γέγραπται λαμβάνειν γυναῖκα ἐπ' ἀδελφῇ, ἤγουν εἰ τῆς γυναικὸς αὐτοὺς τὴν ἀδελφὴν ἔξεστι λαμβάνειν τινί· καὶ εἶπον ὅτι οὐ γέγραπται. Ὅπερ καὶ ἀληθές ἐστιν, ἀλλὰ καὶ ἀσφαλές. Τὸ δὲ συλλογίζεσθαι τὸ σιωπηθὲν, ἤγουν ἐπεὶ ὁ νόμος εἶπεν, ὅτι, *Οὐ λήψῃ γυναῖκα ἐπ' ἀδελφῇ αὐτῆς ἀντίζηλον, καὶ ἔτι ζώσης αὐτῆς*, ἀκόλουθόν ἐστιν, ὅτι μετὰ θάνατον οὐ κωλύεται τὴν ἀδελφὴν τῆς γυναικὸς λαμβάνειν, ὡς μηκέτι τῆς ζηλοτυπίας ἐσομένης· τοῦτο, φησὶ, τὸ τοιαῦτα λέγειν νομοθετεῖν ἐστι καὶ οἰκείους συνεισάγειν νόμους, οὐ τὰ τοῦ νόμου λέγειν· εἰ γὰρ δῶμεν μετὰ θάνατον

tum conferunt. Nota autem ex ea, quod ecclesiastici etiam non scripti mores, sicut scripti canones, refutari non possunt; et quod leges mosaicæ non sunt attendendæ. Nota etiam multa alia ex hac epistola, quæ sunt imprimis necessaria et maxime utilia.

ZONAR. Cum sanctus sermonem præparasset, et epistolæ scriptorem tanquam in aliam personam vertisset, nunc et ad scripti confutationem procedit. Et primo quidem consuetudinem objicit, eamque legis vim habere asserit, quoniam ritus sive statuta, a sanctis Patribus decreta, tradita sunt. Quin civilis etiam lex prævalentem consuetudinem legis vires habere jubet: licet quæ civibus instituta sunt non a sanctis viris decreta fuerint. Dicit enim liber B II, tit. 1, cap. 32 Basilic.: De quibus scripta lex non exstat, in his morem et consuetudinem custodire oportet, et quæ sequuntur. 142 Et rursum: Antiqua consuetudo pro lege custoditur. Item: Diuturna consuetudo pro lege obtinet, in quibus lex scripta deficit. Hic autem sanctus Pater consuetudinem vocat, quod in Ecclesia valet: Si quis enim duabus, inquit, sororibus illegitime commisceatur, non prius in Ecclesiam recipitur, nisi qui hoc modo contaminantur, a se invicem separentur, utpote quod neque matrimonium tantum scelus reputetur. Quamvis itaque nihil aliud dicere haberemus, hæc consuetudo malo isti evertendo sufficit. Quandoquidem autem qui hoc malum, inquit, per epistolam defendit, veteri lege utitur dicente: C *Mulierem zelotypam super sororem ejus non accipies ad revelandam turpitudinem ejus, ipsa adhuc vivente*[1]; et exinde colligit, quod ejus demortuæ sororem accipere conceditur. Primo quidem sanctus ait, quod quæcunque lex dicit, iis quæ sunt in lege dicit; alioquin enim et circumcidemur, et Sabbata observabimus, et a variis cibis abstinebimus. Neque enim ex veteri nos lege continebimus ab iis quæ voluptates nobis conferunt. Ab iis autem, quæ grave aliquid in se continent, abstinebimus; et ad libertatem nobis per Christum concessam tunc confugiemus. Namque lex Christi ab iis, quæ in lege gravia sunt, nos liberavit; a circumcisione scilicet, ab abstinentia a prohibitis cibis, ab eo immundo judicando, qui fluxum seminis passus est, qui mortuum tetigit, qui D lepra infectus est, et aliis quam plurimis. Interrogatus sum, inquit, an scriptum sit accipere uxorem ad sororem; nimirum an liceat cuipiam sororem uxoris suæ ducere; et dixi non scriptum esse; quod verum est, atque etiam tutum. Ex eo autem, quod non dictum est, illationem facere, nempe quoniam lex dicit, quod *Non accipies uxorem zelotypam ad sororem ipsius, ipsa etiam adhuc vivente*, consequens est quod post mortem sororem uxoris ducere non prohibetur, ut zelotypia amplius non futura, hoc inquit, talia, scilicet dicere est legem ferre, et proprias leges introducere, non ea quæ sunt legis proferre. Si demus enim, post mortem uxoris sororem

[1] Levit. xviii, 18.

(a) Hanc interpretationem dedit Beveregius in notis ex codice Amerbachiano. Edit.

Digitized by Google

ipsius ei accipere licere, qui mortuæ maritus fuit, quoniam zelotypiæ passio locum amplius non habeat, eam accipiet etiam ipsa vivente, si sorores zelotypiæ passionem erga se invicem non habuerint. Sed dicet aliquis hoc non scriptum esse : verum nec illud scriptum est, ut post mortem scilicet mulieris maritus ejus mortuæ sororem in uxorem duceret. Deinde addit, quod si ea quæ retro, paulo scilicet ante, in lege dicta sunt, consideraveris, ulteriori molestia liberatus eris. Non omnem enim, inquit, peccatorum speciem legislator ibi comprehendere sibi proposuit : sed peccata Ægyptiorum, inter quos Hebræorum populus tanquam peregrini antea habitarant; et Chananæorum, ad quos transierunt et transmigrarunt; quod verisimile est; et quod istam peccatorum speciem, qua quis post mortem uxoris suæ sororem ejus ducit [Moses] propterea prohibuit, quod viri luxuriosi patriarcham Jacobum pro exemplo habebant, qui eodem tempore duabus sororibus, Leiæ et Racheli, cohabitavit. Multa autem dicit, a lege quidem silentio prætermissa, et tamen prohibita esse : quale est, patrem et filium eadem pellice non uti. Hujus quidem lex non meminit : propheta vero tanquam illegitimam actionem accusavit, dicens, *filius et pater ad eamdem puellam ingrediebantur* . Et quidem Dæmones, inquit, multa immundarum passionum genera docuerunt : divina autem Scriptura hæc silentio prætermisit, et sub generali immunditiei nomine comprehendit, ne sanctimonia ipsius turpium appellationibus contaminaretur. Et Apostolus, *Omnis*, inquit, *fornicatio et immundities inter vos ne nominetur* [1], sub immunditiei nomine omnem obscenitatem comprehendens; adeo ut nulla prorsus libidinosis propter silentium turpiter agendi licentia detur. Deinde et fortiori sanctus argumento utitur, dicens, neque hanc partem sive speciem hujus peccati silentio a lege prætermissam esse. Quandoquidem enim in ea scriptum est, *Non ingredieris ad quemvis consanguineum carnis tuæ ad revelandam ejus turpitudinem* [2], hoc etiam genus prohibetur. Si enim mulier et vir una sint caro, juxta Scripturam, inter virum et uxoris ipsius sororem magnam omnino consanguinitatem esse quispiam existimet. Et quemadmodum nemo matrem uxoris suæ, vel filiam ex alio ei viro genitam, propter consanguinitatem accipiet; neque etiam matrem suam filiamve: sic neque uxoris sorori conjungetur; quippe nec sorori suæ. Idem autem inquit et de muliere : neque enim mulier mariti sui defuncti fratri conjungetur; neque aliis ei per cognationem affinibus. Postea Apostolica producit verba, et ad aliquos, qui iliud, *Crescite et multiplicamini* [3], objiciunt, dicit, Eos derideo, qui legislationum tempora non discernunt. Hoc dicens, quoniam illud, *Crescite et multiplicamini*, Deus ad homines primo creatos pronuntiavit cum nondum multitudo hominum esset, et necesse omnino esset, ut Adami liberi sibi invicem copularen-

A τῆς γυναικὸς τὴν ἀδελφὴν αὐτῆς λαμβάνειν τὸν τῆς τελευτησάσης ἄνδρα, διὰ τὸ μηκέτι τὸ τῆς ζηλοτυπίας πάθος χώραν ἔχειν, λήψεται ταύτην καὶ ζώσης ἐκείνης, εἰ ἀζηλότυπον πρὸς ἀλλήλας πάθος ἔχοιεν αἱ ἀδελφαί. Ἀλλ' ἐρεῖ τις ὅτι τοῦτο οὐ γέγραπται · ἀλλ' οὐδὲ ἐκεῖνο γέγραπται, τὸ μετὰ θάνατον δηλαδὴ τῆς γυναικὸς τὸν ἐκείνης ἄνδρα τὴν ἀδελφὴν τῆς τελευτησάσης εἰς γυναῖκα λαμβάνειν. Εἶτα ἐπάγει, ὅτι εἰ τὰ κατόπιν τῆς νομοθεσίας σκοπήσεις, τὰ ὄπισθεν δηλαδὴ, ἀπαλλαγήσῃ πραγμάτων. Οὐ γὰρ πᾶν εἶδος ὁ νομοθέτης ἐνταῦθα, φησὶ, περιλαβεῖν ἁμαρτημάτων προέθετο · ἀλλὰ τὰ τῶν Αἰγυπτίων, οἷς παρῴκει πρώην ὁ Ἑβραίων λαὸς, καὶ τὰ τῶν Χαναναίων, πρὸς οὓς μετετίθετο καὶ μετῴκιστο, καὶ εἰκός ἐστι. Καὶ ὅτι τοῦτο τὸ εἶδος τοῦ B ἁμαρτήματος, τὸ μετὰ θάνατον τῆς γυναικὸς αὐτοῦ τινα λαμβάνειν τὴν ἀδελφὴν ἐκείνης, διὰ τοῦτο ἐκώλυσεν, ὅτι εἰς ὑπόδειγμα εἶχον οἱ ἀκόλαστοι τὸν πατριάρχην Ἰακὼβ συνοικήσαντα κατὰ ταὐτὸν δυσὶν ἀδελφαῖς, τῇ τε Λείᾳ καὶ τῇ Ῥαχήλ. Πολλὰ δὲ λέγει τῷ νόμῳ μὲν σιωπηθῆναι, κεκωλύσθαι δὲ ὅμως · οἷόν ἐστι τὸ μὴ μιᾷ παλλακῇ κεχρῆσθαι πατέρα καὶ υἱόν. Τούτου μὲν ὁ νόμος οὐκ ἐμνημόνευσεν · ὁ δὲ προφήτης ὡς ἀθέσμου τῆς πράξεως κατηγόρησεν, εἰπών · *Ὁ υἱὸς καὶ ὁ πατὴρ πρὸς τὴν αὐτὴν παιδίσκην εἰσεπορεύοντο*. Καὶ οἱ μὲν δαίμονες, φησὶ, πολλὰ εἴδη τῶν ἀκαθάρτων παθῶν ἐδίδαξαν · ἡ δὲ θεία Γραφὴ ταῦτα παρεσιώπησε, καὶ γενικῷ ὀνόματι τῆς ἀκαθαρσίας διέλαβεν, ἵνα μὴ ἡ σεμνότης αὐτῆς ταῖς τῶν αἰσχρῶν ὀνομασίαις καταβρυπαίνοιτο. Καὶ ὁ Ἀπόστολος, *Πορνεία δὲ καὶ ἀκαθαρσία πᾶσα μηδὲ ὀνομαζέσθω*, φησὶν, *ἐν ὑμῖν*, C τῷ τῆς ἀκολασίας ὀνόματι πᾶσαν ἀῤῥητοποιίαν περιλαβών. Ὥστε οὐ πάντως ἄδεια δίδοται τοῖς φιληδόνοις διὰ τῆς σιωπῆς αἰσχρουργεῖν. Εἶτα καὶ βιαιότερον ἐπιχειρεῖ ὁ ἅγιος, λέγων ὅτι οὐδὲ σεσιώπηται τῷ νόμῳ τὸ μέρος τοῦτο, ἤγουν τὸ εἶδος τούτου τοῦ ἁμαρτήματος · ἐπεὶ γὰρ γέγραπται ἐν αὐτῷ, *Οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου ἀποκαλύψαι ἀσχημοσύνην αὐτοῦ*, καὶ τοῦτο τὸ εἶδος ἀπηγόρευται. Εἰ γὰρ ἡ γυνὴ καὶ ὁ ἀνὴρ σὰρξ εἰσι μία, κατὰ τὴν Γραφὴν, πάντως μεγάλην ἄν τις οἰκείωσιν εἶναι λογίσαιτο πρὸς τὸν ἄνδρα τῇ τῆς γυναικὸς αὐτοῦ ἀδελφῇ. Καὶ D ὥσπερ μητέρα τις οἰκείας γυναικὸς, θυγατέρα ἐξ ἑτέρου ἀνδρὸς τεχθεῖσαν αὐτῇ, οὐ λήψεται, διὰ τὴν οἰκείωσιν, οὐδὲ μέν τοι τὴν οἰκείαν μητέραν ἢ θυγατέρα οὕτως οὐδὲ τῆς γυναικός · οὐδὲ γυνὴ γὰρ τῷ ἀδελφῷ τοῦ ἀνδρὸς αὐτῆς θανόντος συναφθήσεται, οὐδὲ τοῖς ἄλλοις ἐκείνῳ οἰκείοις κατασυγγένειαν. Εἶτα τὰ ἀποστολικὰ ἐπάγει ῥήματα · καὶ πρός τινας τὸ, *Αὐξάνεσθε καὶ πληθύνεσθε* προβαλλομένους φησὶ καταγελῶ, τῶν μὴ διακρινόντων τοὺς καιροὺς τῶν νομοθεσιῶν, τοῦτο λέγων, ὅτι τὸ *Αὐξάνεσθε καὶ πληθύνεσθε* πρὸς τοὺς πρωτοπλάστους εἴρηκεν ὁ Θεὸς, ὅτε οὔπω πλῆθος ἀνθρώπων, καὶ ἀνάγκη πάντως τοὺς τοῦ Ἀδὰμ παῖδας ἀλλήλοις συνάπτεσθαι. Κατὰ τοῦτον οὖν τὸν λόγον καὶ νῦν ἀλλήλοις

[1] Ephes. v, 3. [2] Levit. xviii, 18. [3] Gen. i, 28.

Digitized by Google

συναφθήσονται ἀδελφοί· καὶ ἐπὶ τούτοις, φησὶν, ὅτι ὁ δεύτερος γάμος πορνείας παραμυθία ἐστὶ, τουτέστιν, ἵνα μὴ εἰς πορνείαν ἐκκυλίωνται οἱ ἄνθρωποι. Διὰ τοῦτο συνεχωρήθη ἡ διγαμία, ἀλλ' οὐχ ἵνα πρόφασις γίνηται ἀσελγείας. Καὶ τὸν μέγαν Παῦλον, ὃς τὸν δεύτερον συγχωρεῖ γάμον, παράγει λέγοντα, *Εἰ οὐκ ἐγκρατεύονται γαμησάτωσαν*, καὶ οὐ προσέθετο, φησὶν, ὅτι γαμοῦντες παρανομεῖτωσαν. Εἶτα καὶ ἄλλωθεν κατασκευάζει τὴν ἀτοπίαν τῆς πράξεως, λέγων, Ὁ τὴν τῆς ἀπελθούσης γυναικὸς αὐτοῦ λαβὼν ἀδελφὴν, καὶ παιδοποιησάμενος ἐξ ἀμφοῖν, ποίαν τοῖς τέκνοις προσηγορίαν περιποιήσεται; καὶ πῶς ἀλλήλους οἱ παῖδες καλέσουσιν; Ἀδελφοὺς, ὡς ἐξ ἑνὸς προσελθόντες πατρὸς, ἢ ἀνεψιοὺς ἤγουν ἐξαδέλφους, ὡς ἐκ δύο γενόμενοι ἀδελφῶν; Πολλαχοῦ δὲ εὕρηνται παρὰ τοῖς παλαιοῖς τῷ τῶν ἀνεψιῶν καλούμενοι ὀνόματι οἱ ἐξάδελφοι· Ἀμφότεραι γὰρ, φησὶ, αἱ κλήσεις, ἡ τῶν ἀδέλφων δηλονότι καὶ τῶν ἀνεψιῶν, αὐτοῖς προσαρμόζουσι διὰ τὴν σύγχυσιν τῆς συγγενείας. Καὶ ἔτι ἐπαγωνίζεται λόγῳ, λέγων, ὅτι ὁ λαβὼν τὴν ἀδελφὴν τῆς προτέρας συμβίου, τὴν θείαν τῶν ἑαυτοῦ τέκνων, τῶν ἐκ πρώτου γάμου, καθίστησιν αὐτῶν μητρυιὰν, καὶ ὀφείλουσαν στέργειν αὐτοὺς ὡς ἀδελφόπαιδας· κατ' αὐτῶν ὁπλίζει αὐτὴν ζηλοτυποῦσαν. Ὥσπερ γὰρ φυσικόν τι πάθος ταῖς μητρυιαῖς πρὸς τοὺς ἐξ ἄλλου γάμου παῖδας τῶν οἰκείων ἀνδρῶν ἡ ζηλοτυπία ἐμφύεται, καὶ τοῖς μὲν ἐχθροῖς, θανόντων τῶν ἐναντίων αὐτοῖς, τὸ μῖσος ἀμβλύνεται· αἱ δὲ μητρυιαὶ τῆς ἔχθρας πρὸς τὰς ἀντιζήλους αὐταῖς μετὰ τὸν ἐκείνων θάνατον ἄρχονται. Κεφάλαιον δὲ, φησὶ, τῶν εἰρημένων τουτέστιν, ἵνα συντόμως εἴπω τὸ πᾶν· εἰ μὲν ὁ δευτερογαμῆσαι ζητῶν νόμιμον θέλει συναλλάξαι γάμον, ἥνοικται αὐτῷ πᾶσα ἡ οἰκουμένη, καὶ οὐκ ἐπιλείψει αὐτῷ γυνὴ, ᾗ συμβιώσεται κατὰ νόμους· εἰ δὲ διὰ πάθος ζητεῖ τῇ δὲ ἐρωτικῶς ἴσως διακείμενος, καὶ διὰ τοῦτο σπεύδων συζυγῆναι αὐτῇ, διὰ τοῦτο μᾶλλον ἀποκλεισθήτω, ἵνα μάθῃ τὸ ἑαυτοῦ σκεῦος, καὶ τὰ ἑξῆς τοῦ Ἀποστόλου ῥήματα. Ἐβουλόμην, φησὶ, καὶ πλείονα γράψαι, ἀλλ' ἐπέχει με ἤγουν ἀνακόπτει τὸ μέτρον τῆς ἐπιστολῆς· οὐ γὰρ μακρηγορίαν ἔχειν δεῖ τὰς ἐπιστολάς. Εὔχομαι δὲ, ἢ τὴν παραίνεσιν ἰσχυροτέραν τοῦ πάθους γενέσθαι, ἀντὶ τοῦ ἰσχύσαι τοσοῦτον, ὥστε λῦσαι τὸ πάθος· ἢ μὴ εἰς τὴν ἡμετέραν χώραν τὸ ἄγος τοῦτο ἐπιδῆσαι, μὴ προχωρῆσαι τὸ μίασμα τοῦτο εἰς τὴν ἡμῶν ἐνορίαν· ἀλλ' ὅπου ἐτολμήθη, ἐκεῖ ἐναπομεῖναι.

A tur. Juxta istam itaque rationem fratres etiamnum sibi invicem conjungentur? **143** Adhæc, ait, quod secundum matrimonium fornicationis remedium est; hoc est, ne homines ad fornicationem evolverentur; propterea concessa est digamia, sed non ut libidinis excusatio esset. Et magnum Paulum, qui secundum matrimonium concedit, citat, dicentem, *Si se non contineant, matrimonium contrahant*[1]: et non adjecit, dicit, quod uxores ducentes contra legem faciunt. Postea aliunde etiam actionis absurditatem ostendit, dicens, qui mortuæ uxoris suæ sororem ducit, et filios ex ambabus gignit, qualem liberis appellationem imponet? et quomodo se invicem pueri vocabunt? Fratres, ut qui uno patre prognati sunt; an ἀνεψιοὺς sive consobrinos, ut ex B duabus sororibus natos? Multoties autem consobrini apud veteres ἀνεψιοὶ dicti inveniuntur. Utraque enim appellatio, inquit, fratrum scilicet et consobrinorum, iis propter cognationis confusionem adaptantur. Adhuc etiam ratione certat, dicens, quod qui prioris conjugis sororem ducit, suorum ex primo matrimonio liberorum materteram novercam eorum facit, et obligatam eos tanquam nepotes diligere; eamque contra illos zelotypia laborantem armat; novercis enim in conjugum suorum ex alio matrimonio liberos zelotypia tanquam naturalis passio ingeneratur; et inimicis quidem, cum adversarii ipsorum mortui sunt, odium obtunditur: novercæ autem inimicitiam contra æmulas ipsarum post earum mortem incipiunt. Summa autem, C inquit, eorum, quæ dicta sunt, hæc est, ut breviter nimirum totum dicam, si is, qui secundas inire nuptias quærit, legitimum contrahere velit matrimonium, totus terrarum orbis ei patet; nec ei deficiet mulier, quacum vitam legitime transigat; sin autem, amore forsitan incensus, propter passionem hanc unam sibi quærit, ac proinde ei conjungi studet, propter eam causam potius excludatur, ut discat vas suum, et quæ sequuntur Apostoli verba. Et plura, inquit, scribere volui, sed epistolæ mensura me inhibet, sive impedit: epistolas enim verborum prolixitatem habere non oportet. Precor autem, vel hanc exhortationem passione potentiorem D fieri, hoc est, tantum valere, ut passionem solvat; vel scelus istud in nostram regionem non venire, istam scilicet in nostra territoria non procedere immunditiem; sed ubi cœpta est, ibi permaneat.

ΤΟΥΑΥΤΟΥ ΠΡΟΣ ΓΡΗΓΟΡΙΟΝ ΠΡΕΣΒΥΤΕΡΟΝ, ΩΣΤΕ ΧΩΡΙΣΤΗΝΑΙ ΑΥΤΟΝ ΤΟΥ ΣΥΝΟΙΚΟΥΓΥΝΑΙΟΥ.

EJUSDEM AD GREGORIUM PRESBYTERUM, UT SEPARETUR A MULIERCULA CUM QUA HABITABAT.

ΚΑΝΩΝ ΠΘ'.

Ἐνέτυχόν σου τοῖς γράμμασι μετὰ πάσης μακροθυμίας, καὶ ἐθαύμασα πῶς, δυνάμενος ἡμῖν συντόμως καὶ εὐκόλως ἀπολογήσασθαι διὰ τῶν πραγμάτων, τοῖς μὲν κατηγορουμένοις ἐπιμένειν καταδέχῃ, λόγοις δὲ μακροῖς θεραπεύειν ἐπιχειρεῖς τὰ ἀνίατα. Οὔτε πρῶτοι οὐτε μόνοι, Παρηγόριε, ἐνομοθετήσαμεν γυναῖκας ἀνδράσι μὴ συνοικεῖν. Ἀλλ' ἀνάγνωθι

CANON LXXXIX.

Legi tuas litteras cum omni patientia; sumque admiratus, cur cum possis apud nos breviter et facile factis tuis causam agere, in rebus reprehensis persistere velis, ac longis sermonibus curare tentes insanabilia. Nec primi, nec soli, Paregori, sancivimus, ut ne una cum viris habitarent mulieres. Sed lege canonem a sanctis nostris Patribus

[1] 1 Cor. vii, 9.

Digitized by Google

editum in synodo Nicæna, qui manifeste sancivit extraneas mulieres non esse. Vita autem cælebs in eo honestatem habet, ut a convictu mulieris separetur. Quare si quis verbo professus, reipsa quæ conjugatorum sunt facit, palam est eum virginitatis quidem honestatem in nomine persequi, sed nequaquam ab indecora voluptate abstinere. Tanto ergo magis oportebat te postulationi nostræ facile cedere, quanto te ais esse liberiorem ab omni corporea libidine. Neque enim virum septuaginta annos natum existimo libidinose habitare cum muliere: nec quod turpe aliquod facinus fuisset admissum, idcirco constitui quæ constitui; sed quod ab Apostolo didicimus offendiculum fratri non ponere ad scandalum [1]. Scimus autem quod a nonnullis recte geritur, aliis occasionem esse peccandi. Quare præcipimus sanctorum Patrum decretum sequentes, ut a muliercula separeris. Quid igitur chorepiscopum incusas, et veteris inimicitiæ facis mentionem? Quid de nobis quereris quod faciles calumniis aures præbeamus, ac non potius de te ipse, qui adduci non potes, ut a mulieris consuetudine recedas? Ejice igitur illam ex tuis ædibus, et in monasterio constitue. Sit illa cum virginibus, et apud te serviant viri, ut ne Dei nomen propter vos blasphemetur. Hæc donec feceris, innumerabilia quæ per epistolas scribis nihil te juvabunt; sed morieris otiosus, ac reddes Domino rationem otii tui. Quod si ausus fueris citra emendationem sacerdotium tibi vindicare, anathema eris omni populo; et qui te receperint, excommunicati per omnem Ecclesiam erunt.

μὴ διορθωσάμενος σεαυτὸν, ἀντέχεσθαι τῆς ἱερωσύνης, ἀνάθεμα ἔσῃ παντὶ τῷ λαῷ. καὶ οἱ δεχόμενοί σε ἐκκήρυκτοι κατὰ πᾶσαν Ἐκκλησίαν γενήσονται.

A τὸν ἐξενεχθέντα κανόνα παρὰ τῶν ἁγίων Πατέρων ἡμῶν τῶν ἐν τῇ συνόδῳ Νικαίας, ὃς φανερῶς ἀπηγόρευσε συνεισακτοὺς μὴ εἶναι. Ἀγαμία δὲ ἐν τούτῳ ἔχει τὸ σεμνὸν, ἐν τῷ κεχωρίσθαι τῆς μετὰ γυναικὸς διαγωγῆς. Ὡς ἐὰν ἐπαγγελλόμενός τις τῷ ὀνόματι, ἔργῳ τὰ τῶν γυναιξὶ συνοικούντων ποιῇ, δῆλός ἐστι τὸ μὲν τῆς παρθενίας σεμνὸν ἐν τῇ προσηγορίᾳ δώκων, τοῦ δὲ καθ' ἡδονὴν ἀπρεποῦς μὴ ἀφιστάμενος. Τοσούτῳ οὖν μᾶλλον ἐχρῆν σε εὐκόλως εἶξαι ἡμῶν τῇ ἀξιώσει, ὅσῳπερ λέγεις ἐλεύθερος εἶναι παντὸς σωματικοῦ πάθους. Οὔτε γὰρ τὸν ἑβδομηκονταετῆ γεγονότα πείθομαι ἐμπαθῶς συνοικεῖν γυναικὶ, οὔτε ὡς ἐπιγενομένῃ τινὶ ἀτόπῳ πράξει ὡρίσαμεν ἃ ὡρίσαμεν· ἀλλ' ἐπειδὴ ἐδιδάχθημεν παρὰ τοῦ Ἀποστόλου μὴ τιθέναι πρόσκομμα B τῷ ἀδελφῷ εἰς σκάνδαλον. Οἴδαμεν δὲ, ὅτι τὸ παρά τινων ὑγιῶς γινόμενον ἄλλοις ἀφορμὴ πρὸς ἁμαρτίαν ὑπάρχει. Τούτου ἕνεκεν προσετάξαμεν, ἐπόμενοι τῇ διαταγῇ τῶν ἁγίων Πατέρων, χωρισθῆναί σε τοῦ γυναίου. Τί οὖν ἐγκαλεῖς τῷ χωρεπισκόπῳ, καὶ παλαιὰς ἔχθρας μέμνησαι; Τί δὲ ἡμᾶς καταμέμφῃ ὡς εὐκόλους ἀκοὰς ἔχοντας εἰς τὸ τὰς διαβολὰς προσίεσθαι; ἀλλ' οὐχὶ σεαυτῷ μὴ ἀνεχομένῳ ἀποστῆναι τῆς πρὸς τὴν γυναῖκα συνηθείας; Ἔκβαλλε τοίνυν αὐτὴν ἀπὸ τοῦ οἴκου σου, καὶ κατάστησον αὐτὴν ἐν μοναστηρίῳ. Ἔστω ἐκείνη μετὰ παρθένων, καὶ σὺ ὑπηρετοῦ ὑπ' ἀνδρῶν, ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ δι' ὑμᾶς βλασφημῆται. Ἕως δ' ἂν ταῦτα ποιῇς, αἱ μυριάδες, ἅπερ συγγράφεις διὰ τῶν ἐπιστολῶν, οὐδὲν ὠφελήσουσί σε· ἀλλὰ τελευτήσεις ἀργῶν, καὶ δώσεις τῷ Κυρίῳ λόγον τῆς σεαυτοῦ ἀργίας. Ἐὰν δὲ τολμήσῃς, ἀνάθεμα ἔσῃ παντὶ τῷ λαῷ. καὶ οἱ δεχόμενοί σε

BALS. Gregorius quidam presbyter habebat quamdam mulierculam ei inservientem: quod cum sanctus intellexisset, petivit a presbytero, ut mulierem domo sua expelleret. Is vero ad illum de ea re seipsum defendens scripsit; magnus quoque Basilius vicissim ad presbyterum rescripsit. Est autem verisimile presbyterum in sua epistola sanctum rogasse, ut litteras cum longanimitate legeret: ad quem rescripsit Pater. Cum omni longanimitate tuas litteras legi, et miratus sum quod, cum posses per res breviter respondere, scilicet per mulieris amandationem; in iis, quorum accusaris, rebus scilicet ipsis propter quas accusatio instituta est, permaneas; verbis autem te defendis. Deinde dicit: Nos nec primi nec soli statuimus, ne mulieres cum viris, scilicet sacratis, cohabitarent; sed lege can. syn. Nicænæ, qui prohibuit ne sint introductitiæ. Eas autem introductitias appellat tertius dictæ synodi canon, quæ introducantur in ædes sacratorum hominum, qui uxores non duxerunt, et cum eis cohabitant. Qui autem cælibatum professi sunt, laudem, inquit, sive ob continentiam, gloriam habebunt, si a mulieribus separentur. Si quis autem virginitatem profiteatur, cum mulieribus vero coha-

[1] Rom. XIV. 13.

ΒΛΑΣ. Γρηγόριός τις πρεσβύτερος γύναιον εἶχεν ὑπηρετοῦν αὐτῷ· ὃ μαθὼν ὁ ἅγιος ἀπῄθει τὸν πρεσβύτερον ἐκσεῖσαι τῆς κατοικίας αὐτοῦ τὸ γύναιον. Ὁ δὲ ἔγραψε περὶ τούτου πρὸς αὐτὸν ἀπολογούμενος, καὶ ὁ μέγας Βασίλειος ἀντέγραψε πρὸς τὸν πρεσβύτερον. Ἔοικε δὲ τὸν πρεσβύτερον ἐν τῇ ἐπιστολῇ αὐτοῦ ἀξιῶσαι τὸν ἅγιον μακροθύμως ἀναγνῶναι τὰ γράμματα· πρὸς ὃν ἀντέγραψεν ὁ Πατὴρ, ὅτι Μετὰ πάσης μακροθυμίας ἐνέτυχόν σου τοῖς γράμμασι, καὶ ἐθαύμασα ὅτι, δυνάμενος συντόμως D ἀπολογήσασθαι διὰ πραγμάτων, ἤγουν διὰ τοῦ ἀποπέμψασθαι τὴν γυναῖκα, τοῖς μὲν κατηγορουμένοις, ἤτοι τοῖς πράγμασιν αὐτοῖς, δι' ἃ ἡ κατηγορία, ἐπιμένεις· διὰ δὲ λόγῳ ἀπολογίας ποιεῖς. Εἶτά φησι ὅτι Οὔτε πρῶτοι οὔτε μόνοι ἡμεῖς ὡρίσαμεν μὴ συνοικεῖν ἀνδράσιν, ἱερωμένοις δηλαδὴ, γυναῖκας· ἀλλ' ἀνάγνωθι τὸν κανόνα τῆς ἐν Νικαίᾳ συνόδου, ὃς ἀπηγόρευσε συνεισάκτους μὴ εἶναι. Συνεισάκτους δὲ λέγει ὁ κανὼν, ὃς τρίτος ἐστὶ τῆς εἰρημένης συνόδου, τὰς εἰς κατοικίας ἱερωμένων ἀζύγων συνεισαγομένας· καὶ κατοικούσας σὺν αὐτοῖς. Οἱ δὲ ἐπαγγειλάμενοι ἀγαμίαν ἔχουσι, φησὶ τὸ σεμνὸν, ἤγουν τὸ ἐπὶ σωφροσύνῃ ἔντιμον, ἐν τῷ κεχωρίσθαι ἀπὸ γυναικῶν. Ἐὰν δέ τις ἐπαγγέληται παρθενείαν, συνοικῇ δὲ γυναιξὶν,

Digitized by Google

ὄνομα μόνον ἔχει, οὐ μὴν καὶ αὐτὸ τὸ πρᾶγμα. Ἐπεὶ οὖν, φησί, λέγεις ἐλεύθερος εἶναι παντὸς σωματικοῦ πάθους, ἔδει σε διὰ τοῦτο μᾶλλον ἀκολούθως ὑποταγῆναι τῇ ἀξιώσει ἡμῶν, καὶ ἀποπέμψασθαι τὸ γύναιον. Οὐκ εἶπε τῇ κελεύσει ἢ τῇ προστάξει, ἀλλὰ τῇ ἀξιώσει διὰ μετριοφροσύνην. Οὐ γὰρ ὡς ἐμπαθῶς σου, φησί, ἔχοντος πρὸς τὸ γύναιον, καὶ διὰ πρᾶξιν ἄτοπον ὡρίσαμεν ἐκβαλεῖν αὐτό. Οὐ γὰρ τὸν ἑβδομήκοντα ζήσαντα χρόνους πιστεύω ἐμπαθῶς συνοικεῖν γυναικί· ἀλλὰ διὰ τὸ εἰρημένον τῷ Ἀποστόλῳ, τὸ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον. Τὸ γὰρ παρ' ἄλλων ἁπαθῶς ἢ ἀγίως γινόμενον ἄλλοις πρόφασις ἔσται πρὸς ἁμαρτίαν. Σὺ μὲν γάρ, φησὶν, ἴσως ἀπαθῶς· συνοικεῖς τῷ γυναίῳ· ἕτερος δὲ, ὑπόδειγμα λαβών σε, συνοικήσει γυναίῳ οὐκ ἀπαθῶς, ἢ καὶ κατὰ σοῦ σχοίη ὑπολήψεις οὐκ ἀγαθὰς, καὶ ἔσται τοῦτο εἰς ἀτιμίαν τῆς ἱερωσύνης. Τί οὖν ἐγκαλεῖς τῷ χωρεπισκόπῳ; Ἔοικεν οὖν παρὰ τοῦ χωρεπισκόπου μηνυθῆναι τῷ ἁγίῳ τὰ περὶ τοῦ ἐπεισάκτου γυναίου. Τί δὲ αἰτία ἡμᾶς, ὡς εὐκόλως τὰς διαβολὰς προσδεχομένους, καὶ οὐχὶ μᾶλλον ἑαυτὸν, μὴ ἀνεχόμενον ἀποστῆναι τῆς γυναικός; Κατάστησον οὖν, φησὶν, αὐτὴν ἐν μονῇ, σὺ ὑπηρετοῦ παρὰ ἀνδρῶν Ἕως ἂν ταῦτα ποιήσῃς, ἃ γράφεις, πολλὰ ὄντα, οὐδὲν ὠφελήσουσί σε, ἀλλὰ τελευτήσεις ἀργῶν, ἀντὶ τοῦ ἕως τέλους τῆς ζωῆς σου οὐκ ἐνεργήσεις ὡς ἱερεὺς, ἀφωρισμένος ὤν, καὶ δώσεις λόγον τῷ Κυρίῳ τῆς ἑαυτοῦ ἀργείας, ὡς ἐξ αἰτίας σου ταύτης σοι ἐπενηνεγμένης. Ἐὰν δὲ μὴ διορθωτάμενος τολμήσῃς ἱερουργεῖν, ἀνάθεμα ἔσῃ, καὶ οἱ δεχόμενοί σε ἱερουργοῦντα πάσης ὁμηγύρεως πιστῶν ἐκκηρυχθήσονται. Ἀνάγνωθι καὶ τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα δ', καὶ τῆς ἐν τῷ Τρούλλῳ κανόνα ε', καὶ τῆς ἐν Νικαίᾳ πρώτης κανόνα γ'. Καὶ ταῦτα μὲν οὕτως. Ἐπεὶ δέ τινες, χρώμενοι τῷ τρίτῳ κανόνι τῆς α' συνόδου καὶ τοῖς ῥήμασι τῆς παρούσης ἐπιστολῆς, θέλουσι μὴ συνοικεῖν τοὺς ἐπισκόπους καὶ τοὺς κληρικοὺς μετὰ τῶν συγγενικῶν αὐτῶν ἀνυπόπτων προσώπων, ἐχόντων γύναια ὑπουργικὰ, λέγοντες περιγράφεσθαι τοὺς κανόνας, ἐὰν δὲ τῷ ὀνόματι τῆς ἀνυπόπτου προσγενοῦς οἱ ἱερωμένοι τοὺς πιστοὺς σκανδαλίζουσι διὰ τῆς μετὰ τῶν λοιπῶν γυναίων συνοικήσεως, φαμὲν ὅτι οἱ μὲν ἐπίσκοποι ἀπὸ τῆς Ἰουστινιανείου Νεαρᾶς, τῆς παρ' ἡμῶν καταστρωθείσης εἰς τὴν ἑρμηνείαν τοῦ γ' κανόνος τῆς α' συνόδου, κωλύονται συνοικεῖν οἱᾳδήτινι γυναικί· τοὺς δὲ κληρικοὺς ἤθελον μὲν καὶ αὐτοὺς ἁγιοπρεπῶς ζῆν, καὶ πάνυ ἀπέχεσθαι τῆς μετὰ γυναικῶν οἱωνδήτινων συνοικήσεως. Εἰ δὲ τοῦτο οὐ δύνανται, οὗτοι, ὡς ἐμοὶ δοκεῖ, ἀκινδύνως συνοικοῦσι μετὰ μητέρων καὶ ἀδελφῶν καὶ λοιπῶν ἀνυπόπτων προσώπων, κἂν ἔχωσι ταῦτα γυναῖκας πρὸς ὑπηρεσίαν χρησιμευούσας. Ὁ γὰρ μέγας οὗτος Πατὴρ τὸ ἀσκανδάλιστον τῶν πολλῶν πραγματευόμενος, διωρίσατο μετοικισθῆναι ἀπὸ τοῦ Γρηγορίου τὸ γύναιον, οὐκ ὀροθετῶν τὸ μὴ συνοικεῖν τὸν ἱερωμένον ἀνυπόπτοις προσώποις, ἐὰν μεθ' ἑαυτῶν ἔχωσι καὶ ἕτερα γύναια. Καὶ ἐπεὶ τοῦ ἱερωμένου συνοικοῦντος μετὰ ἀνυπόπτου προσώπου ἅπαν σκάν-

bitet, habet solum nomen, non autem et rem ipsam. **143** Quia ergo, inquit, dicis te esse liberum ab omni perturbatione corporali, eo te magis postulationi nostræ submittere consequenter oportebat, et mulierculam dimittere. Non dixit autem, jussui vel mandato, sed postulationi, modestiæ causa. Non enim, tanquam in mulierculam amatorie affectus sis, inquit, et propter turpem actionem decrevimus eam ejiciendam; nec credo septuagenarium amatorie affectum cum muliere cohabitare: sed propter id, quod ab Apostolo dictum est; non esse fratri dandum offendiculum vel scandalum. Quod enim ab aliis sane fit, et absque ulla animi perturbatione, erit aliis peccati occasio. Tu enim, inquit, fortasse cum muliere, nequaquam in eam affectus, cohabitas: alius vero tuum exemplum secutus cum muliere cohabitabit, non sine amatoria animi perturbatione; vel non bonam de te existimationem habebit, et erit hoc in sacerdotii dedecus. Quid ergo chorepiscopum accusas? Est ergo verisimile, chorepiscopum de introductitia mulierecula sancto indicasse. Quid ergo nos accusas, tanquam qui calumnias facile admittamus, et non potius teipsum, qui, ut a muliere separeris, non possis in animum inducere? Statue ergo, inquit, eam in monasterio, et tibi viri ministrent. Quandiu hæc facis, multa, quæ scribis, nihil te juvabunt; sed otiosus morieris, id est, usque ad finem vitæ non operaberis ut sacerdos, cum sis segregatus, et domino rationem tui otii reddes, utpote quod tibi ex hac tua causa injunctum sit. Sin autem non correctus sacrificare ausus fueris, eris anathema, et qui te sacrificantem suscipiunt, ab omni fidelium cœtu abdicabuntur. Lege etiam syn. Antioch. can. 4 et syn. in Trullo can. 5 et Nicænæ primæ can. 3. Et hæc quidem sic se habent. Sed quia nonnulli tertium primæ synodi canonem afferentes, et verba hujus epistolæ, volunt episcopos et clericos, cum suis cognatis personis a suspicione alienis, quæ habent mulieres sibi deservientes, non cohabitare, dicentes circumscribi canones, si sub nomine cognatæ non suspectæ, ii, qui sunt sacrati, fideles offendant per cohabitationem cum aliis mulieribus, dicimus, quod episcopi quidem a Justiniani Novella, quæ a nobis sita est in interpretatione tertii canonis primæ synodi prohibentur cum quavis muliere cohabitare. Clericos autem vellem quidem et ipsos sancte vivere, et omnino abstinere ab habitatione cum ullis mulieribus. Sin autem hoc non possunt, ut mihi quidem videtur, cum matribus et sororibus et aliis non suspectis personis absque periculo versabuntur; etiamsi eæ habeant mulieres ad ministerium utiles. Hic enim magnus Pater hoc agens, ut multorum offendiculum tollatur, statuit mulierculam a Gregorio discedere: non decernens sacratum hominem cum minime suspectis mulieribus non cohabitare, si alias secum habeant mulierculas. Et quia sacerdote cum non suspecta persona

Digitized by Google

habitante omne malæ suspicionis scandalum tollitur (non enim dicunt ejus esse alienas mulierculas, sed cognatæ ejus : eo autem cum muliere suspecta versante, scandalum, quod ex improba suspicione emergit, ministerium assumit) sine impedimento cum personis non suspectis habitabit sacratus, etiamsi sub se mulieres habeant : quod si non sint tales personæ cum quibus habitat, illi non impunis erit hujusmodi cohabitatio. Alioqui enim, si detur sacerdotem non cohabitare cum ulla persona non suspecta, quæ habet alias mulieres, cogetur etiam quivis sacratus nec cohabitare cum patre, nec cum propriis filiis, nec alicui rei servire, quæ ad victum pertineat : plurimi enim eorum habent ancillas, seu liberas, quæ suis ministrent : vel dicemus omnes eas personas esse pauperes, et cibi sufficientes ad omne ministerium, quod est absurdum. Porro ut sacerdoti mulier serviat, etiamsi cum persona non suspecta cohabitet, malum est, et nec a canonibus, nec a præsenti epistola admittendum, et ideo puniendum. Lege etiam can. 5 synodi in Trullo, et 12, dixerit quispiam, **144** cum enim epistola Gregorio decernat, ut cohabitantem sibi mulierem in monasterium deducat, isne eam tondere cogitur, an non. *Solutio.* Nonnulli ex can. 48 syn. in Trullo moti, dicunt ei necessitatem incumbere, ut eam quæ sibi cohabitat tondeat. Non enim, inquiunt, sancto statutum est, ei pro carcere et supplicio monasterium decernere. Mihi autem videtur magnam esse differentiam ancillæ et conjugis legitimæ, et propterea illic quidem episcopus coactus est curam gerere salutis et corporis animæ suæ conjugis : hic autem sacerdos solum habet necesse scandalum per separationem tollere. Sed non ipsam mulierem jure cogi, dicit quispiam, ut vel invita tonsuram suscipiat. Et ideo intelligo esse necessariam solam separationem, non etiam tonsuram. Sin autem ea fiat mulieris voluntate, duplicatur bonum, et fit melius. Quia autem nonnulli dixerunt, quod ex hac epistola omnis sacris ordinibus initiatus cum aliena muliere cohabitans segregatus est, etiam ante denuntiationem; dico quod nec præsenti quidem sancto hoc placuit. Ecce enim, cum ipse sciret Gregorium cum muliere cohabitare, hoc ei edicto denuntiavit, ut ex ædibus mulierem transferret, et si fecisset Gregorius ut ei denuntiatum fuerat, in segregationem non incidisset. Quare nec alter segregabitur, nisi post denuntiationem in cohabitatione cum aliena muliere perseveret.

A δαλον περιαιρεῖται καχύποπτον (οὐ γὰρ λέγουσιν εἶναι τούτου τὰ ἀλλότρια γύναια, ἀλλὰ τῆς προσγενοῦς αὐτοῦ· μετὰ δὲ ὑπόπτου διάγοντος γυναικείου μέρους, τὸ ἀπὸ τῆς φαύλης ὑποψίας ἀνακύπτον σκάνδαλον προσλαμβάνει τὴν ἐργασίαν) ἀπαρεμποδίστως μετὰ ἀνυπόπτων προσώπων οἰκεῖται ὁ ἱερωμένος, κἂν ἔχωσιν ὑφ' ἑαυτὰ γυναῖκας· μὴ ὄντων δὲ τοιούτων προσώπων μεθ' ὧν συνοικεῖ, οὐκ ἔσται αὐτῷ ἀνεπιτίμητος ἡ συνοίκησις. Ἄλλως τε, εἰ δοθῇ τὸν ἱερωμένον μὴ συνοικεῖν οἱῳδήτινι προσώπῳ ἀνυπόπτῳ ἔχοντι ἕτερα γύναια, ἀναγκασθήσεται καὶ πᾶς ἱερωμένος μήτε πατρὶ συνοικεῖν, μήτε παισὶν ἰδίοις, μήτε τινὶ ἐξυπηρετῆσαι βιωτικῷ· οἱ πλείους γὰρ τούτων ἔχουσι δουλίδας, εἴτε καὶ ἐλευθέρας εἰς ὑπουργίαν τῶν ὑπ' αὐτούς. Ἢ εἰποιμεν εἶναι πάντα B τὰ τοιαῦτα πρόσωπα πτωχικὰ, καὶ ἑαυτοῖς ἐξαρκοῦντα πρὸς παντοίαν ὑπηρεσίαν, ὅπερ ἄτοπον. Τὸ μέντοι δουλεύεσθαι ἱερωμένον παρὰ γυναικὸς, κἂν συνοικῇ μετὰ ἀνυπόπτου προσώπου, ἐστὶ κακὸν, καὶ τοῖς κανόσιν, ἀλλὰ μὲν καὶ τῇ παρούσῃ ἐπιστολῇ ἀνέδεκτον, καὶ διὰ τοῦτο κολάσεως ἄξιον. Ἀνάγνωθι καὶ τὸν ε' κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὸν ιβ'. Τούτων οὕτω διευλυτωθέντων, ἐρωτήσῃ τις, ὡς τῆς ἐπιστολῆς διοριζομένης τῷ Γρηγορίῳ εἰς μοναστήριον ἀπαγαγεῖν τὴν συνοικοῦσαν αὐτῷ γυναῖκα, ἠναγκάζετο οὗτος ἀποκείραι ταύτην, ἢ οὔ; *Λύσις*, Τινὲς, ἀπὸ τοῦ μὴ κανόνος τῆς ἐν τῷ Τρούλλῳ συνόδου ὁρμώμενοι, λέγουσιν ἐπικεῖσθαι αὐτῷ ἀνάγκην, ὥστε ἀποκεῖραι τὴν συνοικοῦσαν τούτῳ. Οὐ γὰρ ὥρισται, φασὶ, τῷ ἁγίῳ ἀντὶ εἱρκτῆς καὶ κολάσεως χρηματίσαι τῷ γυναίῳ τὸ μοναστήριον. Ἐμοὶ δὲ δοκεῖ διαφορὰν εἶναι μεγάλην δουλευτρίας καὶ νομίμου συμβίου, καὶ διὰ τοῦτο ἐκεῖ μὲν ὁ ἐπίσκοπος ἠναγκάσθη φροντίσαι τῆς σωματικῆς καὶ ψυχικῆς σωτηρίας τῆς συμβίου αὐτοῦ· ἐνταῦθα δὲ ὁ ἱερεὺς μίαν ἀνάγκην εἶχε, τὸ περιαιρῆσαι τὸ σκάνδαλον διὰ τῆς διαστάσεως. Ἀλλ' οὐδὲ αὐτὴν τὴν γυναῖκα εἰπέ τις εὐλόγως ἀναγκασθῆναι χάριν τοῦ ἐλέσθαι καὶ ἄκουσαν ἀπόκαρσιν. Διὸ καὶ κατανοεῖταί μοι ἀναγκαῖον εἶναι μόνην τὴν διάστασιν, οὐ μὴν καὶ τὴν ἀπόκαρσιν. Εἰ δὲ καὶ αὐτὴ γένηται κατὰ θέλησιν τῆς γυναικὸς, διπλασιάζει τὸ καλὸν, καὶ γίνεται κάλλιον. Ἐπεὶ δέ τινες εἶπον ὡς ἀπὸ τῆς παρούσης ἐπιστολῆς πᾶς ἱερωμένος συνοικῶν D γυναικὶ ἀλλοτρίᾳ ἀφωρισμένος ἐστὶ καὶ πρὸ παραγγελίας, λέγω ὅτι οὐδὲ τῷ παρόντι ἁγίῳ ἤρεσε τοῦτο. Ἰδοὺ γὰρ καὶ αὐτὸς εἰδὼς τὸν Γρηγόριον συνοικοῦντα μετὰ γυναίου, ἐπιφωνηματικῶς παρήγγειλε τούτῳ, ἐκ τῆς συνοικίας μεταστῆσαι τὸ γύναιον· καὶ εἰ ἐποίησεν ὁ Γρηγόριος κατὰ τὴν παραγγελίαν, οὐκ ἂν ὑπέπεσε τῷ ἀφορισμῷ. Ὥστε οὐδὲ ἕτερος ἀφορισθήσεται, εἰ μὴ μετὰ παραγγελίαν ἐπιμένει τῇ μετὰ τῆς ἀλλοτρίας γυναικὸς συνοικίᾳ.

ΤΟΥ ΑΥΤΟΥ ΧΩΡΕΠΙΣΚΟΠΟΙΣ, ΩΣΤΕ ΜΗ ΓΙΝΕΣΘΑΙ ΧΩΡΙΣ ΑΥΤΟΥ ΥΠΗΡΕΤΑΣ ΠΑΡΑ ΤΟΥΣ ΚΑΝΟΝΑΣ.

EJUSDEM CHOREPISCOPIS, NE SINE IPSO FIANT MINISTRI PRÆTER CANONES.

CANON XC.

Permolestum mihi est, quod jam canones Patrum defecerint, ac disciplina omnis Ecclesiis abacta

ΚΑΝΩΝ ϙ'.

Πάνυ με λυπεῖ, ὅτι ἐπιλελοίπασι λοιπὸν οἱ τῶν Πατέρων κανόνες, καὶ πᾶσα ἀκρίβεια τῶν Ἐκκλη-

Digitized by Google

σιῶν ἀπελήλαται, καὶ φοβοῦμαι μὴ κατὰ μικρὸν, τῆς ἀδιαφορίας ταύτης ὁδῷ προϊούσης, εἰς παντελῆ σύγχυσιν ἔλθῃ τὰ τῆς Ἐκκλησίας πράγματα. Τοὺς ὑπηρετοῦντας τῇ Ἐκκλησίᾳ ἡ πάλαι ταῖς τοῦ Θεοῦ Ἐκκλησίαις ἐμπολιτευομένη συνήθεια μετὰ πάσης ἀκριβείας δοκιμάζουσα παρεδέχετο· καὶ ἐπολυπραγμονεῖτο πᾶσα αὐτῶν ἡ ἀναστροφὴ, εἰ μὴ λοίδοροί εἰσιν, εἰ μὴ μέθυσοι, εἰ μὴ πρόχειροι πρὸς τὰς μάχας, εἰ παιδαγωγοῦσιν ἑαυτῶν τὴν νεότητα, ὥστε κατορθοῦν δύνασθαι τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. Καὶ τοῦτο ἐξήταζον μὲν πρεσβύτεροι καὶ διάκονοι συνοικοῦντες αὐτοῖς, ἐπανέφερον δὲ τοῖς χωρεπισκόποις, οἱ, τὰς παρὰ τῶν ἀληθινῶς μαρτυρούντων δεξάμενοι ψήφους, καὶ ὑπομνήσαντες τὸν ἐπίσκοπον, οὕτως ἐνηρίθμουν τὸν ὑπηρέτην τῷ τάγματι τῶν ἱερατικῶν. Νῦν δὲ πρῶτον μὲν, ἡμᾶς παρωσάμενοι, καὶ μηδὲ ἐπαναφέρειν ἡμῖν καταδεχόμενοι, εἰς ἑαυτοὺς τὴν ὅλην περιεστήσατε αὐθεντίαν· ἔπειτα, καταῤῥᾳθυμοῦντες τοῦ πράγματος, πρεσβυτέροις καὶ διακόνοις ἐπετρέψατε, οὓς ἂν ἐθέλωσιν ἀπὸ ἀνεξετάστου βίου, κατὰ προσπάθειαν, ἢ τὴν ἀπὸ συγγενείας, ἢ τὴν ἐξ ἄλλης τινὸς φιλίας, ἐπεισάγειν τῇ Ἐκκλησίᾳ τοὺς ἀναξίους. Διὸ πολλοὶ μὲν ὑπηρέται ἀριθμοῦνται καθ' ἑκάστην κώμην, ἄξιος δὲ λειτουργίας τοῦ θυσιαστηρίου οὐδὲ εἷς, ὡς ὑμεῖς αὐτοὶ μαρτυρεῖτε, ἀπορούντες ἀνδρῶν ἐν ταῖς ψηφοφορίαις. Ἐπεὶ οὖν ὁρῶ τὸ πρᾶγμα λοιπὸν εἰς ἀνήκεστον προϊὸν, μάλιστα νῦν, τῶν πλείστων φόβῳ τῆς στρατολογίας εἰσποιούντων ἑαυτοὺς τῇ ὑπηρεσίᾳ, ἀναγκαίως ἦλθον εἰς τὸ ἀνανεώσασθαι τοὺς τῶν Πατέρων κανόνας· καὶ ἐπιστέλλω ὑμῖν ἀποστεῖλαί μοι τὴν ἀναγραφὴν ἑκάστης κώμης τῶν ὑπηρετούντων, καὶ ὑπὸ τίνος εἰσῆκται ἕκαστος, καὶ ἐν ποίῳ βίῳ ἐστίν. Ἔχετε δὲ καὶ αὐτοὶ παρ' ἑαυτοῖς τὴν ἀναγραφὴν, ὥστε συγκρίνεσθαι τοῖς παρ' ἡμῖν ἀποκειμένοις γράμμασι τὰ ὑμέτερα, καὶ μηδενὶ ἐξεῖναι ἑαυτὸν, ὅτε βούλεται, παρεγγράφειν. Οὕτω μέντοι, μετὰ τὴν πρώτην ἐπινέμησιν εἴ τινες ὑπὸ πρεσβυτέρων εἰσήχθησαν, ἐπὶ τοὺς λαϊκοὺς ἀπορριφῶσιν. Ἄνωθεν δὲ γένηται αὐτῶν παρ' ὑμῶν ἐξέτασις· κἂν μὲν ἄξιοι ὦσι, τῇ ὑμετέρᾳ ψήφῳ παραδεχθήτωσαν Ἐπικαθαρίσατε τὴν Ἐκκλησίαν, τοὺς ἀναξίους αὐτῆς ἀπελάσαντες, καὶ τοῦ λοιποῦ ἐξετάζετε μὲν τοὺς ἀξίους καὶ παραδέχεσθε· μὴ ἀριθμεῖτε δὲ πρὶν εἰς ἡμᾶς ἐπανενεγκεῖν· ἢ γινώσκετε, ὅτι λαϊκὸς ἔσται ὁ ἄνευ ἡμετέρας γνώμης εἰς ὑπηρεσίαν παραδεχθείς.

sit; et timeo, ne paulatim, hac indifferentia progrediente, res ecclesiasticæ in summam confusionem delabantur. Observata olim in Dei Ecclesiis consuetudo Ecclesiæ ministros omni diligentia probatos admittebat; ac in omnem eorum vitam sedulo inquirebatur : an non essent maledici, an non ebriosi, an non prompti ad pugnas, an juventutem suam frenarent, ita ut sanctimoniam, sine qua Deum nemo videbit [1], exercere possent. Atque hoc examinabant quidem presbyteri et diaconi, qui una cum ipsis habitabant : referebant autem ad chorepiscopos, qui cum suffragia testium veraclum accepissent, ac episcopum admonuissent, sic sacratorum numero ministrum ascribebant. Nunc autem primum quidem nos excludentes, ac ne referre quidem ad nos dignati, omnem in vosmetipsos auctoritatem transtulistis : deinde rem negligentes, presbyteris et diaconis permisistis, ut quos vellent, vita non examinata, secundum animi affectionem, aut ex consanguinitate ortam, aut ex alia aliqua amicitia, in Ecclesiam indignos introducerent. Quapropter multi quidem ministri in unoquoque pago numerantur : sed dignus ministerio altarium ne unus quidem, ut vos ipsi testificamini, hominum penuria laborantes in electionibus. Quoniam igitur video rem in malum jam insanabile progredi, nunc præsertim, cum plurimi militiæ metu, seipsos in ministerium conjiciant, necessario accessi ad Patrum canones renovandos; ac vobis scribo, ut mittatis mihi catalogum ministrorum cujusque pagi, et a quo quisque introductus sit, et quæ ejus sit vivendi ratio. Habete autem et ipsi apud vos catalogum, ut cum scriptis apud nos repositis vestra conferantur, nec cuiquam liceat seipsum, cum voluerit, inscribere. Ita sane, si qui post primam indictionem a presbyteris introducti fuerint, inter laicos rejiciantur. Eorum autem examen de integro repetite, et si digni fuerint, suffragio vestro suscipiantur. Expurgate Ecclesiam, indignos ex ea ejicientes. Atque in posterum examinate quidem, qui digni sint, et eos admittite : sed prius non ascribite, quam ad nos retuleritis; aut scitote laicum futurum esse, qui sine nostro judicio in ministerium fuerit admissus.

ΒΑΛΣ. Τίνες ἦσαν οἱ χωρεπίσκοποι, καὶ τίνα εἶχον δίκαια, εἴρηται εἰς τὸν ιδ' κανόνα τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, καὶ εἰς τὸν ιδ' κανόνα τῆς ἐν Ἀντιοχείᾳ· καὶ διὰ τοῦτο ἐνταῦθα περιττὸν ἐλογίσθη μοι χάριν τῶν αὐτῶν παλιλλογεῖν· καὶ μᾶλλον ὅτι τὰ ἐν τῇ παρούσῃ ἐπιστολῇ περιεχόμενα χάριν τῶν χωρεπισκόπων ἐσχόλασαν παντελῶς, καὶ πάντες οἱ κληρικοὶ παρὰ τῶν ἐπισκόπων γίνονται κατὰ μόνην δοκιμασίαν αὐτῶν.

BALS. Quinam erant chorepiscopi, et quænam jura habebant, dictum est in canone 14 synodi Neocæsarianæ et in can. 10 Antioch. syn. et ideo hic mihi supervacaneum visum est eadem repetere; et eo magis, quod, quæ in præsenti epistola continentur de chorepiscopis, omnino exoleverunt, et omnes clerici fiunt ab episcopis sola ipsorum probatione.

ΖΩΝΑΡ. Αἰτιᾶται (a) ὁ μέγας Βασίλειος τοὺς ὑποχειμένους αὐτῷ χωρεπισκόπους, ὡς καθ' ἑαυτοὺς

ZONAR. Magnus Basilius chorepiscopos sibi subjectos reprehendit, quod per seipsos constitue-

[1] Hebr. XII, 14.

(a) Apud Beveregium in notis ex codice Amerbachiano. Edit.

Digitized by Google

rint ministros, et consuetudinem transilierint, quam obtinuisse dicit, ut illi per chorepiscopos episcopi sententia fierent : et in posterum canones instaurari jubet, sive post primam ἐπινέμησιν. Ἐπινέμησιν autem indictionem vocat : et ipsos quidem dignos inquirere et approbare, non autem eos in clero ordinare, nisi ad ipsum prius referant, quæ ad eos spectant. Eos autem, qui sic non ordinantur, ad laicos se detrusurum comminatur. Utrum talis itaque tunc temporis consuetudo obtinebat, me latet. Hujusmodi autem canon in synodis eo antiquioribus non invenitur ; sed potius decimus synodi Antiochenæ, quæ sancto hoc Patre antiquior est, canon chorepiscopis et subdiaconos, qui ministri etiam dicuntur, et lectores et exorcistas constituere concedit ; decernit autem ne presbyteri et diaconi a chorepiscopis ordinentur, nisi episcopi sententia cui subjiciuntur. Sed decimus quartus synodi Neocæsariensis canon chorepiscopos typum septuaginta apostolorum gerere dicit.

καθιστῶντας ὑπηρέτας, καὶ τὴν συνήθειαν παραβαίνοντας, ἣν λέγει κρατῆσαι, ὥστε γνώμῃ τοῦ ἐπισκόπου γίνεσθαι παρὰ τῶν χωρεπισκόπων αὐτούς, καὶ τοῦ λοιποῦ ἀνανεῶσθαι τοὺς κανόνας ἀπαιτεῖ, ἤγουν μετὰ τὴν πρώτην ἐπινέμησιν. Ἐπινέμησιν δὲ τὴν ἰνδικτον λέγει, καὶ αὐτοὺς μὲν ἐξετάζειν τοὺς ἀξίους, καὶ παραδέχεσθαι, μὴ κατατάττειν δὲ αὐτοὺς ἐν τῷ κλήρῳ, εἰ μὴ ἀναφέροιεν τὰ περὶ αὐτῶν πρὸς αὐτόν. Τοὺς δὲ μὴ οὕτω καταταγέντας ἀπειλεῖ εἰς τοὺς λαϊκοὺς ἐξωθεῖσθαι. Εἰ μὲν οὖν συνήθεια ἐκράτει τότε τοιαύτη, οὐκ οἶδα· κανὼν δὲ τοιοῦτος ἐν ταῖς προγενεστέραις ἐκείνου συνόδοις οὐχ εὕρηται· ἀλλὰ μᾶλλον ὁ ια' κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου, παλαιοτέρας οὔσης τοῦ ἁγίου τούτου, δίδωσι τοῖς χωρεπισκόποις καὶ ὑποδιακόνους, οἵτινες καὶ ὑπηρέται λέγονται, καὶ ἀναγνώστας καὶ ἐφορκιστὰς καθιστᾷν· πρεσβυτέρους δὲ καὶ διακόνους ὁρίζει μὴ χειροτονεῖν τοὺς χωρεπισκόπους, εἰ μὴ γνώμῃ τοῦ ἐπισκόπου ᾧ ὑπόκεινται. Ὁ δὲ ιδ' τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανὼν τύπον τῶν ο' ἀποστόλων ἐπέχειν χωρεπισκόπους φησί.

ΤΟΥ ΑΥΤΟΥ

ΠΡΟΣ ΤΟΥΣ ΥΦ' ΕΑΥΤΟΝ ΕΠΙΣΚΟΠΟΥΣ

Ὥστε μὴ χειροτονεῖν ἐπὶ χρήμασιν.

EJUSDEM

AD EPISCOPOS SIBI SUBJECTOS

Ne propter pecunias ordinent.

145 CANON XCI.

Rei turpitudo, de qua scribo, hoc ipso quod in suspicionem omnino venit ac sermonem, dolore animum meum implevit : hactenus sane visa est mihi incredibilis. Quod ergo de illa scribo, qui sibi ipse conscius est, accipiat ut medelam ; qui autem non conscius, ut præmunitionem ; indifferens vero, quod quidem deprecor ne in vobis reperiatur, ut obtestationem. Quid autem est, quod dico ? Dicuntur nonnulli ex vobis ab iis qui ordinantur, pecunias accipere, idque pietatis nomine inumbrare. Hoc autem pejus est. Etenim si quis malum sub specie boni perficit, pœna duplici dignus est : quandoquidem et quod non bonum est, facit, et utitur ad peccatum committendum bono, ut ita dicam, adjutore. Hæc si ita se habent, deinceps non fiant, sed emendentur : siquidem necesse est dicere argentum accipienti, quod ab apostolis dictum est ei, qui dare volebat, ut Spi-

ΚΑΝΩΝ ΚΑ'.

Τὸ τοῦ πράγματος ἄτοπον, περὶ οὗ γράφω, διότι μὲν ὅλως ὑπωπτεύθη καὶ ἐλαλήθη, ὀδύνης ἐπλήρωσέ μου τὴν ψυχήν· τέως δὲ ἐφάνη μοι ἄπιστον. Τὸ οὖν περὶ αὐτοῦ γράμμα ὁ μὲν συνεγνωκὼς ἑαυτῷ δεξάσθω ὡς ἴαμα, ὁ δὲ μὴ συνεγνωκὼς ὡς προφυλακτήριον· ὁ δὲ ἀδιάφορος, ὅπερ ἀπεύχομαι ἐφ' ὑμῖν εὑρεθῆναι, ὡς διαμαρτυρίαν. Τί δέ ἐστιν ὃ λέγω ; Φασί τινας ὑμῶν παρὰ τῶν χειροτονουμένων λαμβάνειν χρήματα· ἐπισκιάζειν δὲ ὀνόματι εὐσεβείας. Τοῦτο δὲ χεῖρόν ἐστιν. Ἐὰν γάρ τις τὸ κακὸν ἐν προσχήματι τοῦ ἀγαθοῦ ποιῇ, διπλασίονος τιμωρίας ἐστὶν ἄξιος· διότι αὐτό τε τὸ οὐκ ἀγαθὸν ἐργάζεται, καὶ κέχρηται εἰς τὸ τελέσαι τὴν ἁμαρτίαν, ὡς ἂν εἴποι τις, τῷ καλῷ συνεργῷ. Ταῦτα εἰ οὕτως ἔχει, τοῦ λοιποῦ μὴ γινέσθω, ἀλλὰ διορθωθήτω· ἐπεὶ ἀνάγκη λέγειν πρὸς τὸν δεχόμενον τὸ ἀργύριον, ὅπερ ἐῤῥήθη παρὰ τῶν ἀποστόλων πρὸς τὸν θέλοντα δοῦναι, ἵνα Πνεύματος ἁγίου μετουσίαν

Digitized by Google

ὠνήσηται· *Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν.* Κουφότερος γὰρ ὁ δι' ἀπειρίαν ὠνήσασθαι θέλων ἢ ὁ πιπράσκων τὴν τοῦ Θεοῦ δωρεάν. Πρᾶσις γὰρ ἐγένετο· καὶ ὃ σὺ δωρεὰν ἔλαβες, ἐὰν πωλῇς, ὡσανεὶ πεπραμένος τῷ Σατανᾷ, ἀφαιρεθήσῃ τοῦ χαρίσματος. Καπηλείαν γὰρ ἐπεισάγεις τοῖς πνευματικοῖς, καὶ τῇ Ἐκκλησίᾳ, ἔνθα πεπιστεύμεθα σῶμα καὶ αἷμα Χριστοῦ. Ταῦτα οὕτω γίνεσθαι οὐ χρή. Ὃ δέ ἐστι τεχνασμα, λέγω. Νομίζουσι μὴ ἁμαρτάνειν τῷ μὴ προλαμβάνειν, ἀλλὰ μετὰ τὴν χειροτονίαν λαμβάνειν. Λαβεῖν δὲ ἔστιν ὅτε δή ποτε τὸ λαβεῖν.

Παρακαλῶ οὖν ταύτην τὴν πρόσοδον, μᾶλλον δὲ τὴν προσαγωγὴν τὴν ἐπὶ γέενναν ἀπόθεσθε· καὶ μὴ, τὰς χεῖρας μολύναντες τοιούτοις λήμμασιν, ἑαυτοὺς ἀναξίους ποιήσητε τοῦ ἐπιτελεῖν ἁγνὰ μυστήρια. Σύγγνωτε δέ μοι. Πρῶτον μὲν ὡς ἀπιστήσας, εἶτα ὡς πεισθεὶς ἀπειλῶ. Εἴ τις μετὰ ταύτην μου τὴν ἐπιστολὴν πράξειέ τι τοιοῦτον, τῶν μὲν ἐνταῦθα θυσιαστηρίων ἀναχωρήσει· ζητήσει δὲ ἔνθα τὴν τοῦ Θεοῦ δωρεὰν ἀγοράζων μεταπωλεῖν δύναται. Ἡμεῖς γὰρ καὶ αἱ Ἐκκλησίαι τοῦ Θεοῦ τοιαύτην συνήθειαν οὐκ ἔχομεν. Ἐν δὲ προσθεὶς παύσομαι. Διὰ φιλαργυρίαν γίνεται ταῦτα. Ἡ δὲ φιλαργυρία καὶ ῥίζα πάντων τῶν κακῶν ἐστι, καὶ ὀνομάζεται εἰδωλολατρεία. Μὴ οὖν πρὸ τοῦ Χριστοῦ τιμήσητε τὰ εἴδωλα διὰ μικρὸν ἀργύριον· μηδὲ πάλιν τὸν Ἰούδαν μιμήσησθε, λήμματι παραδιδόντες δεύτερον τὸν ἅπαξ ὑπὲρ ἡμῶν σταυρωθέντα. Ἐπεὶ καὶ τὰ χωρία καὶ αἱ χεῖρες τῶν τοὺς καρποὺς τούτων δεχομένων Ἀκελδαμὰ κληθήσονται.

ΒΑΛΣ. Πῶς κολάζονται οἱ ἐπὶ χρήμασι χειροτονοῦντες καὶ χειροτονούμενοι, ἐῤῥήθη πλατύτερον εἰς τὴν ἑρμηνείαν τοῦ κθ' κανόνος τῶν ἁγίων ἀποστόλων, εἰς τὸν β' κανόνα τῆς δ' συνόδου, εἰς τὸν κβ' κανόνα τῆς ς' συνόδου, καὶ εἰς τὸν ε' καὶ ι' τῆς ζ' συνόδου· καὶ ἀνάγνωθι τούτους καὶ τὰς ἑρμηνείας αὐτῶν. Ἐπεὶ δὲ καὶ ἡ παροῦσα ἐπιστολὴ, ὡς καὶ οἱ κανόνες, καθαιρέσει καθυποβάλλει τοὺς χειροτονοῦντας καὶ τοὺς χειροτονουμένους, κἂν πρὸ τῆς χειροτονίας λάβωσιν ἢ δώσουσι χρήματα, κἂν μετὰ τὴν χειροτονίαν· σύναψον ταῦτά τε κἀκεῖνα, καὶ διὰ τῆς νοητῆς μαχαίρας τοῦ Πνεύματος τὸ τῆς φιλαργυρίας πάθος, ὡς ἐνὸν, ῥιζοτόμησον. Τὰ μέντοι ἐξωνούμενα χωρία διὰ τῶν τοιούτων χρημάτων Ἀκέλδαμα, φησὶ, κληθήσονται ὅπερ Ἑβραϊκόν ἐστι, καὶ ἐξελληνιζόμενον, τιμὴ καὶ χωρίον αἵματος ἑρμηνεύεται, εἴρηται ἐν τῇ βίβλῳ τῶν Πράξεων. Τοῦτο δέ ἐστιν ὃ λέγει, ὅτι, ὥσπερ ὁ διὰ τῶν ἀργυρίων, ὧν ἐπράθη διὰ τοῦ Ἰούδα ὁ Κύριος, ἀγορασθεὶς ἀγρὸς τιμὴ αἵματος ἐκλήθη, οὕτω καὶ τὰ λαμβανόμενα ἀργύρια παρὰ τῶν πωλούντων τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ αἱ ἐνορίαι, καὶ αἱ κῶμαι ἐν αἷς οἱ διδόντες χειροτονοῦνται, τιμὴ αἵματος ἔσονται καὶ κληθήσονται.

ΖΩΝΑΡ. Πρὸς τοὺς οἰκείους (*a*) ἐπισκόπους ἔγ-

ritus sancti participationem emeret : *Pecunia tua tecum sit in perditionem* [1]. Nam levius delinquit qui præ inscitia emere vult, quam qui Dei donum vendit. Venditio enim facta est; et quod tu gratis accepisti, id si vendideris, tanquam Satanæ venditus gratia privabere. Nam cauponariam introducis in res spirituales, et in ipsam Ecclesiam, ubi corpus et sanguis Christi concredita nobis sunt. Hæc ita fieri non oportet. Quale autem sit artificium, dicam. Putant se ideo non peccare, quod non ante accipiant, sed post ordinationem accipiant. Accipere autem est quandocunque accipere.

Rogo itaque, reditum illum, imo potius viam in gehennam ducentem relinquite, nec manus ejusmodi muneribus contaminantes, indignos vos efficiatis, qui mysteria sancta celebretis. Ignoscite autem mihi. Primum quidem tanquam non credens, deinde tanquam fidem adhibens, interminor. Si quis post hanc meam epistolam tale aliquid admiserit, ab his quidem quæ hic sunt altaribus secedet: quæret autem ubi Dei donum emens denuo divendere queat. Nos enim ac Dei Ecclesiæ consuetudinem talem non habemus. Cæterum uno addito desinam. Propter avaritiam ista fiunt. Avaritia autem et radix malorum omnium est, et vocatur idololatria. Nolite igitur Christo præferre simulacra ob modicum argentum; nec rursus Judam imitari, quæstus causa iterum tradentes eum, qui semel pro nobis crucifixus est. Alioquin et agri et manus eorum, qui hos fructus percipiunt, Aceldama vocabuntur.

BALS. Quomodo puniuntur qui pecuniis ordinant et ordinantur, in can. 29 sanctorum apostolorum interpretatione fusius dictum est, in can. 2, syn. 4, in can. 22, syn. 6 et in 5 et 19 septimæ syn. et lege eos eorumque **146** interpretationes. Quoniam autem præsens quoque epistola, ut et canones, depositioni subjicit, tam eos qui ordinant, quam qui ordinantur, sive ante ordinationem pecunias acceperint vel dederint; sive post ordinationem: et hæc et illa conjunge, et per gladium spiritus, qui intelligitur, avaritiæ perturbationem, quoad ejus fieri potest, radicitus exscinde. Prædia autem, quæ ejusmodi pecuniis emuntur, appellabuntur, inquit, Akeldama, quod est Hebraicum, et Græce expressum, pretium et prædium sanguinis interpretatur; dictum in libro Actuum. Hoc est autem, quod dicit; quod quemadmodum ager, qui emptus est pecunia, qua venditus est a Juda Dominus, pretium sanguinis est appellatus : ita et pecuniæ, quæ ab iis accipiuntur, qui Domini domum vendunt, et diœceses, et vici, in quibus illi qui dant ordinantur, pretium sanguinis erunt et appellabuntur.

ZONAR. Ad episcopos suos scripsit sanctus

[1] Act. VIII, 20.

(*a*) Ex codice Amerbachiano, in notis Beveregii.

Digitized by Google

[Pater] cum audiisset istos ab iis, quos ordinarant, pecunias accepisse. Et rem quidem, inquit, incredibilem esse existimavi. Eo autem, quod et in suspicionem tantum venerit, dolore me affecit : illud tantum non dicens, quod dolor mihi est vos tales esse, ut hujusmodi adversus vos dicantur. Contraria enim natura, juxta quemdam sapientem, accusationis cujuspiam non capax est : ut si quis, inquit, Ajacem scortationis accusaret. Hæc autem quæ scribo, inquit, is, qui talis cujusdam rei sibi conscius est, ut mali remedium accipiat : qui autem ea purus est, ut antidotum ad se tuendum. Pharmaca enim a medicis iis quidem, qui in morbum inciderunt, ad curationem dantur, et ad liberationem a morbo : iis autem, qui morbo nondum laborant, antidota exhibentur, ut morbo non corripiantur. Quicunque autem indifferens est, qui scilicet nec quid mali se facere putat, cum quid ab iis accipit quos ordinat, quod indifferentiæ nimirum genus, deprecor ne in vobis inveniatur, is quæ scripta sunt, accipiat ut testimonium sive ut admonitionem, ut epiphonema. Indifferentiam autem merito deprecatus est. Qui peccat enim, seque malum facere cognoscit, spes est ut a malo forsitan abstineat: qui autem malum perpetrat, seque nec malum facere existimat, ad resipiscentiam nunquam revertetur, neque a peccato abstinebit. Quod autem dico, inquit, est, nonnullos affirmare, quod vos acceptis pecuniis ordinationes celebratis : obumbratis autem, hoc est occultatis, malum nomine pietatis. Hoc autem pejus est. Qui enim malum, inquit, perpetrat, seque boni quid facere simulat, duplici supplicio dignus est, et quod malum perpetrat, et quod ad mali perpetrationem bono utitur, hoc est, boni nomine; neque enim ipso bono [utitur.] Hæc autem, si sic se habeant, nimirum si vera sint, corrigantur. Necesse enim est, ut ad istos, qui pro pecuniis ordinant, illud sancti Petri verbum dicatur, quod is ad Simonem pecunias proferentem, et gratiam Spiritus dari sibi quærentem, pronuntiavit, quod est, *Tuum tecum sit argentum in perditionem* [1]. Deinde et peccatum auget, dicens, quod qui ordines emunt, levius aliquantulum peccant, quam ii qui vendunt. Illi enim id per imperitiam emunt quod non habent : qui vendit autem, id vendit quod gratis accepit ; ut a Satana emptus sive mercenarius servus diabolo factus, et ad cauponationem, hoc est negotiationem, gratiam Spiritus deducit. Cauponatio enim negotiatio dicitur, eaque summe sordida, quam dicit sordidam in Ecclesiam introducere negotiationem; ubi pretiosissima nobis concredita habemus, vel potius quæ omne pretium excedunt, quæ sunt corpus et sanguis Christi. Cum antea dixisset, Obumbratis malum, nunc etiam dicit quomodo obumbrant. Existimant, inquit, se non peccare, quoniam simul cum ordinatione non accipiunt, sed postea. Accipere autem

A γραφεν ὁ ἅγιος, ἀκούσας ὅτι ἀπὸ τῶν χειροτονουμένων παρ' αὐτῶν λαμβάνουσι χρήματα, καὶ ἄπιστον μὲν, φησὶν, ἡγησάμην τὸ πρᾶγμα· ὅτι δὲ καὶ ὑποπτεύθη μόνον, λύπην μοι προεξένησε, μόνον οὐχὶ τοῦτο λέγων, ὅτι λύπη μοι ἐστὶ τὸ τοιούτους εἶναι ὑμᾶς, ὥστε τοιαῦτα λέγεσθαι καθ' ὑμῶν. Ἔστι γὰρ ἦθος κατά τινα σοφὸν ἕτερον τινὸς κατηγορίας ἀνένδεκτον, ὡς εἴ τις, φησὶν, ἑταιρήσεως διώκει τὸν Αἴαντα. Ταῦτα δὲ, ἃ γράφω, φησὶν, ὁ μὲν συνειδὼς ἑαυτῷ τοιοῦτόν τι δεξάσθω ὡς ἴαμα τῆς κακίας· ὁ δὲ καθαρὸς ἐξ αὐτῆς, ὡς προφυλακτήριον· τὰ γὰρ φάρμακα παρὰ τῶν ἰατρῶν τοῖς μὲν ἐμπεσοῦσιν εἰς νόσον διὰ ἴασιν δίδονται, καὶ τῆς νόσου ἀπαλλαγὴν, τοῖς δὲ μήπω νοσοῦσι, παρέχονται προφυλακτικὰ, ὥστε μὴ νοσῆσαι. Ὅστις δὲ, φησὶν, ἀδιάφορός ἐστιν, B ἤγουν ὅστις οὐδὲ νομίζει κακόν τι ποιεῖν, λαμβάνων ἐκ τῶν παρ' αὐτοῦ χειροτονουμένων, ὅπερ τὸ τῆς ἀδιαφορίας δηλαδὴ ἀπεύχομαι ἐν ὑμῖν εὑρεθῆναι, δεξάσθω τὰ γραφόμενα ὡς μαρτυρίαν, ἤτοι ὡς παραγγελίαν, ὡς ἐπιφώνημα. Ἀπηύξατο δὲ τὴν ἀδιαφορίαν εἰκότως. Ὁ γὰρ ἁμαρτάνων, καὶ εἰδὼς κακὸν ποιεῖν, ἐλπίζεται ἴσως καὶ ἀποσχέσθαι ἀπὸ τοῦ κακοῦ· ὁ δὲ τὸ κακὸν πράσσων, καὶ μηδὲ λογιζόμενος κακὸν ποιεῖν, οὐκ ἂν ποτε ἔλθῃ εἰς μετάνοιαν, οὐδὲ τῆς ἁμαρτίας ἀφέξεται. Ὃ δὲ λέγω, φησὶν, ἐστὶ, τὸ λέγειν τινάς, ὅτι χρήματα λαμβάνοντες τὰς χειροτονίας ποιεῖτε· ἐπισκιάζετε δὲ, ἀντὶ τοῦ ἐπικρύπτετε, τὸ κακὸν εὐσεβείας ὀνόματι. Τοῦτο δὲ χεῖρον ἐστίν. Ὁ γὰρ ποιῶν, φησὶ, τὸ κακὸν, καὶ C σχηματιζόμενος καλόν τι ποιεῖν, διπλῆς ἐστιν ἄξιος τιμωρίας, ὅτι τε τὸ κακὸν ποιεῖ, καὶ ὅτι κέχρηται εἰς συνεργίαν τῆς κακίας τῷ ἀγαθῷ, ἤτοι τῷ ὀνόματι τοῦ καλοῦ, οὐ γὰρ αὐτῷ τῷ καλῷ. Ταῦτα εἰ οὕτως ἔχει, ἤγουν εἰ ἀληθῆ εἰσι, διορθωθήτω. Ἀνάγκη γὰρ λέγεσθαι πρὸς τοὺς ἐπὶ χρήμασι χειροτονοῦντας τὸ τοῦ ἁγίου Πέτρου, ὃ πρὸς τὸν Σίμωνα ἔφη, χρήματα προσαγαγόντα, καὶ ζητοῦντα δοθῆναι αὐτῷ τὴν χάριν τοῦ Πνεύματος, ὅπερ ἐστὶν, *Εἴη τὸ ἀργύριόν σου σὺν σοὶ εἰς ἀπώλειαν*. Εἶτα καὶ αὔξει τὴν ἁμαρτίαν, λέγων, ὅτι οἱ τὰς χειροτονίας ὠνούμενοι, ἐλαφρότερόν τι ἁμαρτάνουσι τῶν πιπρασκόντων αὐτάς· οἱ μὲν γὰρ δι' ἀπειρίαν ὠνοῦνται ὃ οὐκ ἔχουσιν· ὁ δὲ πιπράσκων πωλεῖ ὃ ἔλαβε δωρεάν· ὡς πεπραμμένος τῷ Σατανᾷ, ἤγουν ὡς δοῦλος ὠνητὸς D τῷ διαβόλῳ γενόμενος, καὶ εἰς καπηλείαν, ἀντὶ τοῦ εἰς πραγματείαν, κατάγει τὴν χάριν τοῦ Πνεύματος. Καπηλεία γὰρ ἡ πραγματεία λέγεται, καὶ μάλιστά γε ἡ ῥυπαρὰ, ἣν, φησὶ, τὴν ῥυπαρὰν πραγματείαν ἐπεισάγει τῇ Ἐκκλησίᾳ, ὅπου πεπιστεύμεθα τὰ τιμιώτατα, μᾶλλον δὲ τὰ ὑπὲρ πᾶσαν τιμὴν, ἃ εἰσι τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Χριστοῦ. Εἰπὼν ἄνω, ὅτι Ἐπισκιάζετε τὸ κακὸν, νῦν καὶ πῶς ἐπισκιάζουσι, λέγει· Νομίζουσι, φησὶ, μὴ ἁμαρτάνειν, ὅτι οὐ λαμβάνουσιν ἅμα τῇ χειροτονίᾳ, ἀλλὰ μετὰ ταῦτα· λαβεῖν δέ ἐστιν, ὁτεδήποτε τὸ λαβεῖν. Κἂν γὰρ μὴ πρότερόν τις λάβῃ, ἢ ὅτε χειροτονεῖ, ἀλλὰ μετὰ καιρὸν, διὰ τὴν χειροτονίαν, τὸ αὐτό ἐστιν ἁμάρτημα.

[1] Act. VIII, 10.

Digitized by Google

Παρακαλῶ οὖν, ἀπόθεσθε ταύτην τὴν πρόσοδον, μᾶλλον δὲ τὴν προσαγωγὴν τὴν ἐπὶ γέενναν· ἡ γὰρ ἐκ τοιαύτης αἰτίας πρόσοδος προσάγει τῇ γεέννῃ τὸν χρώμενον αὐτῇ. Καὶ μὴ τὰς χεῖρας μολύνοντες ἀπὸ τοῦ λαμβάνειν, ἀπὸ πόρων τοιούτων ἀναξίους ποιήσητε ἑαυτοὺς τοῦ μεταχειρίζεσθαι τὰ ἅγια μυστήρια, ἤγουν τοῦ ἱερουργεῖν καὶ θύειν τὸ σῶμα καὶ αἷμα τοῦ Χριστοῦ. Ὅτι δὲ εἰς ἀπειλὴν περιέστησε τὸν λόγον ὁ ἅγιος, εἰπὼν ἐν ἀρχῇ τῆς ἐπιστολῆς, ὅτι ἄπιστον ἡγησάμην τὸ πρᾶγμα, συγγνώμην αἰτεῖ. Ἡ δὲ ἀπειλή ἐστι τὸ μηκέτι ἐαθῆναι τὸν μετὰ τὴν ἐπιστολὴν τοιοῦτόν τι ποιήσαντα εἰς θυσιαστήριον ἐνεργῆσαι. Ἀναχωρήσει γάρ, φησίν, ὁ τοιοῦτος τῶν ἐνταῦθα θυσιαστηρίων, ἀντὶ τοῦ κωλυθήσεται ὧδε ἱερατεύειν, καὶ λοιπὸν ἄλλην χώραν αἰτήσει, ἐν ᾗ ἐξωνίσεται τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ μεταπωλήσει αὐτήν. Καὶ ἐπὶ τούτοις τὰ ἀποστολικὰ ἐπάγει ῥητά· *Ἡμεῖς γὰρ καὶ αἱ Ἐκκλησίαι τοῦ Θεοῦ τοιαύτην συνήθειαν οὐκ ἔχομεν.* Εἶτά φησιν, ὅτι τὸ πωλεῖν τὴν χάριν τοῦ Πνεύματος, διὰ φιλαργυρίαν γίνεται, ἥτις ῥίζα πάντων τῶν κακῶν ἐστι, καὶ ὀνομάζεται εἰδωλολατρία. Μὴ οὖν προτιμήσητε τὰ εἴδωλα τοῦ Χριστοῦ διὰ μικρὸν ἀργύριον. Ἐπεὶ γὰρ ἡ φιλαργυρία εἰδωλολατρία ἐστὶν, ὁ διὰ φιλαργυρίαν πωλῶν τὴν δωρεὰν τοῦ Θεοῦ προτιμᾶται τὰ εἴδωλα τοῦ Θεοῦ, καὶ μιμεῖται τὸν Ἰούδαν. Ὡς γὰρ ἐκεῖνος διὰ τὸ κερδῆσαι τὰ ἀργύρια παρέδωκε τὸν Χριστὸν, οὕτω καὶ οὗτοι προδιδόασιν ἑκόντες δευτέραν εἰς πρυδοσίαν τὸν Χριστὸν, ὃς ἅπαξ ὑπὲρ ἡμῶν ἐσταυρώθη. Τοσοῦτον δὲ φησὶ, τὸν Ἰούδαν μιμοῦνται οἱ τὴν χάριν πωλοῦντες τοῦ Πνεύματος, ὅτι καὶ τὰ χωρία, τὰ διὰ τῶν ἀργυρίων τούτων ὠνούμενα, ἤγουν αἱ ἐνορίαι, καὶ αἱ κῶμαι ἐν αἷς ἐπικηρύττονται οἱ οὕτω χειροτονούμενοι, καὶ αἱ χεῖρες, αἱ τοὺς καρποὺς τούτους δεχόμεναι, Ἀκελδαμὰ κληθήσονται· ὅπερ Ἑβραϊκόν ἐστι, ἐξελληνιζόμενον δὲ τιμὴν καὶ χωρίον αἵματος ἑρμηνεύεται. Εἴρηται δὲ ἐν τῇ βίβλῳ τῶν Πράξεων. Τοῦτο οὖν ἐστιν ὃ λέγει· ὅτι ὥσπερ ὁ διὰ τῶν ἀργυρίων, ὃι' ὧν ἐπράθη παρὰ τοῦ Ἰούδα ὁ Κύριος, ἀγορασθεὶς ἀγρὸς τιμὴ αἵματος ἐλογίσθη καὶ ὠνομάσθη, οὕτω καὶ τὰ λαμβανόμενα ἀργύρια παρὰ τῶν πωλούντων τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ αἱ ἐνορίαι, καὶ αἱ κῶμαι, ἐν αἷς οἱ διδόντες χειροτονοῦνται, τιμὴ αἵματος ἔσονται καὶ κληθήσονται.

est quandocunque accipere. Quamvis enim quis prius non acceperit, vel quando ordinat, sed aliquo post tempore, propter ordines a se collatos, idem est peccatum. Adhortor igitur, ut hunc deponatis reditum, vel potius ad gehennam aditum; reditus enim hoc modo acquisitus eo utentem ad gehennam ducit: et ne manus vestras accipiendo polluentes, per hujusmodi quæstus vosmet indignos reddatis, qui sancta mysteria contrectetis; nimirum qui sacra celebretis et corpus et sanguinem Christi offeratis. Quoniam autem orationem sanctus ad minas converterat, initio Epistolæ dicens, quod rem incredibilem existimavi, veniam petit. Comminatio est, quod qui post hanc Epistolam aliquid istiusmodi perpetraverit, ad altare amplius celebrare non permittetur. Talis enim ab altaribus, inquit, quæ hic sunt, recedet; hoc est, sacra hoc in loco celebrare prohibebitur, et aliam in posterum regionem quæret, in qua donum Dei redimat, idemque vendat. Adhæc apostolica producit verba; *Nos enim et Ecclesiæ Dei talem non habemus consuetudinem* [1]. Postea dicit, quod venditio gratiæ Spiritus propter avaritiam facta est, quæ radix est omnium malorum, et idololatria nominatur. Idola itaque Christo propter paululum pecuniæ ne præferatis. Cum enim avaritia idololatria sit, qui propter avaritiam donum Dei vendit, idola Deo præferi, et Judam imitatur. Quemadmodum enim ille Christum prodidit, ut argentum lucraretur: sic hi secunda proditione Christum sponte produnt, qui semel pro nobis crucifixus est. Qui gratiam autem Spiritus vendunt, usque adeo, inquit, Judam imitantur, ut prædia tali argento empta, sive regiones, et vici, in quibus constituuntur, qui isthoc modo ordines sibi collatos habent, et manus, quæ istos fructus accipiunt, Akeldama vocabuntur; quod Hebraicum est, Græce autem Pretium et agrum sanguinis significat. Referetur autem in libro Actorum. Hoc igitur est quod dicit: quod sicut ager, qui nummis argenteis, pro quibus venditus est Dominus, emptus est, pretium sanguinis reputatus est et nominatus; sic etiam argentum ab iis, qui donum Dei vendunt, acceptum, et regiones et vici, in quibus ordinantur illi qui dederunt, pretium sanguinis erunt et appellabuntur.

[1] I Cor. xi, 16.

Digitized by Google

ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ

ΕΚ ΤΟΥ ΚΖ' ΚΕΦ.

Τῶν περὶ τοῦ ἁγίου Πνεύματος

ΠΡΟΣ ΤΟΝ ΜΑΚΑΡΙΟΝ ΑΜΦΙΛΟΧΙΟΝ.

SANCTI BASILII

EX XXVII CAPITE

EORUM QUÆ DE SANCTO SPIRITU AD BEATUM AMPHILOCHIUM SCRIPTA SUNT.

147 CANON XCII.

Ex asservatis in Ecclesia dogmatibus et prædicationibus, alia quidem habemus e doctrina scripto prodita; alia vero nobis in mysterio tradita recepimus ex traditione apostolorum: quorum utraque vim eamdem habent ad pietatem; nec iis quisquam contradicet: nullus certe, qui vel tenui experientia noverit quæ sint Ecclesiæ instituta. Nam si consuetudines quæ scripto proditæ non sunt, tanquam haud multum habentes momenti aggrediamur rejicere, imprudentes Evangelium in ipsis rebus præcipuis lædemus, imo potius prædicationem ad nudum nomen contrahemus. Verbi gratia, ut ejus quod primum est et vulgatissimum primo loco commemorem: ut signo crucis eos qui spem collocant in Christo signemus, quis scripto docuit? Ut ad Orientem versi precemur, quæ nos docuit Scriptura? Invocationis verba cum conficitur panis Eucharistiæ et poculum benedictionis, quis sanctorum in scripto nobis reliquit? Nec enim his contenti sumus, quæ commemorat Apostolus aut Evangelium, verum alia quoque et ante et post dicimus, tanquam multum habentia momenti ad mysterium, quæ ex traditione non scripta accepimus. Benedicimus autem et aquam baptismatis, et oleum unctionis, imo ipsum etiam qui baptismum accipit. Ex quibus scriptis? Nonne a tacita secretaque traditione? Ipsam vero olei unctionem, quis sermo scripto proditus docuit? Jam ter immergi hominem, unde haustum? Reliqua autem quæ fiunt in baptismo, veluti renuntiare Satanæ et angelis ejus, ex qua scriptura habemus? Nonne ex minime publicata et arcana hac doctrina, quam patres nostri silentio quieto minimeque curioso servarunt? Quippe illud probe didicerant, mysteriorum reverentiam silentio conservari. Nam quæ nec intueri fas est non initiatis, qui conveniebat horum doctrinam scriptis vulgari? aut quid tandem sibi volu t.

ΚΑΝΩΝ ΛΒ'.

Τῶν ἐν τῇ Ἐκκλησίᾳ πεφυλαγμένων δογμάτων καὶ κηρυγμάτων τὰ μὲν ἐκ τῆς ἐγγράφου διδασκαλίας ἔχομεν, τὰ δὲ ἐκ τῆς τῶν ἀποστόλων παραδόσεως διεδεξάμεθα παραδοθέντα ἡμῖν ἐν μυστηρίῳ· ἅπερ ἀμφότερα τὴν αὐτὴν ἰσχὺν ἔχει πρὸς τὴν εὐσέβειαν. Καὶ τούτοις οὐδεὶς ἀντερεῖ, οὐκοῦν ὅστις γε κατὰ μικρὸν γοῦν θεσμῶν ἐκκλησιαστικῶν πεπείραται. Εἰ γὰρ ἐπιχειρήσαιμεν τὰ ἄγραφα τῶν ἐθῶν ὡς μὴ μεγάλην ἔχοντα τὴν δύναμιν παραιτεῖσθαι, λάθοιμεν ἂν εἰς αὐτὰ τὰ καίρια ζημιοῦντες τὸ Εὐαγγέλιον· μᾶλλον δὲ εἰς ὄνομα ψιλὸν περιιστῶντες τὸ κήρυγμα. Οἷον [ἵνα τοῦ πρώτου καὶ κοινοτάτου πρῶτον μνησθῶ] τῷ τύπῳ τοῦ σταυροῦ τοὺς εἰς τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἠλπικότας καταση μαίνεσθαι τίς ὁ διὰ γράμματος διδάξας; Τὸ πρὸς ἀνατολὰς τετράφθαι κατὰ τὴν προσευχὴν ποῖον ἐδίδαξεν ἡμᾶς γράμμα; Τὰ τῆς ἐπικλήσεως ῥήματα ἐπὶ τῇ ἀναδείξει τοῦ ἄρτου τῆς Εὐχαριστίας καὶ τοῦ ποτηρίου τῆς εὐλογίας τίς τῶν ἁγίων ἐγγράφως ἡμῖν καταλέλοιπεν; Οὐ γὰρ δὴ τούτοις ἀρκούμεθα, ὧν ὁ Ἀπόστολος ἢ τὸ Εὐαγγέλιον ἐπεμνήσθη, ἀλλὰ καὶ προλέγομεν καὶ ἐπιλέγομεν ἕτερα, ὡς μεγάλην ἔχοντα πρὸς τὸ μυστήριον τὴν ἰσχύν, ἐκ τῆς ἀγράφου διδασκαλίας παραλαβόντες. Εὐλογοῦμεν δὲ τό τε ὕδωρ τοῦ βαπτίσματος, καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ προσέτι αὐτὸν τὸν βαπτιζόμενον. Ἀπὸ ποίων ἐγγράφων; Οὐκ ἀπὸ τῆς σιωπωμένης καὶ μυστικῆς παραδόσεως; Τί δέ; αὐτὴν τοῦ ἐλαίου τὴν χρίσιν τίς λόγος γεγραμμένο· ἐδίδαξε· Τὸ δὲ τρὶς βαπτίζεσθαι τὸν ἄνθρωπον πόθεν, Ἄλλα δὲ ὅσα περὶ τὸ βάπτισμα, ἀποτάσσεσθαι τῷ Σατανᾷ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ἐκ ποίας ἐστὶ γραφῆς; Οὐκ ἐκ τῆς ἀδημοσιεύτου ταύτης καὶ ἀπορρήτου διδασκαλίας, ἣν ἐν ἀπολυπραγμονήτῳ καὶ ἀπεριεργάστῳ σιγῇ οἱ πατέρες ἡμῶν ἐφύλαξαν, καλῶς ἐκεῖνο δεδιδαγμένοι, τῶν μυστηρίων τὸ σεμνὸν σιωπῇ διασώζεσθαι; Ἃ γὰρ οὐδὲ ἐκποιεῖν ἔξεστι τοῖς ἀμυήτοις, τούτων πῶς ἂν ἦν εἰκὸς τὴν διδασκαλίαν ἐκθριαμβεύειν ἐν γράμμασιν (23);

Guill. Beveregii notæ.

(23) *Θριαμβεύειν ἐν γράμμασι.* Post hæc verba in codice Amerbachiano σχόλιον sequitur, his verbis conceptum, Ἰστέον, ὅτι ὁ μακάριος Ἰωάννης ὁ Χρυσόστομος ἐν τῷ δ' λόγῳ τῆς πρὸς Θεσσαλονι-

Digitized by Google

Οὗτος ὁ λόγος τῆς τῶν ἀγράφων παραδόσεως, ὡς μὴ καταμεληθεῖσαν τῶν δογμάτων τὴν γνῶσιν εὐκαταφρόνητον τοῖς πολλοῖς γενέσθαι διὰ συνήθειαν. Ἄλλο γὰρ δόγμα, καὶ ἄλλο κήρυγμα. Τὸ μὲν γὰρ σιωπᾶται, τὰ δὲ κηρύγματα δημοσιεύεται. Σιωπῆς δὲ εἶδος καὶ ἡ ἀσάφεια, ᾗ κέχρηται ἡ Γραφή, δυσθεωρητον κατασκευάζουσα τῶν δογμάτων τὸν νοῦν πρὸς τὸ τῶν ἐντυγχανόντων λυσιτελές. Τούτου χάριν πάντες μὲν ὁρῶμεν κατ' ἀνατολὰς ἐπὶ τῶν προσευχῶν· ὀλίγοι δὲ ἴσμεν, ὅτι τὴν ἀρχαίαν ἐπιζητοῦμεν πατρίδα, τὸν παράδεισον, ὃν ἐφύτευσεν ὁ Θεὸς ἐν Ἐδὲμ κατ' ἀνατολάς. Ὀρθοὶ μὲν πληροῦμεν τὰς εὐχὰς ἐν τῇ μιᾷ τοῦ Σαββάτου· τὸν δὲ λόγον οὐ πάντες οἴδαμεν. Οὐ γὰρ μόνον ὡς συναναστάντες Χριστῷ, καὶ τὰ ἄνω ζητεῖν ὀφείλοντες, ἐν τῇ ἀναστασίμῳ ἡμέρᾳ τῆς δεδομένης ἡμῖν χάριτος διὰ τῆς κατὰ τὴν προσευχὴν στάσεως ἑαυτοὺς ὑπομιμνήσκομεν· ἀλλ' ὅτι δοκεῖ πως τοῦ προσδοκωμένου αἰῶνος εἶναι εἰκών. Διὸ καὶ ἀρχὴ οὖσα ἡμερῶν, οὐχὶ πρώτη παρὰ Μωϋσέως, ἀλλὰ μία ὠνόμασται. *Ἐγένετο γάρ*, φησὶν, *ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα μία*· ὡς τῆς αὐτῆς ἀνακυκλουμένης πολλάκις. Καὶ μία τοίνυν ἡ αὐτή, καὶ ὀγδόη, τὴν μίαν ὄντως ἐκείνην καὶ ἀληθινὴν ὀγδόην, ἧς καὶ ὁ Ψαλμῳδὸς ἔν τισιν ἐπιγραφαῖς τῶν ψαλμῶν ἐπεμνησθη, δι' ἑαυτῆς ἐμφανίζουσα, τὴν μετὰ τὸν χρόνον τοῦτον καταστασιν, τὴν ἄπαυστον ἡμέραν, τὴν ἀνέσπερον, τὴν ἀδιάδοχον, τὸν ἄληκτον ἐκεῖνον καὶ ἀγήρω αἰῶνα. Ἀναγκαίως οὖν τὰς ἐν αὐτῇ προσευχὰς ἑστῶτας ἀποπληροῦν τοὺς ἑαυτῆς τροφίμους ἡ Ἐκκλησία παιδεύει, ἵνα τῇ συνεχεῖ ὑπομνήσει τῆς ἀτελευτήτου ζωῆς τῶν πρὸς τὴν μετάστασιν ἐκείνην ἐφοδίων μὴ ἀμελῶμεν. Καὶ πᾶσα δὲ ἡ πεντηκοστὴ τῆς ἐν τῷ αἰῶνι προσδοκωμένης ἀναστάσεώς ἐστιν ὑπόμνημα. Ἡ γὰρ μία ἐκείνη καὶ πρώτη ἡμέρα, ἑπτάκις ἐπταπλασιασθεῖσα, τὰς ἑπτὰ τῆς ἱερᾶς πεντηκοστῆς ἑβδομάδας ἀποτελεῖ. Ἐκ πρώτης γὰρ ἀρχομένη, εἰς τὴν αὐτὴν καταλήγει δι' ὁμοίων τῶν ἐν τῷ μέσῳ ἐξελιττομένη πεντηκοντάκις. Διὸ καὶ αἰῶνα μιμεῖται τῇ ὁμοιότητι, ὥσπερ ἐν κυκλικῇ κινήσει ἀπὸ τῶν αὐτῶν ἀρχομένη σημείων, καὶ εἰς τὰ αὐτὰ καταλήγουσα. Ἐν ᾗ τὸ ὄρθιον σχῆμα τῆς προσευχῆς προτιμᾷ οἱ θεσμοὶ τῆς Ἐκκλησίας

A Hæc est ratio, cur quædam citra scriptum tradita sint, ne dogmatum notitia neglecta, propter assuetudinem vulgo veniret in contemptum. Aliud utique est dogma, aliud prædicatio. Nam dogmata silentur, prædicationes vero publicantur. Est autem silentii species etiam obscuritas qua utitur Scriptura, intellectu difficilem reddens dogmatum sententiam, idque ad legentium utilitatem. Hanc ob causam omnes spectamus ad orientem, cum precamur, pauci tamen novimus, quod id facientes antiquam requirimus patriam, videlicet paradisum, quem plantavit Deus in Eden ad orientem [1]. Erecti itidem perficimus deprecationes in una Sabbati, sed rationem non omnes novimus. Non enim solum quod veluti simul cum Christo resu-
B scitati, quæ sursum sunt quærere debeamus, in die resurrectionis datæ nobis gratiæ stando precantes nosmetipsos commonefacimus, sed quod is dies videatur eliquo modo imago venturi sæculi. Eoque cum sit principium dierum, non primus a Moyse, sed unus appellatus est. *Facta est enim*, inquit, *vespera, et factum est mane, dies unus* [2] : tanquam qui sæpe recurrat. Igitur unus est idem et octavus, unum illum singularem ac verum octavum, cujus et Psalmista in quibusdam Psalmorum inscriptionibus meminit [3], per se significans, statum videlicet hoc tempus secuturum, diem non desiturum, vesperæ nescium, successoris expertem, ævum illud nunquam finiendum nec unquam senescens. Necessario igitur in hoc die Ec-
C clesia suos alumnos docet, preces suas stando absolvere, ut assidua commonitione vitæ illius nunquam desituræ, non negligamus ad eam demigrationem parare viaticum. Quin et totum illud quinquaginta dierum tempus admonitio est resurrectionis, quam in altero sæculo exspectamus. Nam unus ille et primus dies septies multiplicatus, septem sacras Pentecostes hebdomadas absolvit. A primo enim incipiens, in eumdem desinit, per similes, qui in medio intercedunt, dies quinquagies evolutus. Unde et æternitatem similitudine refert, dum velut in motu circulari, ab iisdem orsus signis in eadem desinit. Quo in die, corporis

[1] Gen. II, 8. [2] Gen. I, 5. [3] Psal. VI et VII.

Guill. Beveregii notæ.

κεῖς δευτέρας Ἐπιστολῆς, ἑρμηνεύων τὸ λίγον ῥητὸν, *Ἄρα οὖν, ἀδελφοὶ, στήκετε καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε εἴτε διὰ λόγων, εἴτε δι' Ἐπιστολῆς ἡμῶν*, φησὶν, ἐνταῦθα δῆλον, ὅτι οὐ πάντα δι' Ἐπιστολῆς παρεδίδοσαν, ἀλλὰ πολλὰ καὶ ἀγράφως· ὁμοίως δὲ κἀκεῖνα καὶ ταῦτά ἐστιν ἀξιόπιστα. Ὥστε καὶ τὴν παράδοσιν τῆς Ἐκκλησίας ἀξιόπιστον ἡγούμεθα. Παράδοσίς ἐστι, μηδὲν πλέον ζήτει. Ὁ αὐτὸς ἐν τῷ ἑρμηνευτικῷ τῆς πρὸς Ἐφεσίους Ἐπιστολῆς ια' λόγῳ περὶ τῶν σχιζόντων τὴν Ἐκκλησίαν, φησὶν οὕτως· Ἀνήρ τις ἅγιος εἶπεν ὅτι οὐδὲ μαρτύρων αἷμα δύναται ταύτην τὴν ἁμαρτίαν ἐξαλεῖφειν. *Sciendum est, quod beatus Joannes Chrysostomus, quarto sermone in secundam Epistolam ad Thessalonicenses, inter-*

D *pretans dictum istud*, Itaque, fratres, state, et tenete traditiones, quas didicistis, sive per sermonem, sive per Epistolam nostram, *ait, hinc manifestum est, quod non omnia per Epistolam tradita sunt, sed multa etiam sine scriptis. Et hæc autem et illa similiter sunt fide digna : adeo ut etiam traditionem Ecclesiæ fide dignam existimemus. Traditio est, nihil amplius quære. Idem in interpretatione Epistolæ ad Ephesios, sermone 11 de istis qui Ecclesiam scindunt, sic ait ; Sanctus vir quidam dixit, quod nec martyrum sanguis istud peccatum delere potest.* Post hoc scholium in eodem codice ms. habetur interpretatio Zonaræ in præsentem canonem, quam ut antehac non editam post Balsamonis interpretationem apponimus.

Digitized by Google

erecto habitu precari potius nos Ecclesiæ ritus docuerunt, nimirum per evidentem commonitionem quasi-transferentes mentem nostram a præsentibus ad futura. Insuper et quoties genua flectimus, et rursus erigimur, ipso facto ostendimus, quod ob peccatum in terram delapsi sumus, et per humanitatem ejus qui creavit nos in cœlum revocati sumus.

Deficiet me dies, si Ecclesiæ mysteria citra scriptum tradita pergam recensere. Omitto cætera : ipsam fidei professionem in Patrem et Filium et Spiritum sanctum, e quibus habemus scriptis? Etenim si quoniam ex baptismi traditione, juxta pietatis consecutionem, ut baptizamur, ita et credere debemus, similem baptismo professionem exhibemus : concedant etiam nobis, ut juxta eamdem consequentiam glorificationem fidei consimilem persolvamus Quod si glorificandi modum veluti scripto non traditum rejiciunt, proferant nobis et professionis fidei et cæterorum quæ commemoravimus probationem e Scripturis. Adhæc cum tam multa sint quæ scripto prodita non sunt, et tantum habent momenti ad pietatis mysterium, unicam dictiunculam quæ a majoribus ad nos devenit, non concedent, quam nos ex inaffectata consuetudine in Ecclesiis, quæ perversæ et corruptæ non sunt, permanentem invenimus, haud mediocrem rationem habentem, neque mediocre adjumentum ad mysterii vim afferentem?

BALS. De non scriptis Ecclesiæ moribus lege tertium caput primi tituli præsentis operis, et quæ in eo a nobis scripta sunt. Quod autem dicit hæc epistola, tale est : Cum Pneumatomachi (hoc est sancti Spiritus adversarii) dicerent, non debere Spiritum sanctum simul cum Patre et Filio glorificari, quod hoc non sit nobis in scriptis traditum ; sanctus, postquam diversas non scriptas consuetudines recensuit, quæ necessario omnino non solverentur, sed perpetuo observari deberent, subjungit etiam causas propter quas quædam ex his absque scriptis traditæ sunt, et dicit propter quam causam ad orientem respicientes oramus, et cur una Sabbatorum stantes precamur : et quod non omnia quidem scriptis mandentur, **148** ratio est, quod non oporteat dogmata publicari, et ab omnibus cognosci. Prædicationes enim, inquit, publicantur : dogmata vero tacentur, ne sæpius agitata, hoc est, frequentius meditata et usurpata, ex consuetudine contemnantur. Est enim silentii quoque species obscuritas. Quod enim obscure dictum, ut non etiam a multis intelligatur, taceri videtur : quemadmodum enim nescit quispiam, quod alius habet in animo ; ita etiam quod obscure dictum est a pluribus ignoratur. Hoc ergo dicit sanctus esse causam, ut non omnia nobis in scriptis tradita sint. Quod autem dum oramus orientem aspicimus, causam dicit esse, quod nos antiquam patriam inquiramus, paradisum scilicet, quem Deus plantavit ab oriente. Genu autem non flectere in una Sabbatorum, quæ est Do-

A ἡμᾶς ἐξεπαίδευσαν, ἐκ τῆς ἐναργοῦς ὑπομνήσεως οἱονεὶ μετοικίζοντες ἡμῶν τὸν νοῦν ἀπὸ τῶν παρόντων ἐπὶ τὰ μέλλοντα. Καὶ καθ' ἑκάστην δὲ γονυκλισίαν καὶ διανάστασιν ἔργῳ δείκνυμεν, ὅτι διὰ τῆς ἁμαρτίας εἰς γῆν κατερρύημεν, καὶ διὰ τῆς φιλανθρωπίας τοῦ κτίσαντος ἡμᾶς εἰς οὐρανὸν ἀνεκλήθημεν.

Ἐπιλείψει με ἡ ἡμέρα, τὰ ἄγραφα τῆς Ἐκκλησίας μυστήρια διηγούμενον. Ἐῶ τἄλλα· αὐτὴν δὲ τὴν ὁμολογίαν τῆς πίστεως εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα ἐκ ποίων γραμμάτων ἔχομεν; Εἰ μὲν γὰρ ἐκ τῆς τοῦ βαπτίσματος παραδόσεως, κατὰ τὸ τῆς εὐσεβείας ἀκόλουθον, ὡς βαπτιζόμεθα οὕτω καὶ πιστεύειν ὀφείλοντες, οὐσίαν τῷ
B βαπτίσματι τὴν ὁμολογίαν κατατιθέμεθα, συγχωρησάτωσαν καὶ ἡμῖν ἐκ τῆς αὐτῆς ἀκολουθίας ὁμοίαν τῇ πίστει τὴν δόξαν ἀποδιδόναι· εἰ δὲ τὸν τρόπον τῆς δοξολογίας ὡς ἄγραφον παραιτοῦνται, δότωσαν ἡμῖν τῆς τε κατὰ τὴν πίστιν ὁμολογίας καὶ τῶν λοιπῶν, ὧν ἀπηριθμησάμεθα, ἐγγράφους τὰς ἀποδείξεις. Εἶτα τοσούτων ὄντων ἀγράφων, καὶ τοσαύτην ἐχόντων τὴν ἰσχὺν εἰς τὸ τῆς εὐσεβείας μυστήριον, μίαν λέξιν ἡμῖν ἐκ πατέρων εἰς ἡμᾶς ἐλθοῦσαν οὐ συγχωρήσουσιν, ἣν ἡμεῖς ἐκ τῆς ἀνεπιτηδεύτου συνηθείας ταῖς ἀδιαστρόφοις τῶν Ἐκκλησιῶν ἐναπομείνασαν εὕρομεν, οὐ μικρὸν τὸν λόγον ἔχουσαν. οὐδὲ βραχεῖαν συντέλειαν εἰς τὴν τοῦ μυστηρίου δύναμιν εἰσφερομένην ;

C ΒΑΛΣ. Περὶ τῶν ἀγράφων ἐθῶν τῆς Ἐκκλησίας ἀνάγνωθι τὸ γ' κεφαλ. τοῦ α' τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ παρ' ἡμῶν γραφέντα. Ὃ δὲ φησιν ἡ παροῦσα ἐπιστολή, τοιοῦτόν ἐστι· Τῶν Πνευματομάχων λεγόντων μὴ ὀφείλειν συνδοξάζεσθαι τῷ Πατέρι καὶ τῷ Υἱῷ τὸ πανάγιον Πνεῦμα, διὰ τὸ μὴ παραδοθῆναι τοῦτο ἡμῖν ἐγγράφως, ὁ ἅγιος, μετὰ τὸ καταλέξαι διάφορα ἄγραφα ἔθη, ἐξ ἀνάγκης πάσης μὴ παραλυόμενα, ἀλλ' αἰωνίζοντα κρατεῖν μέλλοντα, ἐπάγει καὶ αἰτίας δι' ἃς ἀγράφως τινὰ ἐκ τούτων παραδέδονται, καὶ φησι διὰ τί κατὰ ἀνατολὰς ὁρῶντες εὐχόμεθα, καὶ διὰ τί ὀρθοὶ τῇ μιᾷ τῶν Σαββάτων ποιούμεθα τὰς εὐχάς· καὶ ὁμὲν περὶ τοῦ μὴ ἐγγράφω, παραδεδόσθαι ἡμῖν λόγος ἐστὶ, τὸ τὰ δόγματα
D μὴ δημοσιεύεσθαι, καὶ παρὰ πάντων γινώσκεσθαι. Τὰ μὲν γὰρ κηρύγματα, φησὶ, δημοσιεύεται· τὰ δὲ δόγματα σιωπᾶται, ἵνα μὴ καταμελετηθέντα, τουτέστιν, ἐν συνεχεῖ μελέτῃ γινόμενα, ἐκ τῆς συνηθείας καταφρονῶνται. Σιωπῆς δὲ εἶδός ἐστι καὶ ἡ ἀσάφεια. Τὸ γὰρ ἀσαφῶς εἰρημένον, ὥστε μὴ καὶ παρὰ πολλῶν νοεῖσθαι, ἔοικε σιωπᾶσθαι· ὥσπερ γὰρ οὐκ οἶδέ τις ὃ ἕτερος κατὰ νοῦν ἔχει, οὕτω καὶ τὸ ἀσαφῶς εἰρημένον ἀγνοεῖται τοῖς πλείοσι. Τοῦτο μὲν οὖν φησιν ὁ ἅγιος αἴτιον τοῦ μὴ πάντα ἡμῖν ἐγγράφως παραδεδόσθαι. Τῷ δὲ κατὰ ἀνατολὰς ὁρᾶν ἐν ταῖς προσευχαῖς τὸν λόγον φησὶν εἶναι τὸ ζητεῖν ἡμᾶς τὴν ἀρχαίαν πατρίδα, τὸν παράδεισον δηλαδὴ, ὃν ἐφύτευσεν ὁ Θεὸς κατὰ ἀνατολάς. Μὴ γόνυ δὲ κλίνειν τῇ μιᾷ τῶν Σαββάτων, ἥτις ἐστὶν ἡ Κυριακὴ, παραδίδοται, ὅτι ἐν αὐτῇ συνανέστημεν τῷ Χριστῷ,

Digitized by Google

ἐκείνου μὲν τοῦ ταφου ἐξαναστάντος, ἡμῶν δὲ τοῦ ἀρχαίου πτώματος δι' ἐκείνου ἐξεγερθέντων· καὶ ὅτι τὰ ἄνω ζητεῖν ὀφείλομεν, καὶ μὴ πρὸς τὰ γεηρὰ καὶ φθαρτὰ ῥέπειν, καὶ ὅτι τοῦ μέλλοντος αἰῶνος εἰκών ἐστιν ἡ Κυριακὴ, ἥτις ἀρχὴ οὖσα τῶν ἡμερῶν, οὐχὶ πρώτη ἐκλήθη τῷ Μωϋσῇ, ἀλλὰ μία, ἅτε ἀνακυκλουμένη καὶ μία οὖσα καὶ ὀγδόη καὶ τὴν ὀγδόην ἐκείνην τυποῦσα ἡμέραν, τὸν μέλλοντα δηλονότι αἰῶνα, τὸν ἄληκτον καὶ ἀπέρσντον, οὗ καὶ Δαβὶδ ἐν ἐπιγραφαῖς ἐμνήσθη ψαλμῶν, ὑπὲρ τῆς ὀγδόης ἐπιγράψας αὐτούς. Διὰ ταῦτα οὖν ἀναγκαίως, φησὶ, παιδεύει ἡ Ἐκκλησία ἱστασθαι εὐχομένους τοὺς τροφίμους αὐτῆς, ἤγουν τοὺς πιστοὺς, οὓς ἡ Ἐκκλησία ἐθρέψατο, ἵνα συνεχῶς διὰ τὸ ἄνω ὁρᾷν ὑπομιμνήσκωνται τῆς μελλούσης ζωῆς, καὶ τὰ πρὸς ἐκείνην ἐφόδια ἑτοιμάζωσιν. Εἶτα καὶ περὶ τῶν τῆς Πεντηκοστῆς φησιν ἡμερῶν, ὅτι καὶ αὗται τὴν προσδοκωμένην ἀνάστασιν ἡμῖν σημαίνουσιν. Ἐπεὶ καὶ ἡ πρώτη ἡμέρα τῆς ἀναστάσεως τοῦ Κυρίου ἑπτάκις ἑπταπλασιαζομένη διὰ τῶν ἐν μέσῳ ἡμερῶν ἀποτελεῖ τὴν Πεντηκοστήν· ἄρχεται γὰρ ἀπὸ τῆς τοῦ Πάσχα Κυριακῆς, καὶ καταντᾷ εἰς τὴν ἑτέραν Κυριακὴν τὴν καινὴν, καὶ ἐξ ἐκείνης αὖθις εἰς τὴν ἑφεξῆς Κυριακὴν, καὶ οὕτως ἀνακυκλουμένη καὶ ἐξελιττομένη διὰ τῶν ἑπτὰ ἑβδομάδων εἰς τὴν Πεντηκοστὴν καταλήγει, καὶ μιμεῖται αἰῶνα ἀπὸ τῶν αὐτῶν ἀρχομένη ἡμερῶν, καὶ εἰς τὰς αὐτὰς καταντῶσα, ὥσπερ ἐν κυκλικῇ κινήσει. Ἡ γὰρ τὸν κύκλον ἀποτελοῦσα γραμμὴ, ἥτις καὶ περιφέρεια λέγεται, ὅθεν ἄρχεται ἐκεῖ καταλήγει. Ἐν γοῦν ταῖς τῆς Πεντηκοστῆς ἡμέραις, οἱ θεσμοὶ τῆς Ἐκκλησίας, ἤγουν οἱ νόμοι ἢ οἱ τύποι, ἐπαίδευσαν ἡμᾶς προτιμᾶν τὸ ὀρθοὺς ἑστῶτας προσεύχεσθαι, ἀπανιστῶντες ὥσπερ τὸν νοῦν ἡμῶν ἐκ τῶν γηΐνων ὑπὲρ τὰ οὐράνια διὰ τῆς ἐνεργοῦς ἤτοι φανερᾶς ὑπομνήσεως. Ὑπομιμνησκόμεθα γὰρ διὰ τοῦ ὀρθίου σχήματος ἄνω ὁρῶντες τῶν μελλόντων καὶ οὐρανίων. Ἀλλὰ καὶ αἱ γονυκλισίαι οὐκ ἀσύμβουλοι ἡμῖν εἰσι· σημαίνει γὰρ ἡμῖν εἰς γῆν κατάκλισις, ὅτι ἁμαρτάνοντες εἰς γῆν κατερρύημεν, ἤγουν πεπτώκαμεν· ἡ δὲ ἐκ τῆς γῆς αὖθις ἀνάνευσις καὶ ἀνάστασις ὅτι ἐκ τοῦ πτώματος ἀνεκλήθημεν διὰ τῆς χάριτος τοῦ Θεοῦ φιλανθρωπευσαμένου περὶ ἡμᾶς. Καὶ τί ταῦτα, φησὶν, ἀπαριθμῶ; Εἰ γὰρ πάντα λέγειν ἐθέλω ὅσα ἀγράφως μυστήρια παρελάβομεν, ἐπιλείψει με ἡ ἡμέρα, ἀντὶ τοῦ οὐδὲ καιρὸν ἔξω ἀρκοῦντα πρὸς τὴν διήγησιν. Εἶτα καὶ ἕτερόν τι προστίθησιν ἄγραφον, λέγων, Ἐῶ τἆλλα. Τὸ δὲ ὁμολογεῖν εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, πόθεν ἐγγράφως ἔχομεν; Εἰ μὲν γὰρ ἐκ τῆς ἐν τῷ βαπτίσματι παραδόσεως, ἤγουν ἐκ τοῦ εἰπεῖν τὸν Χριστὸν τοῖς ἀποστόλοις, βαπτίζοντες εἰς τὸ ὄνομα τοῦ Πατέρος, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, ὡς βαπτιζόμεθα, οὕτω καὶ πιστεύειν ὀφείλομεν, καὶ διὰ τοῦτο ὁμοίαν τῷ βαπτίσματι τὴν ὁμολογίαν τιθέμεθα· δότωσαν ἡμῖν ἵνα, ὡς ὁμολογοῦμεν, οὕτω καὶ δοξάζωμεν, ἤγουν πιστεύωμεν ἢ δοξολογῶμεν· ἐὰν δὲ λέγωσιν, Ἀλλ' οὐκ ἐγγράφως παρελάβομεν οὕτω δοξολογεῖν, δότωσαν ἡμῖν ἐγγράφως τὰς ἀποδείξεις, ἀντὶ τοῦ ἐγγράφως δεικνύωσαν τὴν κατὰ τὴν πίστιν ὁμολογίαν καὶ τὰ

A minica, traditum est, quod in ea cum Christo consurreximus; illo quidem ex sepulcro resurgente, nobis autem ab antiquo lapsu per illum excitatis: et quod quæ sunt sursum quærere debemus, et non ad terrena et interitui obnoxia inclinari; et quod futuri sæculi Dominicus imago est, qui cum sit principium dierum, a Mose non primus, sed unus nominatur, ut qui circulariter vertens, unus sit et octavus, et octavum illum diem describat, futurum scilicet sæculum, quod non desinit, et est infinitum, cujus etiam David in psalmorum inscriptionibus meminit, eos pro octava inscribens. Propterea ergo, inquit, necessario docet Ecclesia rectos stare, dum orant, ejus alumnos, fideles scilicet, quos aluit Ecclesia, ut frequenter sursum aspiciendo futuræ gloriæ recordentur, et quo ad eam perveniatur viaticum comparent. Præterea de Pentecostes quoque diebus dicit, quod et ipsi nobis exspectatam resurrectionem significant. Quandoquidem primus dies resurrectionis Domini septies septuplicatus per dies intermedios Pentecosten efficit, incipit enim a Dominica Paschæ, et in novum alium Dominicum redit, et ex illo rursus in sequentem Dominicum; et ita circulariter vertens ac circumactus per septem hebdomadas, in Pentecosten desinit, et imitatur æternitatem ab iisdem diebus incipiens et in eosdem recurrens, sicut in circulari motu. Linea enim quæ circulum efficit, quæ etiam circumferentia appellatur, unde incipit, illic desinit. In diebus ergo Pentecostes consuetudines Ecclesiæ, seu leges vel statuta, docuerunt nos id præferre, ut recti stantes oremus, mentem nostram veluti excitantes a terrenis ad cœlestia per evidentem sive manifestam admonitionem. Per rectam enim figuram sursum aspicientes futurorum et cœlestium admonemur. Sed nec genuflexiones sunt nobis sine symbolo: significat enim in terram quidem inclinatio, quod peccantes in terram lapsi sumus seu decidimus; ex terra autem rursus assurrectio et elevatio, quod a lapsu conversi sumus per gratiam Dei, qui clementia in nos usus est. Et quid hæc, inquit, enumero! Si enim omnia, quæ sine scriptis accepimus, mysteria dicere vellem, dies me deficeret, hoc est, ne satis quidem temporis haberem ad expositionem. Jam vero aliud quoque non scriptum adjicit, dicens: Mitto alia. Id Patrem autem et Filium et Spiritum sanctum confiteri, undenam in scriptis habemus? Si enim ex traditione quæ est in baptismate, ex eo scilicet quod Christus dicat apostolis, baptizantes in nomine Patris, et Filii, et Spiritus sancti; ut baptizamur, ita et credere debemus, et ideo baptismati similem confessionem ponimus: dent nobis ut, quemadmodum confitemur, ita et glorificemus, credamus scilicet et gloriam canamus: sin autem dicunt, se non in scriptis accepisse, ita gloriam canere; dent nobis in Scripturis demonstrationes, id est, in scriptis ostendant confessionem fidei, et alia enumerata. Hæc sanctus cum Pneumatomachis (hoc est Spiritus sancti adversariis) disserit,

Digitized by Google

qui non ferebant, Spiritum sanctum una cum Patre et Filio glorificari, ut qui servum eum existimarent et non honore **149** æqualem, et dicebant se in scriptis non invenisse traditum Ecclesiæ, ut ipse una cum Patre et Filio glorificaretur, et infert hæc quoque sanctus. Deinde cum tot sint quæ non scripta sunt, et tantam potestatem habeant ad pietatis mysterium; unam dictionem, quæ ad nos venit ex Patribus, qui ante nos fuerunt, non concedent? et quæ sequuntur. Quod autem dicit, est ejusmodi. Cum tot sint quæ sine scriptis accepimus, eaque ad fidem tam valida: non permittant nobis unam dictionem, non a nobis introductam, sed quam invenimus ex consuetudine non quæsita nec affectata, sed simplici, quæ permansit in Ecclesiis non perversis, hoc est, orthodoxis, ab hæreticis non depravatis, quæ magnam habet rationem, nec parum affert utilitatis seu adjumenti ad fidei mysterii potestatem, hoc est, quæ multum jùvare potest ad fidei mysterium.

ZONAR. De ritibus ex traditione non scripta in usum receptis sanctus [hic] docet, dicitque, quod multa sunt, quæ non scripta accepimus facienda, ad pietatem conducentia, quæ si observare recusemus, Evangelium, nimirum fidem ab Evangelio nobis prædicatam, in rebus principalibus incommodo afficiemus. Deinde enumerat etiam ea, quæ sine scriptis obtinuerunt; et ait, eos, qui in Christum crediderunt, figura crucis notari sive obsignari, quis per litteras docuit? vel precantes ad orientem converti? Ipsa autem invocationis verba, quibus scilicet sacerdos gratiam Spiritus invocat, cum panem eucharisticum et poculum benedictionis sanctificat, a quonam, inquit, habemus? neque enim iis, quæ scriptis tradita sunt, ex Apostolo et Evangelio, contenti sumus; sed et ante illa nonnulla dicimus, atque alia etiam postea. Aquam vero baptismatis et oleum unctionis benedicere, unde accepimus? Ipsum etiam oleo ungere baptizatum, quis nos scriptis docuit? Hominem etiam ter inter baptizandum immergi, unde habemus? (Verum alia sine scriptis revera nobis tradita fuerunt; baptizatum autem ter demergi ex sanctorum apostolorum canone 50 habemus. Miror itaque quomodo hoc etiam sine scriptis traditum fuisse sanctus asseruerit; neque enim putandum est eum canonis ignarum fuisse.) Quinetiam Satanæ renuntiare, et alia quotquot a baptizato repeti exigitur, omnia, inquit, ex arcana et non publicata doctrina sunt; hoc est, ab ea, quæ publice non prædicatur, nec omnibus innotescit; quam majores nostri tacite observarunt, anxie nimis sive curiose in eam non inquirentes. Edocti sunt enim ea, quæ in mysteriis veneranda sive gloriosa et honoranda et arcana sunt, silentio custodire atque observare. Quæ enim, inquit, nec videre aut speculari iis liceat, qui non sunt sacris initiati, ut ea triumpharent, et in scriptis aperte divulgarentur, nunquam admittatur.

ἄλλα τὰ ἀπαριθμηθέντα. Πρὸς τοὺς Πνευματομάχους ταῦτα ὁ ἅγιος διαλέγεται, μὴ ἀνεχομένους συνδοξολογεῖσθαι τῷ Πατρὶ καὶ τῷ Υἱῷ τὸ ἅγιον Πνεῦμα, οἷα δοῦλον αὐτὸ δοξάζοντας, καὶ οὐχ ὁμότιμον, καὶ λέγοντας, ὅτι Οὐχ εὑρίσκομεν ἐγγράφως παραδοθὲν τῇ Ἐκκλησίᾳ τὸ συνδοξολογεῖσθαι αὐτῷ τῷ Πατρὶ καὶ τῷ Υἱῷ, καὶ ἐπάγει καὶ ταῦτα ὁ ἅγιος. Εἶτα τοσούτων ὄντων ἀγράφων, καὶ τοσαύτην ἐχόντων ἰσχὺν εἰς τὸ τῆς εὐσεβείας μυστήριον, μίαν λέξιν ἡμῖν ἐκ Πατέρων τῶν πρὸ ἡμῶν εἰς ἡμᾶς ἐλθοῦσαν οὐ συγχωρήσουσι; Καὶ τὰ ἑξῆς. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι Ἐπεὶ τοσαῦτά εἰσιν ἃ ἀγράφως παρελάβομεν, καὶ οὕτω πρὸς τὴν πίστιν ἰσχυρά, οὐ παραχωρήσωσιν ἡμῖν μίαν λέξιν, οὐ παρ' ἡμῶν εἰσαχθεῖσαν, ἀλλ' ἣν καὶ εὕρομεν ἐκ συνηθείας ἀνεπιτηδεύτου, ἤγουν ἀπειρέργου, καὶ ἁπλῆς ἐναπομεινάσης ταῖς ἀδιαστρόφοις τῶν ἐκκλησιῶν, ἤτοι ταῖς ὀρθοδόξοις, ταῖς μὴ διαστραφείσαις παρὰ τῶν αἱρετικῶν ἔχουσαν οὐ μικρὸν λόγον, οὐδὲ ὀλίγην συντέλειαν, ἤγουν ὠφέλειαν εἰσφέρουσαν εἰς τὴν τοῦ μυστηρίου τῆς πίστεως δύναμιν, ἀντὶ τοῦ μεγάλως ὠφελεῖν δυναμένην εἰς τὸ τῆς πίστεως μυστήριον.

ΖΩΝΑΡ. Περὶ τῶν ἐξ ἀγράφου παραδόσεως ἐθῶν ἐδιδάσκει ὁ ἅγιος, καὶ φησιν, ὅτι πολλά εἰσι, ἃ παρελάβομεν ἀγράφως ποιεῖν, τὰ πρὸς τὴν εὐσέβειαν συμβαλλόμενα, ἃ τινα ἐὰν παραιτησώμεθα φυλάττειν, εἰς τὰ καίρια τὸ Εὐαγγέλιον βλάψομεν, ἤγουν διὰ τοῦ Εὐαγγελίου κηρυχθεῖσαν ἡμῖν πίστιν. Εἶτα ἀπαριθμεῖ καὶ τὰ ἀγράφως τελόμενα, καί φησι, τὸ καταση μαίνεσθαι, ἤτοι σφραγίζεσθαι τῷ τύπῳ τοῦ σταυροῦ τοὺς πιστεύσαντας τῷ Χριστῷ τίς ἐγγράφως ἐδίδαξεν; ἢ τὸ κατὰ ἀνατολὰς στρέφεσθαι προσευχομένους; Τὰ δὲ τῆς ἐπικλήσεως ῥήματα, ἤγουν δι' ὧν ἐπικαλεῖται ὁ ἱερεὺς τὴν χάριν τοῦ Πνεύματος, ἐν τῷ τὸν ἄρτον ἁγιάζειν τῆς Εὐχαριστίας; καὶ τὸ εὐλογίας ποτήριον, ἀπὸ τίνος, φησίν, ἔχομεν; οὐ γὰρ ἀρκούμεθα τοῖς ἐγγράφως παραδοθεῖσιν ἐκ τοῦ Ἀποστόλου καὶ τοῦ Εὐαγγελίου, ἀλλὰ καὶ πρὸ ἐκείνων τινὰ λέγομεν καὶ μετ' ἐκεῖνα ἕτερα. Τὸ δὲ ὕδωρ τοῦ βαπτίσματος καὶ τὸ ἔλαιον τῆς χρίσεως πόθεν παρελάβομεν εὐλογεῖν; Καὶ αὐτὸ τὸ χρίειν ἐλαίῳ τὸν βαπτιζόμενον τίς ἡμᾶς ἐγγράφως ἐδίδαξε; Καὶ τὸ τρὶς βαπτίζεσθαι τὸν ἄνθρωπον πόθεν ἔχομεν; (τὰ μὲν οὖν ἄλλα ἀγράφως, ὡς ἀληθῶς παραδέδονται, τὸ δὲ τρισσάκις τὸν βαπτιζόμενον καταδύεσθαι, ἐκ τοῦ ν' κανόνος ἔχομεν τῶν ἁγίων ἀποστόλων. Θαυμάζω οὖν, πῶς καὶ τοῦτο ὁ ἅγιος ἀγράφως εἶπε παραδεδόσθαι· οὐ γὰρ ἀγνοεῖσθαι τὸν κανόνα ἐκείνῳ ὑπολητέον.) Καὶ τὸ ἀποτάσσεσθαι δὲ τῷ Σατανᾷ, καὶ τἆλλα ὅσα λέγειν ὁ βαπτιζόμενος ἀπαιτεῖται, πάντα, φησίν, ἐκ τῆς ἀπορρήτου καὶ ἀδημοσιεύτου διδασκαλίας εἰσίν, ἤγουν τῆς μὴ δημοσίᾳ κεκηρυγμένης, τῆς μὴ πᾶσι γινωσκομένης, ἥτις πρὸ ἡμῶν ἐφύλαξαν σεσιγημένως, μὴ πολυπραγμονοῦντες, ἢ περιεργαζόμενοι· ἐδιδάχθησαν γὰρ τὰ σεμνὰ τῶν μυστηρίων, ἤγουν τὰ ἔνδοξα καὶ τίμια καὶ ἀπόρρητα σιωπῇ διασώζεσθαι καὶ φυλάττεσθαι. Ἃ γάρ, φησίν, οὐ δὲ ὁρᾶν ἢ κατασκοπεῖν ἔστιν ἀμυήτοις δυνατόν, ταῦτα οὐκ ἦν ἐνδεχόμενον θριαμβεύειν καὶ φανερῶς κηρύσσειν ἐν γράμμασιν.

Digitized by Google

ΤΟΥ ΑΥΤΟΥ

ΕΚ ΤΟΥ ΚΘ' ΚΕΦΑΛΑΙΟΥ ΤΗΣ ΑΥΤΗΣ ΠΡΑΓΜΑΤΕΙΑΣ.

EJUSDEM

EX VICESIMO NONO CAPITE EJUSDEM.

ΚΑΝΩΝ ΧΓ'.

Πρός γε μὴν τὸ ἀμάρτυρον καὶ ἄγραφον εἶναι τὴν *σὺν τῷ Πνεύματι* δοξολογίαν ἐκεῖνο λέγομεν· ὅτι. εἰ μὲν μηδὲν ἕτερον ἄγραφον, μηδὲ τοῦτο παραδεχθήτω· εἰ δὲ τὰ πλεῖστα τῶν μυστικῶν ἀγράφως ἡμῖν ἐμπολιτεύεται, μετὰ πολλῶν τῶν ἑτέρων καὶ τοῦτο παραδεξόμεθα. Ἀποστολικὸν δὲ οἶμαι καὶ τὸ ταῖς ἀγράφοις παραδόσεσι παραμένειν. *Ἐπαινῶ γάρ*, φησίν, *ὑμᾶς, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν, τὰς παραδόσεις κατέχετε*· καὶ τὸ, *Κρατεῖτε τὰς παραδόσεις ἃς παρελάβετε εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς*· ὧν μία ἐστὶ καὶ ἡ παροῦσα αὕτη, ἣν οἱ ἐξ ἀρχῆς διαταξάμενοι παραδιδόντες τοῖς ἐφεξῆς, συμπροϊούσης ἀεὶ τῷ χρόνῳ τῆς χρήσεως, διὰ μακρᾶς τῆς συνηθείας ταῖς Ἐκκλησίαις ἐγκατερρίζωσαν. Ἆρ' οὖν εἰ, ὡς ἐν δικαστηρίῳ τῆς διὰ τῶν ἐγγράφων ἀποδείξεως ἀποροῦντες, μαρτύρων ὑμῖν πλῆθος παραστησαίμεθα, οὐκ ἂν τῆς ἀφειείσης παρ' ὑμῶν ψήφου τύχοιμεν; Ἐγὼ μὲν οὕτως οἶμαι· *Ἐπὶ στόματος γὰρ δύο καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα.* Εἰ δὲ καὶ τὸν πολὺν χρόνον πρὸς ἡμῶν ὄντα ἐναργῶς ὑμῖν ἐπεδείκνυμεν, οὐκ ἂν ἐδόξαμεν ὑμῖν εἰκότα λέγειν, μὴ εἶναι καθ' ἡμῶν τὴν δίκην εἰσαγώγιμον ταύτην; Δυσωπητικὰ γάρ πως τὰ παλαιὰ τῶν δογμάτων, οἱονεὶ πολιᾷ τινι τῇ ἀρχαιότητι τὸ αἰδέσιμον ἔχοντα.

CANON XCIII.

Sane contra id quod dicunt, glorificationem *cum Spiritu* carere testimonio, nec in Scripturis exstare, illud dicimus : si nihil aliud est receptum absque Scripturis, ne hoc quidem recipiatur ; sin plurima arcana citra scriptum recepta sunt nobis, cum aliis pluribus et hoc recipiemus. Arbitror autem apostolicum esse, etiam non scriptis traditionibus inhærere. *Laudo enim*, inquit, *vos, quod omnia mea meministis, et quemadmodum tradidi vobis, traditiones tenetis* [1]. Et illud, *Tenete traditiones quas accepistis sive per sermonem sive per epistolam* [2] : quarum una est et hæc de qua nunc agimus, quam qui ab initio præscripserunt, tradideruntque posteris, usu semper simul cum tempore progrediente, ipsam longa consuetudine in Ecclesiis irradicarunt. Ergo si velut in tribunali, probationibus e scripto destituti, multos vobis testes producamus, nonne sententiam absolventem a vobis consequemur? Ego quidem arbitror : *In ore siquidem duorum ac trium testium stabit omne verbum* [3]. Quod si etiam temporis diuturnitatem pro nobis facientem vobis evidenter ostendamus, annon videbimur vobis probabilia dicere, non posse litem istam jure nobis intendi? Veneranda enim sunt quodammodo vetusta dogmata, quæ ob antiquitatem, cen canitiem quamdam, habent quiddam reverendum.

ΒΑΛΣ. Ἔτι κατασκευάσει ὁ ἅγιος τὸν οἰκεῖον λόγον λέγων πρὸς τοὺς αἱρετικούς, ὅτι Εἰ μὲν μηδὲν ἄλλο ἄγραφον παραδόθη, μηδὲ τοῦτο παραδεχθήτω· εἰ δὲ πολλὰ εἰσι τὰ ἀγράφως πολιτευόμενα, ἅτινά τερ ἀπηρίθμησε, μετὰ τῶν ἄλλων καὶ τοῦτο παραδεξώμεθα. Εἶτα δείκνυσιν ὅτι καὶ ἀποστολικόν ἐστι τὸ παραδιδόμενον φυλάττειν, τίθησι καὶ αὐτὰ τοῦ Ἀποστόλου τὰ ῥήματα, καί φησιν ὅτι τῶν παραδόσεων μία καὶ αὕτη ἐστὶν, ἤγουν ἡ περὶ τοῦ ἁγίου Πνεύματος, ἣν ἐν ταῖς Ἐκκλησίαις ἐγκατερρίζωσαν, ἐπὶ τοῦ βεβαίως κατέθεντο, καὶ παρέδωκαν. Ὥσπερ γὰρ τὰ καταῤῥιζωθέντα τῶν φυτῶν οὐ ῥᾳδίως ἀποσπῶνται τῆς γῆς· οὕτω καὶ τοῦτο οὐ ῥᾳδίως ἀποβαλοῦνται αἱ Ἐκκλησίαι, οὐδὲ προδώσουσιν. Ἐπιχειρεῖ δὲ ἔτι λέγων, ὅτι εἰ δικαστήρια ἆρα συνεστησάμεθα παρ' ἡμῖν, καὶ οὐκ εὐπορούμεν ἐπὶ τοῖς εἰσαγομένοις ἐγγράφων ἀποδείξεων, παρεστήσαμεν δὲ ὑμῖν μάρτυρας, οὐκ ἂν διὰ τῆς τῶν μαρτύρων φωνῆς ἐδικαιώθημεν; Ἐπάγει δὲ εἰς κατασκευὴν τοῦ οἰκείου λόγου καὶ εὐαγγελικὰ ῥήματα. Ἀλλὰ εἰ καὶ προεβαλλόμεθα, φησὶν, τὸν πολὺν χρόνον, ὡς διὰ τούτου νικῶντες τὸν ἀντίδικον, οἷα τὸ ἐκνικώμενον παρ' ἐκείνου

BALS. Sanctus suum adhuc dictum confirmat, dicens hæreticis : Si nihil quidem aliud non scriptum traditum est, nec hoc admittatur : sin autem multa sunt, quæ sine scriptis in republica Christiana versantur, quæ quidem enumeravit, cum aliis hoc quoque admittamus. Deinde ostendit quod est apostolicum servare quod traditum est, et ponit etiam ipsa verba Apostoli, et dicit, quod hæc quoque una est traditionum, scilicet de sancto Spiritu, quam in Ecclesiis actis radicibus, firmam stabilemque fecerunt et tradiderunt. Quemadmodum enim plantæ, quæ radices egerunt, a terra non facile evelluntur: ita et hoc non facile amittent nec prodent Ecclesiæ. Præterea autem argumentatur, dicens : Si in judicium forte a vobis adducti essemus, nec adversus ea, quæ intenderentur, esset nobis scriptarum probationum copia, sed testes vobis produceremus : **150** an non per testium vocem absolveremur? Ad sui autem dicti probationem, verba quoque evangelica adducit. Sed etsi longum, inquit, tempus proponeremus, utpote eo vincentes adversarium, ut qui quod ab eo vindicatur longo tempore possederimus,

[1] Joh. VIII, 9. [2] I Cor. XI, 2. [3] II Thess. II, 14.

Digitized by Google

et hoc aperte ostenderemus, an non efficeremus ut omnino non admitteretur actio in judicium, sed potius excluderetur? antiqua enim dogmata in veneratione habentur, cum homines ea revereantur propter antiquitatem, et quemadmodum senibus canities venerationem acquirit, ita et antiquitas dogmatibus.

A νεμηθέντες ἐπὶ μακρὸν, καὶ τοῦτο ἐδείκνυμεν φανερῶς, οὐκ ἂν ἐποιήσαμεν μηδὲ εἰσαχθῆναι ὅλως τὴν δίκην εἰς δικαστήριον, ἀλλὰ μᾶλλον ἀποπεμφθῆναι; τὰ γὰρ παλαιὰ δόγματα δυσωποῦσιν, αἰδουμένων αὐτὰ τῶν ἀνθρώπων διὰ τὴν ἀρχαιότητα, καὶ ὥσπερ τοῖς γεγηρακόσιν ἡ πολιὰ περιποιεῖται τὸ αἰδέσιμον, οὕτω καὶ ἡ ἀρχαιότης τοῖς δόγμασιν.

ΕΠΙΣΤΟΛΗ ΚΑΝΟΝΙΚΗ

ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ ΠΡΟΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΛΗΤΟΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΜΕΛΙΤΗΝΗΣ.

EPISTOLA CANONICA

S. GREGORII NYSSENI EPISCOPI AD S. LETOIUM MELITENES EPISCOPUM.

CANON I.

Unum hoc quoque est eorum quæ ad sanctum festum conferunt, si nos intelligamus legitimam et canonicam in iis qui peccarunt œconomiam, ut curetur omnis morbus animæ qui per aliquod peccatum accidit. Quoniam enim hoc est universale festum creationis, quod in præstituto annui circuli ambitu, singulis annis in universo mundo, propter ejus qui ceciderat resurrectionem, peragitur (casus autem est peccatum, resurrectio vero, ex peccati casu erectio), recte habuerit, si hodierno die non solum eos qui ex regeneratione per lavacri gratiam transmutati sunt, **151** ad Deum adducamus, sed eos etiam qui per pœnitentiam et conversionem, a mortuis operibus ad viventem viam ascendunt, ad spem quæ salvos eos faciat tanquam manu deducamus, a qua per peccatum alienati sunt. Neque vero parvum opus est, ea, quæ de iis dicenda sunt, in recto et probato judicio dispensare, juxta præceptum Prophetæ, quod jubet oportere *sermones dispensare in judicio*, ut quemadmodum habet divinum oraculum, *non moveatur in æternum*, *et in æterna memoria sit justus* [1]. Quemadmodum enim etiam in corporali medela, unum est quidem institutum medicinæ, sanare eum qui laborat, varium autem est curationis genus (pro morborum enim varietate, convenienter quoque medicinæ methodus ac disciplina unicuique morbo applicatur), ita cum multa sit in morbis quoque animæ affectionum varietas, multiformis quoque necessario fuerit medica curatio, ad affectionis rationem medicinam exercens. Ut sit autem arte aliqua proce-

ΚΑΝΩΝ Α'

Ἓν καὶ τοῦτο τῶν εἰς τὴν ἁγίαν ἑορτὴν συντελούντων ἐστὶ, τὸ κατανοῆσαι ἡμᾶς τὴν ἔννομόν τε καὶ κανονικὴν ἐπὶ τῶν πεπλημμεληκότων οἰκονομίαν· ὅπως ἂν θεραπευθείη πᾶν ἀῤῥώστημα ψυχικὸν, τὸ διά τινος ἁμαρτίας ἐπιγινόμενον. Ἐπειδὴ γὰρ ἡ καθολικὴ καὶ αὕτη τῆς κτίσεως ἑορτὴ κατὰ τὴν τεταγμένην περίοδον τοῦ ἐνιαυσιαίου κύκλου καθ' ἕκαστον ἔτος, ἐν παντὶ πληρουμένῃ τῷ κόσμῳ, ἐπὶ τῇ ἀναστάσει τοῦ πεπτωκότος ἐπιτελεῖται· πτῶσις δέ ἐστιν ἡ ἁμαρτία· ἀνάστασις δὲ ἡ ἐκ τοῦ πτώματος τῆς ἁμαρτίας ἀνόρθωσις· καλῶς ἂν ἔχοι κατὰ τὴν ἡμέραν ταύτην, οὐ μόνον τοὺς ἐκ παλιγγενεσίας μεταστοιχειουμένους διὰ τῆς τοῦ λουτροῦ χάριτος τῷ Θεῷ προσάγειν, ἀλλὰ καὶ τοὺς διὰ τῆς μετανοίας τε καὶ ἐπιστροφῆς ἀπὸ τῶν νεκρῶν ἔργων εἰς τὴν ζῶσαν ὁδὸν πάλιν ἐπανιόντας, καὶ τούτους χειραγωγεῖν πρὸς τὴν σώζουσαν ἐλπίδα, ἧς διὰ τῆς ἁμαρτίας ἀπεξενώθησαν. Ἔστι δὲ οὐ μικρὸν ἔργον, τὸ τοὺς περὶ τούτων λόγους οἰκονομῆσαι ἐν τῇ ὀρθῇ τε καὶ δεδοκιμασμένῃ κρίσει, κατὰ τὸ παράγγελμα τοῦ Προφήτου, τὸ κελεῦον δεῖν *οἰκονομεῖν τοὺς λόγους ἐν κρίσει*, ἵνα, καθὼς ἔχει τὸ λόγιον, *μὴτε σαλευθῇ εἰς τὸν αἰῶνα*, *καὶ εἰς μνημόσυνον αἰώνιον γένηται δίκαιος*. Ὥσπερ γὰρ καὶ ἐπὶ τῆς σωματικῆς θεραπείας, ὁ μὲν σκοπὸς τῆς ἰατρικῆς εἷς ἐστι, τὸ ὑγιᾶναι τὸν κάμνοντα· τὸ δὲ εἶδος τῆς ἐπιμελείας διάφορον· κατὰ γὰρ τὴν ποικιλίαν τῶν ἀῤῥωστημάτων καταλλήλως καὶ ἡ θεραπευτικὴ μέθοδος ἑκάστῳ τῶν νοσημάτων προσάγεται· οὕτω πολλῆς οὔσης καὶ ἐν τῇ ψυχικῇ νόσῳ τῆς τῶν παθῶν ποικιλίας, ἀναγκαίως πολυειδὴς γενήσεται ἡ θεραπευτικὴ ἐπιμέλεια, πρὸς λόγον τοῦ πάθους

[1] Psal. cxi, 9 sqq.

Guill. Beveregii notæ.

(21) *Τρία ἐστὶ τὰ περὶ τὴν ψυχήν.* Hanc animæ divisionem Gregorius Nyssenus a Platone primo traditam accepit. Eum enim has tres a Gregorio commemoratas partes animæ humanæ inesse, nimirum λογικὸν, ἐπιθυμητικὸν et θυμοειδές, rationem, cupiditatem et iram, e Ciceronе discimus, dicente, *Tenemusne quid animus sit? ubi sit? denique sitne, aut, ut Dicæarcho visum est, ne sit quidem ullus? si est: tresne partes habeat, ut Platoni placuit, rationis, iræ, et cupiditatis?* Cicer. *Acad. quæst.* l. II, c. 39. Et alibi; *Plato tripliceм finxit animam, cujus principatum, id est, rationem, in cavite sicu*

Digitized by Google

ἐνεργοῦσα τὴν ἕξιν. Ὡς δ' ἂν γένοιτό τις τεχνικὴ μέθοδος περὶ τοῦ προκειμένου προβλήματος, οὕτω τὸν λόγον διαληψόμεθα.

Τρία ἐστὶ τὰ περὶ τὴν ψυχὴν ἡμῶν θεωρούμενα κατὰ τὴν πρώτην διαίρεσιν· τό τε λογικὸν, καὶ τὸ ἐπιθυμητικὸν, καὶ τὸ θυμοειδές. Ἐν τούτοις ἐστὶ καὶ τὰ κατορθώματα τῶν κατ' ἀρετὴν βιούντων, καὶ τὰ πτώματα τῶν εἰς κακίαν ἀπορρεόντων. Διὸ πρόσήκει τὸν μέλλοντα τὴν κατάλληλον θεραπείαν προσάγειν τῷ νενοσηκότι τῆς ψυχῆς μέρει, πρότερον μὲν ἐπισκέπτεσθαι ἐν τίνι συνέστη τὸ πάθος· εἶθ' οὕτω πεπονθότι προσάγειν ἁρμοδίως τὴν θεραπείαν· ὥστε μὴ δι' ἀπειρίαν τῆς θεραπευτικῆς μεθόδου, ἄλλο μὲν ᾗ τὸ νοσῆσαν μέρος, ἕτερον δὲ τὸ τὴν θεραπείαν δεχόμενον· ὥσπερ ἀμέλει βλέπομεν πολλοὺς τῶν ἰατρῶν ἐν ἀπειρίᾳ τοῦ πρωτοπαθοῦντος μέρους προσεπιτρίβοντας τὴν νόσον δι' ὧν θεραπεύουσι. Τῆς γὰρ ἀῤῥωστίας οὔσης πολλάκις κατὰ θερμοῦ ἐπικράτησιν, ἐπειδὴ τοῖς κατὰ πλεονασμὸν τοῦ ψυχροῦ κεκακωμένοις χρήσιμον τὸ θερμαῖνόν τε καὶ ἀναθάλπον ἐστὶ, τὸ τούτοις κατὰ λόγον συνενεγκὸν, ἀπερισκέπτως τὸ αὐτὸ τοῖς ἐν ἀμετρίᾳ θερμότητος ἐκκαιομένοις ἐπαγαγόντες, δυσίατον τὸ πάθος ἐποίησαν. Ὥσπερ τοίνυν ἀναγκαιοτάτη τοῖς ἰατροῖς ἐνομίσθη ἡ κατανόησις τῆς τῶν στοιχείων ἰδιότητος, ὅπως ἂν ἑκάστου τῶν εὖ ἢ κακῶς διακειμένων γένοιτο τοῦ παρὰ φύσιν διατεθέντος ἡ ἐπανόρθωσις· οὕτω καὶ ἡμεῖς ἐπὶ ταύτην ἀναδραμόντες τὴν διαίρεσιν τῶν ἐν τῇ ψυχῇ θεωρουμένων, ἀρχὴν καὶ ὑπόθεσιν τῆς καταλλήλου τῶν παθῶν θεραπείας ποιησώμεθα τὴν γενικὴν θεωρίαν. Οὐκοῦν τριχῆ, καθὼς ἔφαμεν, διῃρημένης τῆς ἰδιότητος τῶν τῆς ψυχῆς κινημάτων, εἰς τὸ λογιστικόν τε καὶ ἐπιθυμητικὸν καὶ θυμοειδές· κατόρθωμα μὲν τοῦ λογιστικοῦ μέρους τῆς ψυχῆς ἐστιν, ἡ εὐσεβὴς περὶ τὸ Θεῖον ὑπόληψις, καὶ ἡ τοῦ καλοῦ τε καὶ κακοῦ διακριτικὴ ἐπιστήμη, καὶ ἡ τρανήν τε καὶ ἀσύγχυτον ἔχουσα περὶ τῆς φύσεως τῶν ὑποκειμένων τὴν δόξαν· τί μέν ἐστιν αἱρετὸν ἐν τοῖς οὖσι· τί δὲ βδελυκτὸν καὶ ἀπόβλητον. Καὶ πάλιν ἐκ τοῦ ἐναντίου πάντως ἡ ἐν τῷ μέρει τούτῳ κακία θεωρηθήσεται, ὅταν ἀσέβεια μὲν ᾖ περὶ τὸ Θεῖον, ἀκρισία δὲ περὶ τὸ ὄντως καλόν· ἐνηλλαγμένη δὲ καὶ ἐσφαλμένη ἡ περὶ τὴν τῶν πραγμάτων φύσιν ὑπόληψις, ὥστε τιθέναι *τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς*, καθὼς φησιν ἡ Γραφή. Τοῦ δὲ ἐπιθυμητικοῦ μέρους ἡ μὲν ἐνάρετός ἐστι κίνησις τὸ πρὸς τὸ ὄντως ἐπι-

dens propositæ quæstionis methodus, rem ita tractabimus.

Tria sunt quæ in anima nostra considerantur secundum primam divisionem: ratio, concupiscentia, et ira. In iis sunt et recte facta eorum qui ex virtute vivunt, et delicta casusque eorum qui ad vitium dilabuntur. Quamobrem oportet eum qui ægrotanti animæ parti convenientem medelam est adhibiturus, prius quidem considerare in quonam consistit affectio, deinde sic laboranti convenientem medelam applicare, ne propter medicæ disciplinæ ignorantiam, alia quidem sit pars quæ ægrotat, alia vero cui est adhibita medela: sicut certe multos videmus medicos, qui propter primo affectæ partis ignorationem morbum suis medicamentis adaugent. Cum enim sæpe exsistat morbus propter dominationem et exsuperationem calidi, quoniam iis qui propter nimiam frigidi abundantiam male affecti sunt, utile est quod calefacit et confovet, id quod illis ex ratione adhibitum confert: idem iis qui immoderata caliditate succenduntur, inconsiderate applicantes, efficiunt ut sit morbus curatu difficillimus. Quemadmodum ergo medicis in primis necessaria existimata est elementorum proprietatis cognitio, ut uniuscujusque eorum quæ bene vel male constituta sunt, id quod præter naturam affectum est, corrigatur: sic et nos, ad hanc recurrentes divisionem, quæ est eorum quæ in anima considerantur, principium et fundamentum convenientis affectionum curationis generalem faciamus contemplationem. Trifariam ergo, ut diximus, divisa proprietate motionum animæ, in rationem, concupiscentiam et iram: rationis quidem compotis animæ partis est perfectum et ex virtute recte se gerens officium, pia de Deo 152 existimatio, boni et mali discernens scientia, et quæ habet veram et non confusam de rerum subjectarum natura opinionem; quid est quidem in iis quæ sunt, expetendum; quid vero abhorrendum et abjiciendum; et rursus ex contrario quod in ea parte est vitium omnino considerabitur, quando circa res quidem divinas fuerit impietas, nullum autem circa id quod vere honestum est judicium: perversa autem et corrupta de rerum natura existimatio, ut *lucem tenebras*

Guill. Beveregii notæ.

in arce vosuit; et duas partes separare (al. *parere*) *voluit, iram in pectore, cupiditatem subter præcordia locavit.* Id. *Tuscul. quæst.* l. I, c. 10. Idem a Laertio observatur, qui Platonis dogmata recensens, ait, Ἡ ψυχὴ διαιρεῖται εἰς τρία· τὸ μὲν γὰρ αὐτῆς ἐστι λογιστικὸν (al. λογικὸν), τὸ δὲ ἐπιθυμητικὸν, τὸ δὲ θυμικόν. Τούτων δὲ τὸ μὲν λογιστικόν ἐστιν αἴτιον τοῦ βουλεύεσθαι, καὶ λογίζεσθαι, καὶ διανοεῖσθαι, καὶ πάντων τῶν τοιούτων· τὸ δ' ἐπιθυμητικὸν μέρος ἐστὶ τῆς ψυχῆς, αἴτιον τοῦ ἐπιθυμεῖν, φεύγειν, καὶ τοῦ πλησιάσαι, καὶ τῶν τοιούτων πάντων. Τὸ δὲ θυμικὸν μέρος αἴτιόν ἐστι τοῦ θαῤῥεῖν καὶ ὀργίζεσθαι. Τῆς ἄρα ψυχῆς ἐστι τὸ μὲν λογιστικὸν, τὸ δὲ ἐπιθυμητικὸν, τὸ δὲ θυμικόν. Diog. Laert. l. III, in Platone. Ipsa Platonis verba si voles, sic habent: Ἐπειδὴ, ὥσπερ πόλις (ἐν ᾗ ἐγὼ) διῄρηται κατὰ τρία εἴδη, οὕτω καὶ ψυχὴ ἑνὸς ἑκάστου τριχῇ, διέξεται, ὡς ἐμοὶ δοκεῖ, καὶ ἑτέραν ἀπόδειξιν· τίνα ταύτην; τήνδε· τριῶν ὄντων τριττὰ καὶ ἡδοναί μοι φαίνονται, ἑκάστου μία ἰδία. Ἐπιθυμίαι τε ὡσαύτως; καὶ ἀρχαί. Πῶς λέγεις; Ἔφη. Τὸ μὲν φάμεν, ἦν, ᾧ μανθάνει ἄνθρωπος· τὸ δὲ, ᾧ θυμοῦται· τὸ δὲ τρίτον, διὰ πολυειδίαν, ἐνὶ οὐκ ἔσχομεν ὀνόματι προσειπεῖν ἰδίῳ αὐτοῦ· ἀλλὰ δ μέγιστον καὶ ἰσχυρότατον εἶχεν ἐν αὐτῷ, τούτῳ ἐπωνομάσαμεν. Ἐπιθυμητικὸν γὰρ αὐτὸ κεκλήκαμεν, διὰ σφοδρότητα τῶν τε περὶ ἐδωδὴν ἐπιθυμιῶν καὶ πόσιν, καὶ ἀφροδίσια, καὶ ὅσα ἄλλα τούτοις ἀκόλουθα. Plat. *de Repubi.* l. IX, p. 580, tom. II, edit. Steph.

Digitized by Google

ducat *et tenebras lucem* [1], ut dicit Scriptura. Concupiscentis autem partis motus est ex virtute, si ad id quod est revera concupiscendum et vere pulchrum et honestum, erigatur desiderium, et si qua est in nobis amatoria facultas et affectio, tota in illo versetur, ut credamus nihil aliud esse natura expetendum præter virtutem, et naturam quæ virtutem effundit. Hujus autem partis declinatio est et peccatum, quando cupiditatem transtulerit ad inanem quæ non potest consistere gloriam; vel ad florem qui colorate corporum superficiei est illitus. Unde exsistit libido, gloriæ cupiditas, ambitio, et avaritia, et cæteræ ejusmodi quæ ab hoc vitii genere dependent. Animosæ autem seu irascentis partis recta et ex virtute actio est, mali odium et bellum cum animi perturbationibus, et ad fortitudinem in eo esse confirmatam animam, ut ea non pertimescat quæ vulgo terribilia videntur, sed usque ad sanguinem peccato resistat: mortis autem minas et gravia supplicia contemnat; et a rebus jucundissimis, disjunctione, et omnibus, ut semel dicam, quæ propter aliquam consuetudinem et anticipatam opinionem multos in voluptate detinent, sit superior, pro fide et virtute decertans. Hujus autem partis prolapsiones omnibus apertæ sunt, invidia, odium, ira, convicia, certamina, contentiosæ et ultionis appetentes affectiones, quæ acceptæ injuriæ recordationem longe extendunt, et multos ad cædem et sanguinem incitant. Dum enim non inveniret stulta et inerudita ratio quomodo armis suis utiliter uteretur, ferri aciem in se convertit; eaque arma, quæ nobis a Deo data sunt, ei qui male utitur exitium afferunt.

A θυμητικὸν, καὶ ἀληθῶς καλὸν ἀνάγεσθαι τὸν πόθον· καὶ εἴ τις ἐν ἡμῖν ἐρωτικὴ δυναμίς τε καὶ διάθεσις, ἐκεῖ κατασχολεῖσθαι πᾶσαν, ἐν τῷ πεπεῖσθαι μηδὲν ὀρεκτὸν εἶναι τῇ ἑαυτοῦ φύσει ἄλλο, πλὴν τῆς ἀρετῆς, καὶ τῆς τὴν ἀρετὴν πηγαζούσης φύσεως. Παρατροπὴ δὲ καὶ ἁμαρτία τοῦ τοιούτου μέρους ἐστὶν, ὅταν τις μεταγάγῃ τὴν ἐπιθυμίαν πρὸς τὴν ἀνυπόστατον κενοδοξίαν· ἢ πρὸς τὸ ἐπικεχρωσμένον τοῖς σώμασιν ἄνθος· ὅθεν γίνεται ἡ φιλοχρηματία, καὶ ἡ φιλοδοξία, καὶ ἡ φιληδονία, καὶ πάντα τὰ τοιαῦτα, ὅσα τοῦ τοιούτου ἥρτηται τῆς κακίας γένους. Πάλιν δὲ τῆς θυμώδους διαθέσεως κατόρθωμα μέν ἐστιν ἡ πρὸς τὸ κακὸν ἀπέχθεια, καὶ ὁ πρὸς τὰ πάθη πόλεμος, κα. τὸ πρὸς ἀνδρείαν ἐστομῶσθαι τὴν ψυχὴν, ἐν τῷ μὴ καταπτήσσειν τὰ τοῖς πολλοῖς φοβερὰ νομιζόμενα, ἀλλὰ μέχρις αἵματος πρὸς τὴν ἁμαρτίαν ἀντικαθίστασθαι· καταφρονεῖν δὲ θανατικῆς ἀπειλῆς, καὶ ἀλγεινῶν κολαστηρίων, καὶ τῆς τῶν ἡδίστων διαζεύξεως, καὶ πάντων ἅπαξ τῶν διά τινος συνηθείας καὶ προλήψεως ἐν ἡδονῇ τοὺς πολλοὺς κατεχόντων κρείττονα γενέσθαι, τῆς τε πίστεως καὶ τῆς ἀρετῆς προμαχόμενον. Τὰ δὲ ἀποπτώματα τοῦ τοιούτου μέρους ἐστὶν ἅπασι πρόδηλα, ὁ φθόνος, τὸ μῖσος, ἡ μῆνις, αἱ λοιδορίαι, αἱ συμπλοκαὶ, αἱ ἐμφιλόνεικοί τε καὶ ἀμυντικαὶ διαθέσεις, αἱ μέχρι πολλοῦ παρατείνουσαι τὴν μνησικακίαν, καὶ πολλοὺς εἰς φόνους καὶ αἵματα καταθήγουσαι. Μὴ γὰρ εὑρὼν ὁ ἀπαίδευτος λογισμὸς ὅπου χρήσηται λυσιτελῶς τῷ ὅπλῳ, ἐφ' ἑαυτὸν τρέπει τὴν τοῦ σιδήρου ἀκμήν· καὶ γίνεται τὸ ἐκ Θεοῦ δοθὲν ἡμῖν ἀμυντήριον ὅπλον τῷ κακῶς κεχρημένῳ ὀλέθριον.

BAL.S. In tempore festi Paschæ hic magnus Pater hanc epistolam misisse videtur: et dicit ad festum conferre, ut qui peccant legitime et canonice dispensentur. Festum enim Resurrectionis Domini, propter resurrectionem humani generis, quod propter peccatum ceciderat, et factum est, et quotannis peragitur. Resurrectio autem est etiam ex lapsu peccati resurrectio. Peccatorem enim a peccato abstinere, est resurgere a casu quo cecidit qui peccat. Quare oportet, inquit, hodierno die Deo adducere, non solum eos qui per salutare baptismi lavacrum ex regeneratione transmutantur, tanquam novum corpus accipientes, utpote quod sancti Spiritus gratia a sordibus sit emundatum, quæ ei per peccatum insederant. Non eos ergo, dicit, solum

C ΒΑΛΣ. Ἐν καιρῷ τῆς τοῦ Πάσχα ἑορτῆς φαίνεται ὁ μέγας οὗτος Πατὴρ τὴν ἐπιστολὴν ταύτην ἀπεσταλκὼς καὶ φησιν ὅτι συντελεῖ εἰς τὴν ἑορτὴν πῶς οἱ ἁμαρτάνοντες οἰκονομηθήσονται ἐννόμως τε καὶ κανονικῶς. Ἡ γὰρ τῆς Ἀναστάσεως ἑορτὴ τοῦ Κυρίου διὰ τὴν ἀνάστασιν τοῦ πεπτωκότος διὰ τὴν ἁμαρτίαν ἀνθρωπείου γένους· καὶ γέγονε καὶ ἐτησίως ἐπιτελεῖται. Ἀνάστασις δέ ἐστι καὶ ἡ ἐκ τοῦ πτώματος τῆς ἁμαρτίας ἀνόρθωσις. Τὸ γὰρ ἀποσχέσθαι τῆς ἁμαρτίας τὸν ἁμαρτάνοντα ἀναστῆναί ἐστι τοῦ πτώματος οὗ πέπτωκεν ἁμαρτάνων. Διό φησι κατὰ τὴν ἡμέραν ταύτην, μὴ μόνον προσάγειν Θεῷ τοὺς διὰ τοῦ σωτηρίου λουτροῦ τοῦ βαπτίσματος μεταστοιχειουμένους ἐκ παλιγγενεσίας, νέον ὥσπερ τὸ σῶμα λαμβάνοντας, οἷα καθαρθὲν τῇ τοῦ Πνεύματος

[1] Isa. v, 20.

Guill. Beveregii notæ.

(25) *Τῷ κακῶς κεχρημένῳ ὀλέθριον.* Scholiastes Harmenopuli ad hunc Nysseni canonem, cum 73 S. Basilii conjunctum, hæc observat: Ἡ τοῦ πατριάρχου Μεθοδίου διατύπωσις τοὺς παραπεσόντας καὶ ὑποστρέψαντας, νηπίους μὲν αἰχμαλωτισθέντας, καὶ φόβῳ ἢ ἀγνοίᾳ καθυπαχθέντας, συγγνώμης ἀξιοῖ, τῷ ἁγίῳ μόνον χρίουσα μύρῳ· τελείους δὲ τὴν ἡλικίαν ὄντας, καὶ ἀνάγκῃ καθυπαχθέντας, συγγνώμης μὲν καὶ αὐτοὺς ἀξιοῖ, τῷ ἁγίῳ χρίουσα μύρῳ· νηστεῦσαι δὲ ὅμως τεσσαρακοστὰς ἡμερῶν δύο προστάττει, χρεῶν ἀπεχομένους, ἐκτενεῖς τε δεήσεις καὶ γονυκλισίας ποιεῖν, ὁπόση δύναμις. Τοὺς δὲ ἐκ προαιρέσεως αὐτομολήσαντας, ἐπὶ δύο ἐνιαυτοὺς νηστεύειν προστάττει, παραπλησίως τοῖς ἄνω διδηλωμένοις, καὶ γονυκλισίας

D ἑκάστης ἡμέρας ποιεῖν ρ', ἢ ς', καὶ εἶθ' οὕτω τῷ ἁγίῳ χρίεσθαι μύρῳ. *Sanctio Methodii patriarchæ lapsos et conversos, pueros quidem in captivitatem adductos, et metu vel ignorantia subactos, venia dignatur sacro duntaxat eos oleo inungens: adultos vero et conctione subactos, venia quidem et illos dignatur, sacro inungens oleo: sed jejunare tamen binas dierum quadragesimas jubet, a carnibus abstinentes, intentasque preces et congemulationes pro viribus facere. Qui vero scientes volentesque (a Christianis) confugerint, eos ad biennium jejunare jubet, perinde ut indicatum est supra, quotidieque centies vel ducenties congemulare, atque oleo sacro inungi.* Harmen. ep. can. sect. 5, tit. 4.

Digitized by Google

χάριτι τῶν μολυσμάτων, ἃ διὰ τῆς κακίας αὐτῷ προσετρίβησαν. Οὐ τούτους οὖν μόνον, φησί, προσάγειν χρεὼν κατὰ τὸν τοῦ Πάσχα καιρὸν, ἀλλὰ καὶ τοὺς μετανοοῦντας καὶ ἐκ τῶν νεκρῶν ἔργων ἐπανιόντας εἰς τὴν ζῶσαν ὁδόν. Τοῦτο δὲ ἐν τῇ πρὸς Ἑβραίους Ἐπιστολῇ τῷ μεγάλῳ εἴρηται Παύλῳ, νεκρὰ καλέσαντι ἔργα, τὰ δυσωδίας τὴν ψυχὴν πληροῦντα καὶ ἡμᾶς ἀκαθάρτους ποιοῦντα. Ὡς γὰρ παρὰ τῷ νόμῳ τῷ παλαιῷ ὁ τοῦ νεκροῦ ἁψάμενος ἀκάθαρτος ἐνομίζετο, οὕτω καὶ ὁ τῶν νεκρῶν ἔργων ἁπτόμενος ἀκάθαρτος κρίνεται τῷ Θεῷ, καθαιρόμενος δὲ διὰ τῆς μετανοίας ἐπάνεισιν εἰς ὁδὸν ζῶσαν· ἡ πρὸς Θεὸν ἄγουσα δέ ἐστιν ἡ ζῶσα ὁδὸς, ἡ τὴν ζωὴν ἡμῖν προξενοῦσα τὴν μέλλουσαν, ἡ τῶν νεκρῶν ἢ καὶ νεκρούντων ἡμᾶς χωρίζουσα ἔργων, τῶν ἀποξενούντων τῆς σωζούσης ἐλπίδος, τουτέστι τῆς βασιλείας τοῦ Θεοῦ, ἥτις ἐλπιζομένη σώζει τοὺς ταῦτα ἐλπίζοντας, βιοῦντας κατὰ τὰς τοῦ Θεοῦ ἐντολὰς, ἵνα ταύτης μὴ ἀποτύχωμεν. Ἔστι δὲ, φησὶν, οὐ μικρὸν ἔργον τὸ οἰκονομῆσαι τοὺς περὶ τούτων λόγους, δηλονότι τῶν μετανοούντων, ἐν ὀρθῇ κρίσει, κατὰ τὸν Δαβὶδ λέγοντα περὶ τοῦ φοβουμένου τὸν Κύριον, *Οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει*, καὶ τὰ ἑξῆς. Καί φησιν ὅτι, ὥσπερ τοῖς τῶν σωμάτων θεραπευταῖς εἷς μέν ἐστιν ὁ σκοπὸς, ἐκ τῆς ἰατρικῆς τέχνης τὸ ἰάσασθαι τὸν ἀῤῥωστοῦντα, ἡ δὲ μεταχείρισις οὐχ ὁμοία ἐπὶ πᾶσι τοῖς ἀσθενοῦσιν, ἀλλὰ κατὰ τὰς διαφορὰς τῶν νοσούντων σωμάτων ποιοῦνται τὴν ἐπιμέλειαν, καὶ ἡλικιῶν καὶ σωμάτων ἰδιότητας καὶ ὥρων καὶ χωρῶν παρατηρούμενοι διαφοράς, οὕτω χρὴ καὶ τὸν θεραπεύοντα νοσήματα ψυχικὰ, ὧν πολλή τις ἡ ποικιλία ἐστὶ, πολυειδῆ καὶ τὴν θεραπείαν προσάγειν, καὶ τὰ αἴτια τῶν παθῶν παρατηρούμενον, καὶ τὴν ἑκάστου τῶν μετανοούντων διάθεσιν. Ἐπὶ τούτοις τεχνικὴν ποιεῖται τὴν περὶ τῶν ἁμαρτανόντων διδασκαλίαν, καί φησι τρία εἶναι τὰ περὶ τὴν ψυχὴν ἡμῶν θεωρούμενα, τὸ λογικὸν, τὸ ἐπιθυμητικὸν, καὶ τὸ θυμοειδὲς, ἃ καὶ δυνάμεις ψυχικαὶ καὶ ἰδιότητες ὀνομάζονται· καὶ ἐκ τούτων φύεσθαι λέγει τὰ κατορθώματα, ἤγουν τὰς ἀρετὰς, καὶ τὰ πτώματα, ἤγουν τὰ ἁμαρτήματα. Καὶ δεῖ τὸν θεραπευτὴν τῶν ψυχικῶν παθημάτων σκοπεῖν ἐκ τίνος τῶν ψυχικῶν δυνάμεων συνέστη τὸ ἁμάρτημα, καὶ οὕτω προσάγειν τῷ θεραπευομένῳ τὴν θεραπείαν κατάλληλον καὶ οἰκείαν τῷ πάθει, ἵνα μὴ ἐξ ἀπειρίας ἄλλο μὲν ᾖ τὸ πάσχον, ἄλλο δὲ τὸ ἰατρευόμενον· ἢ καὶ ἄλλως δέον μεταχειρίσασθαι τὸ ψυχικὸν ἀῤῥώστημα, ὁ δὲ ἕτερος αὐτὸ θεραπεύειν ἐπιχειρῇ· ὅπερ, φησὶ, καὶ οἱ ἀτεχνοὶ ποιοῦσι τῶν ἰατρῶν, καί τινος πάσχοντος κατὰ θερμοῦ πλεονασμὸν, δέον προσενεγκεῖν αὐτῷ ψυχρότερά τινα, εἰ προσενέγκοιεν μᾶλλον ἀπερισκέπτως θερμαίνοντα, δυσίατον τὸ πάθος ἐποίησαν. Τὰ γὰρ ἐναντία τῶν ἐναντίων εἰσὶν ἰάματα· καὶ τοῖς μὲν κατ' ἐπικράτησιν τοῦ ψυχροῦ πάσχουσι κατάλληλός ἐστι θεραπεία τὸ θερμαῖνον καὶ ἀναθάλπον· οὗ δὲ τὸ θερμὸν ἐπλεόνασε, προσφέρειν δεῖ τὸ ἀν-

[1] Psal. cxi, 5.

A adducere oportere Paschæ tempore, sed eos etiam qui agunt pœnitentiam, et a mortuis operibus ad viam viventem ascendunt. Hoc autem in Epistola ad Hebræos a magno Paulo dictum est, qui mortua vocavit opera, quæ animam malo odore replent, et nos immundos efficiunt. Quemadmodum enim in lege antiqua, qui mortuum tetigit immundus existimabatur: ita et qui mortua tangit opera immundus a Deo judicatus est, per pœnitentiam autem purgatus ad viam viventem revertitur. Quæ autem ad Deum ducit, est ea via vivens, quæ futuram nobis vitam conciliat, quæ a mortuis operibus, seu quæ nos mortificant, separat, quæ a servante spe nos abalienant, hoc est, a regno Dei, quod, si speretur, servat eos qui sperant, et secundum Dei mandata vivunt, ne ab eo excidamus. **153** Est autem, inquit, non parvum opus ea, quæ de iis discenda sunt, de iis scilicet qui pœnitentiam agunt, dispensare in recto judicio; ut vult David, qui dicit de eo qui timet Dominum; *Dispensabit sermones suos in judicio*[1], et cætera. Et dicit, quod sicut corporum medicis unum est institutum, ut arte medica ei qui laborat medeantur; non est autem similis in omnibus qui ægrotant curandi ratio, sed pro ægrotantium diversitate eorum curam gerunt, et ætatum et corporum proprietates horarumque et locorum differentias observantes: ita etiam oportet eum, qui animæ morbis medetur, quorum multiplex est varietas, multiplicem quoque medelam adhibere, et morborum causas observantem, et uniuscujusque pœnitentiam agentium affectionem. Postea tradit artificiosam peccatorum doctrinam, et dicit esse tria quæ in anima nostra considerantur, rationem, concupiscentiam et iram, quæ etiam animæ facultates et proprietates appellantur: et ex iis dicit existere recte facta seu virtutes, et casus seu peccata. Et oportet animæ affectionum medicum considerare, ex quanam animæ facultatum consistit peccatum, et ita ei qui sanatur convenientem adhibere medicinam et affectioni appositam, ne ex imperitia aliud quidem sit quod laboret, aliud cui medicina applicetur, vel, sit etiam morbus animæ qui aliter curari debeat, ille vero aliter medicari conetur: quod etiam, inquit, imperiti faciunt medici, et cum alicui propter calidi exsuperationem laboranti frigida aliqua adhibere oporteat, si inconsiderate magis calefacientia applicent, curatu difficillimam affectionem effecerunt: contraria enim contrariis curantur, et iis quidem, qui propter frigidi dominatum laborant, conveniens est medicina id quod calefacit et confovet; in quo autem calidum exsuperat, oportet contrarium adhibere, quod est frigidum. Et quemadmodum corporum medicis necessarium est intelligere, undenam is qui laborat affectus est, et ita illi morbo convenientem medicinam adhibere: ita et iis, qui morbis animæ medentur, necessario considerandum est undenam peccatum, cui medicina adhibenda est, nascitur. Cum animæ ergo facultates in tria, ut dictum est, dividan-

Digitized by Google

tur, rationis, inquit, virtus est pia de Deo existimatio et boni malique dijudicatio, et quæ habet perspicuam et non confusam de natura existimationem et subjectorum opinionem. Porro is dicitur perspicue videre, qui pure et absque ullo errore videt, et id quod videtur ita intelligentia comprehendit, prout ejus habet natura. Et is non confuse videt, qui, cum videntem facultatem habeat, non aliud quidem videt, aliud se videre existimat. Quando ergo quis rerum subjectarum naturam intelligit, et certo constanterque judicat, quid est bonum et malum, et quid præferre quidem oporteat, quid vero abhorrere; tunc dicitur apertam, et non confusam habere opinionem, seu existimationem, id est, res pulchre judicare, et tuto de iis existimare. Postquam autem dixit, quid sit virtus rationis, nunc etiam dicit de ejus vitio, et id ex contrariis considerari seu cognosci docet: et dicit: rationis vitium esse in Deum impietatem, hoc est, aliquid existimare divina natura indignum, et de rebus non rectum, sed aberrans judicium, ut quod bonum est, malum existimet, et quod malum est, bonum: hoc enim significat dicere lucem tenebras, et tenebras lucem. Hoc autem est Isaiæ eos qui illa faciunt exsecrantis. Concupiscentiæ autem virtus dicitur, nostrum desiderium ad id, quod vere pulchrum et honestum jureque concupiscendum est, moveri, et credere nihil esse aliud expetendum, seu appetitione et desiderio suapte natura dignum, quam virtutem, et quæ virtutem effundit, naturam, sive Deum: **154** virtutis enim fons est et ad ipsam dux divina natura. Nihil autem esse suapte natura expetendum præter virtutem, dixit sanctus: alia scilicet, quæ nobis expetenda esse videntur ac desideranda, non esse sua natura ejusmodi, sed nostro aberrante judicio ac existimatione. Et protinus infert gloriæ cupiditatem, corporum pulchritudinis desiderium, avaritiam, libidinem, et quæ sunt ejusmodi, quæ etiam concupiscibilis animæ partis declinationem et peccatum ostendunt. Declinat enim et aberrat, hoc est, ab eo quod honestum est et a recto judicio discedit, qui hæc expetenda esse ducit. Dicit autem ex vana gloria et ex flore, qui corporum superficiei est illitus, existere gloriæ cupiditatem, avaritiam et libidinem, et quæ sunt his similia. Si quis enim vanæ gloriæ cupiditate laboret, is ob recte facta laudatus summis vultu coli honoribus, et qui corporum florem appetit, in libidinem vel avaritiam labitur. Corporum autem florem intelligere oportet, humanorum corporum pulchritudinem vel bonum auri colorem, et lapidum splendorem, et margaritarum fulgorem vestiumque contextarum varietates, et quæ iis consequuntur: sunt enim et hæc corpus. Vel ergo amat humanam pulchritudinem, et a libidine vincitur, vel auri aliorumque florem expetit, et fit avarus. Ex his autem ad alia omnis generis innumerabilia vitia devolvitur. Qui enim gloriam appetit, in invidiam et eorum, qui ei sunt honore æquales, detractionem incidit, volens se esse omnibus superiorem. Qui autem pulchritudinis amator est, in incontinentiam. Qui autem pecuniam

A τίθετον, ὅπερ ἐστὶ τὸ ψυχρόν. Καὶ ὥσπερ τοῖς τῶν σωμάτων θεραπευταῖς ἀναγκαῖόν ἐστι τὸ κατανοῆσαι ὅθεν ὁ νοσῶν πάσχει, καὶ οὕτω τὴν θεραπείαν αὐτῷ οἰκείαν τῇ νόσῳ προσαγαγεῖν, οὕτω καὶ τοῖς τὰ ψυχικὰ ἰατρεύουσι πάθη ἀπαραίτητος ἡ κατασκόπησις, τοῦ ὅθεν τὸ μέλλον θεραπευθῆναι ἁμάρτημα φύεται. Εἰς τρία τοίνυν, ὡς εἴρηται, τῶν τῆς ψυχῆς δυνάμεων διαιρουμένων, τοῦ μὲν λογιστικοῦ, φησὶν, ἀρετή ἐστιν ἡ εὐσεβὴς περὶ τὸ θεῖον ὑπόληψις, καὶ ἡ τοῦ καλοῦ καὶ τοῦ κακοῦ διάκρισις, καὶ ἡ τρανὴν καὶ ἀσύγχυτον ἔχουσα περὶ τῆς φύσεως τὴν ὑπόληψιν καὶ τῶν ὑποκειμένων τὴν δόξαν. Καὶ τρανῶς λέγεται βλέπειν, ὁ ὁρῶν καθαρῶς τε καὶ ἀπλανῶς, καὶ κατανοῶν τὸ ὁρώμενον ὡς ἔχει φύσεως. Καὶ ἀσυγχύτως ὁρᾷ, ὁ τὴν ὁρατικὴν συνε- B γόμενος δύναμιν, καὶ ἄλλο μὴ ὁρῶν, ἄλλο δὲ δοκῶν βλέπειν. Ὅταν οὖν τις τὴν τῶν ὑποκειμένων πραγμάτων φύσιν κατανοῇ, καὶ ἀνεπισφαλῶς κρίνῃ τί μέν ἐστι καλὸν, τί δὲ κακὸν, καὶ τί μὲν προκρίνειν δέον, τί δὲ βδελύττεσθαι· τότε λέγεται τρανὴν καὶ ἀσύγχυτον ἔχειν δόξαν, ἤτοι ὑπόληψιν, ἀντὶ τοῦ καλῶς κρίνειν τὰ πράγματα, καὶ ὑπολαμβάνειν περὶ αὐτῶν ἀσφαλῶς. Εἰπὼν δὲ τί ἐστιν ἀρετὴ τοῦ λογιστικοῦ, νῦν καὶ περὶ τῆς κακίας αὐτοῦ λέγει, καὶ ἐκ τῶν ἐναντίων ταύτην θεωρεῖσθαι εἴτουν καταγινώσκεσθαι διδάσκει· καὶ φησιν εἶναι κακίαν τοῦ λογιστικοῦ τὴν περὶ τὸ θεῖον ἀσέβειαν, τουτέστι τὸ λαγίζεσθαί τε ἀνάξιον τῆς θείας φύσεως, καὶ τὴν περὶ τῶν πραγμάτων μὴ ὀρθὴν κρίσιν, ἀλλ' ἐσφαλμένην, ὥστε τὸ κακὸν ὑπολαμβάνειν C καλὸν, καὶ τὸ καλὸν κακόν· τοῦτο γὰρ δηλοῖ τὸ τιθέναι τὸ σκότος φῶς, καὶ τὸ φῶς σκότος· τοῦτο δὲ τοῦ Ἡσαΐου ἐστὶν οὐαὶ τοῖς τοῦτο ποιοῦσιν ἐπαρωμένου. Τοῦ δὲ ἐπιθυμητικοῦ μέρους λέγεται ἀρεστὸν τὸ τὴν ἔφεσιν ἡμῶν κινεῖσθαι πρὸς τὸ ὄντως καλὸν καὶ ἐπιθυμητὸν, καὶ πείθεσθαι μή τι ἄλλο εἶναι ὀρεκτὸν, ἤγουν ὀρέξεως ἢ ἐπιθυμίας ἄξιον, κατὰ τὴν οἰκείαν φύσιν ἢ τὴν ἀρετὴν πηγάζουσαν φύσιν, ἤτοι τὸν Θεόν· πηγὴ γὰρ τῆς ἀρετῆς καὶ ὁδηγὸς πρὸς αὐτὴν ἡ θεία φύσις. Οὐδὲν δὲ ὀρεκτὸν κατὰ τὴν οἰκείαν φύσιν ἢ μόνην τὴν ἀρετὴν, εἶπεν ὁ ἅγιος· δηλονότι τὰ ἄλλα τὰ ἡμῖν δοκοῦντα ἐπιθυμητά τε καὶ ὀρεκτὰ οὐ κατὰ τὴν οἰκείαν φύσιν εἰσὶ τοιαῦτα, ἀλλὰ κατὰ τὴν ἡμετέραν ἐσφαλμένην κρίσιν τε καὶ ὑπόληψιν. Καὶ αὐτίκα ἐπάγει τὴν τῆς δόξης ἐπιθυμίαν, τὴν τοῦ κάλλους τῶν σωμάτων, τὴν φιλοχρηματίαν, τὴν φιληδονίαν, καὶ ὅσα τοιαῦτα, ἃ καὶ παρατροπὴν καὶ ἁμαρτίαν τοῦ ἐπιθυμητικοῦ μέρους τῆς ψυχῆς ἀποφαίνεται. Παραπίπτεται γὰρ καὶ διαμαρτάνει, τουτέστιν ἀποτυγχάνει τοῦ καλοῦ καὶ τῆς ὀρθῆς κρίσεως, ὁ ταῦτα κρίνων ὀρεκτά. Λέγει δὲ ἐκ κενοδοξίας καὶ τοῦ ἐπικεχρωσμένου τοῖς σώμασιν ἄνθους φύεσθαι τὴν φιλοδοξίαν καὶ τὴν φιλοχρηματίαν καὶ τὴν φιληδονίαν καὶ τὰ ὅμοια τούτοις. Εἰ γάρ τις εἴη κενόδοξος, ὁ ἐφ' οἷς ἔχει κατόρθωμα ἐπαινούμενος, ὁ τοιοῦτος θέλει δοξάζεσθαι, καὶ ὁ τοῦ τῶν σωμάτων ὀρεγόμενος ἄνθους, εἰς φιληδονίαν ἢ φιλοχρηματίαν ἐξολισθαίνει. Σωμάτων δὲ ἄνθος νοητέον ἢ τὸ τῶν

Digitized by Google

ἀνθρωπίνων σωμάτων κάλλος ἢ τὴν εὐχροιαν τοῦ χρυσοῦ, καὶ τὰς τῶν λίθων διαυγὰς, καὶ τὴν τῶν μαργαρέων στιλπνότητα, καὶ τὰ τῶν ὑφασμάτων ποικίλματα, καὶ ὅσα τούτοις ἑπόμενα· σῶμα γὰρ καὶ ταῦτα. Ἤγουν κάλλους ἀνθρωπίνου ἐρᾷ, καὶ κρατεῖται φιληδονίᾳ, ἢ τοῦ ἄνθους ὀρέγεται τοῦ χρυσοῦ καὶ τῶν ἄλλων, καὶ γίνεται φιλοχρήματος. Ἐκ δὲ τούτων εἰς μυρίας ἄλλας κακίας καὶ παντοδαπὰς ἐκκυλίεται. Ὁ γὰρ δόξης ἐφιέμενος εἰς φθόνον ἐμπίπτει καὶ τῶν ὁμοτίμων διαβολὰς, θέλων αὐτὸν ἁπάντων ὑπερτερεῖν· ὁ δὲ κάλλους ἐραστὴς εἰς ἀσελγείας· ὁ δὲ χρημάτων ἐπιθυμῶν εἰς ἀδικίας· καὶ ἄλλα δὲ μυρία καὶ ποικίλα κακὰ ἐκ τούτων φύεσθαι πέφυκεν, ἅπερ ἀπαριθμεῖν τε καὶ ὀνομάζειν μακρᾶς ἂν δέοιτο συγγραφῆς. Ἅτινα πάντα εἰς τὴν κακίαν ἀνάγονται τὴν ἐκ παρατροπῆς γινομένην τῆς ἐπιθυμητικῆς δυνάμεως τῆς ψυχῆς, ὡς τὰ εἴδη πρὸς γένος. Ἀνυπόστατον δὲ τὴν κενοδοξίαν εἶπεν ὁ ἅγιος, ὅτι ἡ ἀνθρωπίνη τιμὴ διὰ τοῦτο λέγεται δόξα, ὡς ὑπόληψις μόνον οὖσα, καὶ οὐδὲν ὑφεστὼς ἔχουσα, οὐ βέβαιον, οὐδὲ μόνιμον, ἀλλὰ δόκησις τυγχάνουσα μόνον καὶ φαντασία. Καὶ αὐτὸ δὲ τὸ ὄνομα τῆς κενοδοξίας ἐκφαντικώτερα δήλωσις τοῦ λεγομένου ἐστί. Ματαίαν γὰρ ὑπόληψιν καὶ οὐκ ἀληθῆ ταῦτα εἶναι διδάσκει. Τοῦ δὲ θυμικοῦ τῆς ψυχῆς μέρους ἀρετὴν μὲν καὶ κατόρθωμα λέγει, τὸ πρὸς κακίαν μῖσος, καὶ τὸ τοῖς πάθεσι μάχεσθαι, καὶ μὴ ὑποκύπτειν καὶ δουλοῦσθαι αὐτοῖς, καὶ τὸ τὴν ψυχὴν πρὸς ἀνδρίαν ἐστομῶσθαι, ὅ ἐστι τὸ ἀπτοήτως ἔχειν καὶ εὐθαρσῶς. Εἴληπται δὲ ἡ λέξις ἐκ τοῦ σιδήρου. Ὡς γὰρ ἐστομωμένος σίδηρος ἄκαμπτός ἐστι καὶ τμητικὸς τοῦ παραπεσόντος παντὸς, οὕτω καὶ ὁ τὴν ψυχὴν ἀνδρεῖος πρὸς οὐδὲν τῶν δοκούντων φοβερῶν κάμπτεται, ἀλλὰ πρὸς πάντα ἐστὶν εὐθαρσής. Οὐ γὰρ θάνατον καταπτήσσει, οὐ κολαστήρια, οὐ μαλακίζεται ταῖς ἡδέσιν, οὐ συνηθείᾳ δουλοῦται, ἀλλὰ πάντων τῶν τοιούτων καταφρονεῖ, τῆς πίστεως καὶ τῆς ἀρετῆς ἀντεχόμενος, ἵνα μὴ τούτων ἐκπέσῃ παντὸς ὑπερορῶν ἀλγεινοῦ, καὶ τὰ ἥδιστα παραιτούμενος. Ἀκροτώματα δέ φησιν εἶναι τοῦ θυμοειδοῦς τῆς ψυχῆς, ἤγουν ἐκπτώσεις ἐκ τοῦ καλοῦ, τὸν φθόνον, τὸ μῖσος, τὴν μῆνιν, τὰς λοιδορίας, καὶ τὰ ἄλλα τὰ ἀπηριθμημένα, καὶ τούτων δὲ πλείω. Ὁ γὰρ ἀπαίδευτος, φησὶν, ἤγουν ὁ μὴ παιδείας τυχών, ὥστε εἰδέναι ποῦ χρὴ τῷ θυμῷ κέχρῆσθαι ὠφελίμως ὡς ὅπλῳ, καθ' ἑαυτοῦ κέχρηται τούτῳ, τὴν ἀκμὴν τοῦ σιδήρου, τὴν ὀξύτητα δηλαδὴ, τρέπων πρὸς ἑαυτόν· καὶ γίνεται οὕτω τὸ ὅπλον, ὃ ἡμῖν ἐδόθη παρὰ Θεοῦ εἰς ἄμυναν, ἤτοι εἰς βοήθειαν, τοῦτο δέ ἐστιν ὁ θυμὸς, κακῶς αὐτῷ κεχρημένοις εἰς ὄλεθρον, ἤγουν εἰς βλάβην ψυχικὴν, ἀλλὰ μὴν καὶ σωματικήν.

A concupiscit, ad injustitiam. Porro alia quoque mala innumerabilia ex iis enasci solent, ad quæ quidem enumeranda ac nominanda longa scriptione opus esset. Quæ quidem omnia reducuntur ad vitium, quod fit ex concupiscibilis animæ facultatis declinatione, tanquam species ad genus. Non consistentem autem vanam gloriam dicit sanctus, quod honor humanus propterea dicitur Græce δόξα, ut quæ sit solum existimatio, et nihil habeat firmum nec stabile quodve consistat, sed solum sit opinio et visio. Porro ipsum quoque nomen vanæ gloriæ evidentius declarat, quod dictum est. Inanem enim existimationem et non veram eam esse docet. Irascibilis autem animæ partis virtutem quidem rectumque officium esse docet, odium vitii, et pugnare cum animi perturbationibus, nec se eis submittere, nec eis servire, et animam habere ad fortitudinem corroboratam, quod est se intrepide fidenteque gerere. Sumitur autem vocabulum ἐστομῶσθαι a ferro. Sicut enim ferrum temperatum est inflexibile, et rem quamlibet quæ inciderit secat: ita qui magno excelsoque est animo, ad nihil eorum, quæ videntur terribilia, flectitur, sed est ad omnia bono fidentique animo. Non enim mortem timet nec tormenta, voluptatibus non enervatur, nec a consuetudine in servitutem redigitur, sed hæc omnia contemnit, fidem et virtutem possidens, a quibus ne excidat, et omnem dolorem nihili ducit, et quæ sunt jucundissima repudiat. Prolapsiones autem iræ, seu ab honesto deflexiones, dicit esse invidiam, odium, iram; convicia, et alia quæ enumerata sunt et adhuc plura. Qui est enim, inquit, ineruditus, id est, qui doctrinam non est assecutus, ut sciat ubi oporteat ira tanquam armis utiliter uti, ea adversus se utitur, ferri aciem sive acumen in se convertens et ita arma quæ nobis a Deo data sunt ad nostri defensionem et nobis ferendum auxilium, (ea autem sunt ira) male illis utentibus exitum seu perniciem animæ afferunt, et etiam corporis.

ΚΑΝΩΝ Β'.

Τούτων τοίνυν κατὰ τὸν εἰρημένον διακρινηθέντων τρόπον, ὅσα μὲν ἁμαρτήματα τοῦ λογιστικοῦ τῆς ψυχῆς ἅπτεται μέρους, χαλεπώτερα παρὰ τῶν Πατέρων ἐκρίθη, καὶ μείζονος καὶ διαρκεστέρας καὶ ἐπιπονωτέρας τῆς ἐπιστροφῆς ἄξια· οἷον εἴ τις ἠρνήσατο τὴν εἰς Χριστὸν πίστιν, ἢ πρὸς Ἰουδαϊσμὸν, ἢ πρὸς εἰδωλολατρείαν, ἢ πρὸς Μανιχαϊσμὸν, ἢ πρὸς ἄλλο τι τοιοῦτον ἀθεΐας εἶδος αὐτομολήσας ἐφάνη, ὁ μὲν ἑκουσίως ἐπὶ τὸ τοιοῦτον ὁρμήσας κακὸν, εἶτα καταγνοὺς ἑαυτοῦ, χρόνον τὸν τῆς μετανοίας ἔχει, ὅλον τὸν τῆς ζωῆς αὐτοῦ. Οὐδέποτε γὰρ μυστικῆς ἐπιτελουμένης εὐχῆς, μετὰ τοῦ λαοῦ προσκυνῆσαι τὸν Θεὸν καταξιοῦται, ἀλλὰ καταμόνας μὲν εὔξεται· τῆς

155 CANON II.

D His itaque hoc modo distinctis, quæcunque quidem peccata ratione præditam animæ partem attingunt, esse graviora a Patribus judicata sunt, et majori ac sufficientiori et laboriosiori conversione digna: quemadmodum si quis fidem in Christum negavit, vel ad judaismum, vel idolorum cultum, vel manichæismum, vel aliquod aliud impietatis genus descivisse visus sit, qui voluntarie quidem se ad id malum contulit, deinde seipsum condemnavit, totum tempus vitæ habet pœnitentiæ tempus. Nunquam enim, si mystica peragatur oratio. Deum una cum populo adorare dignus censebitur, sed seorsum precabitur; a sa-

Digitized by Google

cramentorum autem communione omnino erit alienus; in hora autem sui e vita excessus, sacramenti communionis erit particeps. Sin autem contigerit ut is præter spem vivat, in eodem rursus vivet judicio, mysticorum sacramentorum ad vitæ exitum usque expers. Qui autem tormentis et gravibus suppliciis excruciati, ii præstituto tempore punientur, sanctis Patribus sic in eos clementia usis, tanquam anima non lapsa sit, sed corporalis imbecillitas tormentis non restiterit. Quare mensura eorum qui in fornicatione peccarunt, et vi doloreque expressa transgressio, in conversione, eodem spatio dimensa est.

BALS. Postquam dixit sanctus, post proœmium, instar cujusdam præcedentis contemplationis, cui animæ facultatum unumquodque recte factum vel peccatum convenit, nunc tractat de pœnis istorum peccatorum: et aliis deteriora esse dicit et talia a Patribus esse judicata, quæ ratione prædita animæ partem attingunt et laboriosiore medicina digna esse habita, ex quibus esse dicit lapsum a fide; ut quando quis, fide in Christum negata, ad Judaismum vel Hellenismum declinaverit, vel ad aliquam vetitam hæresin, aut ad aliud quodcumque genus infidelitatis. Infidelitatis porro genus vocavit et Judaismum et hæreses, eo quod etsi Judæi Deum confiteantur, factis tamen eum negant. Cum enim Filium non susceperint, nec Patrem honorare creduntur, secundum magnum apostolum Joannem, qui dicit: *Quicunque negat Filium, is nec Patrem habet* [1]. Porro hæreses quoque ad infidelitatem ducunt. Qui enim Filium a paterna substantia et gloria separant, et sanctum Spiritum creaturam servumque esse creduntur, erant circa naturam divinam, nec de Filio nec de Spiritu recte sentientes, et merito ipsi quoque infideles vocentur, ut qui non habent convenientem de Deo sententiam. Hoc in aliis quoque hæresibus quispiam invenerit. Eorum itaque, qui errant in fide, facit sanctus divisionem; et eos quidem qui desciverunt, seu voluntarie et absque necessitate fidem veram in Christum negarunt, deinde ad pœnitentiam venerunt, dicit tota sua vita esse segregatos, ut ne sanctorum quidem donorum participatione digni habeantur, nisi quando ad suæ vitæ finem venerint. Quod si quis eorum moribundus communione dignus habitus fuerit, deinde periculum evaserit et vixerit, rursus erit excommunicatus usque ad mortem. Non solum autem ei inferri dicit segregationem; sed neque cum orthodoxis consistere et una precari, cum mystica peragitur oratio, scilicet quando sacerdos panem et poculum sanctificari per se precatur. Seorsum tamen, inquit, seu per se precari non vetabitur is, qui pœnitentiam agit; cum fidelibus autem consistere ei non permittetur, sed stabit extra templum cum catechumenis. Hæc ergo dicit de iis, qui sine vi propria sola voluntate negaverunt. **156** Quicunque autem, inquit, per necessitatem se sub-

[1] I Joan. II, 22.

A δὲ κοινωνίας τῶν ἁγιασμάτων καθόλου ἀλλότριος ἔσται· ἐν δὲ τῇ ὥρᾳ τῆς ἐξόδου αὐτοῦ, τότε τῆς τοῦ ἁγιάσματος μερίδος ἀξιωθήσεται. Εἰ δὲ συμβαίη παρ' ἐλπίδας ζῆσαι αὐτὸν, πάλιν ἐν τῷ αὐτῷ κρίματι διαβιώσεται, ἀμέτοχος τῶν μυστικῶν ἁγιασμάτων μέχρι τῆς ἐξόδου γινόμενος. Οἱ δὲ βασάνοις καὶ τιμωρίαις χαλεπαῖς αἰκισθέντες, ἐν ῥητῷ χρόνῳ ἐπετιμήθησαν, οὕτω τῶν ἁγίων Πατέρων φιλανθρωπίᾳ ἐπ' αὐτῶν χρησαμένων, ὡς οὐχὶ ψυχῆς γεγενημένης ἐν πτώματι, ἀλλὰ τῆς σωματικῆς ἀσθενείας πρὸς τὰς αἰκίας οὐκ ἀντισχούσης. Διὸ τῷ μέτρῳ τῶν ἐν πορνείᾳ πλημμελησάντων, καὶ ἡ βεβιασμένη τε καὶ ἐπώδυνος παράβασις ἐν τῇ ἐπιστροφῇ συνεμετρήθη.

ΒΑΛΣ. Εἰπὼν μετὰ τὸ προοίμιον ὡς ἐν προθεωρίᾳ ὁ ἅγιος τίνι τῶν ψυχικῶν δυνάμεων ἁρμόττει B ἕκαστον τῶν κατορθωμάτων ἢ τῶν ἐλαττωμάτων, ἄρτι καὶ περὶ τῶν ἐπιτιμίων τῶν ἐξ αὐτῶν τῶν ἁμαρτημάτων διαλαμβάνει· καὶ χείρονα τῶν ἄλλων εἶναι λέγει καὶ παρὰ τῶν Πατέρων κριθῆναι τὰ τοῦ λογιστικοῦ τῆς ψυχῆς μέρους ἁπτόμενα, καὶ τῆς θεραπείας ἐπιπονωτέρας ἀξιωθῆναι, ἐξ ὧν φησιν εἶναι τὴν ἐκ τῆς ὀρθῆς πίστεως ἔκπτωσιν· ὡς ὅταν τις ἀρνησάμενος τὴν εἰς Χριστὸν πίστιν, πρὸς Ἰουδαϊσμὸν ἢ Ἑλληνισμὸν ἀποκλίνῃ, ἢ πρός τινα ἀπηγορευμένων αἱρέσεων, ἢ πρός ἄλλο τι ἀθεΐας εἶδος. Ἀθεΐας δὲ εἶδος ἐκάλεσε καὶ τὸν Ἰουδαϊσμὸν καὶ τὰς αἱρέσεις, διότι κἂν ὁμολογῶσι Θεὸν οἱ Ἰουδαῖοι, ἀλλὰ τοῖς ἔργοις αὐτὸν ἀρνοῦνται. Καὶ γὰρ μὴ δεξάμενοι τὸν Υἱὸν, οὐδὲ τὸν Πατέρα τιμᾷν πιστεύονται, κατὰ τὸν μέγαν ἀπόστολον Ἰωάννην λέγοντα· *Πᾶς ὁ ἀρνούμενος τὸν Υἱὸν, οὐδὲ τὸν Πατέρα ἔχει.* Καὶ αἱ αἱρέσεις δὲ εἰς ἀθεΐαν φέρουσιν. Οἱ γὰρ τὸν Υἱὸν C τῆς πατρικῆς οὐσίας καὶ δόξης χωρίζοντες, καὶ τὸ πανάγιον Πνεῦμα κτίσμα καὶ δοῦλον εἶναι διδάσκοντες, περὶ τὴν θεότητα σφάλλονται, οὔτε περὶ τοῦ Υἱοῦ οὔτε περὶ τοῦ Πνεύματος ὑγιῶς φρονοῦντες, καὶ δικαίως ἂν καλοῖντο ἄθεοι καὶ αὐτοί, ὡς μὴ τὴν προσήκουσαν δόξαν ἔχοντες περὶ τοῦ Θεοῦ. Τοῦτο δὲ καὶ ἐπὶ τῶν ἄλλων εὕροι τις πάντως αἱρέσεων. Τῶν οὖν περὶ τὴν πίστιν σφαλλομένων διαίρεσιν ποιεῖται ὁ ἅγιος· καὶ τοὺς μὲν αὐτομολήσαντας, ἤγουν ἑκουσίως καὶ χωρὶς ἀνάγκης ἀρνησαμένους τὴν ὀρθὴν εἰς Χριστὸν πίστιν, εἶτα εἰς μετάνοιαν ἐλθόντας, παρ' ὅλην αὐτῶν τὴν ζωὴν λέγει ἀφωρισμένους εἶναι, D ὥστε μηδέποτε τῆς μεταλήψεως τῶν ἁγίων δώρων ἀξιωθῆναι, εἰ μὴ ὅτε εἰς τέλος τῆς οἰκείας ἔξουσι ζωῆς. Κἂν δὲ ἤδη θνήσκων τις αὐτῶν κοινωνίας ἀξιωθῇ, εἶτα ἐκφύγῃ τὸν κίνδυνον καὶ ζήσῃ, πάλιν ἀκοινώνητος ἔσται μέχρις ἂν αὖθις θνήσκῃ. Καὶ οὐ τοῦτον μόνον ἐπάγεσθαι λέγει αὐτοῖς τὸν ἀφορισμὸν, ἀλλὰ μηδὲ συνεστάναι τοῖς ὀρθοδόξοις, καὶ συνεύχεσθαι μυστικῆς ἐπιτελουμένης εὐχῆς, ἤγουν ὅτε ὁ ἱερεὺς τὸν ἄρτον ἁγιασθῆναι καὶ τὸ ποτήριον καθ' ἑαυτὸν εὔχεται. Εὔχεσθαι μὲν γὰρ, φησὶ, κατὰ μόνας, ἤγουν καθ' ἑαυτὸν, οὐ κωλυθήσεται ὁ ἐν μετανοίᾳ γενόμενος· συνίστασθαι δὲ τοῖς πιστοῖς οὐ συγχωρηθήσεται, ἀλλὰ ἐξωστήσεται τοῦ ναοῦ μετὰ τῶν κατηχουμένων. Ταῦτα μὲν οὖν περὶ τῶν ἄνευ βίας κατὰ

Digitized by Google

θέλησιν οἰκείαν μόνην ἀρνησαμένων. Ὅσοι δὲ, φησὶ, ἐξ ἀνάγκης ὑπέκυψαν, μὴ μέχρι τέλους ἀντισχεῖν πρὸς τὰς βασάνους καὶ τὰς χαλεπὰς αἰκίας καὶ τιμωρίας δυνηθέντες, οἱ τοιοῦτοι ῥητῷ χρόνῳ ἐπιτεμήθησαν παρὰ τῶν Πατέρων, ὅσῳ καὶ ὁ πορνεύσας ἐπιτιμᾶται. Ὃν δὲ χρόνον, πρωΐων, ἐννέα ἔτη εἶναι λέγει. Φιλανθρωπεύσασθαι δὲ λέγει τοὺς Πατέρους περὶ τοὺς ἐκ βίᾳ ἀρνησαμένους, ὅτι οὐχ ἡ ψυχὴ αὐτῶν συνέθετο τῇ ἀρνήσει, ἀλλὰ γλώσσῃ μόνῃ ἐκπεπτώκασι τοῦ καλοῦ· ἡ δὲ γνωμικὴ διάθεσις ἀρετάτρεπτος αὐτοῖς ἐφυλάχθη. Τοιαῦτα μὲν οὖν ἐπάγεσθαι λέγει τὰ ἐπιτίμια τοῖς περὶ τὴν ὀρθὴν πίστιν ἀποσφαλεῖσι· περὶ τῶν ἀπιόντων δὲ εἰς γόητας ἢ μάντεις ταῦτά φησιν. A

miserunt, tormentis gravibusque pœnis ac supplicis ad finem usque resistere non valentes, ii a Patribus præstituto tempore puniti sunt, quanto etiam is qui fornicatus est punitur. Quod quidem tempus, procedens, dicit esse novem annos. Patres autem clementia usos fuisse in eos qui vi negaverunt, ait, quia anima ipsorum negationi non consensit, sed lingua sola a bono exciderunt; mentis autem affectio eis immutabilis conservata est. Has ergo pœnas inferri dicit iis, qui circa rectam fidem lapsi sunt. De iis autem, qui præstigiatores vel vates adeunt, hæc dicit.

ΚΑΝΩΝ Γ'.

Οἱ δὲ πρὸς γόητας ἀπιόντες ἢ μάντεις, ἢ τοὺς διά δαιμόνων καθάρσιά τινα καὶ ἀποτροπιασμοὺς ἐνεργεῖν ὑπισχνουμένους, οὗτοι ἐρωτῶνται δι' ἀκριβείας καὶ ἀνακρίνονται, πότερον ἐπιμένοντες τῇ εἰς Χριστὸν πίστει ὑπ' ἀνάγκης τινὸς συνηνέχθησαν ἐκείνῃ τῇ ἁμαρτίᾳ, κακώσεώς τινος ἢ ἀφορήτου ζημίας ταύτην αὐτοῖς τὴν ὁρμὴν ἐμποιησάσης, ἢ καθόλου καταφρονήσαντες τοῦ πεπιστευμένου παρ' ἡμῶν μαρτυρίου, τῇ τῶν δαιμόνων συμμαχίᾳ προσέδραμον. Εἰ μὲν γὰρ ἀθετήσει τῆς πίστεως καὶ πρὸς τὸ μὴ πιστεύειν εἶναι Θεὸν τὸν παρὰ τῶν Χριστιανῶν προσκυνούμενον ἐκεῖνο ἐποίησαν, δηλαδὴ τῷ κρίματι τῶν παραβάντων ὑπαχθήσονται· εἰ δέ τις ἀβάστακτος ἀνάγκη κατακρατήσασα τῆς μικροψυχίας αὐτῶν εἰς τοῦτο προσήγαγε διά τινος ἠπατημένης ἐλπίδος; παρακρουσθέντας, ὡσαύτως ἔσται καὶ ἐπ' αὐτῶν ἡ φιλανθρωπία, καθ' ὁμοιότητα τῶν πρὸς τὰς βασάνους ἐν τῷ καιρῷ τῆς ὁμολογίας ἀντισχεῖν μὴ δυνηθέντων. B C

CANON III.

Qui autem ad præstigiatores vel vates abierunt, vel eos qui per dæmones se piacula quædam et malorum averruncationes operaturos pollicentur, ii exacte interrogantur et examinantur, utrum in fide in Christum permanentes a necessitate aliqua ad illud peccatum impulsi sunt, cum afflictio aliqua vel intolerabilis jactura hunc illis animum indidisset; an omnino neglecto quod a nobis creditum est testimonio, ad dæmonum societatem se contulerunt. Si enim ad fidem infirmandam et quod Deum esse non credat ea, qui a Christianis adoratur, illud fecerint; erunt scilicet transgressorum judicio obnoxii: sin autem non ferenda quædam necessitas, pusillo et abjecto eorum animo superato, falsa aliqua spe deceptos eo deduxit; similiter in ipsos erit clementia, ac in eos qui tormentis in tempore confessionis resistere non potuerunt.

ΒΑΛΣ. Τοὺς δὲ πρὸς γόητας ἀπιόντας ἢ μάντεις, ἢ τοὺς διὰ δαιμόνων καθάρσια τινα καὶ ἀποτροπιασμοὺς ἐνεργεῖν ὑπισχνουμένους, κατὰ ἀκριβείας δεῖν ἀνακρίνεσθαι, καὶ ἐξετάζεσθαι λέγει. Γόητες μὲν οὖν εἰσιν οἱ καὶ ἐπῳδοὶ καλοῦνται, οἱ διά τινων μαγικῶν ἐπῳδῶν ἢ θηρία καταδεσμοῦντες, ἢ πρὸς βλάβην ἀνθρώπων ἢ πρὸς ὠφέλειαν τῷ δοκεῖν ποιοῦντές τινα· πρὸς βλάβην μὲν, νόσους ἢ παραφροσύνας ἢ παρέσεις ἐπάγοντες· πρὸς δὲ δοκοῦσαν ὠφέλειαν, ἔρωτας ἐμποιοῦντες ἢ φιλίας, ἢ εὐπραγίας ἐπικλήσει δαιμόνων. Μάντεις δέ εἰσιν οἱ διά τινων μεθόδων, οὐδ' οὗτοι χωρὶς ἐπικλήσεως δαιμόνων, μέλλοντά τινα προλέγοντες, ἢ ἀγνοούμενα ἐκκαλύπτοντες. Καθάρσια δὲ λέγονται γίνεσθαι, ὡς ὅταν τις νομίζῃ ἐκ βασκάνων βλαβῆναι ὀφθαλμῶν, ἢ ἐκ περιεργίας τινὸς, κάντεῦθεν ἢ νοσεῖν, ἢ δυσπραγεῖν, ἢ ἄλλο τι κακὸν πάσχειν. Εἰσὶ γάρ τινες, οἳ ἐπαγγέλλονται καθάρσια τῶν τοιούτων παθημάτων ποιεῖν δι' ἐνεργείας πάντως σατανικῆς, καὶ ἀποτροπιασμοὺς, ἤγουν ἀποτροπὰς καὶ ἀποδιώξεις τῶν τοιούτων κακῶν. Τοὺς οὖν τοιούτοις τισὶ προσερχομένους ἀποκρίνεσθαι χρὴ, φησὶν, ἀντὶ τοῦ μετὰ ἀκριβείας ἐρωτᾶσθαι, πῶς τοῖς τὰ τοιαῦτα ποιοῦσι προσῆλθον, ἀνάγκης κατεπειγούσης αὐτοὺς, ἤγουν κακώσεώς τινος ἢ νόσου ἢ ὀργῆς; τυχὸν δυνάστου τινὸς ἢ δεσπότου, ἢ ζημίας ἀφορήτου· καὶ πῶς προσῆλθον ἐκείνοις, ἆρα καταγνόντες τῆς D

BALS. Eos autem, qui ad præstigiatores vel vates abierunt, vel ad eos qui per dæmones se piacula quædam et malorum averruncationes operaturos pollicentur, dicit esse accurate examinandos et interrogandos. Dicuntur ergo præstigiatores, qui et incantatores appellantur, qui per aliquas magicas incantationes vel feras alligant, vel ad hominum detrimentum aut utilitatem quoad speciem aliqua faciunt: ad detrimentum quidem, morbos vel deliria vel paralyses inducentes; ad apparentem autem utilitatem, amores immittentes vel amicitias, eve prosperas dæmonum invocatione efficientes. Vates autem sunt, qui per certas quasdam illusiones, nec sine dæmonum invocatione, futura aliqua præ dicunt, vel quæ ignorantur detegunt. Dicuntur vero fieri piacula, ut quando quis existimat se a fascinantibus oculis læsum fuisse, vel ab aliqua curiositate, eoque factum esse, ut vel ægrotaret vel infeliciter res suas gereret, vel ei aliquid ejusmodi malum eveniret. Sunt enim, qui profitentur se earum affectionum piacula inventuros per operationem omnino satanicam: vel etiam averruncationes sive aversiones et amolitiones ejusmodi malorum. Eos ergo, qui ad tales aliquos accedunt, examinari oportere ait, sive diligenter interrogari quomodo ad eos qui hæc faciunt accesserunt;

Digitized by Google

urgente eos necessitate, vel affectione aliqua, vel morbo, vel ira forte alicujus principis vel domini, vel damno intolerabili: et quomodo ad illos accesserunt, fidene condemnata ad dæmonum auxilium accurrerunt. Si enim tanquam a fide desciscentes et Christum non esse Deum credentes, nec ab illo auxilium sperantes, dæmonum opem imploraverunt; ut qui transgressi sunt et sponte fidem abnegaverunt, tractabuntur: sin autem propter pusillum et abjectum animum dæmonum auxilium invocaverunt, cum eos gravis aliqua oppressisset necessitas, quam propter animi imbecillitatem ferre non potuerunt, decepti et juvari sperantes; punientur et ipsi, ut ii qui idolis sacrificarunt, quod propter confessionem tormenta non sustinuerunt.

A πίστεως προσέδραμον τῇ τῶν δαιμόνων βοηθείᾳ. Εἰ μὲν γὰρ ὡς ἀποστάντες τῆς πίστεως, καὶ μὴ πιστεύοντες Θεὸν εἶναι τὸν Χριστὸν, μηδὲ ἐλπίζοντες ἐξ ἐκείνου βοηθείας, ἐπεκαλέσαντο τὴν τῶν δαιμόνων ἐπικουρίαν, ὡς οἱ παραβάντες καὶ τὴν πίστιν ἐκόντες ἀρνησάμενοι οἰκονομηθήσονται· εἰ δὲ ἐκ μικροψυχίας ἐπεκαλέσαντο τὴν τῶν δαιμόνων βοήθειαν, ἀνάγκης σφοδρᾶς ἐπελθούσης αὐτοῖς, ἣν διὰ μικροψυχίαν βαστάσαι οὐκ ἠδυνήθησαν, ἀπατηθέντες καὶ ἐλπίσαντες ὠφεληθῆναι, ἐπιτιμηθήσονται καὶ οὗτοι, ὡς οἱ θύσαντες εἰδώλοις διὰ τὸ μὴ ὑπομεῖναι τὰς δι' ὁμολογίας βασάνους.

157 CANON IV.

Eorum autem quæ ad cupiditatem et voluptatem fiunt peccatorum, hæc est divisio: hoc enim vocatur adulterium, illud vero fornicatio. Ac nonnullis quidem eorum qui sunt subtiliores, placuit etiam fornicationis peccatum adulterium esse existimare, quoniam una est legitima conjunctio et mulieris cum viro, et viri cum muliere. Quidquid ergo non est legitimum, est omnino injustum et legi contrarium: et qui non habet proprium, habet omnino alienum. Homini enim una tantum data est auxiliatrix a Deo, et mulieri unum appositum est caput. Ergo *si quis*, quidem, *proprium vas suum*, ut divinus Apostolus nominat, *possederit* [1], ei lex naturæ justum usum concedit. Si quis autem extra proprium conversus fuerit, erit omnino in alieno: est autem unicuique alienum quidquid non est proprium, etiamsi id non confiteatur qui est dominus. Non longe ergo a peccato adulterii, fornicatio ab iis qui rem paulo accuratius examinant, suscepta est, cum dicat etiam Scriptura: *Ne multus sis cum aliena* [2], sed cum imbecillioribus indulgenter agendum censuerunt Patres, distinctum est peccatum hac generali divisione, quod fornicatio quidem dicatur cupiditatis seu libidinis expletio, quæ fit sine alia alicujus injuria; adulterium vero, insidiæ et injuria quæ alteri affertur. In eo autem et cum animalibus coitum et pædicatum esse existimant; quoniam hæc sunt naturæ adulterium. In id enim quod est alienum, et quod est præter naturam, fit injustitia. Cum hæc ergo divisio in hac etiam peccati specie fiat, universale est remedium, ut a concitata in ejusmodi voluptates rabie, per pœnitentiam homo purus efficiatur; sed quia eorum qui in fornicatione polluti sunt, injuria aliqua cum hoc peccato non commista est, propterea duplum conversionis tempus iis præscriptum est, qui in adulterio inquinati sunt; et in aliis itidem vetitis malis, animalium initu, et rabie in masculos. In iis enim, ut dixi, peccatum duplicatur: unum quidem [in illicita et nefaria voluptate; alterum autem] quod injuria quæ fit alteri, consistit. Est autem quædam

ΚΑΝΩΝ Δ'.

B Τῶν δὲ δι' ἐπιθυμίαν τε καὶ ἡδονὴν γινομένων ἁμαρτημάτων τοιαύτη ἐστὶν ἡ διαίρεσις· τὸ μὲν γὰρ καλεῖται μοιχεία, τὸ δὲ πορνεία. Τισὶ μὲν οὖν τῶν ἀκριβεστέρων ἤρεσε καὶ τὸ κατὰ πορνείαν πλημμέλημα, μοιχείαν εἶναι νομίζειν. Διότι μία ἐστὶν ἡ νόμιμος συζυγία, καὶ γυναικὶ πρὸς ἄνδρα, καὶ ἀνδρὶ πρὸς γυναῖκα. Πᾶν οὖν τὸ μὴ νόμιμον παράνομον πάντως, καὶ ὁ μὴ τὸ ἴδιον ἔχων, δηλαδὴ τὸ ἀλλότριον ἔχει· τῷ γὰρ ἀνθρώπῳ μία δέδοται παρὰ τοῦ Θεοῦ βοηθὸς, καὶ τῇ γυναικὶ μία ἐφήρμοσται κεφαλή. Οὐκοῦν *εἰ* μέν *τις τὸ ἴδιον αὐτοῦ σκεῦος*, καθὼς ὀνομάζει ὁ θεῖος Ἀπόστολος, *ἑαυτῷ κτήσαιτο*, συγχωρεῖ ὁ νόμος τῆς φύσεως τὴν δικαίαν χρῆσιν. Εἰ δέ τις ἔξω τοῦ ἰδίου τραπείη, ἐν ἀλλοτρίῳ πάντως C γενήσεται· ἀλλότριον δὲ ἑκάστῳ πᾶν τὸ μὴ ἴδιον, κἂν μὴ ὁμολογούμενον ἔχει τὸν κυριεύοντα. Οὔκουν πόῤῥω τοῦ κατὰ τὴν μοιχείαν πλημμελήματος, καὶ ἡ πορνεία τοῖς τὸν ἀκριβέστερον ἐξετάζουσι λόγον ἐδείχθη, λεγούσης καὶ τῆς θείας Γραφῆς· ὅτι *Μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν*· πλὴν ἀλλ' ἐπειδὴ τοῖς ἀσθενεστέροις ἐγένετό τις παρὰ τῶν Πατέρων συμπεριφορὰ διειρῆσθαι τὸ πλημμέλημα τῇ γενικῇ διαιρέσει ταύτῃ, ὡς πορνείαν μὲν εἶναι καὶ λέγεσθαι, τὴν χωρὶς ἀδικίας ἑτέρου γινομένην τισὶ τῆς ἐπιθυμίας ἐκπλήρωσιν· μοιχείαν δὲ, τὴν ἐπιβουλήν τε καὶ τὴν ἀδικίαν τοῦ ἀλλοτρίου. Ἐν ταύτῃ δὲ καὶ τὴν ζωοφθορίαν καὶ τὴν παιδεραστίαν εἶναι λογίζονται· διότι καὶ ταῦτα φύσεώς ἐστι μοιχεία. Εἰς γὰρ τὸ ἀλλότριόν τε καὶ παρὰ φύσιν γίνεται ἡ ἀδικία. Ταύτης D τοίνυν τῆς διαιρέσεως καὶ ἐν τούτῳ τῷ εἴδει τῆς ἁμαρτίας γεγενημένης, καθολικὴ μέν ἐστι θεραπεία, τὸ τῆς ἐμπαθοῦς λύσσης, τῆς περὶ τὰς τοιαύτας ἡδονὰς, καθαρὸν ἐκ μεταμελείας γενέσθαι τὸν ἄνθρωπον· ἐπὶ δὲ τῶν ἐν πορνείᾳ μολυνθέντων ἀοικία τις τῇ ἁμαρτίᾳ ταύτῃ οὐ καταμέμικται· διὰ τοῦτο διπλάσιον ὡρίσθη τῆς ἐπιστροφῆς ὁ χρόνος τοῖς ἐν μοιχείᾳ μιανθεῖσι, καὶ ἐν τοῖς ἄλλοις τοῖς ἀπηγορευμένοις κακοῖς, ζωοφθορίᾳ τε καὶ τῇ κατὰ τοὺς ἄῤῥενας λύσσῃ· διπλασιάζεται γὰρ, ὡς εἶπον, ἐπὶ τῶν τοιούτων ἡ ἁμαρτία. Μία μὲν ἡ κατὰ τὴν τοῦ ἀλλοτρίου ἀδικίαν συνισταμένη. Διαφορὰ δέ τίς ἐστιν ἐν τῷ λόγῳ τῆς μετανοίας, καὶ ἐπὶ τῶν κατὰ ἡδονὴν πλημμελούντων

[1] I Thess. iv, 4. [2] Eccles. ix, 12.

Digitized by Google

τοιαύτη. Ὁ μὲν γὰρ ἀφ' ἑαυτοῦ πρὸς τὴν ἐξαγόρευσιν τῆς ἁμαρτίας ὁρμήσας, αὐτῷ τὸ καταδέξασθαι δι' οἰκείας ὁρμῆς γενέσθαι τῶν κρυφίων κατήγορος· ὡς ἤδη τῆς θεραπείας τοῦ πάθους ἀρξάμενος, καὶ σημεῖον τῆς πρὸς τὸ κρεῖττον μεταβολῆς ἐπιδειξάμενος, ἐν φιλανθρωποτέροις γίνεται τοῖς ἐπιτιμίοις. Ὁ δὲ φωραθεὶς ἐπὶ τῷ κακῷ, ἢ διά τινος ὑποψίας ἢ κατηγορίας ἀκουσίως ἀπελεγχθείς, ἐν ἐπιτεταμένῃ γίνεται τῇ ἐπιστροφῇ· ὥστε καθαρισθέντα δι' ἀκριβείας αὐτὸν, οὕτως ἐπὶ τὴν τῶν ἁγιασμάτων κοινωνίαν παραδεχθῆναι. Ἔστι τοίνυν ὁ κανὼν τοιοῦτος, ὥστε τοὺς ἐν πορνείᾳ μολυνθέντας, ἐν τρισὶ μὲν ἔτεσι καθόλου τῆς εὐχῆς ἀποβλήτους εἶναι· ἐν τρισὶ δὲ τῆς ἀκροάσεως μετέχειν μόνης, ἐν ἄλλοις δὲ τρισὶν ἔτεσι μετὰ τῶν ἐν τῇ ἐπιστροφῇ ὑποπιπτόντων προσεύχεσθαι, καὶ τότε μετέχειν τῶν ἁγιασμάτων. Ἐπὶ δὲ τῶν σπουδαιότερον κεχρημένων τῇ ἐπιστροφῇ, καὶ τῷ βίῳ δεικνύντων τὴν πρὸς τὸ ἀγαθὸν ἐπάνοδον, ἔξεστι τῷ οἰκονομοῦντι πρὸς τὸ συμφέρον τὴν ἐκκλησιαστικὴν οἰκονομίαν, συντεμεῖν τὸν χρόνον τῆς ἀκροάσεως, καὶ τάχιον εἰς ἐπιστροφὴν ἀγαγεῖν, καὶ πάλιν καὶ τοῦτον συντεμεῖν τὸν χρόνον, καὶ τάχιον ἀποδοῦναι τὴν κοινωνίαν, ὅπως ἂν τῇ ἑαυτοῦ δοκιμασίᾳ ἐκκρίνῃ τὴν τοῦ θεραπευομένου κατάστασιν. Ὥσπερ γὰρ τὸ τοῖς χοίροις ῥίπτειν τὸν μαργαρίτην ἀπείρηται, οὕτω τὸ ἀποστερεῖν τοῦ τιμίου μαργαρίτου τὸν ἤδη ἄνθρωπον διὰ τῆς καθαρότητός τε καὶ ἀπαθείας γενόμενον, τῶν ἀτόπων ἐστίν. Ἡ δὲ κατὰ μοιχείαν ἤτοι καὶ τὰ λοιπὰ εἴδη τῆς ἀκαθαρσίας γενομένη παρανομία, καθὼς προείρηται, κατὰ πάντα ἐν τῷ αὐτῷ κρίματι θεραπευθήσεται, ἐν ᾧ καὶ τὸ τῆς πορνείας ἄγος· τῷ δὲ χρόνῳ διπλασιάζεται. Παρατηρηθήσεται δὲ καὶ ἐπ' αὐτῷ ἡ τοῦ θεραπευομένου διάθεσις, ὃν τρόπον καὶ ἐπὶ τῶν τῷ μολυσμῷ τῆς πορνείας συνενεχθέντων, ὥστε ἢ θᾶττον ἢ βραδύτερον γενέσθαι αὐτοῖς τὴν τοῦ ἀγαθοῦ μετουσίαν.

A differentia in ratione pœnitentiæ in iis qui in voluptate peccarunt, ejusmodi. Qui enim ex se ipso ad sua proferenda peccata impulsus est, eo quod sua sponte occultorum accusator esse voluerit, ut qui jam affectioni medicinam adhibere cœperit, et signum mutationis in id quod est melius ostenderit, in mitioribus pœnis versatur. Qui autem in malo deprehensus est, vel propter aliquam suspicionem vel accusationem ingratiis convictus est, longius illi conversionis tempus datur; ut ipse perfecte purgatus, sic ad sacramentorum communionem admittatur. Est ergo Canon ejusmodi, ut qui in fornicatione polluti sunt, in tribus quidem annis ab oratione omnino expellantur; in tribus autem sint solius auditionis participes, in tribus B autem aliis, cum iis qui in conversione substernuntur, precentur, et tunc sint sacramentorum participes. In iis autem qui diligentiori conversione usi fuerint, et vita, ad id quod bonum est, reditum ostenderint, licet ei qui dispensat, pro ecclesiasticæ œconomiæ utilitate, tempus auditionis contrahere, et celerius ad conversionem deducere: et rursus hoc quoque tempus contrahere, et celerius communionem reddere, ut sua probatione, ejus cui medela adhibetur, constitutionem dijudicet. Quemadmodum enim porcis margaritas projicere est vetitum, ita et pretiosa margarita privare eum qui jam per alienationem a vitio et purgationem homo sit factus, absurdum est. Quæ autem in adulterio et in reliquis immunditiæ generibus fit iniquitas, C ut dictum est, eodem judicio punietur quo et fornicationis scelus, sed tempore duplicabitur. In eo autem, ejus etiam cui medela adhibetur, affectio considerabitur, quo modo et in iis qui fornicationis inquinamento illaqueati sunt, ut vel citius vel tardius eis sit boni participatio.

ΒΑΛΣ. Νῦν περὶ τῶν ἐν τῷ ἐπιθυμητικῷ μέρει τῆς ψυχῆς φυομένων ἁμαρτημάτων διαλέγεται ὁ Πατὴρ, ὅθεν φησὶν εἶναι τὴν πορνείαν καὶ τὴν μοιχείαν, καὶ ἐπάγει, ὅτι τῶν ἀκριβεστέρων τισὶ καὶ ἡ πορνεία μοιχεία καλεῖται· διότι ἡ νόμιμος μίξις ἀνδρὸς καὶ γυναικὸς μέν ἐστιν, εἴ τι δὲ ἕτερον παρὰ ταύτην γένηται, παράνομον τὸ τοιοῦτον, καὶ ὄντως μὴ τῷ ἰδίῳ κέχρηται, ἀλλοτρίῳ χρῆται. Πᾶν δὲ ὃ οὐκ ἰδιόν ἐστί τινι, τοῦτο ἀλλότριον, κἂν μὴ ἔχῃ τὸν κυριεύοντα. Καὶ διὰ τοῦτο οὐ πόρρω ἔδοξε τῆς μοιχείας καὶ ἡ πορνεία. Ταῦτά φησιν ὁ ἅγιος οὕτω κατασκευάζεσθαι παρὰ τῶν καὶ τὴν πορνείαν εἰς τὸ τῆς μοιχείας ἀναγαγόντων ἁμάρτημα· τοῖς δὲ ἀσθενεστέροις τῶν ἁμαρτανόντων γενέσθαι τινὰ παρὰ τῶν Πατέρων λέγει συμπεριφοράν, ἤγουν οἰκονομίας συγκατάβασιν. Εἴληπται δὲ ἡ λέξις ἐκ τῶν Παροιμιῶν. Φησὶ γάρ ὁ Σαλομὼν ἐν αὐταῖς· Ὁ *μὴ συμπεριφερόμενος τῷ ἑαυτοῦ οἴκῳ κληρονομήσει ἀνέμους*· καὶ διακριθῆναι, ἀντὶ τοῦ διαιρεθῆναι, τὸ ἁμάρτημα τῆς ἀθέσμου μίξεως· καὶ πορνείαν μὲν ὀνομασθῆναι

158 BALS. Nunc de peccatis, quæ in concupiscibili animæ facultate nascuntur, disserit Pater, ex quibus dicit esse adulterium et fornicationem, et subjungit, quod quibusdam subtilioribus fornicatio quoque vocatur adulterium: quia mariti et uxoris D coitus legitimus est; sed si quid fiat aliud præter eum, id est injustum et legibus contrarium, et quicunque non utitur proprio, utitur alieno. Quodcunque vero cuivis non est proprium, illud alienum est, etiamsi dominum non habeat. Et propterea fornicatio non longe abesse visa est ab adulterio. Hæc dicit sanctus ita astrui ab iis, qui fornicationem ad adulterii peccatum reducunt: imbecilliorum autem peccatorum fuisse aliquam Patribus συμπεριφοράν, sive œconomiæ condescensionem dicit. Sumitur autem dictio ex Proverbiis. Dicit enim in eis Salomon, ὁ μὴ συμπεριφερόμενος τῷ ἑαυτοῦ οἴκῳ, hoc est, *Qui domus suæ curam non gerit, hæreditavit ventos* [1]; et peccatum illegitimi coitus esse distinctum seu divisum; et fornicationem quidem

[1] Prov. xi, 29.

Digitized by Google

esse nominatam coitum, qui fit absque injuria alterius viri; scilicet cum mulierc a viro libera; adulterium autem, viri accessum ad mulierem quæ cum altero cohabitat. Qui enim accedit ad mulierem quæ non habet maritum, peccat quidem, quod ea non legitime utitur; sed nemini facit injuriam: qui vero rem habet cum ea, quæ cum marito cohabitat, maritum illius injuria afficit, alienam sibi familiarem efficiens; sæpe autem illius marito insidiatur; et hoc ex David manifestum est. Porro cum animali concubitum et prædicatum adulterio exæquant, et quod injuria natura efficitur, cum, qui sic peccant, peccent præter naturam: et quod qui sic peccat aliena utitur. Est enim aliena natura brutorum et masculorum. Masculum enim et feminam fecit Deus. Horum itaque peccatorum universale remedium dicit sanctus, seu quod omnibus peccatoribus convenit, nempe a tali rabie per pœnitentiam purum esse hominem, peccatum scilicet condemnare et ab eo deflecre. Nisi quis enim a peccato desiterit, quomodo pœnitentiam agere existimabitur? Quia autem fornicationi non accedit injuria, adulterio autem et aliis prædictis, ut jam dixi, præter illicitum coitum injuria quoque adjungitur; tempus pœnæ adulterii initusque animalium et masculorum concubitus duplicat ad fornicationis tempus. Deinde et aliquam inducit differentiam in iis qui eadem peccata confitentur. Si quis enim, inquit, sua sponte peccatum, quod ignorabatur, declaraverit, humane punietur: qui autem non sponte ad enu- tiandum accesserit, sed in peccato deprehensus fuerit, vel ex suspicione cognitus, accusatusve fuerit et convictus, etiam si pœnitentiam agere proposuerit, gravius punitur; et fit in extenso sive longiori tempore pœnitentia, ut sic purgatus in sacramentorum communionem recipiatur. Deinde et pœnæ fornicationis tempora enumerat: et dicit esse novem annos, et adjicit quomodo dispensentur. Universum autem ejus judicio relinquit, qui peccatores dispensat: et secundum vel diligentiam vel negligentiam in pœnitentia, pœnitentiæ tempus diminuere vel intendere jubet. Sicut enim non oportere dicit margaritas ante porcos projicere; ut dicit Evangelium, margaritas vocans sanctum corpus Domini, et pretiosum sanguinem; porcos autem, qui vitiose vitam agunt et in perturbationum animi cœno involvuntur: ita absurdum est pretiosarum margaritarum **159** communione privare, qui se a vitiis per pœnitentiam purgarunt et ex porcis in homines per purgationem mutati sunt. Cum novem autem annorum pœnas esse dixisset in fornicatione, in adulterio animaliumque initu ac prædicatu dicit tempus illud duplicari: esse vero ejus dispensationem fornicationis dispensationi similem. Hoc enim sibi vult illud; in eodem judicio; id est, in eadem sententia, in eadem pœna. Solo autem tempore duplicatur. Cum enim in unoquoque pœnarum loco sit triennium

A τὴν χωρὶς ἀδικίας ἑτέρου μίξιν, ἤγουν τὴν πρὸς ἐλευθέραν ἀνδρὸς γυναῖκα, μοιχείαν δὲ τὴν πρὸς γυναῖκα ἀνδρὶ συνοικοῦσαν εἰσέλευσιν. Ὁ μὲν γὰρ γυναικὶ προσιὼν ἄνδρα μὴ ἐχούσῃ ἁμαρτάνει μέν, ὅτι μὴ νομίμως αὐτῇ κέχρηται· ἀδικεῖ δὲ οὐδένα· ὁ δὲ τῇ συνοικούσῃ ἀνδρὶ πλησιάζων ἀδικεῖ τὸν ἐκείνης ἄνδρα, τὴν ἀλλοτρίαν οἰκειούμενος· πολλάκις δὲ καὶ ἐπιβουλεύει τῷ ἐκείνης ἀνδρί· καὶ τοῦτο δῆλον ἐκ τοῦ Δαβίδ. Καὶ τὴν ζωοφθορίαν δὲ καὶ τὴν παιδεραστείαν ἐπίσης τῇ μοιχείᾳ τεθέασιν, ὅτι τε ἀδικεῖται ἡ φύσις, παρὰ φύσιν ἁμαρτανόντων τῶν οὕτω πλημμελούντων, καὶ ὅτι ἀλλοτρίῳ κέχρηται ὁ οὕτως ἁμαρτάνων· ἀλλότριον γὰρ ἡ φύσις ἡ τῶν ἀλόγων καὶ ἡ τῶν ἀρρένων. Ἄρσεν γὰρ καὶ θῆλυ ἐποίησεν ὁ Θεός. Τῶν μὲν οὖν τοιούτων ἁμαρτημάτων καθολικὴν μὲν θερα-
B πείαν λέγει ὁ ἅγιος, ἤγουν πᾶσι τοῖς ἁμαρτάνουσιν ἁρμόττουσαν, τὸ καθαρὸν τῆς τοιαύτης λύσσης ἐκ μεταμέλου γενέσθαι τὸν ἄνθρωπον, ἤγουν τὸ καταγνῶναι τῆς ἁμαρτίας καὶ ἀποστῆναι αὐτῆς. Εἰ μὴ γάρ τις ἀποσταίη τοῦ ἁμαρτάνειν, πῶς ἂν λογισθείη μετανοεῖν; Ἐπεὶ δὲ τῇ πορνείᾳ ἀδικία οὐ πρόσεστι, τῇ δὲ μοιχείᾳ, καὶ τοῖς ἄλλοις τοῖς εἰρημένοις, ὡς ἔφθην εἰπεῖν, πρὸς τῷ ἀθέσμῳ τῆς μίξεως καὶ ἀδικία παρέπεται, διπλασιάζει τὸν χρόνον τοῦ ἐπιτιμίου τῆς μοιχείας καὶ τῆς ζωοφθορίας καὶ ἀρρενοκοιτίας πρὸς τὸν τῆς πορνείας. Ἔπειτα καὶ διαφοράν τινα εἰσάγει ἐπὶ τῶν ἐξομολογουμένων τὰ αὐτὰ ἁμαρτήματα. Εἰ μέν τις, φησίν, ἀφ' ἑαυτοῦ ὁρμηθεὶς ἐξαγορεύσει τὴν ἁμαρτίαν ἀγνοουμένην, φιλανθρώπως ἐπιτιμη-
C θήσεται· ὁ δὲ οὐχ ἑκὼν εἰς ἐξαγόρευσιν ἐλθών, ἀλλ' ἐπὶ τῇ ἁμαρτίᾳ εὑρεθείς, ἢ ἐξ ὑποψίας γνωσθείς, ἢ κατηγορηθείς· καὶ ἐλεγχθείς, κἂν πρόκειται μετανοῆσαι, βαρύτερον ἐπιτιμᾶται, καὶ ἐν ἐπιτεταμένῳ, ἤγουν μακροχρονίῳ, γίνεται μετανοίᾳ, ἵνα οὕτω καθαρθεὶς δεχθῇ εἰς τὴν τῶν ἁγίων μετάληψιν. Εἶτα καὶ τοὺς χρόνους ἀπαριθμεῖται τοῦ ἐπιτιμίου τῆς πορνείας· καὶ ἐννέα λέγει εἶναι αὐτούς, καὶ ὅπως οἰκονομοῦνται προστίθησι. Τὸ δὲ πᾶν τῷ οἰκονομοῦντι τοὺς ἁμαρτάνοντας ἀνατίθησι, καὶ πρὸς τὴν ἐπὶ τῇ μετανοίᾳ σπουδὴν ἢ ῥᾳθυμίαν ἐλαττοῦν τὸν χρόνον τῶν ἐπιτιμίων καὶ ἐπιτείνειν διακελεύεται. Ὡς γὰρ οὐ δεῖν φησι τοὺς μαργαρίτας ῥίπτειν ἔμπροσθεν τῶν χοίρων· τοῦτο δὲ τὸ εὐαγγελικόν, μαργαρίτας μὲν καλῶν τὸ ἅγιον σῶμα τοῦ Κυρίου καὶ τὸ
D τίμιον αἷμα, χοίρους δὲ τοὺς ἐμπαθῶς ζῶντας καὶ τῷ βορβόρῳ τῶν παθῶν ἐκκυλιομένους· οὕτως ἄτοπον ἀποστερεῖν τῆς μεταλήψεως τῶν τιμίων μαργαριτῶν τοὺς διὰ μετανοίας καθάραντας ἑαυτοὺς τῶν παθῶν, καὶ ἐκ χοίρων εἰς ἀνθρώπους μεταβληθέντας διὰ τῆς καθαρότητος. Ἐννέα μὲν οὖν ἔτη ἐπὶ τῆς πορνείας εἰπὼν εἶναι τὸ ἐπιτίμιον, ἐπὶ τῆς μοιχείας καὶ ζωοφθορίας καὶ ἀρσενοκοιτίας διπλασιάζεσθαι λέγει τὸν χρόνον τοῦτον· τὴν δὲ οἰκονομίαν ὁμοίαν γίνεσθαι τῇ τῆς πορνείας. Τοῦτο γάρ ἐστι τὸ, ἐν τῷ αὐτῷ κρίματι, ἤγουν ἐν τῇ αὐτῇ κρίσει, ἐν τῇ αὐτῇ ἐπιτιμήσει. Τῷ δὲ χρόνῳ μόνῳ διπλασιάζεται. Ἐν ἑκάστῳ γὰρ τόπῳ τῶν ἐπιτιμίων τριετίας ὁρισθείσης ἐν τῇ πορνείᾳ, ἑξαετία ἐν τῇ μοιχείᾳ καὶ τοῖς λοιποῖς

Digitized by Google

ὥρισται· κἀνταῦθα δὲ τὸ συντεμεῖν τὸν χρόνον τοῦ ἐπιτιμίου, ἢ αὐξῆσαι, τοῦ οἰκονομοῦντος τῇ διακρίσει τοὺς ἐν μετανοίᾳ δίδωσιν.

definitum in fornicatione, sexennium in adulterio et reliquis definitum est. Porro hic quoque pœnæ tempus contrahere, vel augere, ejus, qui pœnitentiam agentes dispensat, judicio relinquit.

ΚΑΝΩΝ Ε'.

Λείπεται πρὸς τούτοις τὸ θυμοειδὲς τῆς ψυχῆς προθεῖναι εἰς ἐξέτασιν, ὅταν παρασφαλεῖσα τῆς ἀγαθῆς τοῦ θυμοῦ χρήσεως, εἰς ἁμαρτίαν ἐκπέσῃ. Πολλῶν τε ὄντων κατὰ θυμὸν εἰς ἁμαρτίαν ἐνεργουμένων, καὶ πάντων κακῶν, ἤρεσέ πως τοῖς Πατράσιν ἡμῶν, ἐν τοῖς ἄλλοις μὴ λίαν ἀκριβολογεῖσθαι, μηδὲ πολλῆς ἄξιον ἡγεῖσθαι σπουδῆς, τὸ θεραπεύειν πάντα τὰ ἐκ θυμοῦ παραπτώματα· καί τοί γε τῆς Γραφῆς, οὐ μόνον τὴν ψυχὴν ἀπαγορευούσης πληγήν· ἀλλὰ καὶ πᾶσαν λοιδορίαν, ἢ βλασφημίαν, καὶ εἴ τι ἄλλο τοιοῦτον ὁ θυμὸς ἀπεργάζεται· μόνον δὲ τοῦ κατὰ τὸν φόνον ἄγους τὴν παραφυλακὴν ἐποιήσαντο, διὰ τῶν ἐπιτιμίων. Διῄρηται δὲ τὸ τοιοῦτον κακὸν τῇ διαφορᾷ τοῦ ἑκουσίου τε καὶ ἀκουσίου, ἐν οἷς ἑκούσιος μέν ἐστι φόνος. Πρῶτον μὲν, ὁ ἐκ παρασκευῆς τετολμημένος τοῦ εἰς αὐτὸ τοῦτο εὑτρεπισαμένου, ὅπως ἂν τὸ ἄγος ἐργάσηται. Ἔπειτα δὲ κἀκεῖνος ἐν τοῖς ἑκουσίοις ἐνομίσθη, ὅταν τις ἐν συμπλοκῇ καὶ μάχῃ, τύπτων τε καὶ τυπτόμενος, ἐνέγκῃ κατά τινος καιρίου τὴν διὰ τῆς χειρὸς πληγήν. Ὁ γὰρ ἅπαξ τῷ θυμῷ κρατηθείς, καὶ τῇ ὁρμῇ τῆς ὀργῆς χαριζόμενος, οὐδὲν ἂν παρὰ τὸν καιρὸν τοῦ πάθους τῶν ἀνακόψαι τὸ κακὸν δυναμένων ἐπὶ νοῦν λάβοι. Ὥστε καὶ τὸ ἐκ τῆς συμπλοκῆς ἀποτέλεσμα τοῦ φόνου, εἰς ἔργον προαιρέσεως, καὶ οὐκ εἰς ἀποτυχίαν ἀνάγεται. Οἱ δὲ ἀκούσιοι φανερὰ ἔχουσι τὰ γνωρίσματα· ὅταν τις πρὸς ἕτερόν τι τὴν σπουδὴν ἔχων, ἐξ ἀποτυχίας τι τῶν ἀνηκέστων δράσῃ. Ἐπὶ τούτων τοίνυν ὁ μὲν φόνος, εἰς τριπλασίονα χρόνον παρατείνεται, τοῖς δι' ἐπιστροφῆς θεραπευομένοις τὸ ἑκούσιον ἄγος. Τρισεννέα γάρ εἰσιν ἐνιαυτοὶ, καθ' ἕκαστον βαθμὸν τῆς ἐννάδος τῶν ἐτῶν ὁρισθείσης, ὥστε ἐν μὲν τῷ παντελεῖ ἀφορισμῷ, ἐννατὴ χρόνον διαγενέσθαι ἀπειργόμενον τῆς Ἐκκλησίας· ἄλλα δὲ τοσαῦτα ἔτη ἐν τῇ ἀκροάσει παραμεῖναι, μόνης τῶν διδασκάλων καὶ τῆς τῶν Γραφῶν ἀκροάσεως, καὶ μετὰ τῆς τοῦ λαοῦ συστάσεως ἀξιούμενον, ἐν δὲ τρίτῃ ἐννάδι, μετὰ τῶν ὑποπιπτόντων ἐν τῇ ἐπιστροφῇ προσευχόμενον, οὕτως ἐλθεῖν ἐπὶ τὴν μετουσίαν τοῦ ἁγιάσματος· δηλαδὴ καὶ ἐπὶ τοῦ τοιούτου, ἡ αὐτὴ προστήρησις ἔσται παρὰ τοῦ οἰκονομοῦντος τὴν Ἐκκλησίαν, καὶ πρὸς λόγον τῆς ἐπιστροφῆς συντμηθήσεται αὐτῷ καὶ ἡ τοῦ ἐπιτιμίου παράτασις, ὥστε ἀντὶ ἐννέα ἐτῶν, ἐφ' ἑκάστῳ βαθμῷ ὀκτὼ ἢ ἑπτὰ ἢ ἕξ, ἢ καὶ πέντε μόνα γενέσθαι· εἴπερ τὸ μέγεθος τῆς ἐπιστροφῆς νικοίη τὸν χρόνον, καὶ ὑπερβάλλοιτο τῇ σπουδῇ τῆς διορθώσεως τοὺς ἐν τῇ μακρᾷ προθεσμίᾳ ῥᾳθυμότερόν πως ἑαυτοὺς ἀπὸ τῆς κηλίδος καθαίροντας. Τὸ δὲ ἀκούσιον, συγγνωστὸν μὲν, οὐ μὴν ἐπαινετὸν ἐκρίθη. Τοῦτο δὲ εἶπον, ὥστε δῆλον γενέσθαι, ὅτι κἂν ἀκουσίως τις γένηται ἐν τῷ τοῦ φόνου μιάσμασι, ὡς ἤδη βέβηλον αὐτὸν ἀπὸ τοῦ ἄγους γενόμενον, ἀπόβλητον ἱερατικῆς χάριτος ὁ κανὼν ἀπεφήνατο· ὅσος δέ ἐστιν ἐπὶ τῇ ἑκάστῃ περιόδῳ τοῦ καθαρσίου ὁ χρόνος, τοσοῦτος καὶ

CANON V.

Restat ad hæc ut irascentem animæ partem examinandam proponamus, quando lapsa a bono iræ usu in peccatum ceciderit. Cum autem multa sint quæ per iram fiunt peccata et omnis generis mala, placuit omnibus nostris Patribus in aliis quidem non nimium subtiliter agere, nec nimium in eo studii operæque ponere, ut omnia quæ ex ira nascerentur delicta curarent; quamvis Scriptura non solum vulnus prohibeat, sed etiam omne convicium vel maledictum, et si quid aliud ejusmodi ita efficit; sed solam cædis cautionem suis pœnis introduxerunt. Dividitur autem hoc malum, differentia voluntariæ et involuntariæ: et est cædes quidem voluntaria, quæ præmeditate suscepta est ab eo qui se ad hoc comparaverat ut hoc facinus perpetraret. Deinde illud quoque in voluntariis existimatum est, quando quis in congressu verberans et verberatus, manu plagam mortiferam intulerit. Qui enim ira semel victus est, et animi appetitioni cedit, nihil eorum quæ malum possent amputare, ei in mentem venit. Quare et illic quoque qui ex concertatione profectus est, cædis eventus, in factum voluntarium, non in casum confertur. Involuntariæ autem habent manifesta indicia, quando quis alicui alteri rei studium applicans, casu gravissimum aliquod malum patraverit. In his ergo, cædes quidem in triplex tempus extenditur iis qui per conversionem voluntario facinori remedium afferunt. Ter novem etiam sunt anni, novenario annorum numero in unoquoque gradu præfinito, ut in perfecta quidem segregatione novem annorum tempore versetur ab Ecclesia prohibitus; alios autem tot annos in auditione permaneat, sola doctorum et Scripturarum auditione et conversatione cum populo dignus habitus, in tertio autem novenario cum substratis in conversione orans, ut perveniat ad communionem sacramenti scilicet; et in eodem eadem erit observatio ab eo qui Ecclesiam administrat, et pro ratione conversionis illi quoque pœnæ extensio rescindetur, ut pro novem annis in unoquoque gradu, vel octo, vel septem, vel quinque solum anni fiant, si pœnitentiæ magnitudo tempus vincat, et superet correctionis studio eos qui in longo tempore præstituto susceptas a se maculas segniter eluunt. Involuntarium autem venia quidem dignum, sed non laudabile judicatum est. Hoc autem dixi, ut sit apertum, quod etiam si quis involuntarie fuerit in scelere homicidii: eum tanquam jam profanum, piaculum redditum, a sacerdotali gratia ejiciendum pronuntiavit canon. Quantum autem est expiationis tempus ob simplicem fornicationem, tantum etiam recte habere existimatum est in iis qui cædem involuntariam fecissent; sci-

Digitized by Google

licet, in iis quoque, 160 pœnitentis voluntate examinata; ut si sit fide quidem digna conversio, non servetur annorum numerus; sed temporis prolixitate resecata, ad Ecclesiæ restitutionem et boni participationem compendio reducatur. Si quis autem non expleto tempore a canonibus præstituto vita excedat, jubet Patrum clementia ut effectus sacramentorum particeps, non viatico vacuus, ad extremam illam et longam peregrinationem mittatur. Sin autem, postquam sacramenti particeps factus fuerit, rursum ad vitam reversus sit: statutum tempus exspectet, in illo gradu exsistens in quo erat ante communionem illi ex necessitate datam.

A ἐπὶ τῶν ἀκουσίως πεφονευκότων ἐδοκιμάσθη καλὸν ἔχειν, δηλαδὴ καὶ ἐν τούτῳ τῆς προαιρέσεως τοῦ μετανοοῦντος δοκιμαζομένης· ὥστε εἰ ἀξιόπιστος γένοιτο ἡ ἐπιστροφὴ, μὴ πάντως παραφυλαχθῆναι τὸν ἀριθμὸν τῶν ἐτῶν, ἀλλὰ διὰ συντομίας ἀγαγεῖν αὐτὸν εἰς τὴν τῆς Ἐκκλησίας ἀποκατάστασιν, καὶ εἰς τὴν τοῦ ἀγαθοῦ μετουσίαν. Εἰ δέ τις μὴ πληρώσας τὸν χρόνον τὸν ἐκ τῶν κανόνων ἀφωρισμένον, ἐξοδεύοι τοῦ βίου· κελεύει ἡ τῶν Πατέρων φιλανθρωπία μετασχόντα τῶν ἁγιασμάτων, μὴ κενὸν τοῦ ἐφοδίου πρὸς τὴν ἰσχάτην ἐκείνην καὶ μακρὰν ἀποδημίαν ἐκπεμφθῆναι. Εἰ δὲ μετασχὼν τοῦ ἁγιάσματος, πάλιν εἰς τὴν ζωὴν ἐπανέλθοι, ἀναμένειν τὸν τεταγμένον χρόνον, ἐν ἐκείνῳ τῷ βαθμῷ γενόμενον, ἐν ᾧ ἦν πρὸ τῆς κατὰ ἀνάγκην αὐτῷ δοθείσης κοινωνίας.

BALS. Postquam dixit hic magnus Pater de duabus animæ facultatibus, nunc reliquam quoque adjicit, nempe irascentem. Et multa quidem peccata esse dicit, quæ ex ira nascuntur, ut ictus, injurias, maledicta, convicia, quæ omnia a sacra Scriptura sunt prohibita. Beatus enim Paulus scribens ad Colossenses, et carnis opera enumerans, cum aliis inimicitias, lites, et contentiones, æmulationes, iras, discordias, ac seditiones et cædes induxit; et qui hæc, inquit, agunt, regnum Dei non possidebunt. Sed etsi, inquit hic sanctus, hæc omnia a Scriptura prohibita sint, quodammodo placuit tamen Patribus nostris in aliis non nimium subtiliter nec summo jure agere. Illud autem: Quomodo placuit, est negantis, et veluti rationem nescientis, propter quam Patres in iis non nimium subtiliter et accurate agere voluerint, nec ut iis remedia afferrent multum studii ponendum esse putarunt. Solum autem homicidii facinus esse pœnis afficiendum censuit, ut caverent homines ne cædes perpetrarent, pœnas impositas formidantes. Cædis autem peccatum dividitur in voluntarium, et involuntarium. Et est quidem voluntaria cædes, quæ præparato ac consulto suscepta est, ad quam paratus et instructus fuerat quispiam. Voluntarium autem dicit, et quod non consulto quidem, sed in certamine, et contentione factum est, quando quis eum qui resistit in aliqua parte corporis lethaliter percusserit. Nam hoc quoque cædis genus, non fortuitum, sed involuntarium sanctus judicat. Involuntariam autem cædem definit, quando aliquid aliud agere volens, utpote feram percutere, vel fructum arboris decutere, transeuntem hominem non visum percusserit, isque mortuus fuerit. Voluntariæ itaque cædi viginti septem annos definit pœnæ tempus, et ipsum in tres partes dividit, ut unaquæque pars habeat novem annos. Et perfectam quidem segregationem nominat, quando is, qui segregatus est, extra ecclesiam stat et deflet, postquam autem illic ad nonum usque annum defleverit, tanto rursus tempore stet in loco audientis; et illinc procedat ad locum substrationis: et ita viginti septem annis dimensis, dignus sacramentorum communione habeatur. Ubique autem pœnitentiæ dispensatori, pœnarum tempus contrahendi dat

B ΒΑΛΣ. Εἰπὼν περὶ τῶν δύο ψυχικῶν δυνάμεων ὁ μέγας οὗτος Πατὴρ, προστίθησιν ἄρτι καὶ τὴν λοιπὴν, ἥτις ἐστὶ τὸ θυμοειδές. Καὶ πολλὰ μὲν εἶναί φησι τὰ ἐκ τοῦ θυμοῦ τικτόμενα ἁμαρτήματα, οἷος πληγὰς, ὕβρεις, λοιδορίας, βλασφημίας, ἅπαντα τῇ θείᾳ Γραφῇ ἀπηγόρευται. Ὁ γὰρ μακάριος Παῦλος πρὸς Κολασσαεῖς γράφων, καὶ τὰ τῆς σαρκὸς ἔργα ἀπαριθμῶν, μετὰ τῶν ἄλλων καὶ ἔχθρας καὶ ἔριδας καὶ ζήλους καὶ θυμοὺς, ἐριθείας τε καὶ διχοστασίας καὶ φόνους ἐπήγαγε, καὶ οἱ ταῦτα πράσσοντες, ἔφη, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν. Ἀλλὰ καὶ πάντα, φησὶν ὁ ἅγιος οὗτος, τῇ Γραφῇ ἀπηγόρευται, ὅμως ἤρεσέ πως τοῖς Πατράσιν ἡμῶν ἐν τοῖς ἄλλοις μὴ λίαν ἀκριβολογεῖσθαι· τὸ δὲ ἤρεσέ πως; ἀπαρνοῦντός ἐστι καὶ ὥσπερ μὴ εἰδότος τὸν λόγον, δι' ὃν ταῦτα οἱ Πατέρες ἀκριβολογεῖσθαι οὐκ ἠθέλησαν, οὐδὲ πάνυ σπουδαῖον ἡγήσαντο θεραπεύειν τὰ τοιαῦτα. Μόνον δὲ τὸ τοῦ φόνου μίασμα ἐπιτιμίων ἠξίωσεν, ὥστε παραφυλάττεσθαι τοὺς ἀνθρώπους μὴ ποιεῖν φόνους φοβουμένους τὰ ἐπιτίμια. Τὸ δὲ ἐκ τοῦ φόνου ἁμάρτημα διαιρεῖται εἰς ἑκούσιον καὶ ἀκούσιον. Καὶ ἔστιν ὁ ἑκούσιος φόνος, ὁ ἐκ παρασκευῆς, ἤγουν ὁ ἐκ μελέτης, τετολμημένος, πρὸς ὃν τις παρεσκευάσθη καὶ ἡτοιμάσθη. Ἑκούσιον δὲ λέγει καὶ τὸν μὴ ἐκ μελέτης μὲν, ἐν δὲ συμπλοκῇ καὶ φιλονεικίᾳ γενόμενον, ὅτε τις πλήξει τὸν ἀνθιστάμενον ἐν καιρίῳ μέρει τοῦ σώματος, τῷ θυμῷ στρατευόμενος. Καὶ τοῦτο γὰρ τὸ εἶδος τοῦ φόνου οὐ τυχαῖον ὁ ἅγιος κρίνει, ἀλλὰ προαιρετόν. Ἀκούσιον δὲ φόνον ὁρίζεται, ὅτε ἄλλο τι ποιῆσαι βουλόμενος, οἷον θηρίον ἀμύνασθαι ἢ κατασεῖσαι δένδρου καρπὸν, ἄνθρωπον παριόντα μὴ προιδὼν πλήξει, καὶ ὁ πληγεὶς θανεῖται. Τῷ μὲν οὖν ἑκουσίῳ φόνῳ, κζ' ἔτη ὁρίζεται τὸν τοῦ ἐπιτιμίου καιρὸν, καὶ εἰς τρεῖς μοίρας αὐτὸν διαιρεῖ, ὥστε μοῖραν ἑκάστην ἐννέα ἔχειν ἐνιαυτούς. Καὶ παντελῆ μὲν ἀφορισμὸν ὀνομάζει τὸ ἔξω τῆς ἐκκλησίας ἱστασθαι τὸν ἀφορισθέντα καὶ προσκλαίειν· ἐκεῖ δὲ προσκλαύσαντα ἐπὶ ἔννατον ἐνιαυτὸν, ἐπὶ τοσοῦτον αὖθις χρόνον ἐν ἀκροωμένου στῆναι τόπῳ, κἀκεῖθεν προβῆναι εἰς τὸν τῆς ὑποπτώσεως τόπον· καὶ οὕτω τῶν κζ' ἐκμετρηθέντων ἐνιαυτῶν, τῆς τῶν ἁγιασμάτων κοινωνίας ἀξιωθῆναι. Πανταχοῦ δὲ τὴν ἐξουσίαν τοῦ συντεμεῖν

C

D

Digitized by Google

τὸν τῶν ἐπιτιμίων καιρὸν τῷ οἰκονομοῦντι τὸν ἐν μετανοίᾳ γενόμενον δίδωσιν, εἰ βλέπει τὸν μετανοοῦντα δαψιλεῖς τοὺς τῆς μετανοίας καρποὺς ἐνδεικνύμενον. Ὁ δὲ ἀκούσιος, φησὶ, φόνος συγγνωστὸς μὲν ἐκρίθη, οὐ μὴν ἐπαινετὸς, ἤγουν οὐκ ἀνεκτὸς, ὥστε καὶ πάντη εἶναι ἀνεπιτίμητος. Κἂν γὰρ ἀκουσίως τις φονεύσῃ ἄνθρωπον, οὔτε ἱερωσύνης τεύξεται, καὶ ἀπόβλητος ταύτης ὡς τῷ φόνῳ μιανθεὶς ἔσεται. Χρόνον δὲ τῷ ἐπιτιμίῳ τοῦ ἀκουσίου φόνου λέγει τετάχθαι, ὅσος ἐν τῇ ψιλῇ πορνείᾳ ἐτάχθη· ἔστι δὲ οὗτος, κατὰ τοῦτον τὸν ἅγιον, ἐννέα ἔτη. Ψιλὴν δὲ πορνείαν, τὴν εἰς γυναῖκα μὴ ἔχουσαν ἄνδρα ὠνόμασε, τοὺς χρόνους δὲ τῶν ἐπιτιμίων εἰπὼν ἐφ' ἑκάστῳ πλημμελήματι, νῦν προστίθησιν ὅτι, εἰ οὕπω ὁ ἐπιτιμηθεὶς ἐπλήρωσε τὸν τοῦ ἐπιτιμίου καιρὸν, ἀλλ' ἔτι ἀφωρισμένος ἐστὶ καὶ κινδυνεύει θανεῖν, ὥρισαν οἱ Πατέρες φιλανθρωπευσάμενοι τὸν τοιοῦτον μετασχεῖν τῶν ἁγιασμάτων, ἵνα μὴ ἐστερημένος του ἐφοδίου ἀπέλθῃ πρὸς τὴν μακρὰν ἀποδημίαν. Ἐφόδια δὲ λέγονται τὰ ἐπὶ τῇ ὁδῷ τοῖς ὁδεύουσι συμβαλλόμενα. Μέγα δὲ συμβάλλεσθαι τοῖς πιστοῖς πιστεύεται τῶν ἁγιασμάτων ἡ μέθεξις. Εἰ δὲ περὶ τὴν ζωὴν κινδυνεύων ὁ ἐν ἐπιτιμίῳ ἀξιωθείη τῶν θείων δωρεῶν, εἶτα ἐκφύγῃ τὸν κίνδυνον καὶ ἀναῤῥωσθῇ, αὖθις ἀκοινώνητος ἔσται, καὶ ἐν ἐκείνῳ στήσεται τῷ βαθμῷ, ἐν ᾧ ἦν καὶ πρὸ τοῦ κινδύνου, μέχρις ἂν ὁ χρόνος ὁ τεταγμένος ἐκμετρηθῇ.

potestatem, si viderit pœnitentem uberes pœnitentiæ fructus ostendere. Involuntaria autem, inquit, cædes venia quidem digna judicata est, sed non laudanda, seu non ita tolerabilis, ut sit ab omni supplicio immunis; siquis enim involuntarie hominem interfecerit, nec sacerdotium assequetur, et, ut qui homicidio sit pollutus, eo ejicietur. Involuntariæ autem cædis pœnæ tempus esse dicit, quantum in simplici fornicatione statutum est. Est autem illud secundum hunc sanctum, novem annorum. Simplicem autem fornicationem nominavit, quæ in mulierem virum non habentem committitur. Postquam autem dixit pœnæ tempus in unoquoque peccato, nunc adjicit: quod si is, qui pœna affectus est, nondum perfecit tempus pœnitentiæ, sed est adhuc segregatus, et in magno vitæ periculo versatur, statuerunt Patres clementia utentes, ut is sit sacramentorum particeps, ne viatico carens in longam peregrinationem abeat. Dicitur autem viaticum, quod iis qui **161** viam ineunt in via est utile. Fidelibus autem valde confert creditur sacramentorum participatio. Sin autem is, cui pœna imposita est, in vitæ periculum veniens divinis donis dignus habitus fuerit, deinde periculum effugerit et revaluerit, rursus erit excommunicatus; et in illo gradu stabit, in quo erat etiam ante periculum, donec præstitutum tempus dimensum fuerit.

ΚΑΝΩΝ Ϛ'.

Τὸ δὲ εἶδος τῆς εἰδωλολατρείας· οὕτω γὰρ ὀνομάζει τὴν πλεονεξίαν ὁ θεῖος Ἀπόστολος· οὐκ οἶδα ὅπως ἀθεράπευτον ὑπὸ τῶν Πατέρων ἡμῶν περιῴφθη. Καί τοί γε δοκεῖ τὸ τοιοῦτον κακὸν τῆς τρίτης ἐν τῇ ψυχῇ καταστάσεως πάθος εἶναι. Καὶ γὰρ λογισμὸς τῆς τοῦ καλοῦ κρίσεως ἁμαρτάνων, ἐν τῇ ὕλῃ τὸ καλὸν εἶναι φαντάζεται, οὐ πρὸς τὸ ἄῦλον ἀναβλέπων κάλλος, καὶ ἡ ἐπιθυμία πρὸς τὰ κάτω ῥεῖ, τοῦ ἀληθοῦς ὀρεκτοῦ ἀποῤῥέουσα. Καὶ ἡ φιλόνεικός τε καὶ θυμώδης διάθεσις, πολλὰς ἐκ τῆς τοιαύτης ἁμαρτίας τὰς ἀφορμὰς λαμβάνει. Καὶ τὸ ὅλον εἰπεῖν, συμφωνεῖ ἡ τοιαύτη νόσος τῷ ἀποστολικῷ τῆς πλεονεξίας ὅρῳ. Ὁ γὰρ θεῖος Ἀπόστολος, οὐ μόνον αὐτὴν εἰδωλολατρείαν, ἀλλὰ καὶ ῥίζαν πάντων τῶν κακῶν ἀπεφήνατο· καὶ ὅμως τὸ τοιοῦτον εἶδος παρῴφθη τῆς νόσου ἀνεπίσκεπτόν τε καὶ ἀτημέλητον· διὸ καὶ πλεονάζει κατὰ τὰς Ἐκκλησίας, τὸ τοιοῦτον ἀῤῥώστημα, καὶ οὐδεὶς τοὺς ἐπὶ τὸν κλῆρον ἀγομένους περιεργάζεται, μήπως τῷ τοιούτῳ εἴδει τῆς εἰδωλολατρείας κατεμιάνθησαν. Ἀλλὰ περὶ μὲν τούτων, διὰ τὸ παρεῖσθαι τοῖς Πατράσιν ἡμῶν, ἀρκεῖν ἡγούμεθα τῷ δημοσίῳ τῆς διδασκαλίας λόγῳ, ὅπως ἂν οἷόν τε ᾖ, θεραπεύειν, ὥσπερ τινὰ πάθη νοσηθωρικὰ, τὰς πλεονεκτικὰς ἀῤῥωστίας διὰ τοῦ λόγου καθαίροντας. Μόνην δὲ τὴν κλοπὴν καὶ τὴν τυμβωρυχίαν, καὶ τὴν ἱεροσυλίαν πάθη νομίζομεν, διὰ τὸ οὕτως ἐκ τῆς τῶν Πατέρων ἀκολουθίας τὴν παράδοσιν ἡμῖν περὶ τούτου γενέσθαι. Καί τοί γε παρὰ

CANON VI.

Altera autem idololatriæ species (sic enim divinus Apostolus avaritiam appellat [1]), nescio quomodo absque ulla pœnæ medela a Patribus prætermissa sit. Atqui hoc malum quidem videtur esse trium animi constitutionum affectio. Nam et ratio, ab ejus quod pulchrum est judicio aberrans, esse in materia quod pulchrum est existimat, non ad pulchritudinem a materia separatam aspiciens, et desiderium ad ea quæ sunt inferiora inclinatur, ab eo quod vere est expetendum dilabens. Jam vero et contentiosa animosaque animæ affectio ex hoc peccato multas occasiones accipit. Et ut in universum dicam, hic morbus cum apostolica avaritiæ definitione consentit. Divinus enim Apostolus eam non solum idololatriam, sed etiam omnium malorum radicem pronuntiavit [2]; et tamen hæc morbi species, inconsiderata et absque ulla ejus cura prætermissa est: quo fit, ut hic morbus valde in Ecclesia redundet, et nemo in iis qui ad clerum adducuntur, inquirit, num qui eo idololatriæ genere polluti sint. Sed de iis quidem, quoniam id a Patribus prætermissum est, sufficere existimo publica doctrinæ ratione, ea quomodo fieri potest curare, veluti quosdam morbos ex repletione ortos, inexplebilis avaritiæ affectiones oratione purgantes. Solum autem furtum, et sepulcrorum effossionem, et sacrilegium vitia existimamus, quod sic a

[1] Ephes. v, 5. [2] I Timoth. vi, 10.

Digitized by Google

Patrum consequentia, hæc nobis traditio facta sit. Atqui apud divinam Scripturam et fœnus et usura sunt prohibita, et per quamdam potentiam, ad suam possessionem aliena traducere, etiamsi sub contractus aut transactionis specie hoc fortasse factum sit. Quoniam ergo nos quidem ad canonum potestatem assequendam fide digni non sumus, in iis, quæ ex confesso prohibita sunt, canonicam sententiam dictis jam adjiciemus. Dividitur autem furtum in latrocinium seu deprædationem, et in murorum effossionem. Idem autem utriusque est institutum, videlicet aliena auferre : in animo autem ipsorum, magna est inter se differentia. Latro enim, etiam homicidium ad id quod studet assequi assumit, ad id paratus et armis, et copiis, et opportunitate loci, adeo ut is homicidarum judicio subjiciatur, si per pœnitentiam ad Dei Ecclesiam reversus fuerit. Qui autem latenti ablatione, sibi alienum usurpat, si deinde per enuntiationem peccatum suum sacerdoti aperuerit, vitii studio in contrarium mutato ægritudinem curabit : dico autem, largiendo quæ habet pauperibus, ut, dum quæ habet profundit, se ab avaritiæ morbo liberum aperte ostendat. Sin autem nihil aliud præterquam solum corpus habeat, jubet Apostolus per laborem corporalem ei morbo mederi. Dictionis autem ita habet contextus : *Qui furatur, non amplius furetur : sed potius laboret bonum operans, ut possit ei largiri qui indiget* [1].

BALS. Dubitat sanctus, quomodo plura habendi cupiditatis vitium, sive avaritia a Patribus absque ulla medicina, prætermittatur, nec ulla iis qui eo tenentur pœna imposita fuerit, maxime cum Apostolus ipsum idololatriam vocaverit. Atqui videntur, inquit, tres animæ facultates in eo affici **162** et a rectitudine divertere. Neque enim ratiocinatrix animæ affectio recte judicat; sed falso et nequiter. Aberrat enim, inquit, ab ejus quod pulchrum est judicio, hoc est, id non assequitur, nec ad pulchritudinem a materia separatam respicit, ad Dei scilicet, quoad ejus fieri potest, intelligentiam, futurorumque bonorum fruitionem; sed id quod pulchrum est in materia imaginatur. Falsam autem opinionem et mendacem existimationem sanctus imaginationem apposite vocavit; existimare scilicet id quod pulchrum et honestum est, esse in pecuniis, divitiis et ejusmodi. Porro desiderativa animi fa-

A τῇ θείᾳ Γραφῇ. καὶ ὁ πλεονασμὸς, καὶ ὁ τόκος, τῶν ἀπειρημένων ἐστὶ, καὶ τὸ ἐκ δυναστείας τινὸς τῇ ἰδίᾳ κτήσει προσαγαγεῖν τὰ ἀλλότρια, κἂν ἐν προσχήματι πραγματείας τὸ τοιοῦτον τύχῃ γινόμενον. Ἐπειδὴ τοίνυν τὸ καθ' ἡμᾶς, εἰς ἐξουσίαν κανὼν ἀξιόπιστος, τὴν ἐπὶ τῶν ὁμολογουμένως ἀπηγορευμένων κανονικὴν κρίσιν ἤδη τοῖς εἰρημένοις προσθήσομεν. Διῄρηται οὖν ἡ κλοπὴ εἴς τε λῃστείαν καὶ εἰς τοιχωρυχίαν (26)· καὶ εἰς μὲν ἐπ' ἀμφοτέρων σκοπὸς, ἡ τῶν ἀλλοτρίων ἀφαίρεσις· πολλὴ δὲ κατὰ τὴν γνώμην αὐτῶν ἡ πρὸς ἀλλήλους ἐστὶ διαφορά. Ὁ μὲν γὰρ λῃστὴς, καὶ τὴν μιαιφονίαν εἰς συμμαχίαν τοῦ σπουδαζομένου παραλαμβάνει, πρὸς αὐτὸ τοῦτο παρασκευαζόμενος καὶ ὅπλοις καὶ πολυχειρίᾳ, καὶ τοῖς ἐπικαίροις τῶν τόπων ὥστε τὸν τοιοῦτον, τῷ κρίματι τῶν ἀνδροφόνων B ὑπάγεσθαι, εἰ διὰ μεταμελείας ἑαυτὸν πρὸς τὴν Ἐκκλησίαν τοῦ Θεοῦ ἐπανάγοι. Ὁ δὲ δι' ὑφαιρέσεως λανθανούσης σφετεριζόμενος τὸ ἀλλότριον, εἶτα δι' ἐξαγορεύσεως τὸ πλημμέλημα αὐτοῦ τῷ ἱερεῖ φανερώσας, τῇ περὶ τὸ ἐναντίον τοῦ πάθους σπουδῇ θεραπεύει τὴν ἀῤῥωστίαν· λέγω δὲ διὰ τοῦ τὰ προσόντα παρέχειν τοῖς πένησιν, ἵνα τῷ προέσθαι ἃ ἔχει, φανερὸς γένηται καθαρεύων τῆς κατὰ πλεονεξίαν νόσου. Εἰ δὲ μηδὲν ἔχοι, μόνον δὲ τὸ σῶμα ἔχοι, κελεύει ὁ Ἀπόστολος διὰ τοῦ σωματικοῦ κόπου τὸ τοιοῦτον ἐξιλάσασθαι πάθος. Ἔχει δὲ ἡ λέξις οὕτως· *Ὁ κλέπτων, μηκέτι κλεπτέτω· μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος τὸ ἀγαθὸν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι.*

C ΒΑΛΣ. Ἀπορεῖ ὁ ἅγιος, πῶς τοῖς Πατράσι τὸ τῆς πλεονεξίας πάθος, εἴτουν φιλαργυρία, ἀθεράπευτον παρεωράθη, μὴ ἐπαγαγοῦσιν ἐπιτίμια τοῖς τοῦτο κεκτημένοις, καὶ ταῦτα τοῦ Ἀποστόλου εἰδωλολατρείαν αὐτὸ καλέσαντος. Καίτοι γε δοκεῖ, φησὶ, καὶ τὰς τρεῖς ψυχικὰς δυνάμεις ἐν τούτῳ πάσχειν καὶ περιτρέπεσθαι τῆς εὐθύτητος. Οὔτε γὰρ τὸ λογιζόμενον τῆς ψυχῆς ὀρθῶς κρίνει, ἀλλ' ἐσφαλμένως καὶ διημαρτημένως. Ἁμαρτάνει γὰρ, φησὶ, τῆς κρίσεως τοῦ καλοῦ, ἀντὶ τοῦ ἀποτυγχάνει, καὶ οὐ πρὸς τὸ ἄῦλον κάλλος βλέπον, τὴν τοῦ Θεοῦ δηλαδὴ, ὡς ἐφικτὸν, κατανόησιν, καὶ τὴν τῶν μελλόντων ἀπόλαυσιν ἀγαθῶν, ἐν τῇ ὕλῃ φαντάζεται τὸ καλόν. Τὴν ἡπατημένην δὲ δόξαν καὶ τὴν ψευδομένην ὑπόληψιν φαντασίαν ὁ ἅγιος προσφόρως D ὠνόμασεν, ἤγουν τὸ νομίζειν ἐν τοῖς χρήμασι τὸ καλὸν εἶναι καὶ τῷ πλούτῳ καὶ τοῖς ἄλλοις τοῖς ὁμοίοις αὐτοῖς. Καὶ τὸ ἐπιθυμητικὸν ἐκπίπτον τοῦ

[1] Ephes. IV, 28.

Guill. Beveregii notæ.

(26) *Καὶ εἰς τοιχωρυχίαν*. Constantini Harmenopuli epitome hujus canonis sic se habet, ὁ τοιχωρύχος ἐξαγορεύων, καὶ τὰ ἴδια διανεμέτω τοῖς πένησι, *Murorum effossor, qui crimen suum confitetur, sua etiam bona pauperibus distribuat.* In quam epitomen hoc habetur scholium : Τὸ τοιοῦτόν ὁ Νηστευτὴς ἐπὶ τριετίαν καταδικάζει. Τοῦ αὐτοῦ Νηστευτοῦ καὶ τάδε· Ἐμπεσόντος τινὸς ἀκαθάρτου εἰς φρέαρ, ἢ εἰς οἶνον, ἢ εἰς ἔλαιον, ὁ τούτου γευσάμενος ἐπὶ τρεῖς ἡμέρας κρέατος καὶ τυροῦ μὴ ἁπτέσθω· ἑπτὰ δὲ μὴ κοινωνήτω. Ὁ μετὰ τὴν θείαν ἐμήσας μετάληψιν, μ' ἡμέρας τῆς θείας ἀφίσταται κοινωνίας, τὸν ν' ᾄδων καθ' ἑκάστην ψαλμὸν, καὶ μετανοίας ποιῶν ν' κἂν ὅπως δήποτε τοῦτο συμβαίη. *Talem Jejunator ad triennium damnat. Ejusdem Jejunatoris et hæc sunt : Si quid immundi ceciderit in puteum, vel in vinum, vel in oleum, qui hoc degustat ad triduum a carne caseoque abstineat, septemque diebus non communicet. Qui post sacrum participationem vomuerit, quadraginta dies a sacra communione abstinet, Psalmum* I *quotidie canens, et* I *pœnitentias peragens, quocunque tandem modo id acciderit.* Harmen. epist. can. sect. 5, tit. 3.

Digitized by Google

ὄντως ὀρεκτοῦ, ἤτοι τῆς θείας φύσεως καὶ τῶν οὐρανίων, τῶν γηΐνων καὶ ῥεόντων ὀρέγεται. Καὶ τὸ θυμικὸν δὲ πολλὰς ἀφορμὰς εἰς τὸ ἀνάπτεσθαι πρὸς φιλονεικίαν λαμβάνει. Διὰ γὰρ τὴν τῶν χρημάτων ἐπιθυμίαν ἔριδές τε καὶ ἔχθραι καὶ πόλεμοι, καὶ κατὰ τὸν θεῖον Ἀπόστολον, *Ῥίζα πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία.* Ἀλλὰ καὶ οὕτως ἔχον, φησὶ, τὸ τοιοῦτον πάθος, παρεωράθη τοῖς Πατράσιν ἀνεπισκόπητόν τε καὶ ἀθεράπευτον. Ὅθεν καὶ πλεονάζει κατὰ τὴν Ἐκκλησίαν, πολλῶν τοῦτο ποιούντων, καὶ τοὺς κατατεταγμένους εἰς κλῆρον, ἤτοι χειροτονουμένους, οὐδεὶς ἐρευνᾷ, μή ποτε μεμίανται τῇ τοιαύτῃ εἰδωλολατρείᾳ. Ἀλλ' ἐπεὶ τοῦτο τοῖς Πατράσι παρείθη, ἀντὶ τοῦ καταλειφθῆ ἀνεπιτίμητόν τε καὶ ἀκόλαστον, θεραπευτέον αὐτὸ διὰ τῆς δημοσίας διδασκαλίας, ὡς δυνατὸν, ἤγουν δημοσίᾳ διδάσκοντες τὸν λαὸν ποιησώμεθα τούτου καταδρομὴν, ὥσπερ τινὰ πάθη πληθωρικὰ τὰς πλεονεκτικὰς ἀῤῥωστίας διὰ τοῦ λόγου καθαιροῦντες. Εἰπὼν δὲ ὁ Ἅγιος τὸ τῆς φιλαργυρίας πάθος τὰς ψυχικὰς δυνάμεις διαφθείρειν, καὶ πολυειδῆ ἐξ αὐτῆς πάθη φύεσθαι, πληθωρικοῖς πάθεσι ταῦτα ἀπείκασε, τῶν τῆς ἰατρικῆς λόγων μετεσχηκὼς ἀκριβέστατα, ὡς ἔστι γνῶναι ἐκ τῶν αὐτοῦ συγγραμμάτων. Πληθώρα ὀνομάζεται τοῖς ἰατροῖς, ὅταν οἱ τέσσαρες χυμοὶ, ἐξ ὧν τὰ σώματα συνίστανται, αὐξηθῶσι καὶ πλεονάσωσιν ἀναλόγως τῷ ὄγκῳ ἑκάστου τῶν χυμῶν γενομένῳ, κατὰ ταὐτὸν συμβαίνοντα πάθη πληθωρικὰ καλοῦνται νοσήματα. Ὥστε εἰκότως κἀνταῦθα ὁ σοφὸς οὗτος Πατὴρ τὰ ἐκ τῆς πλεονεξίας ἀναφυόμενα πάθη πληθωρικὰ εἶπεν, ὡς πάσας τὰς ψυχικὰς ἡμῶν δυνάμεις περιτρεπούσης, καὶ αὐξανούσης ταύτας ἐπιβλαβῶς τῇ ψυχῇ. Τὰς μὲν οὖν ἄλλας, φησὶ, νόσους τῆς πλεονεξίας τῷ τῆς διδασκαλίας θεραπεύσομεν λόγῳ· τὴν δὲ κλοπὴν καὶ τὴν ἱεροσυλίαν, ἀλλὰ μὴν καὶ τὴν τυμβωρυχίαν, κανονικῶν ἐπιτιμίων ἀξιωθείσας παρὰ τῶν Πατέρων, τοῖς ἤδη ῥηθεῖσι προσθήσομεν. Καίτοι, φησὶ, τῇ θείᾳ Γραφῇ καὶ ὁ πλεονασμὸς καὶ ὁ τόκος, καὶ τὸ ἐκ δυναστείας τινὸς τὰ ἀλλότρια πρόσενῶσαι τῇ ἰδίᾳ κτήσει, τῶν ἀπηγορευμένων ἐστί. Πλεονασμὸς μὲν οὖν ἐστιν ὡς ὅταν τις δῷ τινι σῖτον ἢ οἶνον ἢ ἔλαιον ἢ ἄλλο τι, ἐπὶ τῷ λαβεῖν ὁμοιογενὲς πλέον τοῦ δοθέντος· οἷον εἴδωκέ τις οἴνου μετρητὰς πεντήκοντα ἐπὶ τῷ λαβεῖν ἑβδομήκοντα ἢ καὶ πλείονας. Τόκος δὲ λέγεται ἐπὶ νομισμάτων. Ἐκ δυναστείας δέ φησιν εἶπεν, ὅτι, κἂν μὴ ἐξ οἰκείας δυναστείας τις σφετερίσηται τὰ ἀλλότρια, δι' ἑτέρου δὲ δυνάστου τινὸς ποιήσῃ τοῦτο, κἀκεῖνος τῷ αὐτῷ ὑπόκειται κρίματι. Λέγει γὰρ ὁ προφητικὸς λόγος· *Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν, ἵνα τι τοῦ πλησίον ἀφέλωνται.* Ἀλλὰ κἂν τὰ Γραφῇ, φησὶν, ἀπηγόρευται ταῦτα, ἡμεῖς αὐτοῖς κανονικὰ οὐκ ἐπάξομεν ἐπιτίμια, ὅτι τὰ καθ' ἡμᾶς εἰς ἐξουσίαν κανόνων οὐκ ἀξιόπιστα, ὅτι οὐκ ἀξιόπιστοι κρινόμεθα εἰς κανονικὴν ἐξουσίαν, ἀντὶ τοῦ κατ' ἐξουσίαν

A cultas ab eo quod est vere expetendum, a divina scilicet natura et cœlestibus, excidens, terrena et fluentia appetit. Irascens quoque facultas multas ut ad contentionem accendatur occasiones accipit. Propter pecuniarum enim cupiditatem lites et inimicitiæ et bella, et, ut dicit divinus Apostolus, *Radix omnium malorum est avaritia* [1]. Sed quamvis ita se habeat, inquit, hæc affectio, tamen a Patribus relicta est inconsiderata, nullaque ejus cura suscepta est. Unde etiam abundat in Ecclesia; cum multi ea laborent, et de iis qui in clerum referuntur, seu ordinantur nemo inquirit, numquid hac idololatria polluti sunt. Sed quia hoc a Patribus prætermissum, id est, impunitum et minime castigatum relictum est, remedium ei afferre oportet, quantum fieri potest, per publicam doctrinam, hoc est, publice populum docentes ut id persequamur, avaritiæ ægritudines, tanquam morbos aliquos ex nimia repletione ortos, per orationem purgantes. Cum autem dixisset sanctus, avaritiæ affectionem animæ facultates corrumpere, et multiplices ex ea affectiones oriri, eam plethoricis affectionibus assimilavit, quæ a medicis dicuntur exactissime tenens, ut ex ejus scriptis licet cognoscere. Plethora enim (id est repletio) a medicis dicitur, quando quatuor humores, ex quibus constant corpora, aucti et redundantes effecti sunt pro uniuscujusque humoris proportione, et affectiones quæ fiunt ex plenitudine humorum simul coactorum plethorici morbi dicuntur. Merito ergo hic sapiens Pater affectiones, quæ ex avaritia oriuntur, plethoricas nominavit, ut quæ omnes animæ facultates subvertat, easque augeat in detrimentum animæ. Alios ergo, inquit, avaritiæ morbos doctrinæ sermone curabimus : furtum autem et sacrilegium, atque etiam sepulcrorum effossionem, quæ canonicis pœnis digna visa sunt, iis quæ Patribus jam dicta sunt adjiciemus. Atqui in divina, inquit, Scriptura, et fenus et usura, et per potentiam alicujus aliena suæ unire possessioni, prohibita sunt. Fenus ergo est, ut quando quis dat alicui frumentum, vel vinum, vel oleum, vel aliquid aliud, ut in eodem genere plus quam dederit accipiat : ut si quis dederit vini quinquaginta metretas, ut septuaginta, vel eo plures, accipiat. Usura autem dicitur in nummis Per potentiam autem alicujus dixit, quod etiam si non propriam potentiam aliena quis usurpaverit, per aliquem autem alium potentem hoc fecerit, et is eodem judicio tenebitur. Dicit enim sermo propheticus : *Væ conjungentibus domum domui, et agrum agro, ut a vicino aliquid auferant* [2]. Sed et si hæc, inquit, a Scriptura sunt prohibita, eis tamen canonicas pœnas non imponemus, quia nostra ad canonum assequendam potestatem fide digna non sunt eo quod ad canonicam potestatem fide digni non judicamur, hoc est, ad canonicas nostra potestate et pœnas iis qui peccant. De furto autem lo-

[1] I Tim. vi, 10. [2] Isa. v, 8.

Digitized by Google

quens, dividit ipsum in latrocinium et murorum effossionem. Unum autem scopum esse dicit, tam iis qui latrocinantur, quam iis qui muros effodiunt, alienorum scilicet ablationem. Est autem multa rursus eorum ponenda differentia. Latrones enim etiam ad homicidium instruuntur, arma ferentes, et apta loca occupantes, et copias, hoc est, validam manum ad eis opem ferendam assumentes, et ad eadem parati. **163** Eos itaque ad pœnitentiam conversos dicit homicidarum judicio puniri. Eum autem, qui aliena clanculum surripuit, et peccatum aperit, contraria affectione curandum esse dicit, ut scilicet quoniam propter avaritiam aliena abstulerat, oporteat eum propria pauperibus erogare, ut sic videatur ab avaritia abstinere. Qui enim suis non pareit, aliena non appetet. Sin autem non habeat, inquit, pecunias, quas eroget ; oportet eum laborantem curare affectionem, seu laborare operantem, et ex eo quod per suum laborem acquirit pauperibus impertiri. Et hoc est præceptum apostolicum. Dicit enim divinus Paulus : *Qui furatur, non amplius furetur ; sed potius laboret bonum operans, ut habeat quod indigenti impertiatur* [1]. Hæc ergo de eo, qui clanculum aliena surripit. Sin autem hic quoque ense utitur, et adversus eum qui resistit tractare illum paratus est ; hic quoque eadem existimo pœna, qua latro, punietur, quia similem habebat institutum.

ἡμετέραν καὶ κρίσιν τιθέναι κανονικὰ καὶ τοῖς ἁμαρτάνουσιν ἐπιτίμια. Εἰπὼν δὲ κλοπὴν, διαιρεῖ ταύτην εἰς λῃστείαν καὶ εἰς τοιχωρυχίαν. Καὶ ἵνα μὲν σκοπὸν εἶναι λέγει καὶ τοῖς λῃστεύουσι καὶ τοῖς τοιχωρυχοῦσι, τὴν τῶν ἀλλοτρίων ἀφαίρεσιν. Πολλὴν δὲ διαφορὰν θετέον αὐτῶν. Οἱ μὲν γὰρ λῃσταὶ καὶ πρὸς μιαιφονίαν παρασκευάζονται, ὅπλα φέροντες καὶ τόπους ἐπιτηδείους καταλαμβάνοντες εἰς βοήθειαν, ἀλλὰ μὴν καὶ πολυχειρίαν, ἤγουν πολλοὺς εἰς συνεργίαν προσλαμβανόμενοι, καὶ ἕτοιμοι ὄντες πρὸς φόνους. Τοὺς οὖν τοιούτους ἀποτρέψαντας εἰς μετάνοιαν τῷ τῶν ἀνδροφόνων ἐπιτιμᾶσθαι κρίματί φησι. Τὸν δὲ λαθραίως ἀφαιρούμενον τὰ ἀλλότρια, καὶ τὴν ἁμαρτίαν ἐξαγορεύοντα, θεραπεύεσθαί φησι τὴν ἐναντίαν διάθεσιν, ἤγουν, ἐπειδὴ διὰ πλεονεξίαν ἀφείλετο τὰ ἀλλότρια, δεῖ αὐτὸν καὶ τὰ οἰκεῖα πένησι δοῦναι, ἵνα οὕτω φανῇ ἀποσχόμενος τῆς πλεονεξίας. Ὁ γὰρ μὴ φειδόμενος τῶν οἰκείων, οὐκ ἐπιθυμήσει τῶν ἀλλοτρίων. Εἰ δὲ μὴ ἔχῃ, φησὶ, χρήματα, ὥστε δοῦναι αὐτὰ, δεῖ αὐτὸν κοπιῶντα τὸ πάθος ἰάσασθαι, ἤγουν κοπιᾷν ἐργαζόμενον, καὶ ἐκ τοῦ διὰ τοῦ κόπου αὐτῷ ποριζομένου μεταδιδόναι τοῖς δεομένοις. Καὶ τοῦτο ἀποστολικόν ἐστι τὸ διάταγμα. Λέγει γὰρ ὁ θέσπιος Παῦλος· *Ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος τὸ ἀγαθὸν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι.* Ταῦτα μὲν οὖν περὶ τοῦ λάθρα ἀφαιρουμένου τὰ ἀλλότρια. Εἰ δὲ καὶ οὗτος ξίφει κέχρηται, καὶ ἕτοιμός ἐστι κατὰ τοῦ ἀνθισταμένου αὐτῷ τούτῳ χρήσασθαι, καὶ οὗτος, οἶμαι, ὁμοίως ἐπιτιμηθήσεται τῷ λῃστεύοντι, ὅτι καὶ ὁμοίαν εἶχε προαίρεσιν.

CANON VII.

Sepulcrorum autem effossio, ipsa quoque dividitur in id quod veniam mereretur, et id quod non meretur. Si quis enim mortuorum parcens religioni, et tectum corpus intactum relinquens, ut nec soli ostendatur turpitudo naturæ, lapidibus aliquot ex iis, qui ante sepulcrum projecti sunt, ad aliquod opus construendum usus est ; ne hoc quidem est laudabile : sed ut esset dignum venia effecit consuetudo ; quando ad aliquid melius, et reipublicæ utilius, materia traducta sit. At carnis in terram redactæ pulverem perscrutari, et ossa movere, spe aliquem ex defossis lucrifaciendi ornatum, id eodem judicio condemnatum est, quo simplex fornicatio ; quemadmodum in præcedente oratione divisio facta est, considerante scilicet œconomo seu dispensatore, ex ipsa vita ejus, cui medela adhibetur, medicinam, ut spatium a canonibus præstitutum possit contrahere.

BALS. Quemadmodum furtum in duo divisit, ita et sepulcri fossionem in duo dividit. Si quis enim, inquit, solos lapides ex sepulcro abstulerit, ita ut tectum corpus non videatur mortuorum religioni parcens, hoc est, justo honori qui mortuis debetur, et eis usus fuerit ad meliorum et reip. utiliorum constructionem ; ne sic quidem erit a crimine alie-

ΚΑΝΩΝ Ζ'.

Ἡ δὲ τυμβωρυχία κἀὐτὴ διῄρηται εἰς σύγγνωστόν τε καὶ ἀσύγγνωστον. Εἰ μὲν γάρ τις τῆς οὐσίας φειδόμενος καὶ ἄτυλον ἀφεὶς τὸ κεκρυμμένον σῶμα, ὡς μὴ ἀναδειχθῆναι ἐλέῳ τὴν ἀσχημοσύνην τῆς φύσεως, λίθοις τισὶ τῶν τῷ τάφῳ βεβλημμένων συγχρήσεται εἰς ἔργου τινὸς κατασκευὴν, ἐπαινετὸν μὲν οὐδὲ τοῦτό ἐστι· πλὴν ἀλλὰ συγγνωστὸν ἐποίησεν ἡ συνήθεια, ὅταν εἰς προτιμότερόν τι καὶ κοινωφελέστερον ἡ τῆς ὕλης μετάθεσις γίνηται. Τὸ δὲ διερευνᾶσθαι τὴν κόνιν ἀπὸ τῆς γεωθείσης σαρκὸς, καὶ ἀνακινεῖν τὰ ὀστᾶ, ἐλπίδι τοῦ κόσμου τινὰ τῶν συγκατορυχθέντων κερδᾶναι, τοῦτο τῷ αὐτῷ κρίματι κατεδικάσθη, ᾧ καὶ ἡ ψιλὴ πορνεία, καθὼς ἐν τῷ προλαβόντι διῄρηται λόγῳ, ἐπισκοποῦντος δηλαδὴ τοῦ οἰκονόμου, ἐξ αὐτοῦ τοῦ βίου, τὴν ἰατρείαν τοῦ θεραπευομένου, ὥστε συντεμεῖν τὴν ἐκ τῶν κανόνων ὁρισθεῖσαν τοῦ ἐπιτιμίου προθεσμίαν.

ΒΑΛΣ. Ὥσπερ δὲ τὴν κλοπὴν εἰς δύο διεῖλεν, οὕτω καὶ τὴν τυμβωρυχίαν εἰς δύο διαιρεῖ. Ἐὶ μὲν γάρ τις, φησὶ, λίθους μόνους ἐκ τάφου ἀφέληται, ὥστε τὸ καλυπτόμενον σῶμα μὴ ὁραθῆναι, τῆς οὐσίας φειδόμενος, ἤτοι τῆς ἀφωσιωμένης τοῖς τεθνεῶσι τιμῆς, καὶ χρήσεται τούτοις εἰς ἔργου κατασκευὴν προτιμοτέραν καὶ κοινωφελεστέραν, οὐδ'

[1] Eph. s. iv, 28.

Digitized by Google

οὗτος ἀνέγκλητος, συγγνωστὸς δ' οὖν. Λίθους δὲ τοὺς τῷ τάφῳ προβεβλημένους, οὐχὶ τοὺς αὐτὰ τὰ τεθαμμένα σώματα καλύπτοντας. Εἰ γὰρ τοιούτους λίθους ἀφέληταί τις, δίδωσι πάντως ὁρᾶσθαι τὸ κεκρυμμένον σῶμα, καὶ δημοσιεύει τῆς φύσεως τὰ μυστήρια, καὶ οὐκέτι συγγνωστός ἐστιν, ἀλλ' εἰς τὸ ἕτερον εἶδος τῆς τυμβωρυχίας ἐμπίπτειν δοκεῖ, ὅ τι πέρ ἐστι τὸ τοὺς τάφους ἀνοίγειν καὶ τὴν κόνιν ἐκ τῆς φθαρείσης σαρκὸς ἀνορύττειν, καὶ μετακινεῖν τὰ ὁστᾶ τῶν κειμένων, κόσμον τινὰ λαβεῖν ἐκεῖθεν ζητοῦντα συντεθειμένον τοῖς τελευτήσασι. Τοῦτο τοίνυν τὸ εἶδος τῆς τυμβωρυχίας ὁμοίως τῇ ψιλῇ πορνείᾳ καταδικάζεσθαι λέγει. Ψιλὴν δὲ πορνείαν τὴν εἰς ἐλευθέραν ἀνδρὸς γυναῖκα μίξιν ὠνόμασε. Κἀνταῦθα δὲ τῷ οἰκονομοῦντι τὸν μετανοοῦντα δίδωσι τὸ συντεμεῖν ἴσως τὸν τοῦ ἐπιτιμίου καιρὸν, εἰ ὁρᾷ θερμὴν αὐτοῦ τὴν μετάνοιαν. Ἀλλὰ ταῦτα μέν φησι περὶ τυμβωρύχων ὁ ἅγιος. Ὁ δὲ πολιτικὸς νόμος ἐν βιβλίῳ ξ' τίτλου κγ' ταῦτα διατάττεται· Οἱ ἀπὸ τῶν τάφων ὕλας ἀφαιροῦντες ὑποκείσθωσαν τῷ τῆς ἱεροσυλίας ἐγκλήματι· καὶ πάλιν· Τὸ τῆς τυμβωρυχίας ἔγκλημα ἀτιμίαν ἐπιφέρει· καὶ αὖθις· Ἐάν τις ἀπὸ τοῦ τάφου ἀφέληται ἢ λίθους ἢ κίονας ἢ μάρμαρα, ἢ ἄλλην οἱανδήποτε ὕλην, εἴκοσι νομίσματα χρυσίου τῷ δημοσίῳ καταβάλλει· καὶ τὰ ἑξῆς.

A nus; erit tamen venia dignus. Lapides autem, qui ante sepulcrum projecti sunt, non eos qui sepulta corpora contegunt. Si quis enim eos lapides abstulerit, corpus contectum omnino videndum præbet, et naturæ mysteria publicat, et non est amplius venia dignus; sed in alteram speciem sepulcrorum effossionis incidere videtur, quæ est sepulcra aperire, et ex corrupta carne pulverem effodere, et eorum qui illic jacent ossa movere, illinc ornatum aliquem quo mortui amicti sunt accipere conantem. Hoc itaque sepulcrorum effossionis genus, eodem judicio quo simplex fornicatio, condemnandum esse dicit. Simplicem autem fornicationem, cum muliere a viro soluta coitum nominavit. Hic quoque pœnitentis œconomo dat facultatem pœnæ tempus contrahendi, si ejus forte vehementem videat pœnitentiam. Cæterum hæc quidem dicit sanctus de sepulcrorum effossoribus. Lex autem civilis in lib. LX, tit. 23, hæc constituit: Qui materias ex sepulcris auferunt sacrilegii crimini sint obnoxii. Et rursus: Sepulcrorum effossionis crimen affert infamiam. Et iterum: Si quis ex sepulcro abstulerit, vel lapides, vel columnas, vel marmora, vel aliquam aliam materiam, publico viginti aureos solvit; et quæ sequuntur.

B

ΚΑΝΩΝ Η'.

Ἡ δὲ ἱεροσυλία, παρὰ μὲν τῇ ἀρχαίᾳ Γραφῇ, οὐδὲ ἐνομίσθη τῆς φονικῆς κατακρίσεως ἀνεκτοτέρα. Ὁμοίως γὰρ ὅ τε ἐπὶ φόνῳ ἁλοὺς, καὶ ὁ τὰ ἀνατεθέντα τῷ Θεῷ ὑφελόμενος, τὴν διὰ τῶν λίθων τιμωρίαν ὑπέσχον. Ἐπὶ δὲ τῆς ἐκκλησιαστικῆς συνηθείας οὐκ οἶδα πῶς συγκατάβασίς τις ἐγένετο, καὶ συμπεριφορὰ, ὥστε ἀνεκτότερον νομισθῆναι τὸ τῆς τοιαύτης νόσου καθάρσιον· ἐν ἐλάττονι γὰρ χρόνῳ παρὰ τὴν μοιχείαν, τοῖς τοιούτοις τὸ ἐπιτίμιον διετάξατο ἡ τῶν Πατέρων παράδοσις. Πανταχοῦ καὶ ἐν πλημμελήματος εἴδει τοῦτο καθορᾶν προσήκει πρὸ πάντων, οἷα ἐστὶ τοῦ θεραπευομένου διάθεσις, μὴ τὸν χρόνον οἴεσθαι πρὸς θεραπείαν ἀρκεῖν· τίς γὰρ ἂν ἐκ τοῦ χρόνου ἴασις γένοιτο; ἀλλὰ τὴν προαίρεσιν τοῦ ἑαυτὸν δι' ἐπιστροφῆς ἰατρεύοντος. Ταῦτά σοι, ὦ ἄνθρωπε τοῦ Θεοῦ, κατὰ πολλὴν σπουδὴν ἐκ τῶν προχείρων συνθέντες, διὰ τὸ δεῖν τοῖς τῶν ἀδελφῶν ἐπιτάγμασι πείθεσθαι, κατὰ σπουδὴν ἀπεστείλαμεν. Σὺ δὲ τὰς συνήθεις ὑπὲρ ἡμῶν εὐχὰς τῷ Θεῷ προσάγων μὴ διαλείπῃς. Χρεωστεῖς γὰρ ὡς εὐγνώμων υἱὸς, τῷ κατὰ Θεόν σε γεννήσαντι, τὴν διὰ τῶν προσευχῶν γηροκομίαν, κατὰ τὴν ἐντολὴν τὴν κελεύουσαν τιμᾶν τοὺς γονέας, *ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς*. Δῆλον δὲ ὅτι ὡς σύμβολον ἱερατικὸν, δέξῃ τὸ γράμμα, καὶ οὐκ ἀτιμάσεις τὸ ξένιον. κἂν τι μικρότερον τῆς σῆς μεγαλοψυχίας εἴη.

C

D

CANON VIII.

Sacrilegium autem, in antiqua quidem Scriptura, ne cædis quidem condemnatione visum est tolerabilius. Similiter enim, et qui cædis convictus erat, et qui res Deo dedicatas abstulerat, lapidationis supplicium subibat. In ecclesiastica autem consuetudine, de pœnæ gravitate nescio quo modo aliquid detractum, et eo lenitatis descensum est, ut illius morbi existimaretur tolerabilius piaculum; in minori enim tempore quam adulterium, ii a Patrum traditione pœnam susceperunt. Ubique autem hoc in supplicii genere ante omnia videndum est, qualis sit ejus cui adhibetur affectio; et non existimare tempus ad medelam sufficere (quænam enim fuerit ex tempore medicina?), sed ejus, qui sibi per conversionem medetur, animum et institutum. Hæc tibi, o homo Dei, ex iis quæ erant ad manum studiose composita, quod oporteat fratrum mandatis parere, studiose misimus. Tu vero consuetas pro nobis preces Deo offerre ne intermittas. Debes enim ut gratus filius, ei qui te secundum Deum genuit, in senectute per tuas orationes alimentum, convenienter præcepto quod jubet honorare parentes, *ut tibi bene sit, et sis longævus super terram* [1]. Clarum est autem quod ut symbolum sacerdotale, litteras accipies, munusque hospitale non contemnes, etiamsi sit minus quam pro summa tui ingenii bonitate.

ΒΑΛΣ. Εἰπὼν περὶ κλοπῆς καὶ τυμβωρυχίας, νῦν καὶ περὶ ἱεροσυλίας διδάσκει, καί φησιν ὅτι ἡ μὲν Παλαιὰ Γραφὴ ἐπίσης τὸν φονέα καὶ τὸν κλέψαντα τὰ τῷ Θεῷ ἀνατεθειμένα ἐκόλασε, λίθοις

BALS. Postquam dixit de furto et sepulcrorum effossione, nunc docet de sacrilegio; et dicit, quod Antiqua quidem Scriptura homicidam, et eum qui Deo oblata sustulit, ex æquo punit, lapidibus

[1] Exod. xx, 12; Deut. v, 16; Matth. xv, 4.

Digitized by Google

quens, dividit ipsum in latrocinium et murorum effossionem. Unum autem scopum esse dicit, tam iis qui latrocinantur, quam iis qui muros effodiunt, alienorum scilicet ablationem. Est autem multa rursus eorum ponenda differentia. Latrones enim etiam ad homicidium instruuntur, arma ferentes, et apta loca occupantes, et copias, hoc est, validam manum ad eis opem ferendam assumentes, et ad eædem parati. **163** Eos itaque ad pœnitentiam conversos dicit homicidarum judicio puniri. Eum autem, qui aliena clanculum surripuit, et peccatum aperit, contraria affectione curandum esse dicit, ut scilicet quoniam propter avaritiam aliena abstulerat, oporteat eum propria pauperibus erogare, ut sic videatur ab avaritia abstinere. Qui enim suis non parcit, aliena non appetet. Sin autem non habeat, inquit, pecunias, quas eroget; oportet eum laborantem curare affectionem, seu laborare operantem, et ex eo quod per suum laborem acquirit pauperibus impertiri. Et hoc est præceptum apostolicum. Dicit enim divinus Paulus : *Qui furatur, non amplius furetur; sed potius laboret bonum operans, ut habeat quod indigenti impertiatur* [1]. Hæc ergo de eo, qui clanculum aliena surripit. Sin autem hic quoque esse utitur, et adversus eum qui resistit tractare ilium paratus est; hic quoque eadem existimo pœna, qua latro, punietur, quia simile habebat institutum.

A ἡμετέραν καὶ κρίσιν τιθέναι κανονικὰ καὶ τοῖς ἁμαρτάνουσιν ἐπιτίμια. Εἰπὼν δὲ κλοπὴν, διαιρεῖ ταύτην εἰς λῃστείαν καὶ εἰς τοιχωρυχίαν. Καὶ ἵνα μὲν σκοπὸν εἶναι λέγει καὶ τοῖς λῃστεύουσι καὶ τοῖς τοιχωρυχοῦσι, τὴν τῶν ἀλλοτρίων ἀφαίρεσιν. Πολλὴν δὲ διαφορὰν θετέον αὐτῶν. Οἱ μὲν γὰρ λῃσταὶ καὶ πρὸς μιαιφονίαν παρασκευάζονται, ὅπλα φέροντες καὶ τόπους ἐπιτηδείους καταλαμβάνοντες εἰς βοήθειαν, ἀλλὰ μὴν καὶ πολυχειρίαν, ἤγουν πολλοὺς εἰς συνεργίαν προσλαμβανόμενοι, καὶ ἕτοιμοι ὄντες πρὸς φόνους. Τοὺς οὖν τοιούτους ἀπονεύσαντας εἰς μετάνοιαν τῷ τῶν ἀνδροφόνων ἐπιτιμᾶσθαι κρίματί φησι. Τὸν δὲ λαθραίως ἀφαιρούμενον τὰ ἀλλότρια, καὶ τὴν ἁμαρτίαν ἐξαγορεύοντα, θεραπεύεσθαί φησι τὴν ἐναντίαν διάθεσιν, ἤγουν, ἐπειδὴ B διὰ πλεονεξίαν ἀφεῖλετο τὰ ἀλλότρια, δεῖ αὐτὸν καὶ τὰ οἰκεῖα πένησι δοῦναι, ἵνα οὕτω φανῇ ἀποσχόμενος τῆς πλεονεξίας. Ὁ γὰρ μὴ φειδόμενος τῶν οἰκείων, οὐκ ἐπιθυμήσει τῶν ἀλλοτρίων. Εἰ δὲ μὴ ἔχῃ, φησὶ, χρήματα, ὥστε δοῦναι αὐτὰ, δεῖ αὐτὸν κοπιῶντα τὸ πάθος ἰάσασθαι, ἤγουν κοπιᾷν ἐργαζόμενον, καὶ ἐκ τοῦ διὰ τοῦ κόπου αὐτῷ ποριζομένου μεταδιδόναι τοῖς δεομένοις. Καὶ τοῦτο ἀποστολικόν ἐστι τὸ διάταγμα. Λέγει γὰρ ὁ θέσπιος Παῦλος· *Ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος τὸ ἀγαθὸν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι.* Ταῦτα μὲν οὖν περὶ τοῦ λάθρα ἀφαιρουμένου τὰ ἀλλότρια. Εἰ δὲ καὶ οὗτος ξίφει κέχρηται, καὶ ἕτοιμός ἐστι κατὰ τοῦ ἀνθεστηκότος αὐτῷ τούτῳ χρήσασθαι, καὶ οὗτος, οἶμαι, ὁμοίως ἐπιτιμηθήσεται τῷ λῃστεύοντι, ὅτι καὶ ὁμοίαν εἶχε προαίρεσιν.

CANON VII.

Sepulcrorum autem effossio, ipsa quoque dividitur in id quod veniam mereretur, et id quod non meretur. Si quis enim mortuorum parcens religioni, et tectum corpus intactum relinquens, ut nec soli ostendatur turpitudo naturæ, lapidibus aliquot ex iis, qui ante sepulcrum projecti sunt, ad aliquod opus construendum usus est; ne hoc quidem est laudabile : sed ut esset dignum venia effecit consuetudo; quando ad aliquid melius, et reipublicæ utilius, materia traducta sit. At carnis in terram redactæ pulverem perscrutari, et ossa movere, spe aliquem ex defossis lucrifaciendi ornatum, id eodem judicio condemnatum est, quo simplex fornicatio; quemadmodum in præcedente oratione divisio facta est, considerante scilicet œconomo seu dispensatore, ex ipsa vita ejus, cui medela adhibetur, medicinam, ut spatium a canonibus præstitutum possit contrahere.

BALS. Quemadmodum furtum in duo divisit, ita et sepulcri fossionem in duo dividit. Si quis enim, inquit, solos lapides ex sepulcro abstulerit, ita ut tectum corpus non videatur mortuorum religioni parcens, hoc est, justo honori qui mortuis debetur, et eis usus fuerit ad meliorum et reip. utiliorum constructionem; ne sic quidem erit a crimine alic-

ΚΑΝΩΝ Ζ'.

C

Ἡ δὲ τυμβωρυχία καὶ αὕτη διῄρηται εἰς σύγγνωστόν τε καὶ ἀσύγγνωστον. Εἰ μὲν γάρ τις τῆς οὐσίας φειδόμενος καὶ ἄσυλον ἀφεὶς τὸ κεκρυμμένον σῶμα, ὡς μὴ ἀναδειχθῆναι ἥλιῳ τὴν ἀσχημοσύνην τῆς φύσεως, λίθοις τισὶ τῶν τῷ τάφῳ βεβλημμένων συγχρήσεται εἰς ἔργου τινὸς κατασκευὴν, ἐπαινετὸν μὲν οὐδὲ τοῦτό ἐστι· πλὴν ἀλλὰ συγγνωστὸν ἐποίησεν ἡ συνήθεια, ὅταν εἰς προτιμότερόν τι καὶ κοινωφελέστερον ἡ τῆς ὕλης μετάθεσις γίνηται. Τὸ δὲ διερευνᾶσθαι τὴν κόνιν ἀπὸ τῆς γεωθείσης σαρκὸς, καὶ ἀνακινεῖν τὰ ὀστᾶ, ἐλπίδι τοῦ κόσμου τινὰ τῶν συγκατορυχθέντων κερδᾶναι, τοῦτο τῷ αὐτῷ κρίματι κατεδικάσθη, ᾧ καὶ ἡ ψιλὴ πορνεία, καθὼς ἐν τῷ προλαβόντι διῄρηται λόγῳ, ἐπισκοποῦντος δηλαδὴ τοῦ οἰκονόμου, ἐξ αὐτοῦ τοῦ βίου, τὴν ἰατρείαν τοῦ θεραπευομένου, ὥστε συντεμεῖν τὴν ἐκ τῶν κανόνων ὁρισθεῖσαν τοῦ ἐπιτιμίου προθεσμίαν. D

ΒΑΛΣ. Ὥσπερ δὲ τὴν κλοπὴν εἰς δύο διεῖλεν, οὕτω καὶ τὴν τυμβωρυχίαν εἰς δύο διαιρεῖ. Εἰ μὲν γάρ τις, φησὶ, λίθους μόνους ἐκ τάφου ἀφέληται, ὥστε τὸ καλυπτόμενον σῶμα μὴ ὁραθῆναι, τῆς οὐσίας φειδόμενος, ἤτοι τῆς ἀφωσιωμένης τοῖς τεθνεῶσι τιμῆς, καὶ χρήσεται τούτοις εἰς ἔργου κατασκευὴν προτιμοτέραν καὶ κοινωφελεστέραν, οὐδ'

[1] Eph. s. iv, 28.

Digitized by Google

οὗτος ἀνέγκλητος, συγγνωστὸς δ' οὖν. Λίθους δὲ τοὺς τῷ τάφῳ προβεβλημένους, οὐχὶ τοὺς αὐτὰ τὰ τεθαμμένα σώματα καλύπτοντας. Εἰ γὰρ τοιούτους λίθους ἀφέληταί τις, δίδωσι πάντως ὁρᾶσθαι τὸ κεκρυμμένον σῶμα, καὶ δημοσιεύει τῆς φύσεως τὰ μυστήρια, καὶ οὐκέτι συγγνωστός ἐστιν, ἀλλ' εἰς τὸ ἕτερον εἶδος τῆς τυμβωρυχίας ἐμπίπτειν δοκεῖ, ὃ τι πέρ ἐστι τὸ τοὺς τάφους ἀνοίγειν καὶ τὴν κόνιν ἐκ τῆς φθαρείσης σαρκὸς ἀνορύττειν, καὶ μετακινεῖν τὰ ὁστᾶ τῶν κειμένων, κόσμον τινὰ λαβεῖν ἐκεῖθεν ζητοῦντα συντεθειμένον τοῖς τελευτήσασι. Τοῦτο τοίνυν τὸ εἶδος τῆς τυμβωρυχίας ὁμοίως τῇ ψιλῇ πορνείᾳ καταδικάζεσθαι λέγει. Ψιλὴν δὲ πορνείαν τὴν εἰς ἐλευθέραν ἀνδρὸς γυναῖκα μίξιν ὠνόμασε. Κἀνταῦθα δὲ τῷ οἰκονομοῦντι τὸν μετανοοῦντα δίδωσι τὸ συντεμεῖν ἴσως τὸν τοῦ ἐπιτιμίου καιρὸν, εἰ ὁρᾷ θερμὴν αὐτοῦ τὴν μετάνοιαν. Ἀλλὰ ταῦτα μέν φησι περὶ τυμβωρύχων ὁ ἅγιος. Ὁ δὲ πολιτικὸς νόμος ἐν βιβλίῳ ξ' τίτλου κγ' ταῦτα διατάττεται· Οἱ ἀπὸ τῶν τάφων ὕλας ἀφαιροῦντες ὑποκείσθωσαν τῷ τῆς ἱεροσυλίας ἐγκλήματι· καὶ πάλιν· Τὸ τῆς τυμβωρυχίας ἔγκλημα ἀτιμίαν ἐπιφέρει· καὶ αὖθις· Ἐάν τις ἀπὸ τοῦ τάφου ἀφέληται ἢ λίθους ἢ κίονας ἢ μάρμαρα, ἢ ἄλλην οἱανδήποτε ὕλην, εἰκοσι νομίσματα χρυσίου τῷ δημοσίῳ καταβάλλει· καὶ τὰ ἑξῆς.

A nus; erit tamen venia dignus. Lapides autem, qui ante sepulcrum projecti sunt, non eos qui sepulta corpora contegunt. Si quis enim eos lapides abstulerit, corpus contectum omnino videndum præbet, et naturæ mysteria publicat, et non est amplius venia dignus; sed in alteram speciem sepulcrorum effossionis incidere videtur, quæ est sepulcra aperire, et ex corrupta carne pulverem effodere, et eorum qui illic jacent ossa movere, illinc ornatum aliquem quo mortui amicti sunt accipere conantem. Hoc itaque sepulcrorum effossionis genus, eodem judicio quo simplex fornicatio, condemnandum esse dicit. Simplicem autem fornicationem, cum muliere a viro soluta coitum nominavit. Hic quoque pœnitentis œconomo dat facultatem pœnæ tempus contrahendi, si ejus forte vehementem videat pœnitentiam. Cæterum hæc quidem dicit sanctus de sepulcrorum effossoribus. Lex autem civilis in lib. LX, tit. 23, hæc constituit: Qui materias ex sepulcris auferunt sacrilegii crimini sint obnoxii. Et rursus: Sepulcrorum effossionis crimen affert infamiam. Et iterum: Si quis ex sepulcro abstulerit, vel lapides, vel columnas, vel marmora, vel aliquam aliam materiam, publico viginti aureos solvit; et quæ sequuntur.

B

ΚΑΝΩΝ Η'.

Ἡ δὲ ἱεροσυλία, παρὰ μὲν τῇ ἀρχαίᾳ Γραφῇ, οὐδὲ ἐνομίσθη τῆς φονικῆς κατακρίσεως ἀνεκτοτέρα. Ὁμοίως γὰρ ὅ τε ἐπὶ φόνῳ ἁλοὺς, καὶ ὁ τὰ ἀνατεθέντα τῷ Θεῷ ὑφελόμενος, τὴν διὰ τῶν λίθων τιμωρίαν ὑπέσχον. Ἐπὶ δὲ τῆς ἐκκλησιαστικῆς συνηθείας οὐκ οἶδα πῶς συγκατάβασίς τις ἐγένετο, καὶ συμπερι-φορὰ, ὥστε ἀνεκτότερον νομισθῆναι τὸ τῆς τοιαύτης νόσου καθάρσιον· ἐν ἐλάττονι γὰρ χρόνῳ παρὰ τὴν μοιχείαν, τοῖς τοιούτοις τὸ ἐπιτίμιον διετάξατο ἡ τῶν Πατέρων παράδοσις. Πανταχοῦ καὶ ἐν πλημμελήματος εἴδει τοῦτο καθορᾶν προσήκει πρὸ πάντων, οἷα ἐστὶ τοῦ θεραπευομένου διάθεσις, μὴ τὸν χρόνον οἴεσθαι πρὸς θεραπείαν ἀρκεῖν· τίς γὰρ ἂν ἐκ τοῦ χρόνου ἴασις γένοιτο; ἀλλὰ τὴν προαίρεσιν τοῦ ἑαυτὸν δι' ἐπιστροφῆς ἰατρεύοντος. Ταῦτά σοι, ὦ ἄνθρωπε τοῦ Θεοῦ, κατὰ πολλὴν σπουδὴν ἐκ τῶν προχείρων συνθέντες, διὰ τὸ δεῖν τοῖς τῶν ἀδελφῶν ἐπιτάγμασι πείθεσθαι, κατὰ σπουδὴν ἀπεστείλαμεν. Σὺ δὲ τὰς συνήθεις ὑπὲρ ἡμῶν εὐχὰς τῷ Θεῷ προσάγων μὴ διαλείπῃς. Χρεωστεῖς γὰρ ὡς εὐγνώμων υἱὸς, τῷ κατὰ Θεόν σε γεννήσαντι, τὴν διὰ τῶν προσευχῶν γηροκομίαν, κατὰ τὴν ἐντολὴν τὴν κελεύουσαν τιμᾶν τοὺς γονέας, *ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς*. Δῆλον δὲ ὅτι ὡς σύμβολον ἱερατικὸν, δέξῃ τὸ γράμμα, καὶ οὐκ ἀτιμάσεις τὸ ξένιον. κἂν τι μικρότερον τῆς σῆς μεγαλοψυχίας εἴη.

C

D

164 CANON VIII.

Sacrilegium autem, in antiqua quidem Scriptura, ne cædis quidem condemnatione visum est tolerabilius. Similiter enim, et qui cædis convictus erat, et qui res Deo dedicatas abstulerat, lapidationis supplicium subibat. In ecclesiastica autem consuetudine, de pœnæ gravitate nescio quo modo aliquid detractum, et eo lenitatis descensum est, ut illius morbi existimaretur tolerabilius piaculum; in minori enim tempore quam adulterium, ii a Patrum traditione pœnam susceperunt. Ubique autem hoc in supplicii genere ante omnia videndum est, qualis sit ejus cui adhibetur affectio; et non existimare tempus ad medelam sufficere (quænam enim fuerit ex tempore medicina?), sed ejus, qui sibi per conversionem medetur, animum et institutum. Hæc tibi, o homo Dei, ex iis quæ erant ad manum studiose composita, quod oportebat fratrum mandatis parere, studiose misimus. Tu vero consuetas pro nobis preces Deo offerre ne intermittas. Debes enim ut gratus filius, ei qui te secundum Deum genuit, in senectute per tuas orationes alimentum, convenienter præcepto quod jubet honorare parentes, *ut tibi bene sit, et sis longævus super terram* [1]. Clarum est autem quod ut symbolum sacerdotale, litteras accipies, munusque hospitale non contemnes, etiamsi sit minus quam pro summa tui ingenii bonitate.

ΒΑΛΣ. Εἰπὼν περὶ κλοπῆς καὶ τυμβωρυχίας, νῦν καὶ περὶ ἱεροσυλίας διδάσκει, καί φησιν ὅτι ἡ μὲν Παλαιὰ Γραφὴ ἐπίσης τὸν φονέα καὶ τὸν κλέψαντα τὰ τῷ Θεῷ ἀνατεθειμένα ἐκόλασε, λίθοις

BALS. Postquam dixit de furto et sepulcrorum effossione, nunc docet de sacrilegio; et dicit, quod Antiqua quidem Scriptura homicidam, et eum qui Deo oblata sustulit, ex æquo punit, lapidibus

[1] Exod. xx, 12; Deut. v, 16; Matth. xv, 4.

Digitized by Google

eos obrui jubens. Quod in Achar factum est, qui ex spoliis Hiericho, quæ omnia Deo erant dedicata, aurum vestesque textas abstulerat : lapidibus enim obrutus omnino peremptus est. Ecclesia autem non eodem modo homicidam et sacrilegum punit : sed mitius in sacrilegum affecta est. Nescio quomodo, inquit, pro eo quod est, rationem ignoro. A Patribus, enim, inquit, traditum est, ut minori tempore quam adulterio pœna sacrilegio decernatur. In omni autem peccato oportet ante omnia considerare pœnitentis et ejus, cui medela applicatur, affectionem, et non omnia pœnæ spatio ascribere, tanquam quod ad purgationem sufficiat. Quantumcunque enim tempus præterierit, nihil juvabit ad curationem. Sed oportet pœnitentis animum et institutum considerare, ejusque in pœnitentia studium ; ut si peccato quidem convenientem et correspondentem pœnitentiam ostenderit, contrahat pœnæ tempus : sin autem remisse et negligentius se gesserit, pœnæ quoque tempus augeat. A me autem dubitatum est quomodo sanctus hic avaritiæ vitium dicit a Patribus sine ulla esse medela relictum, cum Grègorius Thaumaturgus hoc in tertio suo canone dicat : Gravis res est avaritia, nec possunt una epistola exponi, quæ a divina Scriptura dicta sunt, in quibus non solum latrocinari fugiendum et horrendum annuntiatur ; sed omnino avarum esse et aliena desiderare propter turpe lucrum : et, Quisquis est ejusmodi, a Dei Ecclesia abdicatur. Quomodo ergo sine medela relictum est, quod a Dei Ecclesia abdicatum facere judicatum est ? Quod autem observatus sit hic canon Thaumaturgi, clarum est ex Theophili archiepiscopi Alexandrini epistola ad Manam episcopum, qui scripsit eos rem fecisse legitimam, qui a communione separaverunt mulierem facientem injuriam, nec volentem ab injuria abstinere.

A αὐτοὺς ἀναιρεῖσθαι διατεταγμένης. Ὅπερ ἐπὶ τοῦ Ἀχαζ ἐγένετο, ὑφελομένου ἐκ τῶν τῆς Ἱεριχοῦς λαφύρων, ἃ πάντα τῷ Θεῷ ἀνετέθησαν, χρυσόν τε καὶ ὕφασμα· λίθοις γὰρ βληθεὶς παγγενεὶ ἐξωλοθρεύθη. Ἡ δὲ Ἐκκλησία οὐχ ὁμοίως ἐπιτιμᾷ τῷ φονεῖ καὶ τῷ ἱεροσύλῳ· ἀλλὰ συγκαταβατικώτερον διετέθη πρὸς τὸν ἱερόσυλον. Οὐκ οἶδα πῶς, φησὶν, ἀντὶ τοῦ τὸν λόγον ἀγνοῶ. Παραδέδοται γὰρ, φησὶ, παρὰ τῶν Πατέρων ἥττονι χρόνῳ παρὰ τὴν μοιχείαν τὸ ἐπιτίμιον τῇ ἱεροσυλίᾳ ὁρίζεσθαι. Ἐν πάσῃ δὲ ἁμαρτίᾳ δεῖ πρὸ πάντων σκοπεῖν τὴν τοῦ μετανοοῦντος καὶ θεραπευομένου διάθεσιν, καὶ μὴ τῷ χρόνῳ τοῦ ἐπιτιμίου ἀνατιθέναι τὸ πᾶν, ὡς ἀρκοῦντι πρὸς κάθαρσιν. Ὁ γὰρ χρόνος ὅσος ἂν παρέλθῃ, οὐδὲν ὠφελήσει πρὸς ἴασιν. Ἀλλὰ τὴν προαίρεσιν δεῖ B σκοπεῖν τοῦ μετανοοῦντος καὶ τὴν ἐπὶ τῇ μετανοίᾳ σπουδήν, ὥστε, εἰ μὲν προσήκουσαν τῷ ἁμαρτήματι καὶ ἀνάλογον ἐνδείκνυται τὴν μετάνοιαν, συντέμνειν τὸν τοῦ ἐπιτιμίου καιρόν· εἰ δὲ ἀνειμένος διάκειται καὶ ἀμελέστερον διατίθεται, καὶ προστιθέναι τὸν καιρὸν τοῦ ἐπιτιμίου. Ἀπορῆται δέ μοι, πῶς ὁ ἅγιος οὗτος τὸ τῆς πλεονεξίας πάθος ἀθεράπευτον ἔφη παρὰ τῶν Πατέρων καταλειφθῆναι, καὶ ταῦτα τοῦ ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ ἐν τῷ τρίτῳ τῶν αὐτοῦ κανόνων ταῦτα λέγοντος· Δεινὴ ἡ πλεονεξία, καὶ οὐκ ἔστι δι' ἐπιστολῆς περιθέσθαι τὰ θεῖα Γράμματα, ἐν οἷς οὐ τὸ ληστεύειν μόνον φευκτὸν καὶ φρικῶδες κατηγγέλλεται· ἀλλὰ καθόλου τὸ πλεονεκτεῖν καὶ τὸ ἀλλοτρίων ἐφάπτεσθαι ἐπὶ αἰσχροκερδείᾳ· καὶ, Πᾶς ὁ τοιοῦτος ἐκκήρυκτος C Ἐκκλησίας Θεοῦ. Πῶς οὖν ἀθεράπευτον περιῴφθη τὸ ἐκκήρυκτον Ἐκκλησίας Θεοῦ ποιεῖν κεχριμένον; Ὅτι δὲ ἐκράτει ὁ κανὼν οὗτος τοῦ Θαυματουργοῦ δῆλον ἀπὸ τῆς πρὸς Μηνᾶν ἐπίσκοπον ἐπιστολῆς Θεοφίλου ἀρχιεπισκόπου Ἀλεξανδρείας, γράψαντος νόμιμον πρᾶγμα πεποιηκέναι τοὺς χωρίσαντας τῆς συνάξεως τὴν ἀδικοῦσαν γυναῖκα, καὶ μὴ βουλομένην ἀναστεῖλαι τὴν ἀδικίαν.

Digitized by Google

(1) ΑΠΟΚΡΙΣΕΙΣ ΚΑΝΟΝΙΚΑΙ

ΤΙΜΟΘΕΟΥ

ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ,

Ἑνὸς τῶν ρ' Πατέρων τῶν ἐν Κωνσταντινουπόλει συναθροισθέντων, πρὸς τὰς προσενεχθείσας αὐτῷ ἐρωτήσεις περὶ ἐπισκόπων καὶ κληρικῶν.

—

165 RESPONSA CANONICA

TIMOTHEI

SANCTISSIMI EPISCOPI ALEXANDRINI,

Qui fuit unus ex CL Patribus Constantinopoli congregatis, ad interrogationes ei propositas de episcopis et clericis.

—

Ἐρώτησις.

« Ἐὰν παιδίον κατηχούμενον, ὡς ἐτῶν ἑπτὰ, ἢ Α ἄνθρωπος τέλειος εὐκαιρήσῃ που προσφορᾶς γινομένης, καὶ ἀγνοῶν μεταλάβῃ, τί ὀφείλει γίνεσθαι περὶ αὐτοῦ; »

Ἀπόκρισις.

« Φωτισθῆναι ὀφείλει· παρὰ Θεοῦ γὰρ κέκληται. »

ΒΑΛΣ. Ἠρωτήθη ὁ Πατὴρ οὗτος, ὅτι ἐὰν παιδίον ἢ καὶ ἀνὴρ τέλειος ἐν κατηχουμένοις τεταγμένος, καὶ μήπω τοῦ ἁγίου τυχὼν βαπτίσματος, προσφορᾶς γινομένης, ἤτοι θυσίας μυστικῆς προσαγομένης, εὐκαιρήσῃ, ἀντὶ τοῦ, καιροῦ τύχῃ ἐπιτηδείου, καὶ μεταλάβῃ τῶν ἁγιασμάτων, ἀγνοῶν, ὅτι οὐ δεῖ αὐτὸν μεταλαβεῖν πρὸ τοῦ βαπτίσματος, ἀλλ' οὐχὶ καταφρονητικῶς διατιθέμενος· τί ὀφείλει γενέσθαι; Καὶ ἀπεκρίθη, ὅτι βαπτισθῆναι ὀφείλει. Ἐπεὶ γὰρ ἀπονήρως Β

Interrogatio.

« Si puellus catechumenus, utpote annorum septem, vel homo etiam perfectus dum fieret oblatio opportune adfuerit, ejusque nescius particeps factus sit, quid de eo fieri debet? »

Responsio.

« Debet illuminari : a Deo enim vocatus est. »

BALS. Interrogatus est hic Pater, an si puellus, vel etiam vir perfectus in ordine catechumenorum collocatus, et sanctum baptismum nondum assecutus, dum oblatio fieret, sive mysticum sacrificium offerretur, opportune adfuerit, hoc est, tempus idoneum assecutus fuerit, et sacramentorum particeps factus fuerit, ignorans se non debere participare antequam sit baptizatus, non tamen ea improbe contemnens, quid debet fieri? et respondit cum

Guillelmi Beveregii notæ.

(1) *Ἀποκρίσεις κανονικαὶ Τιμοθέου.* De hoc Timotheo episcopo Alexandrino, scholium quoddam in codice Amerbachiano habetur, his verbis conceptum : Ἱστέον, ὅτι μετὰ Διονύσιον τὸν μέγαν τεσσαρεσκαιδέκατον Ἀλεξανδρείας γενόμενον ἐπίσκοπον, οἵδε ἐπεσκόπησαν· Θεωνᾶς, Μάξιμος, Πέτρος ἱερομάρτυς, Ἀχιλλᾶς, Ἀλέξανδρος, Ἀθανάσιος, Γρηγόριος Ἀρειανὸς ὁ Καππαδόκης, Ἀθανάσιος πάλιν, Πέτρος ὁ παρὰ Οὐάλεντος περιορισθείς, Λούκιος Ἀρειανὸς, Πέτρος πάλιν· εἶτα Τιμόθεος οὗτος ὁ μέγας, ἀναχθεὶς μὲν ἐπὶ τὸν θρόνον κατὰ τὸ δ' ἔτος τῆς βασιλείας Θεοδοσίου τοῦ Μεγάλου, παρὼν δὲ ἐν τῇ κατὰ Μακεδονίου τοῦ Πνευματομάχου συνόδῳ τῶν ρ' ἁγίων Πατέρων. Μετὰ δὲ ἑπταετίαν ἐξεδήμησε πρὸς Κύριον, διάδοχον ἐσχηκὼς Θεόφιλον· *Sciendum est, quod post Dionysium magnum decimum quartum Alexandriæ episcopum constitutum, episcopalia munera obierunt Theonas, Maximus, Petrus sanctus martyr, Achillas, Alexander, Athanasius, Gregorius Arianus e Cappadocia, Athanasius iterum, Petrus a Valente expulsus, Lucius Arianus, Petrus iterum. Postea magnus hic Timotheus, ad thronum quidem quarto imperii Theodosii Magni anno promotus; interfuit autem quarto anno imperii Theodosii Magni synodo CL sanctorum Patrum, contra Macedonium Spiritus oppugnatorem congregatæ : post septennium autem ad Dominum migravit, successorem habens Theophilum.*

Digitized by Google

baptizari debere. Quia enim non malitiose ad sanctorum donorum communionem accessit, et opportunitate usus est ab aliquo non prohibitus; forte ignorantibus qui aderant fidelibus, et ipso etiam qui communionem impertiit, eum esse catechumenum: videtur a Deo esse vocatus. Et quod sanctus apostolus Petrus dixit de Cornelio, et iis qui circa eum erant: quo tempore cum essent catechumeni Spiritus sanctus in eos cecidit, et loquebantur linguis, et Deum glorificabant [1], ut in Actorum libro scriptum est: *Nunquid aquam prohibuerit quispiam, quominus ii baptizentur, qui sanctum Spiritum sicut nos acceperunt?* hoc propemodum etiam dixit Timotheus, quod a Deo vocatus, et sacramentis dignus existimatus, debet illuminari.

Interrogatio.

« Si catechumenus a dæmone corripiatur, et voluerit ipse vel sui, ut sanctum baptismum accipiat, debetne accipere an non, et maxime si morti propinquus fuerit? »

Responsio.

« Si is, qui a dæmone corripitur, non fuerit ab immundo spiritu mundatus, non potest sanctum baptismum accipere; sed in exitu a vita baptizatur. »

Bals. Qui a dæmone corripitur, habitaculum dæmonis esse videtur. Judicatur enim, quod nisi immundus spiritus invenisset hominem ipsi idoneum habitaculum, in eo non habitasset. Qui autem baptizatur, per baptismum sancti Spiritus gratiam in se cohabitantem suscipit. Quomodo ergo fieri poterit, ut idem simul duo in se contraria suscipiat? et ideo catechumenum et a vexante eum dæmone non liberatum judicavit Pater, non esse dignum sancto baptismate. Sin autem moriatur, inquit, baptizabitur: ne gratiæ baptismi expers, a vita excedendo, hoc viatico privetur, et non signatus recedat.

Interrogatio.

« Si quis, cum sit fidelis, a dæmone corripiatur: debetne esse sanctorum mysteriorum particeps, an non? »

Responsio.

« Si mysterium non enuntiet, nec ullo alio modo blasphemet, sit particeps: sed non singulis diebus. Sufficit enim, si statis solum temporibus. »

Bals. Judas dicitur mysterium enuntiasse, ut qui, quæ a Domino doctus est, Judæis revelaverit ceu eis **166** non credens, et docenti illa non tanquam Deo mentem adhibens, sed ut nudo homini. Qui autem a dæmone corripitur, si perpetuo quidem fuerit, nec sacramentis dignus habebitur, nec mysterium enuntians, et blasphemans condemnabitur, ut qui nesciat quid agat. Sin autem habet intervalla, et in tempore quo est sanæ mentis, in mysterium invehitur et blasphemat: non solum non erit sacramentorum particeps, sed nec cum fidelibus simul precabitur vel connumerabitur. Quare divinus hic Pater de dæmo-

[1] Act. x, 44 seqq.

προσῆλθε τῇ κοινωνίᾳ τῶν ἁγίων δώρων, καὶ εὐκαιρίας ἔτυχε μὴ κωλυθεὶς ὑπό τινος, ἀγνοησάντων ἴσως τῶν παρόντων πιστῶν, καὶ αὐτοῦ τοῦ μεταδιδόντος, ὅτι κατηχούμενός ἐστι, δοκεῖ παρὰ τοῦ Θεοῦ προσκληθῆναι. Καὶ ὅπερ ὁ ἅγιος ἀπόστολος Πέτρος ἔφη περὶ τοῦ Κορνηλίου καὶ τῶν περὶ αὐτὸν, ὅτε κατηχουμένων ἐκείνων ἔπεσεν αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἐλάλουν γλώσσαις, καὶ ἐμεγάλυνον τὸν Θεὸν, ὡς ἐν τῇ βίβλῳ τῶν Πράξεων γέγραπται, *Μήτι τὸ ὕδωρ κωλῦσαί δύναταί τις, τοῦ μὴ βαπτισθῆναι τούτοις, οἵ τὸ Πνεῦμα τὸ ἅγιον ἔλαβον ὡς καὶ ἡμεῖς;* τοῦτο μονονουχὶ καὶ ὁ Τιμόθεος εἶπεν, ὅτι παρὰ Θεοῦ κληθεὶς, καὶ ἄξιος νομισθεὶς τῶν ἁγιασμάτων, φωτισθῆναι ὀφείλει.

Ἐρώτησις.

« Ἐὰν δαιμονιζόμενος κατηχούμενος ᾖ, καὶ θελήσῃ αὐτὸς, ἢ οἱ ἴδιοι αὐτοῦ, ἵνα λάβῃ τὸ ἅγιον βάπτισμα· ὀφείλει λαβεῖν ἢ οὔ, καὶ μάλιστα ἐὰν περὶ τὸν θάνατόν ἐστιν; »

Ἀπόκρισις.

« Ἐὰν ὁ δαιμονιζόμενος μὴ καθαρισθῇ ἀπὸ τοῦ ἀκαθάρτου πνεύματος, οὐ δύναται λαβεῖν τὸ ἅγιον βάπτισμα· περὶ δὲ τὴν ἔξοδον βαπτίζεται. »

ΒΑΛΣ. Ὁ δαιμονιζόμενος εἶναι δοκεῖ οἰκητήριον δαίμονος. Κρίνεται τοίνυν, ὡς εἰ μὴ ἄξιον αὐτοῦ τὸν ἄνθρωπον εὗρε τὸ ἀκάθαρτον πνεῦμα κατοικητήριον, οὐκ ἂν ᾤκησεν ἐν αὐτῷ. Ὁ δὲ βαπτιζόμενος, διὰ τοῦ βαπτίσματος, τὴν χάριν τοῦ ἁγίου Πνεύματος δέχεται ἐνοικοῦσαν αὐτῷ. Πῶς οὖν ἐν ταὐτῷ δυνατόν ἐστι τὸν αὐτὸν δύο ἐναντίων δεκτικὸν γενέσθαι; διὰ τοῦτο τὸν κατηχούμενον καὶ μὴ ἀπαλλαγέντα τοῦ ἐνοχλοῦντος αὐτὸν δαίμονος, οὐκ ἔκρινεν ὁ Πατὴρ τοῦ θείου βαπτίσματος ἄξιον. Εἰ δὲ καὶ τελευτᾷ, φησὶ, βαπτισθήσεται, ἵνα μὴ ἀμέτοχος τῆς χάριτος τοῦ βαπτίσματος, τοῦ βίου ἐξελθὼν, στερηθῇ τοιούτου ἐφοδίου, καὶ ἀσήμαντος ἀπέλθῃ.

Ἐρώτησις.

« Ἐὰν πιστός τις ὢν δαιμονίζεται, ὀφείλει μεταλαβεῖν τῶν ἁγίων μυστηρίων, ἢ οὔ; »

Ἀπόκρισις.

« Ἐὰν μὴ ἐξαγορεύῃ τὸ μυστήριον, μήτε ἄλλως πως βλασφημῇ, μεταλαμβανέτω· μὴ μέντοι καθ' ἑκάστην. Ἀρκεῖ γὰρ αὐτῷ κατὰ καιροὺς μόνον. »

ΒΑΛΣ. Ὁ Ἰούδας ἐξαγορεῦσαι λέγεται τὸ μυστήριον, ὡς ἃ ἐδιδάχθη παρὰ Κυρίου ἐκκαλύψας τοῖς Ἰουδαίοις, οἷα διαπιστῶν αὐτοῖς, καὶ μηδὲ τῷ ταῦτα διδάσκοντι ὡς Θεῷ προσέχων, ἀλλ' ὡς ἀνθρώπῳ ψιλῷ. Ὁ δὲ δαιμονιζόμενος, εἰ μὲν διόλου μαίνεται, οὔτε τῶν ἁγιασμάτων ἀξιωθήσεται, οὔτε τὸ μυστήριον ἐξαγορεύων καὶ βλασφημῶν κατακριθήσεται, ὡς μὴ εἰδὼς ὃ ποιεῖ. Εἰ δὲ διαλείμματα ἔχει, καὶ ἐν τῷ καιρῷ, ᾧ σωφρονεῖ, διασύρει τὸ μυστήριον καὶ βλασφημεῖ· οὐ μόνον τῶν ἁγιασμάτων οὐ μεθέξει, ἀλλ' οὐδὲ πιστοῖς συνεύξεται ἢ συναριθμήσεται. Ὥστε ὁ θεῖος οὗτος Πατὴρ περὶ δαιμονιζομένου καὶ διαλείμματα

Digitized by Google

ἔχοντος λέγει. Ἐὰν οὖν, ὅτε οὐκ ἐνεργεῖται ὑπὸ τοῦ δαίμονος, οὐδὲν κατὰ τῆς πίστεως λέγῃ, μεταλήψεται τῶν ἁγιασμάτων.

Ἐρώτησις.

« Ἐάν τις κατηχούμενος, ὢν ἀσθενὴς, γένηται ἐκ φρενὸς, καὶ μὴ δύνηται ἑαυτὸς ὁμολογῆσαι τὴν πίστιν, καὶ παρακαλῶσιν οἱ ἴδιοι αὐτοῦ, ἵνα λάβῃ τὸ ἅγιον βάπτισμα, ἕως ζῇ· ὀφείλει λαβεῖν, ἢ οὔ; »

Ἀπόκρισις.

« Ὀφείλει λαβεῖν, ἐὰν μὴ ὑπὸ πνεύματος ἀκαθάρτου πειράζηται. »

ΒΑΛΣ. Ἡ ἐρώτησις ἦν περὶ κατηχουμένου καὶ ἐκ νόσου ἔξω φρενῶν γενομένου. ὥστε μὴ δύνασθαι αὐτὸν ἐρωτώμενον τὰς ἐν τῷ βαπτίσματι ἀποκρίσεις ἀποκρίνεσθαι, εἰ δεῖ τοῦτον βαπτίζεσθαι; Ἡ δὲ ἀπόκρισις, ὅτι δεῖ βαπτίζεσθαι αὐτὸν καὶ οὕτως ἔχοντα, καὶ εἰκότως. Ἐπεὶ γὰρ κατηχούμενος ἦν, ἔδειξε προαίρεσιν, ὅτι ἀσπάζεται τὴν πίστιν, καὶ κἂν μὴ ἐν τῷ βαπτίσματι ἀποκρίνηται, ἔφθασε δεῖξαι τὴν οἰκείαν προαίρεσιν. Εἰ δὲ ὑπὸ πνεύματος ἀκαθάρτου πειράζεται, οὐ βαπτισθήσεται, φησὶν, ἀλλὰ γενήσεται αὐτῷ, καθὼς ἄνωθεν εἴρηται.

Ἐρώτησις.

« Ἐὰν γυνὴ συγγένηται μετὰ ἀνδρὸς αὐτῆς τὴν νύκτα, ἢ ἀνὴρ μετὰ γυναικὸς, καὶ γένηται μίξις· ὀφείλουσι μεταλαβεῖν, ἢ οὔ; »

Ἀπόκρισις.

« Οὐκ ὀφείλουσι, τοῦ Ἀποστόλου βοῶντος· *Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρὸν, ἵνα σχολάσητε τῇ προσευχῇ· καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε, ἵνα μὴ πειράσῃ ὑμᾶς ὁ Σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν.* »

ΒΑΛΣ. Περὶ τῶν ἐνόμως συνοικιζομένων ἡ ἐρώτησις, εἰ ὀφείλουσι μεταλαβεῖν, κατὰ τὴν νύκτα ἐκείνην συνελθόντες ἀλλήλοις. Ἡ δὲ ἀπόκρισις, ὅτι οὐκ ὀφείλουσι. Καὶ εἰς σύστασιν τοῦ οἰκείου λόγου τοῖς ῥήμασιν ἐχρήσατο τοῦ μεγάλου Παύλου.

Ἐρώτησις.

« Ἐὰν γυνὴ κατηχουμένη δέδωκε τὸ ὄνομα αὐτῆς, ἵνα φωτισθῇ, καὶ περὶ τὴν ἡμέραν τοῦ βαπτίσματος γέγονεν αὐτῇ τὸ κατ' ἔθος τῶν γυναικῶν· ὀφείλει φωτισθῆναι αὐτῇ τῇ ἡμέρᾳ, ἢ ὑπερθέσθαι, καὶ πόσον ὑπερθέσθαι. »

Ἀπόκρισις.

« Ὑπερθέσθαι ὀφείλει, ἕως οὗ καθαρισθῇ. »

Ἐρώτησις.

« Ἐὰν γυνὴ ἴδῃ τὸ κατ' ἔθος τῶν γυναικείων αὐτῆς, ὀφείλει προσέρχεσθαι τοῖς μυστηρίοις αὐτῇ τῇ ἡμέρᾳ, ἢ οὔ; »

Ἀπόκρισις.

« Οὐκ ὀφείλει, ἕως οὗ καθαρισθῇ. »

ΒΑΛΣ. Οἱ μέλλοντες καταξιοῦσθαι τοῦ θείου βαπτίσματος, ἀπεγράφοντο παρὰ τῶν ἐν τῇ ἐκκλησίᾳ ἐνεργούντων. Ἐὰν οὖν γυνὴ, φησὶν, ἀπογραφεῖσα, ὡς

A niaco, qui habet intervalla, dicit: Si, ergo quando a dæmone non agitatur nihil contra fidem dixerit, erit sacramentorum particeps.

Interrogatio.

« Si quis catechumenus, cum esset infirmus, emotæ mentis factus sit, nec possit ipse fidem confiteri, suique suadeant, ut donec vivit sanctum baptismum accipiat, debetne accipere, an non? »

Responsio.

« Debet accipere, si non ab immundo spiritu tenetur. »

Bals. Interrogatio erat de catechumeno, qui propter morbum emotæ mentis est, ut non posset interrogatus quæ in baptismo respondentur respon-
B dere, an eum baptizare oporteat? Responsio autem est, quod oportet eum qui ita se habet baptizari, et merito; quia, quod est catechumenus videtur eo se esse animo ostendisse, ut fidem amplectatur, et quamvis in baptismate non respondeat, prius tamen animi sui institutum ostendit. Sin autem ab immundo spiritu tenetur, non baptizabitur, inquit sed fiet ei, sicut superius dictum est.

Interrogatio.

« Si uxor cum suo marito nocte cohabitarit, vel maritus cum uxore, et fiat coitio, debentne communicare, an non? »

Responsio.

« Non debent, cum clamet Apostolus: *Ne fraudate*
C *vos invicem, nisi ex consensu ad tempus, ut vacetis orationi; et rursus ad idem conveniatis, ne tentet vos Satanas propter incontinentiam vestram* [1]. »

Bals. De iis qui legitime cohabitant est interrogatio, an debent nocte illa simul congressi esse sacramentorum participes. Responsio vero est, quod non debent: et ad dicti sui confirmationem magni Pauli verbis usus est.

Interrogatio.

« Si mulier catechumena dederit nomen suum, ut baptizaretur, et die baptismatis illi sit secundum consuetudinem mulierum, debetne eo die baptizari, an differre, et quantum differre? »

D

Responsio.

« Debet differre donec purgata fuerit. »

Interrogatio.

« Si mulier consueta sibi muliebria accidisse viderit, debetne ad sancta mysteria accedere an non? »

Responsio.

« Non debet usque dum purgetur. »

Bals. Qui divino baptismate digni erant habendi, describebantur ab is qui munus ecclesiasticum exercebant. Si ergo, inquit, descripta mulier, tanquam

[1] I Cor. VII, 5.

Digitized by Google

baptizanda, in fluxum menstruorum inciderit, quando debet baptizari? Ad quod divinus hic Pater respondit, quod quando purgata fuerit. Donec enim præstituti dies præterierint, impura esse judicabitur et nec baptizabitur, nec divinis mysteriis digna habebitur.

167 *Interrogatio.*

« Mulier si pepererit, debetne jejunare Pascha, et vinum non bibere: an a jejunio absolvitur et vinum bibere permittitur, eo quod pepererit? »

Responsio.

« Excogitatum est jejunium, ut corpus humile reddatur. Si ergo corpus in humilitate et imbecillitate versatur, debet cibi et potus, quantum vult et potest, esse particeps. »

Bals. Interrogatus est sanctus, an debet mulier, quæ in Paschæ quadragesima peperit, bibere vinum et a jejunio absolvi. Et respondit, quod jejunium ad corpus humiliandum decretum est. Quod si corpus humiliatum fuerit et infirmum, non aliunde jejunii disciplina indiget: sed confirmatione potius et recreatione opus habet. Debet ergo, quæ peperit in Paschate, hoc est, in jejunio quod fit propter Pascha, uti et vino et cibo.

Interrogatio.

« An debet clericus, præsentibus Arianis vel aliis hæreticis, orare; et an eum nihil lædit quando ille facit orationem, seu oblationem? »

Responsio.

« In divina oblatione diaconus ante salutationem edicit: Qui non communicatis, ambulate. Non debent ergo interesse, nisi profiteantur se pœnitentiam acturos et hæresin vitaturos. »

Bals. Interrogatio de clerico facta est: an debet præsentibus hæreticis orare, aut incruentum sacrificium offerre; et respondit, quod quando ad sacram mensam sancta offerenda sunt, dicitur profanis: Qui non communicatis, ambulate, sive, Catechumeni, exite. Si ergo catechumeni non sinuntur adesse dum fit sacrificium, quomodo sinentur hæretici? Nisi se, inquit, pœnitentiam acturos confiteantur, et ab hæresi cessaturos; et tunc quoque, ut existimo, intra templum esse non sinentur, sed foris cum catechumenis; quod si se ab hæresi abstenturos non profiteantur, ne cum catechumenis quidem consistent, sed expellentur.

Interrogatio.

« Si quis sit ægrotus, et ex multa imbecillitate valde attenuatus, et ad sanctum Pascha venerit; debetne omnino jejunare, an eum absolvit clericus, ut accipiat quod potest, vel etiam oleum et vinum propter multam ejus imbecillitatem? »

μέλλουτα βαπτισθῆναι, γένηται ἐν ῥύσει τῶν ἐμμήνων· πότε δεῖ αὐτὴν φωτισθῆναι; Καὶ ἀπεκρίθη πρὸς τοῦτο ὁ θεῖος οὗτος Πατήρ, ὅτι ὅτε καθαρθῇ. Ἕως γὰρ αἱ νενομισμέναι παρέλθωσιν ἡμέραι, ἐν ἀκαθαρσίᾳ κρίνεται εἶναι, καὶ οὔτε βαπτισθήσεται, οὔτε τῶν θείων μυστηρίων ἀξιωθήσεται.

Ἐρώτησις.

« Γυνὴ ἐὰν γεννήσῃ, τὸ Πάσχα ὀφείλει νηστεῦσαι καὶ μὴ πιεῖν οἶνον, ἢ ἀπολύεται τῆς νηστείας, καὶ τοῦ μὴ πιεῖν οἶνον, διὰ τὸ γεννῆσαι; »

Ἀπόκρισις.

« Ἡ νηστεία ἐπενοήθη διὰ τὸ σῶμα ταπεινῶσαι (2). Εἰ οὖν τὸ σῶμα ἐν ταπεινώσει ἐστὶ καὶ ἀσθενείᾳ, ὀφείλει καταλαβεῖν (3), καθὼς βούλεται καὶ δύναται βαστάσαι, τροφῆς καὶ ποτοῦ. »

ΒΑΛΣ. Ἠρωτήθη, εἰ ὀφείλει γυνὴ τεκοῦσα κατὰ τὴν Τεσσαρακοστὴν τοῦ Πάσχα, πιεῖν οἶνον, καὶ τῆς νηστείας; λυθῆναι. Καὶ ἀπεκρίθη, ὅτι ἡ νηστεία διὰ ταπείνωσιν τοῦ σώματος ὡρίσθη. Ἐὰν δὲ τὸ σῶμα τεταπεινωμένον καὶ ἀσθενὲς ᾖ, ἄλλοθεν οὐ δεῖται τῆς ἐκ τῆς νηστείας παιδαγωγίας, ἀλλὰ μᾶλλον συστάσεως χρῄζει καὶ ἀνακτήσεως. Ὀφείλει οὖν ἡ τεκοῦσα κατὰ τὸ Πάσχα, ἤγουν ἐν τῇ διὰ τὸ Πάσχα γινομένῃ νηστείᾳ, καὶ οἴνῳ χρήσασθαι καὶ βρώματι.

Ἐρώτησις.

« Εἰ ὀφείλει κληρικὸς εὔχεσθαι παρόντων Ἀρρειανῶν, ἢ ἄλλων αἱρετικῶν· εἰ οὐδὲν αὐτὸν βλάπτει, ὅταν αὐτὸς ποιῇ τὴν εὐχὴν, ἤγουν τὴν προσφοράν. »

Ἀπόκρισις.

« Ἐν τῇ θείᾳ ἀναφορᾷ ὁ διάκονος προσφωνεῖ πρὸ τοῦ ἀσπασμοῦ· Οἱ ἀκοινώνητοι, περιπατήσατε. Οὐκ ὀφείλουσιν οὖν παρεῖναι, εἰ μὴ ἂν ἐπαγγέλλωνται μετανοεῖν καὶ ἐκφεύγειν τὴν αἵρεσιν. »

ΒΑΛΣ. Ἡ ἐρώτησις περὶ κληρικοῦ, εἰ ὀφείλει εὔχεσθαι παρόντων αἱρετικῶν, ἤγουν προσφέρειν τὴν ἀναίμακτον θυσίαν. Καὶ ἀπεκρίθη, ὅτι (4) μέλλουσι προσάγεσθαι τῇ ἱερᾷ τραπέζῃ τὰ Ἅγια, λέγεται τοῖς ἀμυήτοις· Οἱ ἀκοινώνητοι, περιπατήσατε, ἤγουν, Οἱ κατηχούμενοι, προσέλθετε (5). Εἰ οὖν οἱ κατηχούμενοι οὐκ ἐῶνται παρεῖναι τελουμένης τῆς θυσίας, πῶς αἱρετικοὶ ἐαθήσονται; Εἰ μήπου ἐπαγγέλλωνται (6), φησὶ, μετανοεῖν καὶ ἀφίστασθαι τῆς αἱρέσεως· καὶ τότε δέ, οἶμαι, οὐκ ἐντὸς τοῦ ναοῦ παραχωρηθήσονται εἶναι, ἀλλ' ἔξω μετὰ τῶν κατηχουμένων· ὡς εἰ μὴ ἐπαγγέλλονται ἀφίστασθαι τῆς αἱρέσεως, οὐδὲ τοῖς κατηχουμένοις συστήσονται, ἀλλ' ἐκδιωχθήσονται.

Ἐρώτησις.

« Ἐάν τις ᾖ ἀσθενῶν καὶ ἐκτακεὶς πάνυ ἀπὸ τῆς πολλῆς ἀσθενείας, καὶ ἔλθῃ τὸ ἅγιον Πάσχα· πάντως ὀφείλει νηστεῦσαι, ἢ ἀπολύει αὐτὸν ὁ κληρικὸς λαμβάνειν, οὗ δύναται, ἢ καὶ ἔλαιον καὶ οἶνον, διὰ τὴν πολλὴν αὐτοῦ ἀσθένειαν· »

(2) *Διὰ τὸ σῶμα ταπειν ῶσαι.* Lege, διὰ τὸ τὸ σῶμα, etc.
(3) *Καταλαβεῖν.* Lege, μεταλαβεῖν. Edit.
(4) *Ὅτι.* Lege, ὅτι ὅτε. Edit.
(5) *Προσέλθετε.* Legendum videtur, παρέλθετε, vel ἐξέλθετε, ut interpres vertit. Edit.
(6) *Ἐπαγγέλλωνται.* Forte, ἐπαγγέλλονται ut paulo infra. Edit.

Digitized by Google

Ἀπόκρισις.

« Ἀπολύεσθαι ὀφείλει μεταλαμβάνειν καὶ τῆς τροφῆς καὶ τοῦ ποτοῦ ὁ ἀσθενῶν, πρὸς ὃ δύναται βαστάσαι. Τὸ γὰρ μεταλαμβάνειν ἐλαίου τὸν ἅπαξ ἐκτακέντα, δίκαιόν ἐστιν. »

ΒΑΛΣ. Περὶ νοσοῦντος καὶ ἐκτακέντος ὑπὸ τῆς νόσου ἡ ἐρώτησις· εἰ ὀφείλει ἐν τῇ διὰ τὸ Πάσχα νηστείᾳ πάντως νηστεῦσαι, ἀντὶ τοῦ, ἀπαραιτήτως, ἀσυμπαθῶς, ἢ μετασχεῖν οἴνου καὶ ἐλαίου διὰ τὴν ἀσθένειαν. Ἡ δὲ ἀπόκρισις λέγει, ὅτι τὸν ἐκτακέντα ἐκ νόσου, δίκαιον καὶ οἴνου καὶ ἐλαίου μεταλαμβάνειν, ὡς δύναται ὑπομεῖναι, ἤγουν, ἢ διόλου, ἢ ἐν ἡμέραις τισὶ, κατὰ τὴν κρίσιν τοῦ οἰκονομοῦντος αὐτόν. Σημειωτέον οὖν ἐκ τούτου τοῦ κανόνος καὶ ἐκ τοῦ ηʹ, ὅτι ἡ νηστεία τῆς Τεσσαρακοστῆς τοῦ Πάσχα ξηροφαγία ἐστὶν, ἀλλὰ καὶ οἴνου ἀποχή. Τινὲς δὲ καὶ ἐν ἀμφοῖν τοῖς κανόσι τούτοις, τὴν ἐν τῷ Πάσχα νηστείαν, τὴν τῶν ἁγίων Παθῶν ἑβδομάδα λέγουσιν εἶναι, καὶ οὐ πᾶσαν τὴν Τεσσαρακοστήν.

Ἐρώτησις.

« Εἰς τὸ ζεῦξαι γάμον ἐὰν καλέσῃ τις κληρικὸν, ἀκούσῃ δὲ τὸν γάμον παράνομον, ἢ θειογαμιαν, ἤγουν ἀδελφὴν τελευτησάσης γυναικὸς τὴν μέλλουσαν ζεύγνυσθαι, εἰ ὀφείλει ἀκολουθῆσαι ὁ κληρικὸς, ἢ προσφορὰν ποιῆσαι; »

Ἀπόκρισις.

« Ἅπαξ εἴπατε· Ἐὰν ἀκούσῃ ὁ κληρικὸς τὸν γάμον παράνομον. Εἰ οὖν ὁ γάμος παράνομός ἐστιν, οὐκ ὀφείλει ὁ κληρικὸς κοινωνεῖν ἁμαρτίαις ἀλλοτρίαις. »

ΒΑΛΣ Τοὺς κληρικοὺς δεῖ, φησὶ, καλουμένους εἰς τελετὴν γάμων, ὥστε εὔξασθαι καὶ συζεῦξαι τοὺς νυμφευομένους, εἰ ἀκούσουσι παράνομον εἶναι τὸν γάμον, μὴ ἀπέρχεσθαι, μήτε εὔχεσθαι, μήτε προσφέρειν, καὶ οὕτω κοινωνεῖν ἁμαρτίαις ἀλλοτρίαις.

Ἐρώτησις.

« Ἐὰν ὀνειρασθεὶς ὁ λαϊκὸς ἐρωτήσῃ κληρικὸν, εἰ ὀφείλει ἐπιτρέψαι αὐτῷ κοινωνῆσαι, ἢ οὔ; »

Ἀπόκρισις.

« Εἰ μὲν ὑπόκειται ἐπιθυμία γυναικὸς, οὐκ ὀφείλει· εἰ δὲ ὁ Σατανᾶς πειράζει αὐτὸν, ἵνα διὰ τῆς προφάσεως ταύτης ἀλλοτριῶται τῆς κοινωνίας τῶν θείων μυστηρίων, ὀφείλει κοινωνῆσαι. Ἐπεὶ οὐ παύσεται ὁ πειράζων κατ' ἐκεῖνον τὸν καιρὸν, ὅτε ὀφείλει κοινωνεῖν, ἐπιτιθέμενος αὐτῷ. »

ΒΑΛΣ. Περὶ τῶν ἐν ὀνείροις φανταζομένων, οἷς καὶ σπέρματος ῥύσις γίνεται ἐκροὴ, φησὶν ὁ Πατὴρ οὗτος, ὅτι εἰ μὲν πρὸ τούτου προσέβαλλε τῷ ὀνειρασθέντι ἐπιθυμίας γυναικὸς λογισμὸς, καὶ ἐνέμεινεν ὁ νοῦς ἐπὶ τῇ ἐπιθυμίᾳ, καὶ ἐνεφιλοχώρησε ταύτῃ, κἀντεῦθεν ἡ φαντασία, ἐπῆλθε ἡ ῥύσις τοῦ σπέρματος· οὐκ ὀφείλει μεταλαβεῖν. Καὶ εἰκότως· ἡ γὰρ συγκατάθεσις ἐμόλυνε τὸν λογισμὸν τοῦ ὀνειρασθέντος. Καὶ πῶς μετὰ τοιούτου λογισμοῦ προσελεύσεται τοῖς Ἁγίοις; Εἰ δὲ οὐδὲν τοιοῦτον προηγήσατο, τοῦ διαβόλου, φησὶν, ἐστὶ πεῖρα, ἵνα οὕτως ἀποξενῶται αὐτὸν τῆς θείας κοινωνίας· καὶ δεῖ αὐτὸν κοινωνεῖν. Εἰ γὰρ ἴδῃ ὁ Πονηρὸς οὕτω κατορθούμενον

Responsio.

A « Absolvi debet ægrotus, ut cibum et potum capiat, quantum ferre potest. Eum enim, qui semel attenuatus est, esse olei participem æquum est. »

Bals. De eo, qui ægrotat, et morbo consumptus est, fit interrogatio; debetne in jejunio propter Pascha omnino jejunare, hoc est, inexcusabiliter et absque ulla commiseratione, an vinum et oleum sumere propter imbecillitatem? Responsio autem dicit, quod is, qui morbo consumptus est, capere debet vinum et oleum, quantum ferre potest: perpetuo scilicet, vel in aliquibus diebus, secundum judicium ejus qui illum dispensat. Nota autem ex hoc canone et VIII, quod jejunium Quadragesimæ Paschæ est aridorum esus et a vino abstinentia. Nonnulli autem dicunt, in utrisque his canonibus
B jejunium in Paschate, esse sanctæ Passionis hebdomadam, et non omnem Quadragesimam.

168 *Interrogatio.*

« Si quis clericum vocaverit, ut matrimonio conjungat, audiat autem esse illicitum matrimonium, utpote vel amitæ conjugium, vel defunctæ uxoris esse sororem eam, quæ est matrimonio conjungenda, debetne sequi clericus vel facere oblationem? »

Responsio.

« Uno verbo dicite: Si audiverit clericus illicitum matrimonium. Si ergo est illicitum matrimonium, non debet clericus alienis peccatis communicare. »

Bals. Oportet, inquit, clericos, qui ad matrimonii mysterium celebrandum vocantur ut orent, et
C sponsos conjungant, si audiverint esse illicitum matrimonium, nec abire, nec orare, nec offerre, et sic alienis peccatis communicare.

Interrogatio.

« Si laicus, qui somniavit, clericum interrogaverit an debet ei permittere communicare, an non? »

Responsio.

« Si subest quidem mulieris desiderium, non debet: sin autem tentat eum Satanas, ut per hanc occasionem a divinorum mysteriorum communione alienetur, debet communicare. Neque enim cessabit tentator eo tempore, quando debet communicare, illum invadere. »

D Bals. De iis, quibus visa se in somniis offerunt, quibus etiam fit fortasse fluxus seminis, dicit hic Pater, quod si mulieris desiderium in eo qui somniat, cogitatio antea accenderit, et mens in desiderio perstiterit, eique assensus est, et ex eo illi visio oblata est, et fluxio seminis est consecuta, non debet communicare. Et merito: assensio enim ejus, qui somniavit, mentem polluit, et quomodo cum hac cogitatione ad Sancta accedet? Sin autem nihil tale præcessit, est diaboli, inquit, tentatio; ut sic eum alienet a divina communione: et oportet eum communicare. Si enim sciverit Malus se per somnium efficere, ne sit sacramenti particeps: non ces-

Digitized by Google

sabit homini insidiari, quoties eum velle communi care cognoverit.

Interrogatio.

« Iis, qui matrimonii societate junguntur, in quibusnam septimanæ diebus proponere oportet, ut a mutuo congressu abstineant, et quibusnam potestatem habeant? »

Responsio.

« Quod ante dixi, nunc quoque dico. Dicit Apostolus : *Ne fraudate vos invicem, nisi forte ex consensu ad tempus; ut vacetis orationi; et rursus ad idem conveniatis, ne vos tentet Satanas propter incontinentiam vestram* [a]. Necessario autem Sabbato et die Dominico abstinere oportet, quod spirituale sacrificium in eis Domino offeratur. »

Interrogatio.

« Si quis, cum sui compos non esset, sibi manum attulerit, vel etiam se præcipitaverit, fit ne oblatio, an non? »

Responsio.

« Hoc debet clericus discernere, an cum revera mentis compos non esset, hoc fecerit. Sæpe enim ii, qui ad eum cui hoc accidit pertinent, volentes assequi oblationem et orationem pro ipso, mentiuntur, et dicunt eum non fuisse apud se : nonnunquam autem propter insultationem hominum, vel aliquo alio modo per negligentiam hoc fecisse. Pro hujusmodi oblatio non est facienda : est enim sui homicida. Oportet ergo clericum accurate sciscitari, ne in judicium incidat. »

Bals. Interrogatus sanctus, si is, qui non est sanæ mentis, sed emotæ, sibi mortem consciverit, vel se deorsum præcipitem dederit : an pro eo facienda sit oratio vel oblatio? **169** dixit quod si homo quidem revera emotæ mentis, et nesciens quid ageret, sibi manum intulerit, vel se præcipitaverit, vel aliquo modo interemerit; fiet pro eo oblatio et oratio. Oportet autem eos, qui ad orationem evocantur, subtiliter investigare; nunquid vel propter animi timiditatem, vel hominum insultationem, vel aliquo alio modo, prudens ac sciens quid ageret, sibi manum attulerit. Pro tali enim nec orare, nec offerre oportet, quoniam sui homicida est.

Interrogatio.

« Si alicujus uxor spiritu corripitur, ut ferreos etiam compedes gestet, vir autem dicat : Non possum continere, et velit aliam accipere : debetne aliam accioere an non? »

Responsio.

« In hac re quidem adulterium intercedit, nec habeo, aut invenio quid de ea respondeam. »

Bals. Interrogatio est de marito, qui habet uxorem spiritu correptam, seu spiritu malo agitatam, et ita furentem, ut etiam ferreis compedibus, manicisque ligetur, ne seipsam interficiat, vel alios

[a] I Cor. vii, 5.

(7) *Τό.* Lege, εἰ τό. Edit.

Α τὸ μὴ μετέχειν αὐτὸν τῶν ἁγιασμάτων, οὐ παύσεται ἐπιβουλεύων τῷ ἀνθρώπῳ, ὁσάκις ἂν γνῶ αὐτὸν θέλοντα μεταλαβεῖν.

Ἐρώτησις.

« Τοὺς ζευγνυμένους εἰς γάμου κοινωνίαν, περὶ ποίων ἡμερῶν τῆς ἑβδομάδος παρατίθεσθαι χρὴ ἀπέχεσθαι τῆς πρὸς ἀλλήλους κοινωνίας, καὶ ποίας ἔχειν ἐπ' ἐξουσίας; »

Ἀπόκρισις.

« Προείρηκα καὶ νῦν λέγω· ὁ Ἀπόστολος λέγει· *Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρὸν, ἵνα σχολάσητε τῇ προσευχῇ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ ἦτε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ Σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν.* Ἐξ ἀνάγκης δὲ τὸ Σάββατον καὶ τὴν Κυριακὴν ἀπέχεσθαι δεῖ, διὰ τὸ ἐν αὐταῖς τὴν πνευματικὴν θυσίαν ἀναφέρεσθαι τῷ Κυρίῳ. »

Ἐρώτησις.

« Ἐάν τις μὴ ἔχων ἑαυτὸν, χειρίσηται, ἢ κρημνίσῃ ἑαυτὸν, εἰ γίνεται προσφορὰ, ἢ οὔ. »

Ἀπόκρισις.

« Ὑπὲρ τοῦ αὐτοῦ διακρῖναι ὀφείλει ὁ κληρικὸς, τὸ (7) ἀληθὲς ἐκφρενὴς ὢν, πεποίηκε τοῦτο. Πολλάκις γὰρ οἱ διαφέροντες τῷ πεπονθότι, θέλοντες τυχεῖν τῆς προσφορᾶς καὶ τῆς ὑπὲρ αὐτοῦ εὐχῆς, καταψεύδονται, καὶ λέγουσιν, ὅτι οὐκ εἶχεν ἑαυτόν· ἐνίοτε δὲ ἀπὸ ἐπηρείας ἀνθρώπων ἢ ἄλλως πως ἀπὸ ἀλιγωρίας πεποιηκέναι τοῦτο. Οὐ χρὴ προσφορὰν ἐπάνω αὐτῷ γενέσθαι· αὐτοφονευτὴς γὰρ ἑαυτοῦ ἐστι. Δεῖ οὖν πάντως τὸν κληρικὸν μετὰ ἀκριβείας ἐρευνῆσαι, ἵνα μὴ ὑπὸ κρῖμα πέσῃ. »

ΒΑΛΣ. Ἐρωτηθείς, ὡς εἰ μὴ ἔχων τις ὑγιᾶ τὸν λογισμὸν, ἀλλὰ παρατραπεὶς τὰς φρένας, αὐτόχειρ γένηται ἑαυτοῦ, ἢ κατὰ κρημνοῦ ὠθήσει ἑαυτόν· ἐὰν χρὴ ὑπὲρ αὐτοῦ εὐχὴν γενέσθαι, ἢ προσφοράν· εἶπεν, ὅτι ἐὰν ἀληθῶς ἔξω φρενῶν γενόμενος ὁ ἄνθρωπος, καὶ μὴ εἰδὼς ὃ ποιεῖ, διεχειρίσατο ἑαυτὸν, ἢ ἐκρήμνισεν, ἢ ἄλλως διέφθειρε· γενήσεται ὑπὲρ αὐτοῦ δέησις καὶ προσφορά. Δεῖ δὲ τοὺς εἰς εὐχὴν προσκαλουμένους ἀκριβοῦσθαι περὶ τούτου, μήποτε ἢ ἐκ μικροψυχίας, ἢ ἐξ ἐπηρείας ἀνθρώπων, ἢ ἄλλως πως, ἐκὼν καὶ εἰδὼς ὃ ποιεῖ, διεχειρίσατο ἑαυτόν. Ὑπὲρ γὰρ τοῦ τοιούτου οὐ δεῖ, οὔτε εὔχεσθαι, οὔτε προσφέρειν, ὅτι αὐτοφονευτής ἐστι.

Ἐρώτησις.

« Ἐάν τινος γυνὴ πνευματιᾷ, ὥστε καὶ σίδηρα φορεῖν, ὁ δὲ ἀνὴρ λέγει, ὅτι Οὐ δύναμαι ἐγκρατεύεσθαι, καὶ θέλει λαβεῖν ἄλλην· ὀφείλει λαβεῖν ἑτέραν, ἢ οὔ; »

Ἀπόκρισις.

« Μοιχεία μεσολαβεῖ τῷ πράγματι· καὶ περὶ τούτου τί ἀποκρίνεσθαι οὐκ ἔχω, ἢ ἐφευρίσκω. »

ΒΑΛΣ. Περὶ ἀνδρὸς ἡ ἐρώτησις ἔχοντος γυναῖκα πνευματιῶσαν, ἤγουν πνεύματι πονηρῷ συνεχομένην, καὶ οὕτως μαινομένην, ὡς καὶ σιδήροις δεσμεῖσθαι, ἵνα μὴ ἑαυτὴν ἀπολέσῃ ἢ ἑτέρους βλάψῃ, ἤ

Digitized by Google

συνελθεῖν αὐτὸν ἀδύνατον, καὶ λέγοντος σωφρονεῖν, θέλοντος δὲ λαβεῖν γυναῖκα ἑτέραν νομίμως. Ἡ δὲ ἀπόκρισις, ὅτι οὐ δύναταί τι εἰπεῖν. Μοιχεία γάρ ἐστι, τὸ, ἔτι συνισταμένου τοῦ γάμου, ἑτέραν ἀγαγέσθαι τὸν ἄνδρα γυναῖκα εἰς συμβίωσιν. Ἐκ δὲ τῆς νεαρᾶς τοῦ βασιλέως κυρίου Λέοντος τοῦ Φιλοσόφου, δέδοται τῷ ἀνδρὶ, μαινομένης διηνεκῆ μανίαν τῆς γυναικὸς, λύειν τὸν γάμον· τοῦ γάμου δὲ λυθέντος, ἔξεστι τῷ ἀνδρὶ ἑτέραν νομίμως εἰσοικίσασθαι.

A lædat, cum qua ipse rem habere non potest: dicit autem se non posse continere, et vult aliam uxorem legitimam accipere. Responsio autem est, se nihil posse dicere. Est enim adulterium, si constante matrimonio, vir aliam mulierem ducat in matrimonium. Ex novella autem imperatoris domini Leonis Philosophi marito concessum est, mulieris quæ perpetua insania laborat, solvere matrimonium: soluto autem matrimonio, licet marito aliam uxorem introducere.

Ἐρώτησις.

« Ἐὰν νηστεύων τις ἐπὶ τῷ κοινωνῆσαι, νιπτόμενος τὸ στόμα, ἢ ἐν τῷ βαλανείῳ κατέπιεν ὕδωρ μὴ θέλων· ὀφείλει κοινωνῆσαι; »

Interrogatio.

« Si quis jejunans, ut communicet, os lavans, vel in balneo aquam bibit nolens: debetne communicare? »

Ἀπόκρισις.

« Ἐπεὶ εὗρεν ὁ Σατανᾶς ἀφορμὴν τοῦ κωλύειν αὐτὸν τῆς κοινωνίας, συχνότερον τοῦτο ποιήσει. »

B

Responsio.

« Quia etiam invenit Satanas occasionem prohibendi eum a communione, frequentius hoc faciet. »

Ἐρώτησις.

« Συχνῶς ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ, καὶ μὴ ποιοῦντες, ἆρα ὑπὸ κατάκρισιν ἐσμεν; »

Interrogatio.

« Sermonem Dei sæpe audientes et non facientes, an sumus judicio obnoxii? »

Ἀπόκρισις.

« Εἰ καὶ μὴ ποιοῦμεν, ἀλλ' οὐκ ἐνδέχεται μὴ μέμφεσθαι ἑαυτοὺς, ὅτι ἀκούοντες παρακούομεν· μέρος δὲ σωτηρίας ἐστὶ καὶ τὸ μέμφεσθαι ἑαυτούς. »

Responsio.

« Si non faciamus, nec nos accusare contingit, quod audientes non pareamus. Est autem pars salutis seipsos accusare. »

Ἐρώτησις.

« Ἐκ ποίας κείρας κρίνονται παρὰ Θεοῦ τὰ ἁμαρτήματα; »

Interrogatio.

« Ex quanam ætate a Deo judicantur peccata? »

Ἀπόκρισις.

« Πρὸς τὴν γνῶσιν ἑκάστου καὶ τὴν φρόνησιν. Οἱ μὲν ἀπὸ δεκαετοῦς κείρας, οἱ δὲ καὶ μείζονος. »

Responsio.

« Ex uniuscujusque cognitione et prudentia: illi quidem a decennio; hi vero a majori ætate. »

ΒΑΛΣ. Πρὸς τὴν γνῶσιν ἑκάστου καὶ τὸ φρόνημα ἔφη κρίνεσθαι τῷ Θεῷ τὰ ἁμαρτήματα. Οἱ μὲν γὰρ ὀξύτερας φύσεως ὄντες τῶν παίδων καὶ μᾶλλον ἐγρηγορυίας, συντομώτερον διακρίνουσι τὸ καλὸν καὶ τὸ χεῖρον· οἱ δὲ νωθροτέρας τυχόντες καὶ ἀναπεπτωκυίας ἕξεως, βραδεῖς εἰσι πρὸς τὴν γνῶσιν τοῦ δέοντος. Διὸ τοῖς μὲν ἀπὸ δεκάτου ἐνιαυτοῦ τῆς ἡλικίας αὐτῶν λογίζεσθαι εἶπε τὰ ἁμαρτήματα, τοῖς δὲ ἐκ μείζονος καὶ τελεωτέρας.

C

Bals. Ex uniuscujusque cognitione et intelligentia dicit a Deo peccata judicari. Pueri enim, qui sunt acrioris et vigilantioris naturæ bonum et malum citius discernunt: qui autem sunt hebetioris tardiorisque ingenii, tardi sunt ad cognitionem ejus quod fieri oportet. Ideo illis quidem dicit ab anno decimo reputari peccatum: his vero a majori et perfectiori ætate.

ΘΕΟΦΙΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΠΡΟΣΦΩΝΗΣΙΣ ΤΩΝ ΑΓΙΩΝ ΘΕΟΦΑΝΙΩΝ ΕΠΙΣΤΑΝΤΩΝ ΕΝ ΚΥΡΙΑΚΗ.

170 EDICTUM THEOPHILI ARCHIEPISCOPI ALEXANDRINI,

CUM SANCTA THEOPHANIA IN DIE DOMINICO INSTARENT.

Καὶ τὸ ἔθος καὶ τὸ πρέπον ἡμᾶς ἀπαιτεῖ πᾶσαν Κυριακὴν τιμᾷν, καὶ ἐν ταύτῃ πανηγυρίζειν, ἐπειδήπερ ἐν ταύτῃ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν ἐκ νεκρῶν ἀνάστασιν ἡμῖν ἐπρυτάνευσε. Διὸ καὶ ἐν ταῖς ἱεραῖς Γραφαῖς, καὶ πρώτη κέκληται, ὡς ἀρχὴ ζωῆς ἡμῖν ὑπάρχουσα, καὶ ὀγδόη, ἅτε ὑπερβεβηκυῖα τὸν τῶν Ἰουδαίων σαββατισμόν. Ἐπεὶ οὖν συνέβη τὴν τῶν ἁγίων Θεοφανίων νηστίμου ἡμέραν εἶναι ταύτην, οἰκονομήσωμεν, καὶ πρὸς ἑκατέρων ἐπιστημόνως χωρήσωμεν, ἵνα μεταλαμβάνοντες ὀλίγων φοινίκων, ἐκκλίνωμεν ἅμα καὶ τὰς αἱρέσεις τὰς μὴ τιμώσας τὴν ἀναστάσιμον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἡμέραν, καὶ τὸ ὀφειλόμενον τῇ νηστίμῳ ἡμέρᾳ ἀποδῶμεν, περιμένοντες τὴν ἑσπερινὴν σύναξιν, ἥτις ἐνταῦθα, Θεοῦ θέλοντος, τελεῖται. Συναχθώμεν οὖν ἀπὸ ὥρας ἐννάτης ἐνταῦθα.

D

Et mos et honestas a nobis exigit, ut omnem diem Dominicum honoremus, eumque celebremus; quoniam Dominus noster Jesus Christus præclarum in ea suæ resurrectionis munus obiit. Et ideo in sacris Scripturis ipse, et primus appellatus est, ut qui sit nobis vitæ principium, et octavus, ut qui Judæorum sabbatismum exsuperaverit. Quia ergo accidit, ut sanctorum Theophaniorum hic esset dies jejunio peragendus, dispensemus, et ad utrumque scientes procedamus, ut paucos dactylos sumentes, simul et hæreses vitemus, quæ Domini nostri Jesu Christi resurrectionis diem non honorant, et diei jejunii quod debetur reddamus, vespertinam congregationem exspectantes, quæ hic, Deo dante, peragitur. Congregamur ergo hic ab hora nona.

Digitized by Google

ΤΟΥ ΑΥΤΟΥ ΥΠΟΜΝΗΣΤΙΚΟΝ

Ὅπερ ἔλαβε Ἀμμῶν, διὰ τὴν Λυκώ.

EJUSDEM COMMONITORIUM QUOD ACCEPIT AMMON PROPTER LYCO.

CANON I.

De iis qui Arianis communicaverunt, et Ecclesias huc usque detinent, ut se habet consuetudo, fiat : ita tamen ut alii constituantur, qui in orthodoxia testificentur, et illi permaneant. His quoque ita dispensatis, ut aliis urbibus orthodoxi in Thebaide episcopi fecerunt, qui ab episcopo Apolline constituti, et qui cum Arianis Ecclesias habentibus communicantes, puniantur; si quidem ipsorum voluntate hoc fecerunt; sin autem proprio episcopo obedierunt, permaneant, etsi quod justum est non noverint. Et si omnes quidem populi eos cum aliis rejiciant, alii ordinentur; sin autem eos retinent cum illis quibus communicarunt, ii quoque eam consuetudinem experiantur, qua usi sunt omnes orthodoxi in Thebaide episcopi.

ΚΑΝΩΝ Α'.

A *Περὶ τῶν κοινωνησάντων τοῖς Ἀρειανοῖς καὶ μέχρι νῦν τὰς Ἐκκλησίας κατεχόντων, ὡς ἔθος γινέσθω, οὕτω μέντοι ἑτέρους καταστῆναι μαρτυρουμένους ἐν ὀρθοδοξίᾳ, κἀκείνους αὐλίζεσθαι. Οὕτως οἰκονομουμένων καὶ τούτων, ὥσπερ καὶ ἐν ταῖς ἄλλαις πόλεσι πεποιήκασιν οἱ ἐν τῇ Θηβαΐδι ὀρθόδοξοι ἐπίσκοποι, οἱ καταστάντες παρὰ τοῦ Ἀπόλλωνος τοῦ ἐπισκόπου, καὶ κοινωνήσαντες τοῖς ἔχουσι τὰς Ἐκκλησίας Ἀρειανοῖς, ἐπιτιμάσθωσαν, εἴγε γνώμῃ αὐτῶν πεποιήκασι τοῦτο· εἰ δὲ ὑπήκοοι γεγόνασι τῷ οἰκείῳ ἐπισκόπῳ, αὐλιζέσθωσαν, καὶ μὴ ἐπιγνωκότες τὸ εὔλογον. Καὶ εἰ μὲν πάντες οἱ λαοὶ τούτους ἀποποιοῦνται μετὰ τῶν ἄλλων, ἕτεροι χειροτονείσθωσαν· εἰ δὲ ἀντιποιοῦνται αὐτῶν μετ' ἐκείνων οἷς κεκοινωνήκασι ταῦτα, καὶ οὗτοι ἀποπειράσθωσαν τῆς συνηθείας, ᾗ ἐχρήσαντο οἱ ἐν Θηβαΐδι πάντες ἐπίσκοποι ὀρθόδοξοι.*

CANON II.

De Bisto, qui in Ereba constitutus est presbyter, quærendum est; et si alicui quidem mulieri separatæ, vivente marito, vim attulit, non sinatur esse presbyter; nam ne ut laicus quidem debet communicare, cum eos qui tales sunt separare consueverit Ecclesia. Hoc autem nullum affert episcopo Apollini præjudicium, si eum per ignorantiam constituit; cum sancta synodus jusserit eos, qui post ordinationem propter crimen indigni esse convincantur, expelli.

ΚΑΝΩΝ Β'.

Περὶ Βίστου καταστάντος ἐν Ἐρέβῃ πρεσβυτέρου ζητητέον· καὶ εἰ μὲν ἀποταξαμένην τινὰ ζῶντος τοῦ ἀνδρὸς ἐβιάσατο, μὴ συγχωρείσθω εἶναι πρεσβύτερος, ὅπου γε οὐδὲ ὡς λαϊκὸς ὀφείλει συνάγεσθαι, τῆς Ἐκκλησίας εἰωθυίας τοὺς τοιούτους χωρίζειν. Οὐ φέρει δὲ τοῦτο πρόκριμα τῷ ἐπισκόπῳ Ἀπόλλωνι, εἰ ἐξ ἀγνοίας αὐτὸν κατέστησε, τῆς ἁγίας συνόδου κελευσάσης τοὺς ἀναξίους μετὰ τὴν χειροτονίαν ἐλεγχομένους ἐπὶ ἐγκλήματι ἐκβαλέσθαι.

BALS. Bistus ab Apolline episcopo presbyter constitutus fuerat in Ereba; est autem ea regio Ægypti sicut et Lyco. Is vero dicebatur ante ordinationem mulieri separatæ vim attulisse, vivo marito. De eo igitur interrogatus Theophilus, inquit: Quæratur an sit verum eum mulieri vim attulisse, et si ita sit, ne ei esse presbyterum permittatur. Quomodo enim fuerit is presbyter, cui nec laico in ecclesiam quidem permittitur ingredi, cum sit propter peccatum segregatus? Eos enim, qui sunt ejusmodi, extrudit Ecclesia et separat a fidelibus. Hoc autem a Theophilo nequaquam canonice dictum est : quandoquidem sanctorum apostolorum XXV canon, et magni Basilii tertius et XXXII, et Carthagin. syn. XXII, clericos, qui peccarunt, et depositi fuerunt, a communione non arcent. **171** Quod autem ordinatus sit, id non affert damnum episcopo, qui eum, peccatum ignorans, ordinavit. Statuit enim synodus, ut qui peccatorum convicti fuerunt, etiam post ordinationem ejiciantur. Id autem est primæ synodi Nicænæ can. IX. Illud autem : *Separatæ vivo marito;* facti est, et ideo adjectum

C ΒΑΛΣ. Ὁ Βίστος παρὰ Ἀπόλλωνος ἐπισκόπου κατέστη πρεσβύτερος ἐν Ἐρέβῃ· χώρα δὲ αὕτη Αἰγυπτίων ἐστὶν, ὥσπερ καὶ ἡ Λυκώ. Ἐλέγετο δὲ περὶ ἐκείνου, ὅτι πρὸ τῆς χειροτονίας γυναῖκα ἐβιάσατο ἀποταξαμένην ζῶντος τοῦ ἀνδρός. Περὶ τούτου οὖν ἐρωτηθεὶς ὁ Θεόφιλος, ἔφη, ὅτι ἐρευνηθήτω, καὶ εἰ ἀληθές ἐστι τὸ βιάσασθαι αὐτὸν τὴν γυναῖκα, μὴ συγχωρείσθω εἶναι πρεσβύτερος. Πῶς γὰρ εἴη πρεσβύτερος, ὃς οὐδὲ λαϊκὸς συγχωρεῖται εἰσιέναι εἰς ἐκκλησίαν, ἀφοριζόμενος διὰ τὸ ἁμάρτημα; ἐξωθεῖ γὰρ τοὺς τοιούτους ἡ Ἐκκλησία καὶ χωρίζει ἀπὸ τῶν πιστῶν. Τοῦτο δὲ οὐ κανονικῶς τῷ Θεοφίλῳ εἴρηται· ὅ τε γὰρ τῶν ἁγίων ἀποστόλων κ' κανὼν, καὶ ὁ τοῦ μεγάλου Βασιλείου τρίτος καὶ ὁ λβ', καὶ ὁ τῆς ἐν Καρθαγένῃ κβ' τοὺς κληρικοὺς ἁμαρτήσαντας, καὶ καθαιρεθέντας, τῆς κοινωνίας οὐκ ἀπείργουσι. Τὸ δὲ χειροτονηθῆναι αὐτὸν οὐ φέρει βλάβην τῷ χειροτονήσαντι αὐτὸν ἐπισκόπῳ ἐξ ἀγνοίας τοῦ ἁμαρτήματος· ἡ γὰρ σύνοδος ὥρισε τοὺς ἐλεγχομένους ἐπὶ ἐγκλήματι καὶ μετὰ τὴν χειροτονίαν ἐκβάλλεσθαι. Τοῦτο δὲ τῆς ἐν Νικαίᾳ συνόδου πρώτης ἐστὶ κανὼν ἔννατος. Τὸ δὲ, *ἀποταξαμένην*

Digitized by Google

ζῶντος τοῦ ἀνδρός, τοῦ φάντου ἐστί, διὰ τοῦτο καὶ τὸ, τινὰ, πρόσκειται, ὥσπερ καὶ τὸ ἐβιάσατο. Κἂν γὰρ ἁπλῶς ἄλλῃ συνεφθάρη γυναικὶ μὴ ἀποταξαμένῃ, καὶ οὕτως ἡ καθαίρεσις αὐτῷ ἐπήγετο, κἂν μὴ ἐβιάσατο αὐτήν.

A est : Alicui, sicut et illud, *vim attulit*. Licet enim simpliciter cum muliere aliqua, non separata, rem habuerit ; sic quoque in eum depositio introducta est, etsi ei vim non attulerit.

ΚΑΝΩΝ Γ'.

Περὶ δὲ Σοὺρ, ἐπειδὴ ὁ ἐπίσκοπος Ἀπόλλων διεβεβαιώσατο καὶ ἀπεσταλκέναι τοῦτον καὶ ἀλλότριον τῆς Ἐκκλησίας πεποιηκέναι, ἔστω οὕτως ὡς ἀπεφήνατο ὁ ἐπίσκοπος, χρωμένου ἐκείνου ταῖς οἰκείαις δικαιολογίαις, εἴτε βούλεται, καὶ μέμψεται τὴν ἀπόφασιν τοῦ ἐπισκόπου.

CANON III.

De Sur autem, quia Apollo episcopus affirmavit se et eum amandavisse, et ab Ecclesia alienum fecisse, ita sit ut pronuntiavit episcopus ; utente illo suis defensionibus, si vult, et de episcopi sententia conqueritur.

ΒΑΛΣ. Κληρικὸς ἦν ὁ Σοὺρ τοῦ ἐπισκόπου Ἀπόλλωνος· ὃς ἐπίσκοπος αὐτὸν ἀπεσταλκέναι τοῦ κλήρου διεβεβαιώσατο, ἀντὶ τοῦ ἐκβεβληκέναι. Ἔστω οὖν, φησὶ, κατὰ τὴν ἐπ' αὐτῷ κρίσιν τοῦ ἐπισκόπου, τοῦ κλήρου ἀλλότριος. Εἰ δὲ αἰτιᾶται τὴν τοῦ ἐπισκόπου ἀπόφασιν, χράσθω ταῖς οἰκείαις δικαιολογίαις παρὰ τῇ συνόδῳ, ἐξ ἧς ἦν πάντως καὶ ὁ ἐπίσκοπος.

BALS. Erat quidem Sur clericus episcopi Apollinis, qui episcopus se eum a clero amandasse, id est, expulisse, affirmavit. Sit ergo, inquit, secundum episcopi judicium, quod in ipsum prolatum est, a clero alienus. Sin autem episcopi sententiam accusat, utatur suis defensionibus, apud synodum scilicet, ex qua est etiam episcopus.

ΚΑΝΩΝ Δ'.

Περὶ Πανοὺφ τοῦ καταστάντος διακόνου ἐν τῇ Λυκῷ, δεῖ ζητῆσαι. Καὶ εἰ μὲν εὑρεθείη οὗτος, κατηχούμενος τυγχάνων, τὴν ἀδελφιδῆν ἑαυτοῦ πρὸς γάμου κοινωνίαν δεξάμενος, μετὰ δὲ τὸ βάπτισμα εἰς κλῆρον δεχθείς, μενέτω ἐν τῷ κλήρῳ· εἴτε κεκοίμηται ἐκείνη καὶ μετὰ τὸ βάπτισμα οὐκ ἐκοινώνησεν αὐτῇ. Εἰ δὲ πιστὸς τυγχάνων τὴν αὐτὴν ἀδελφιδῆν ἑαυτοῦ πρὸς γάμου κοινωνίαν ἐδέξατο, ἔστω τοῦ κλήρου ἀλλότριος. Οὐ γὰρ πρόκριμα τῷ ἐπισκόπῳ Ἀπολλωνι, εἰ ἐξ ἀγνοίας κατέστησεν αὐτόν.

CANON IV.

De Panuph, qui in Lyco diaconus constitutus est, quærere oportet ; et si is quidem inventus fuerit, cum esset catechumenus, fratris sui filiam in matrimonii societatem accepisse, post baptismum in clerum promotus, in clero maneat, si illa ex vita migrarit, et post baptismum cum ea rem non habuerit. Sin autem cum esset fidelis eamdem fratris sui filiam in matrimonii societatem duxit, sit a clero alienus. Non est enim episcopo Apollini præjudicium si eum per ignorantiam constituit.

ΒΑΛΣ. Ὁ Πανοὺφ ἐλέγετο πρὸ τοῦ βαπτισθῆναι τὴν οἰκείαν ἀδελφιδῆν εἰς γυναῖκα λαβεῖν· βαπτισθεὶς δὲ χειροτόνητο διάκονος. Λέγει οὖν ὁ Θεόφιλος, ὅτι ἐὰν ἡ γυνὴ ἐτελεύτησε, καὶ μετὰ τὸ βάπτισμα οὐκ ἐχρήσατο αὐτῇ, μενέτω διάκονος, ὡς τοῦ ἁγίου βαπτίσματος τὰ πρὸ τούτου καθάροντος ἁμαρτήματα. Εἰ δὲ πιστὸς ὢν μετὰ τὸ βάπτισμα ἔσχεν αὐτὴν, ἐκβληθήτω τοῦ κλήρου. Τῷ δὲ ἐξ ἀγνοίας αὐτὸν χειροτονήσαντι ἐκ τούτου βλάβη οὐ προσγενήσεται. Τὸ δὲ, *εἰ κεκοίμηται ἡ γυνὴ*, εἶπεν, ὡς οὕτω συμβεβηκέναι λεγόμενον· ἐπαίτοιγε κἂν ζῶσα ἦν καὶ μετὰ τὸ βάπτισμα οὐκ ἔγνω αὐτὴν ὁ Πανοὺφ, ἀλλὰ καὶ ἀπεπέμψατο αὐτὴν, ἠδύνατο καὶ οὕτως εἶναι διάκονος.

BALS. Dicebatur Panuph antequam esset baptizatus fratris sui filiam uxorem duxisse. Baptizatus autem diaconus ordinatus fuerat. Dicit ergo Thecphilus, quod si mulier e vita excesserit, et post baptismum ea non usus sit, maneat diaconus ; nempe cum sanctus baptismus omnia peccata præcedentia deleat. Sin autem, cum esset fidelis, non post baptismum, eam habuit, clero ejiciatur. Et autem, qui eum insciens ordinavit, præjudicium non afferetur. Illud autem : *Si mulier e vita migrarit*, dicit, utpote quoniam ita evenisse dicitur. Nam etsi etiam post baptismum vixisset, nec eam Panuph cognovisset, sed ipsam etiam amandasset ; potuisset sic quoque esse diaconus.

ΚΑΝΩΝ Ε'.

Περὶ Ἰακὼβ χρὴ ζητῆσαι. Εἰ ἀναγνώστης ἦν, καὶ ἐγκλήματι πορνείας ὑπεύθυνος ἐδείχθη, καὶ παρὰ τῶν πρεσβυτέρων ἐξεβλήθη, εἶτα χειροτόνηται οὗτος, ἐκβαλλέσθω, ἀκριβοῦς ἐξετάσεως γενομένης, καὶ μὴ μόνον ἐκ ψιθυρισμῶν ἢ κακολογιῶν ὑποψίας εἰς αὐτὸν γενομένης. Εἰ δὲ μὴ εὑρεθείη ὑπεύθυνος, μενέτω ἐν τῷ κλήρῳ· οὐ γὰρ δεῖ ταῖς ματαίαις διαβολαῖς προσέχειν.

CANON V.

De Jacob quærere oportet. Si enim lector erat, et crimini fornicationis fuisse eum obnoxium, ostensum sit, et a presbyteris sit ejectus, deinde is est ordinatus, ejiciatur ; accurata examinatione facta ; non autem ex susurris vel maledictis orta in eum suspicione. Sin autem non fuerit inventus crimini obnoxius, maneat in clero. Neque enim vanis calumniis animum adhibere oportet.

ΒΑΛΣ. Ἰακώβ τις ἀναγνώστης ἐλέγετο εἶναι, καὶ ἐπὶ πορνείας διαβληθῆναι, καὶ ἐκβληθῆναι τοῦ κλήρου, εἶτα εἰς μείζονα χειροτονηθῆναι βαθμόν. Γράφει

BALS. Jacob quidam lector fuisse dicebatur, et propter fornicationem clero esse ejectus, et deinde ad majorem gradum fuisse ordinatus. Scribit ergo

Digitized by Google

Theophilus diligenti examinatione facta, si eum peccasse compertum fuerit, clero ejiciatur. Non enim oportet ex 172 susurris seu clandestinis sermonibus, vel maledictis seu apertis conviciis orta suspicione, condemnari aliquem. Quod si causa examinata insons compertus fuerit, maneat in clero.

A οὖν ὁ Θεόφιλος, ὅτι ἐξετάσεως ἀκριβοῦς γενομένης, ἐὰν εὑρεθῇ ἡμαρτηκὼς, ἐκβληθήτω τοῦ κλήρου· οὐ δεῖ γὰρ ἐκ ψιθυρισμῶν ἤτοι καταλαλιᾶς λαθραίας, ἢ κακολογιῶν ἤτοι λοιδοριῶν φανερῶν ὑποψίας γινομένης καταχρίνεσθαί τινα. Εἰ δὲ τῆς ὑποθέσεως ἐξεταζομένης ἀνεύθυνος εὑρεθείη, μενέτω ἐν τῷ κλήρῳ.

CANON VI.

ΚΑΝΩΝ Ϛ'.

De iis qui ordinandi sunt hæc erit forma: Ut quidquid est sacerdotalis ordinis consentiat et eligat, et tunc episcopus examinet, vel ei etiam assentiente sacerdotali ordine in medio ecclesia ordinet, præsente populo, et episcopo alloquente, an etiam possit ei populus ferre testimonium. Ordinatio autem non fiat clanculum. Ecclesia enim pacem habente decet præsentibus sanctis ordinationes fieri in ecclesiis. In regione autem si qui sint, qui communicantium animis communicaverint; non aliter ordinentur, quam iis, qui sunt vere orthodoxi clerici, examinantibus, præsente rursus episcopo, et præsentem populum alloquente, ne intercedat aliqua circumventio.

Περὶ τῶν μελλόντων χειροτονεῖσθαι οὗτος ἔσται τύπος· Ὥστε πᾶν τὸ ἱερατεῖον συμφωνεῖν καὶ αἱρεῖσθαι, καὶ τότε τὸν ἐπίσκοπον δοκιμάζειν, ἢ καὶ συναινοῦντος αὐτῷ τοῦ ἱερατείου χειροτονεῖν ἐν μέσῃ τῇ ἐκκλησίᾳ, παρόντος τοῦ λαοῦ, καὶ προσφωνοῦντος τοῦ ἐπισκόπου, εἰ καὶ ὁ λαὸς δύναται αὐτῷ μαρτυρεῖν. Χειροτονία δὲ λαθραίως μὴ γινέσθω. Τῆς γὰρ Ἐκκλησίας εἰρήνην ἐχούσης πρέπει παρόντων τῶν ἁγίων τὰς χειροτονίας ἐπὶ ταῖς ἐκκλησίαις γίνεσθαι. Ἐν δὲ τῇ ἐνορίᾳ, εἰ μὲν κοινωνήσαντές εἰσί τινες ταῖς τῶν κοινωνησάντων γνώμαις, μὴ ἄλλως χειροτονεῖσθωσαν, ἀλλὰ τῶν ἀληθῶς ὀρθοδόξων κληρικῶν προσφωνοῦντος παρόντι τῷ λαῷ, ἵνα μὴ μέσον δοκιμαζόντων, παρόντος πάλιν τοῦ ἐπισκόπου καὶ περιδρομή τις γένηται.

BALS. De iis qui in clero ordinandi sunt dat typum, et dicit quod oportet eum qui est ordinandus a toto ordine sacerdotali eligi, hoc est, unanimi consensu approbari et præferri; et cum ejusmodi delectus de eo factus fuerit, tunc ipsum ab episcopo examinari, et quando illi quoque homo visus fuerit aptus ut ordinetur, tunc eum ordinari consensu sacerdotalis ordinis, præsente etiam populo. Cur autem dixit, eum ordinandum consensu sacerdotalis ordinis? Nam cum a sacerdotali ordine electus est, ad ordinationem consensus non videtur esse necessarius. Sed est verisimile posse post electionem aliquid temporis præteriisse, et eos interim qui ordinandum præjudicant rescivisse aliquid, quod ejus ordinationem prohibeat. Et ideo dicit ipsos consentire, et dum ordinatur populum quoque ab episcopo interrogari, an dignus sit, cui testimonium ferant ad ordinationem. Dissuadet autem, ne fiant ordinationes clandestinæ. Cum enim, inquit, pax est in Ecclesia, scilicet cum nunc non est divisus populus cessantibus hæresibus, sed sunt omnes orthodoxæ partis; omnes unius erunt sententiæ, et oportet in præsentia sanctorum seu fidelium ordinationes fieri in ecclesia. Sanctos autem fideles appellavit, ex sancto hoc Paulo assumens. Ille enim sic fideles in suis Epistolis appellat. Hæc itaque de iis, qui in urbibus habitant, videtur dicere. De iis autem, qui sunt in regione, seu in vicis dicit, quod quoniam multi etiam inviti communicabant hæreticis; eorum autem multi fidelium animis communicabant sive conveniebant et assentiebantur: Si quis eorum sit ordinandus in clerum, cum non alias ordinandum, quam cum approbatione clericorum, quos constat esse orthodoxos, præsente etiam episcopo, et alloquente populum, ut superius dictum est. Hæc autem dicit fieri, ne intercedat aliqua cir-

ΒΑΛΣ. Περὶ τῶν μελλόντων χειροτονεῖσθαι ἐν κλήρῳ δίδωσι τύπον, καί φησιν ὅτι δεῖ τὸν μέλλοντα χειροτονεῖσθαι παρὰ παντὸς ἱερατείου αἱρεῖσθαι, ἀντὶ τοῦ προκρίνεσθαι συμφώνως, οὕτω δὲ προκριθέντα, τότε δοκιμάζεσθαι αὐτὸν παρὰ τοῦ ἐπισκόπου, καὶ ὅτε κἀκείνῳ δόξει ὁ ἄνθρωπος ἐπιτήδειος εἰς χειροτονίαν, τότε χειροτονεῖσθαι συναινέσει τοῦ ἱερατείου, παρόντος καὶ τοῦ λαοῦ. Διατί δ' εἶπε, χειροτονεῖν αὐτὸν συναινέσει τοῦ ἱερατείου; Ἐπεὶ γὰρ ἐξελέγη παρὰ τοῦ ἱερατείου, ἡ ἐπὶ χειροτονίᾳ συναίνεσις δοκεῖ μὴ ἀναγκαία εἶναι. Ἀλλ' εἰκὸς καιρόν τινα μετὰ τὴν ἐκλογὴν παρελθεῖν, καὶ ἐν τῷ μέσῳ γνῶναί τι τοὺς προκρίνοντας τὸν μέλλοντα χειροτονηθῆναι κωλύον αὐτῷ τὴν χειροτονίαν. Διὰ τοῦτο οὖν συναινεῖν αὐτοὺς κεχειροτονημένου αὐτοῦ εἶπε, καὶ τὸν ἐπίσκοπον καὶ τότε προσφωνεῖν τῷ λαῷ, ἐρωτῶντα εἰ μαρτυρεῖ αὐτὸν πρὸς χειροτονίαν ἄξιον. Λαθραίας δὲ χειροτονίας γίνεσθαι ἀποτρέπει. Ἐπεὶ γάρ, φησὶν, εἰρήνη ἐστὶ παρὰ τῇ Ἐκκλησίᾳ, ἤγουν ἐπεὶ νῦν οὐ μεμέρισται ὁ λαὸς παυθείς τῶν αἱρέσεων, ἀλλὰ πάντες τῆς ὀρθοδόξου μοίρας εἰσὶ, πάντες μιᾶς ἔσονται γνώμης, καὶ δεῖ παρουσίᾳ τῶν ἁγίων ἤτοι τῶν πιστῶν τὰς χειροτονίας γίνεσθαι ἐπ' ἐκκλησίας. Ἁγίους δὲ τοὺς πιστοὺς ἐκάλεσεν, ἐκ τοῦ θεσπεσίου Παύλου τοῦτο παραλαβών· οὕτω γὰρ κἀκεῖνος ἐν ταῖς Ἐπιστολαῖς αὐτοῦ τοὺς πιστοὺς ὀνομάζει. Ταῦτα μὲν οὖν περὶ τῶν ἐν πόλεσιν ὄντων ἔοικε λέγειν. Περὶ δὲ τῶν ἐν τῇ ἐνορίᾳ, ἤτοι τῶν ἐν τῇ χώρᾳ, φησὶν, ὅτι ἐπεὶ πολλοὶ τοῖς αἱρετικοῖς ἐκοινώνουν καὶ ἄκοντες, τῶν τοιούτων δὲ πολλοὶ τῶν πιστῶν ἐκοινώνουν ταῖς γνώμαις, ἤγουν συγκατέβαινον καὶ συνήνουν· Εἴ τις οὖν τούτων μέλλει τις χειροτονεῖσθαι εἰς τὸν κλῆρον, μὴ ἄλλως χειροτονεῖσθαι, εἰ μὴ μετὰ δοκιμασίας τῶν ὁμολογουμένως ὀρθοδόξων κληρικῶν, παρόντος καὶ τοῦ ἐπισκόπου, καὶ προσφωνοῦντος τῷ λαῷ, ὡς ἄνωθεν εἴρηται. Ταῦτα δὲ λέγει γίνεσθαι, ἵνα μὴ μέσον γένηταί τις περιδρομὴ, ἤγουν

Digitized by Google

ἀπάτη καὶ συναρπαγὴ, καὶ χειροτονηθῇ τις μὴ ὑγιῶς ἔχων περὶ τὴν πίστιν.

A cumventio, seu fraus et abreptio, et ordinetur aliquis qui non recte sentit de fide.

ΚΑΝΩΝ Ζ'.

Τὰ προσφερόμενα εἰς λόγον θυσίας, μετὰ τὰ ἀναλισκόμενα εἰς τὴν τῶν μυστηρίων χρείαν, οἱ κληρικοὶ διανειμάσθωσαν, καὶ μήτε κατηχούμενος ἐκ τούτων ἐσθιέτω ἢ πινέτω, ἀλλὰ μᾶλλον οἱ κληρικοὶ καὶ οἱ σὺν αὐτοῖς πιστοὶ ἀδελφοί.

CANON VII.

Quæ in sacrificii rationem offeruntur, post ea quæ in mysteriorum usum consumuntur, clerici dividant, et nec catechumenus ex iis comedat vel bibat, sed solum clerici, et qui cum eis sunt fideles fratres.

ΒΑΛΣ. Εἴ τινα περιττεύουσι τῶν εἰς θυσίαν προσαγομένων παρὰ τῶν πιστῶν, μετὰ τὰ δαπανώμενα εἰς τὰ θεῖα μυστήρια, τοῖς κληρικοῖς δεῖν ταῦτα, φησὶ, διανέμεσθαι, ὥστε παρ' αὐτοῖς ἐσθίεσθαι καὶ πίνεσθαι, καὶ παρὰ τῶν πιστῶν λαϊκῶν· τοῖς δὲ κατηχουμένοις μηδὲν ἐξ αὐτῶν δίδοσθαι. Ἐπεὶ γὰρ προσήχθησαν τῷ θυσιαστηρίῳ, καὶ ἐξ αὐτῶν μερίδες ἐλήφθησαν εἰς τὰ θεῖα δῶρα, κἀκεῖνα ἡγιάσθησαν, πῶς ἐκ τούτων τοῖς ἀτελεστέροις δοθήσονται δαπανηθησόμενα; Τὰ δὲ εἰς θυσίαν προσαγόμενα ἄρτος καὶ οἶνός εἰσιν· ἕτερον γάρ τι προσάγεσθαι εἰς θυσιαστήριον οὐκ ἐφεῖται. Ἀνάγνωθι τὸν γ' ἀποστολικὸν κανόνα, καὶ τῆς ἐν τῷ Τρούλλῳ συνόδου τὸν λεγομένης ς' κανόνα κη'.

BALS. Si qua eorum quæ a fidelibus ad sacrificium offeruntur, superabundant, post ea quæ in divina mysteria consumuntur, clericis, inquit, oportet ea dividere, ut ab ipsis comedantur ac bibantur, et etiam a fidelibus laicis; catechumenis **173** autem nihil de eis detur. Quia enim altari oblata sunt, et ad divina dona ex illis partes quædam sumptæ B atque sanctificatæ fuere; quomodo iis qui sunt imperfectiores dabuntur consumenda? Quæ autem ad sacrificium offeruntur, sunt panis et vinum; nihil enim aliud ad altare offerri permittitur. Lege III canon. Apost. et synod. in Trullo, quæ dicitur sexta, canon. XXVIII.

ΚΑΝΩΝ Η'.

Ἐπειδὴ Ἱέραξ τόνδε, ὡσανεὶ ἐπὶ πορνείᾳ βαβαλλόμενον, οὐκ ὀφείλειν λέγει ἐν τῷ κλήρῳ εἶναι, ὁ δὲ ἐπίσκοπος Ἀπόλλων διϊσχυρίζετο τηνικαῦτα, μηδένα κατήγορον ἐν μέσῳ ἐληλυθέναι κατ' αὐτοῦ, ἐξεταζέσθω καὶ οὗτος· καὶ εἰ μὲν κατήγορός τις ἀναφύεται πίστεως ἄξιος, καὶ τὸ ἔγκλημα ἀποδείκνυται, φερομένων ἀξιοπίστων μαρτύρων, τῆς Ἐκκλησίας ἐκβαλλέσθω· εἰ δὲ τοῦ κλήρου ἄξιός ἐστι, καὶ ἐπὶ σωφροσύνῃ μαρτυρεῖται, μενέτω ἐν τούτῳ.

CANON VIII.

Quoniam Hierax dicit quemdam non debere esse in clero, ut qui sit fornicationis delatus; Apollo autem episcopus tunc affirmavit nullum accusatorem adversus eum in medium processisse, hic quoque examinetur: et si aliquis quidem accusator fide dignus exoritur, et crimen probatur productis fide C dignis testibus, Ecclesia ejiciatur; sin autem dignus est clero, et de ejus continentia testimonium feratur, in eo maneat.

ΒΑΛΣ. Ἐχειροτονήθη τις κληρικὸς, εἶτα διεβλήθη ὡς πορνεύσας. Ἔλεγεν οὖν Ἱέραξ τις, μὴ δεῖν αὐτὸν ἐν κλήρῳ εἶναι· ὁ δὲ χειροτονήσας αὐτὸν διϊσχυρίζετο, ἤτοι ἐνίστατο, μὴ κατηγορηθῆναι αὐτὸν παρά τινος. Ἔφη οὖν ὁ Θεόφιλος, ὅτι ἐξετασθήτω ὁ ἄνθρωπος, καὶ εἰ μὲν εὑρίσκεταί τις κατήγορος πίστεως ἄξιος ἥγουν δεκτὸς εἰς κατηγορίαν (οὐ γὰρ παντὶ ἐφεῖται κατηγορεῖν ἱερωμένων, κατὰ τὸν ς' κανόνα τῆς δευτέρας οἰκουμενικῆς συνόδου, καὶ τὸν κανόνα κα' τῆς δ' οἰκουμενικῆς συνόδου), ἐκβληθήτω τῆς Ἐκκλησίας μετὰ ἀπόδειξιν· εἰ δὲ οὐδὲν τοιοῦτον ἀποδείκνυται, μενέτω ἐν τῷ κλήρῳ. D

BALS. Quidam ordinatus est clericus, deinde tanquam qui fornicatus esset, accusatus est. Dicebat ergo quidam Hierax, non oportere eum in clero esse; is autem qui eum ordinaverat, affirmabat, seu instabat, eum non esse ab aliquo accusatum. Dicit ergo Theophilus: Homo examinetur, et si invenitur quidem aliquis accusator fide dignus, seu qui sit ad accusandum admittendus (non enim cuivis permittitur accusare eos qui sunt in sacris, ut vult VI can. II syn. œcumenicæ, et XXI, IV universalis syn.), Ecclesia ejiciatur post probationem; sin autem nihil tale probetur, maneat in clero.

ΚΑΝΩΝ Θ'.

Ὥστε γνώμῃ παντὸς ἱερατείου οἰκονόμιον ἀποδειχθῆναι ἕτερον, ἐφ' ᾧ συντέθειται καὶ ὁ ἐπίσκοπος Ἀπόλλων πρὸς τὸ τὰ τῆς Ἐκκλησίας εἰς δέον ἀναλίσκεσθαι.

CANON IX.

Ut totius sacerdotalis ordinis sententia alius renuntietur œconomus, in quo Apollo quoque episcopus consensit, ut bona Ecclesiæ in ea quæ oportet impendantur.

ΒΑΛΣ. Ὁ αὐτὸς γνώμην ἔδωκε κρίσει παντὸς τοῦ ἱερατείου τὸν οἰκονόμον τῆς ἐπισκοπῆς γίνεσθαι, εἰ καὶ ὁ ἐπίσκοπος συγκατατίθεται τῇ κρίσει τοῦ κλήρου· γίνεσθαι δὲ οἰκονόμον, ἵνα τὰ τῆς Ἐκκλησίας εἰς δέον δαπανῶνται φροντίδι ἐκείνου. Τὴν δὲ *εἰς δέον* δαπάνην, τὸ ἑξῆς δηλοῖ κεφάλαιον, ἤτις ἐστὶ, τὰ εἰς χήρας καὶ ξένους καὶ πένητας ἀναλώματα. Ἰδιοποιεῖσθαι γὰρ τὰ τῆς Ἐκκλησίας τινὶ οὐκ ἐφεῖται, ὅτι ἀφι-

BALS. Idem tulit sententiam, totius sacerdotalis ordinis judicio fieri debere episcopatus œconomum, si etiam episcopus assentiatur cleri judicio. Fieri autem œconomum, ut bona Ecclesiæ illius cura in ea quæ oportet impendantur. Quid sit autem in ea quæ oportet impendere sequens docet caput, quod est impendere in viduas, hospites et pauperes. Nemini enim permittitur bona Ecclesiæ in proprios

Digitized by Google

usus transferre; quippe quod oportet Dei ministrum esse ab avaritia alienum; et nec ad usum proprium uti rebus episcopatus episcopo conceditur; nisi ad ea quæ sunt omnino necessaria, et tunc demum quando ei domi desunt facultates; secundum XLI can. sanctorum apostolorum. Quære quæ in eo scripta sunt, et XXIV can. syn. Antiochenæ.

A λάργυρον δεῖ εἶναι τὸν λειτουργὸν τοῦ Θεοῦ, καὶ οὐδὲ εἰς οἰκείαν χρῆσιν τοῖς τῆς ἐπισκοπῆς πράγμασι κεχρῆσθαι τῷ ἐπισκόπῳ συγκεχώρηται, εἰ μὴ εἰς τὰ πάνυ ἀναγκαῖα. καὶ τότε ὅτε οἴκοθεν οὐκ εὐπορεῖ τούτων ὁ ἐπίσκοπος, κατὰ τὸν μα' κανόνα τῶν ἁγίων ἀποστόλων. Ζήτει τὰ ἐν ἐκείνῳ γεγραμμένα, καὶ τὸν κδ' κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου.

CANON X.

Viduæ et pauperes et peregrinantes hospites omni quiete fruantur, et nemo ea quæ sunt Ecclesiæ, ut sua usurpet.

ΚΑΝΩΝ Ι'.

Χῆραι καὶ οἱ πένητες καὶ οἱ παρεπιδημοῦντες ξένοι πάσης ἀναπαύσεως ἀπολαυέτωσαν, καὶ μήτις τὰ τῆς Ἐκκλησίας ἰδιοποιείσθω.

—

ΤΟΥ ΑΥΤΟΥ ΑΦΗΓΗΣΙΣ

Περὶ τῶν λεγομένων Καθαρῶν.

—

174 EJUSDEM NARRATIO DE IIS QUI DICUNTUR CATHARI.

—

Declaravit mihi tua pietas, quod quidam horum qui se Catharos nominant, volunt ad Ecclesiam accedere. Quoniam ergo magna synodus, quæ Nicæa habita est a sanctis Patribus nostris, statuit, ut ordinentur qui accedunt, velis juxta hanc formam eos qui ad Ecclesiam accedere volunt ordinare, si quidem vita eorum recta est, et nihil eis adversatur.

B *Δεδήλωκέ μοι ἡ σὴ εὐλάβεια, ὡς τινὲς τῶν ὀνομαζόντων ἑαυτοὺς Καθαροὺς, προσελθεῖν βούλονται τῇ Ἐκκλησίᾳ. Ἐπειδὴ τοίνυν ἡ μεγάλη σύνοδος ἡ γενομένη ἐν Νικαίᾳ παρὰ τῶν μακαρίων Πατέρων ἡμῶν, ὥρισεν, ὥστε χειροτονεῖσθαι τοὺς προσερχομένους, θέλησον κατὰ τὸν τύπον τοῦτον τοὺς ἐθέλοντας προσέρχεσθαι τῇ Ἐκκλησίᾳ χειροτονεῖν, εἴγε ὁ βίος αὐτῶν ὀρθός ἐστι καὶ μηδὲν τούτοις ἀντίκειται.*

BALS. De Novatianis interrogatus est (hi enim sunt qui etiam Cathari dicuntur), et responsum est, quod si ad Dei Ecclesiam accedunt, quia magna et prima Nicæna synodus statuit, ut ii ordinentur, fac tu quoque secundum hanc formam sive secundum istum canonem, et ordina eos qui accedunt; nisi aliquod impedimentum ex vita eorum adversetur. De Novatianis autem canon est octavus primæ synodi.

ΒΑΛΣ. Περὶ Ναυατιανῶν ἠρωτήθη (τοῦτοι γάρ εἰσιν οἱ λεγόμενοι Καθαροὶ), καὶ ἀπεκρίθη, ὅτι εἰ προσέρχονται τῇ Ἐκκλησίᾳ, ἐπεὶ ἡ μεγάλη σύνοδος ἡ ἐν Νικαίᾳ, ἦγουν ἡ πρώτη, ὥρισε χειροτονεῖσθαι αὐτούς, ποίει καὶ σὺ κατὰ τὸν τύπον, ἤτοι κατὰ τὸν κανόνα τοῦτον, καὶ χειροτόνει τοὺς προσερχομένους, C εἰ μή τι κώλυμα ἀπὸ τοῦ βίου αὐτῶν αὐτοῖς ἐναντιοῦται. Ὁ δὲ περὶ τῶν Ναυατιανῶν κανὼν ἔβδομός ἐστι τῆς πρώτης συνόδου.

—

ΤΟΥ ΑΥΤΟΥ ΑΓΑΘΩΝΙ ΕΠΙΣΚΟΠΩ.

—

EJUSDEM

AGATHONI EPISCOPO.

—

Maximus asseruit se Ecclesiæ leges ignorantem illicito matrimonio conjunctum esse, et quia hoc eum male habet quod non recte et ex ordine agat, affirmavit, qui contra leges fecit per ignorantiam, se ab illicita vitæ societate ex consensu abstenturum, illa etiam hoc volente. Si ergo probaveris, quod hoc ex consensu faciant, et non fallant, quia est tempus decennale; si consideres eos debere versari cum catechumenis, nunc eos sic dispensa. Sin autem vides quod decipere velit, et acerbitate adhuc in eo opus sit; fac id quod Deus tibi suggesserit; id semper sequens

D Ἀγαθῶν τοὺς τῆς Ἐκκλησίας νόμους Μάξιμος, διεσχυρίσατο παρανόμως συμβιώσει συνῆχθαι· καὶ ἐπειδὴ θορυβεῖ αὐτὸν τὸ ἀσύντακτον εἶναι, διεβεβαιώσατο, ἐπειδὴ ἀγνοίᾳ τὸ παράνομον ἔδρασεν, ἐκ συμφώνου ἀπέχεσθαι τῆς παρανόμου συμβιώσεως, κἀκείνης ἀγαπώσης τοῦτο. Ἐὰν δὲ τοίνυν δοκιμάσῃς, ὅτι τοῦτο ποιοῦσιν ἐκ συμφώνου καὶ μὴ ἀπατῶσιν, ἐπειδὴ δεκαετής ἐστιν ὁ χρόνος, εἰ σκοπεῖς μετὰ τῶν κατηχουμένων αὐτοὺς συνάγεσθαι, ἕως οὕτω διείκησον. Εἰ δὲ συνορᾷς, ὅτι ἀπατῆσαι βούλεται, καὶ δεῖται τὰ

Digitized by Google

κατ' αὐτοὺς ἐπιστύψεως, ὅπερ ὁ Θεὸς ὑποβάλῃ σοι, τοῦτο ποίησον, πανταχοῦ πρὸς τὸ ἐπέχον ὁδηγούμενος. Ἐπὶ γὰρ τῶν τόπων τυγχάνων τὰς γνώμας αὐτῶν μᾶλλον εἰδέναι δύνασαι.

ΒΑΛΣ. Μάξιμός τις, ὡς παρανόμῳ γάμῳ συναφθεὶς γυναικὶ, ἀφωρίσθη καὶ τῆς συνάξεως τῆς μετὰ τῶν πιστῶν εἴργετο. Ὁ δὲ ἔλεγεν, ὅτι ἐν ἀγνοίᾳ ἐποίησε τὸ παράνομον, καὶ ἕτοιμός ἐστιν ἀποστῆναι τοῦ γάμου, τοῦτο καὶ τῆς γυναικὸς βουλομένης· καὶ ἐζήτει ἀφιστάμενος δεχθῆναι. Πρὸς ταῦτα οὖν ἔφη ὁ Θεόφιλος, ὡς ἂν ἐξετάσας εὑρήσεις, ὅτι ἐκ συμφώνου, ἀντὶ τοῦ ἐκ κοινῆς βουλῆς, ἀφίστανται τοῦ γάμου, καὶ οὐκ ἀπατῶσι, δεκαετίαν συνοικήσαντες ἀλλήλοις, δυσχερὲς ἴσως ἂν λογίζοιτο αὐτοῖς ἡ διάζευξις, καὶ μήποτε ἀπατῶσιν. Εἰ σκοπεῖς, ἀντὶ τοῦ εἰ κρίνεις μετὰ τῶν κατηχουμένων αὐτοὺς ἑστάναι δεῖν ἕως, ἤγουν πρὸς τὸ παρὸν, οὕτως αὐτὸν οἰκονόμησον. Εἰ δὲ νοεῖς, φησὶν, ὅτι κατὰ ἀπάτην λέγουσι ταῦτα, καὶ ὅτι ἔτι δέονται στύψεως, ἤτοι αὐστηροτέρων ἐπιτιμίων, ποίησον ὅπερ ἂν ὁ Θεὸς ὑποβάλῃ σοι, ἀντὶ τοῦ ἐνηχήσῃ τῷ λογισμῷ σου, ὅπερ ὁ Θεὸς ἐνθυμήσει σε, πανταχοῦ πρὸς τὸ ἐπέχον ὁδηγούμενος, ἤτοι πρὸς τὸ ἐπικρατοῦν ἢ τὸ κατεπεῖγον.

quod in usu est vimque obtinet. Nam cum iis sis in locis, eorum mentes melius nosse potes.

BALS. Maximus quidam, ut illicito matrimonio mulieri conjunctus segregatus fuerat, et a congregatione cum fidelibus prohibebatur. Is vero dicebat se per ignorantiam fecisse contra leges, et paratum esse ab hoc matrimonio recedere, muliere etiam volente; et petebat, ut ab ea abscedens admitteretur. Ad hæc ergo dicit Theophilus, quod si inquirens inveneris eos ex consensu, hoc est, communi consilio, a matrimonio absistere, et non fallere, cum decem amnis simul cohabitarint, difficilis forsan iis existimari posset a se invicem disjunctio, et ne fallant. Si consideras, hoc est, si judicas eos stare debere cum catechumenis, nunc, id est in præsentia, sic eos dispensa. Quod si intellexeris, inquit, quod per fraudem hæc dicunt, et quod adhuc acerbitate indigent, seu acerbioribus pœnis, fac quod Deus tibi suggesserit, hoc est, tuæ menti inspiraverit, quod in animum immiserit Deus, semper id quod est in usu et quod vires obtinet sequens, id est, quod magis est ratum ac validum.

ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΑ ΕΠΙΣΚΟΠΩ.

175 EJUSDEM MENÆ EPISCOPO.

Νόμιμον πρᾶγμα πεποιήκασιν οἱ πρεσβύτεροι ἐν Γεμίνῳ τῇ κώμῃ, εἰ ἀληθεύει ἡ κομίζουσα τὸ γράμμα Εὐσταθοῦς. Φάσκει γὰρ, ὅτι Κυράδιον ἀδικοῦσαν καὶ μὴ βουλομένην ἀναστεῖλαι τὴν ἀδικίαν, ἐχώρισαν τῆς συνάξεως. Ἐπειδὴ τοίνυν εὗρον, ὡς τὸ ἑαυτῆς κακὸν θεραπεύουσα βούλεται συναχθῆναι, θέλησον παρασκευάσαι αὐτὴν ἀποθέσθαι πρῶτον τὴν ἀδικίαν, καὶ πεῖσαι μετανοῆσαι, ἵν' οὕτως, εἰ συνίδῃς ὅτι νόμῳ Θεοῦ προσέρχεται τῆς συνάξεως ὁρισμένῃ, ἐπιτρέψῃς αὐτὴν μετὰ τῶν λαῶν συνάγεσθαι.

ΒΑΛΣ. Γυναῖκά τινα Κυράδιον λεγομένην καὶ ἀδικοῦσαν οἱ ἐν Γεμίνῳ πρεσβύτεροι ἀφώρισαν τῆς Ἐκκλησίας, μὴ ἀπεχομένην τῆς ἀδικίας. Ἡ δὲ, διὰ τὸν ἀφορισμὸν, ὑπισχνεῖτο θεραπεῦσαι τὴν ἀδικίαν, καὶ ἤθελε δεχθῆναι. Γράφει οὖν ὁ Θεόφιλος πρὸς τὸν τῆς χώρας ἐπίσκοπον, ὅτι Παρασκεύασον αὐτὴν ἀποθέσθαι πρῶτον τὴν ἀδικίαν, ἤγουν ἀποδοῦναι ἃ ἀδίκως ἐκτήσατο, καὶ μετανοῆσαι, ἀντὶ τοῦ ἐπὶ τῇ ἁμαρτίᾳ τῆς ἀδικίας μεταμεληθῆναι, καὶ δεηθῆναι τοῦ Θεοῦ ἀφεθῆναι αὐτῇ τὸ ἁμάρτημα. Καὶ ταῦτα ποιησάσης αὐτῆς, εἰ συνίδῃς, τουτέστι, γνῷς ὅτι νόμῳ Θεοῦ προσέρχεται, ἤγουν συνειδήσει ἀγαθῇ μὴ ἀνεχομένη κεχωρίσθαι τῆς τῶν πιστῶν συνάξεως, διὰ τὸν Θεὸν καὶ μὴ δι' αἰσχύνην ἀνθρώπων, τότε ἐπίτρεψον αὐτῇ τὴν μετὰ τῶν πιστῶν λαῶν σύναξιν καὶ σύστασιν ἐν τοῖς ὕμνοις.

Rem justam fecerant presbyteri in Gemino pago, si verum dicit, quæ defert litteras Eustathii. Dicit enim, quod Cyradium facientem injuriam, nec ab ea desistere volentem, a communione separaverunt. Quia ergo inveni, quod suo malo curam adhibens vult communicare, fac ea ita se comparet, ut injuriam primum deponat, et pœnitentiam agere in animum inducat, ut si sic intellexeris, quod accedit, communionem desiderans, permittas ei ut cum populis communicet.

BALS. Mulierem quamdam, quæ Cyradium appellabatur, et injuriam ante faciebat, qui erant in Gemino presbyteri ab Ecclesia separaverant, cum ab injuria non abstineret. Illa vero propter segregationem pollicebatur se injuriæ remedium allaturam, et ad communionem admitti volebat. Scribit ergo Theophilus ad episcopum regionis: Fac ut ea primum deponat injuriam, hoc est, reddat ea quæ injuste acquisivit, et pœnitentiam agat, id est, se injuriam fecisse ægre ferat, et Deum oret ut sibi peccata condonentur. Et cum hæc fecerit, si intellexeris, hoc est, si cognoveris, quod lege Dei accedit, seu bona conscientia, quæ non fert se a fidelium communione esse separatam, propter Deum, et non propter hominum pudorem, tunc ei permittes cum fidelibus populis communicare et in hymnis consistere.

Digitized by Google

BEATI NOSTRI PATRIS CYRILLI

ARCHIEPISCOPI ALEXANDRINI.

EPISTOLA CANONICA IN HYMNIS

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΠΙΣΤΟΛΗ ΚΑΝΟΝΙΚΗ ΕΝ ΤΟΙΣ ΥΜΝΟΙΣ.

Cyrillus ad Domnum.

Unaquæque res nostra, quando ordine canonico recta procedit, nullum quidem in nobis tumultum ingenerat, et a nonnullorum maledicentia liberat, vel potius eorum qui sapiunt laudem nobis conciliat. Quis enim non obviis, ut aiunt, ulnis excipiat de aliquibus prolatam sententiam, quæ nec huc nec illuc inclinetur? Vel quomodo non sit ab omni reprehensione alienum, vel potius magnopere laudandum, si recte et juste judicetur?

Et hæc quidem nunc scribo ad pietatem tuam, quæ in litteris ad me et religiosissimum fratrem nostrum et coepiscopum Proclum missis, episcopum quidem nominet, imprimis pium ac religiosum Petrum: cum ipse lamentetur, seque ab Ecclesia sibi attributa præter rationem ejectum esse dicat. Erat autem consentaneum ut vel sacerdotii nomen cum re haberet, vel, si non erat dignus ut altari præesset, nec ipsa quidem episcopatus vocatione dignus haberetur. Sed id fortasse quod dico, durum esse et charitatis expers videbitur. Res autem revera non ita se habet. Nos enim senis utique misereri putamus, si solum ei nomen reliquerimus; sed multo melius erat aliud quoque considerare. Dicit enim se suam quidem posse causam probare, at defensionis tempus sibi non esse datum, nec auditionem canonicam sibi fuisse concessam. Sin autem tale quid factum esset, ipsa actorum productio eum convicisset reum impositorum ipsi criminum, nec esset quod se injuria affectum quereretur; vel certe absolutum eum declarans, rursus concederet ut præesset Ecclesiæ quæ illi subjecta fuit. Cum autem nihil factum sit ejusmodi, de re quidem alta voce queritur, et intolerabilem injuriam se dicit accepisse, et inique ejectum esse, adjiciens rem omnem familiarem suam ademptam sibi fuisse.

Tua itaque sanctitas, considerans et quod divinis canonibus sancitum est, et quod Ecclesiæ convenit, iisque qui sunt in sacro ministerio initiati, et nostrarum præterea litterarum rationem ducens, sistat senis lacrymas; et si velit quidem cum iis judicio contendere qui crimina in eum intendunt, apud sanctitatem tuam pro more litiget, una scilicet assistentibus qui tibi subsunt episcopis, nisi forte aliquos recusat ut suspectos. Nullum enim religiosis-

Κύριλλος πρὸς Δόμνον.

Ἕκαστα τῶν καθ' ἡμᾶς πραγμάτων ὅταν εὐθὺ φέρηται κανονικῆς εὐταξίας, οὐδένα μὲν ἡμῖν ἐντίκτει θόρυβον, ἀπαλλάττει δὲ καὶ τῆς παρά τινων δυσφημίας, μᾶλλον δὲ καὶ τὰς παρὰ τῶν εὖ φρονούντων εὐφημίας ἡμῖν προξενεῖ. Τίς γὰρ οὐκ ἂν ἀποδέξαιτο ψῆφον ἀπροσκλινῆ, εἴπερ ἂν γίνοιτο παρά τινων; Ἢ πῶς τὸ κρίνειν ὀρθῶς καὶ ἐννόμως οὐκ ἀνεπίπληκτον ἔσται, μᾶλλον δὲ παντὸς ἐπαίνου μεστόν;

Καὶ ταῦτα γράφω νυνὶ τῇ σῇ θεοσεβείᾳ, ἐν τοῖς ἑαυτῆς γράμμασι τοῖς σταλεῖσι πρὸς ἐμέ τε καὶ τὸν ὁσιώτατον καὶ θεοσεβέστατον ἀδελφὸν ἡμῶν καὶ συνεπίσκοπον Πρόκλον, ἐπίσκοπον μὲν ὀνομαζούσης τὸν εὐλαβέστατον καὶ θεοφιλέστατον Πέτρον· αὐτοῦ δὲ κλαίοντος, καὶ τῆς ἐκνεμηθείσης αὐτῷ Ἐκκλησίας παραλόγως κεκινῆσθαι λέγοντος. Ἦν δ' ἀκόλουθον ἢ τὸ τῆς ἱερωσύνης ὄνομα μετὰ τοῦ πράγματος ἔχειν αὐτὸν, ἤγουν εἴπερ μὴ ἦν ἄξιος τοῦ προεστάναι θείου θυσιαστηρίου, μηδ' αὐτῇ τιμᾶσθαι τῇ κλήσει τῆς ἐπισκοπῆς. Ἀλλ' ἴσως δόξειεν ἂν τῇ σῇ θεοφιλείᾳ σκληρὸς εἶναί τις καὶ ἀφιλάλληλος ὁ παρ' ἐμοῦ λόγος. Ἔχει δὲ οὐχ οὕτως κατὰ τὸ ἀληθές. Ἐλεῆσαι γὰρ τάχα που νομίζομεν τὸν πρεσβύτην μόνην αὐτῷ τὴν κλῆσιν ἀφέντες· μακρῷ δὲ ἦν ἄμεινον ἐννοῆσαι καὶ τὸ ἕτερον. Φάσκει γὰρ οὐ δύνασθαι μὲν συστῆναι τῇ οἰκείᾳ ὑπολήψει· οὐ λαβεῖν δὲ καιρὸν ἀπολογίας, οὔτε μὴν ἀκρόασιν αὐτῷ προτεθῆναι κανονικήν. Εἰ δ' ἐγεγόνει τι τοιοῦτον, αὐτὴ τῶν ὑπομνημάτων ἡ σύστασις διήλεγξεν ἂν αὐτὸν ἢ ἁλόντα τοῖς αἰτιάμασιν, ἢ ἔνοχον ἀποπεφασμένον καὶ οὐδὲν ἔχοντα λοιπὸν εἰπεῖν ὡς ἠδικημένον, ἤγουν ἐλεύθερον ἀποφήνασα, πάλιν ἐδίδου τὸ προεστάναι τῆς Ἐκκλησίας, ἢ καὶ ὑπὸ χεῖρα γέγονε τὴν αὐτοῦ. Οὐδενὸς δὲ πεπραγμένου τοιούτου, καταβοᾷ του πράγματος, καὶ ἀδικίαν ἀφόρητον ὑποστῆναί φησι, καὶ ἀθεσμώτως ἐκβεβλῆσθαι, προσεπάγων ὅτι καὶ ἡρπάγη πάντα τὰ προσόντα αὐτῷ χρήματα.

Ἡ σὴ τοιγαροῦν ὁσιότης, ἐννοοῦσα καὶ τὸ τοῖς θείοις κανόσι δοκοῦν, καὶ τὸ πρέπον τῇ Ἐκκλησίᾳ καὶ τοῖς τεταγμένοις εἰς ἱερὰν λειτουργίαν· ἔτι τε πρὸς τούτοις, καὶ τὰ παρ' ἡμῶν δυσωπηθεῖσα γράμματα, στησάτω τοῦ πρεσβύτου τὸ δάκρυον. Καὶ εἰ μὲν ἕλοιτο δικάσασθαι πρὸς τοὺς ἐπάγοντας αὐτῷ τὰς αἰτίας, δικαζέσθω κατὰ τὸ εἰωθὸς ἐπὶ τῆς θεοσεβείας· συμπαρόντων δηλονότι τῶν ὑπὸ τὴν αὐτῆς χεῖρα θεοσεβεστάτων ἐπισκόπων· ἐκτὸς εἰ μὴ παραιτοῖτό

Digitized by Google

τινας ὡς ὑπόπτους. Οὐδένα μὲν γὰρ τῶν θεοσεβεστάτων ἐπισκόπων ἐχθρὰ φρονεῖν ἀδελφῷ πιστεύομεν. Ἵνα δὲ μὴ πρόφασις αὕτη γένηται, τὴν ἐσομένην ἐπ' αὐτῷ κρίσιν παραλύουσα, πρὸς τὸ μὴ ἐν δίκῃ πεποιῆσθαι δοκεῖν, οὐδέν ἐστι τὸ λυποῦν ἀπεῖναι τοῦ συνεδρίου τῶν ἐν ὑποψίᾳ τινάς.

A simorum episcoporum in fratrem inimico esse animo credimus. Ne autem hic prætextus futurum de eo judicium dissolvat, ut non jure factum esse videatur, non grave est a consessu abesse eorum qui suspecti sunt aliquos.

ΒΑΛΣ. Τὸ προοίμιον τῆς ἐπιστολῆς τοιαύτης ἐστὶν ἐννοίας. Φησὶν ὁ ἅγιος· Ὅτι τὰ καθ' ἡμᾶς πράγματα, τὰ ἐκκλησιαστικὰ δηλονότι, ἢ ἁπλῶς τὰ ἀνθρώπινα, ὅταν κατ' εὐθύτητα κανονικὴν διεξάγωνται, οὔτε θόρυβον ἡμῖν ἐπάγουσιν, οὔτε δυσφημίαν παρά τινων· ἀλλὰ μᾶλλον ἐπαίνους ἡμῖν προξενεῖ. Ἡ γὰρ ἀπροσκλινὴς κρίσις ἡ ἀρίστη, ἡ εὐθυτάτη, πᾶσίν ἐστιν ἀποδεκτέα· καὶ οὐ μόνον ἀνεπιπλήκτόν ἐστιν, ἤγουν ἀκαταιτίατον, οὐκ ἐπιπλήξεως ἄξιον, τὸ κρίνειν ὀρθῶς, ἀλλὰ καὶ ἐπαινούμενον. Οὕτω δὲ προοιμιασάμενος φησὶν ὅτι Ταῦτα γράφω, ὅτι σὺ ἐπέστειλας ἡμῖν τὸν εὐλαβέστατον πρεσβύτερον ἐπίσκοπον ὀνομάσας· καὶ ταῦτα αὐτοῦ κλαίοντος, καὶ λέγοντος κεκινῆσθαι τῆς νεμηθείσης αὐτῷ ἐκκλησίας, ἤγουν ἐκβεβλῆσθαι τῆς δοθείσης αὐτῷ ἐπισκοπῆς. Ἦν δὲ ἀκόλουθον ἢ καὶ τὸ ὄνομα τοῦ ἐπισκόπου ἔχειν αὐτὸν καὶ τὸ πρᾶγμα, ἤγουν τὴν ἐπισκοπὴν καὶ τὴν ἐνέργειαν τοῦ ἐπισκόπου· ἢ εἰ μὴ ἦν ἄξιος προΐστασθαι θυσιαστηρίου, μηδὲ ἐπίσκοπον λέγεσθαι. Ἀλλ' ἴσως τοῦτο τὸ λεγόμενον ἂν σοι δόξῃ σκληρὸν, κἀγὼ ὁ λέγων αὐτὸ ἀφιλάλληλος· οὐκ ἔστι δὲ τοῦτο. Ἐλεῆσαι τάχα που νομίζομεν τὸν πρεσβύτην. Εἰσάγει δὲ ἐνταῦθα τὸν λόγον πληθυντικῶς, ὥσπερ καὶ περὶ αὐτοῦ λέγων ἃ λέγει, ἵνα ἀνεπαχθέστερος οὕτως εἴη ὁ λόγος, καὶ μὴ εἰς καταδρομὴν μόνου ἐκείνου δοκῇ γίνεσθαι. Καὶ ὡς ἐλεούντων ἡμῶν αὐτὸν, φησὶ, μόνη αὐτῷ κατελείφθη ἡ κλῆσις τοῦ ἐπισκόπου. Πολλῷ δὲ ἦν κρεῖσσον ἐννοῆσαι καὶ τὸ ἕτερον. Ποῖον τοῦτο; Οὐ δοθῆναι αὐτῷ καιρὸν ἀπολογίας, καὶ ἀκρόασιν προστεθῆναι κανονικὴν, ἤγουν δικαστήριον συνοδικόν. Λέγει γὰρ δύνασθαι συστῆναι τῇ οἰκείᾳ ὑπολήψει, ἀντὶ τοῦ ἀναίτιον ἑαυτὸν ἀποδεῖξαι. Εἰ δὲ ἐγένετο ταῦτα, αὐτὰ τὰ ὑπομνήματα, τὰ ἐπὶ τῇ ἐξετάσει γενόμενα, ἤλεγξαν ἂν αὐτὸν, ἢ κεκρατημένον, καὶ ἔνοχον τοῖς αἰτιάμασι, καὶ μὴ δυνάμενον λέγειν ὅτι ἠδίκηται, ἢ ἐὰν ἀνεύθυνος ἐφάνη, πάλιν ἐδίδοτο αὐτῷ ἡ προστασία τῆς Ἐκκλησίας. Ὅτι δὲ οὐκ ἐγένετο τοιοῦτόν τι καταβοᾷ ὡς ἀδικηθεὶς καὶ παρανόμως ἐκβληθεὶς, λέγων ὅτι καὶ ἡρπάγησαν ὅσα εἶχε χρήματα. Σὺ τοίνυν, τῷ Δόμνῳ γράφει ὁ ἅγιος, εἰδὼς καὶ τοὺς θείους κανόνας καὶ τὸ πρέπον τῇ Ἐκκλησίᾳ καὶ τοῖς λειτουργοῖς τοῦ Θεοῦ, ἤγουν τὸ δικαιοπραγεῖν, δυσωπηθεὶς δὲ καὶ τὴν ἡμετέραν γραφὴν, στῆσον τοῦ πρεσβύτου τὸ δάκρυον, καὶ εἰ θελήσει συνδικασθῆναι τοῖς κατηγόροις αὐτοῦ, δικασθήτω παρά σοι καὶ τοῖς ὑπό σε ἐπισκόποις· εἰ δέ τινας ὑπόπτους ἔχει τῶν ἐπισκόπων, ὡς μὴ καλῶς διακειμένους πρὸς αὐτὸν, καὶ παραιτεῖται αὐτοὺς ἐκεῖνοι μὴ παρίστωσαν εἰς τὸ δικαστήριον. Ἡμεῖς μὲν γὰρ, φησὶν, οὐδένα τῶν ἐπισκόπων ἔχθραν ἔχειν πιστεύομεν κατὰ ἀδελφοῦ, οὐδὲ διὰ τοῦτο κωλύομεν αὐτοὺς συνδικάσαι ἡμῖν· ἵνα δὲ μὴ τοῦτο ἀφορμὴ γένηται τοῦ μὴ δικασθῆναι αὐτὸν, ἐκεῖνοι ἀπίτωσαν συνεδρίου.

BALS. Proœmium epistolæ hunc habet sensum. Dicit sanctus: Res nostræ, scilicet ecclesiasticæ, vel simpliciter humanæ, quando canonica rectitudine procedunt, nec nobis tumultum ingenerant, nec aliquorum maledicta, sed laudes nobis potius conciliant. Judicium enim, quod nec huc nec illuc inclinat nec propendet, sed est rectissimum, est ab omnibus suscipiendum; et non **176** solum non est a vituperatione et accusatione alienum, reprehensione indignum, recte judicare; sed etiam laudandum. Hoc usus proœmio dicit: Hæc scribo, quia tu ad nos misisti, religiosissimum presbyterum episcopum nominans: cum ipse interim defleat, et dicat se a possessa sibi ecclesia ejectum esse, seu a sibi dato episcopatu expulsum. Erat autem consentaneum, ut vel nomen haberet episcopi, et rem, seu episcopatum et episcopi munus: vel si non erat dignus qui altari præesset, nec episcopus quidem diceretur. Sed fortasse id, quod dictum est, tibi videatur durum, et ego quoque, qui id dico, immisericors: sed non ita est. Nos enim senis utique nos misereri putamus. Orationem autem pluraliter enuntiat, tanquam de se ipso quoque dicens quæ dicit, ut sic minus esset molesta oratio, et non ad ejus solius insectationem facta esse videretur. Et nobis ipsius veluti miserantibus, inquit, sola ipsi episcopi appellatio relicta est. Multo autem erat melius aliud quoque considerare. Quale illud? Non fuisse ei datum tempus defensionis, nec fuisse propositam defensionem canonicam, seu synodale judicium. Dicit enim se posse causam suam probare, id est se innocentem ostendere. Sin autem hæc facta essent, ipsa acta, quæ in examinatione facta sunt, ipsum vel esse evictum et criminibus obnoxium, nec posse se injuria affectum esse dicere ostenderent; vel si innocens apparuisset, ei concessum esset, ut rursus præesset Ecclesiæ. Quia autem nihil tale factum est, se injuria affectum esse vociferatur, et præter leges ejectum, dicens quascunque etiam habebat pecunias ablatas. Tu ergo, scribit sanctus ad Domnum, qui scis et divinos canones, et quod convenit Ecclesiæ et Dei ministris, nempe juste agere, nostrarum etiam litterarum rationem ducens, reprime senis lacrymas, et si velit cum suis accusatoribus judicio contendere, apud te et qui tibi subsunt episcopos litiget: sin autem episcoporum aliquos suspectos habeat, ut non bene in ipsum affectos, et eos recuset, illi in judicio non adsint. Nos enim, inquit, nullum episcopum inimicitias habere adversus fratrem credimus, nec propterea vetamus ne illi nobiscum una judicent: sed ne hoc sit occasio, quominus ipse in judicio causans non agat, illi a consessu recedant.

Digitized by Google

usus transferre; quippe quod oportet Dei ministrum esse ab avaritia alienum; et nec ad usum proprium uti rebus episcopatus episcopo conceditur; nisi ad ea quæ sunt omnino necessaria, et tunc demum quando ei domi desunt facultates; secundum XLI can. sanctorum apostolorum. Quære quæ in eo scripta sunt, et XXIV can. syn. Antiochenæ.

A λάργυρον δεῖ εἶναι τὸν λειτουργὸν τοῦ Θεοῦ, καὶ οὐδὲ εἰς οἰκείαν χρῆσιν τοῖς τῆς ἐπισκοπῆς πράγμασι κεχρῆσθαι τῷ ἐπισκόπῳ συγκεχώρηται, εἰ μὴ εἰς τὰ πάνυ ἀναγκαῖα. καὶ τότε ὅτε οἴκοθεν οὐκ εὐπορεῖ τούτων ὁ ἐπίσκοπος, κατὰ τὸν μα' κανόνα τῶν ἁγίων ἀποστόλων. Ζήτει τὰ ἐν ἐκείνῳ γεγραμμένα, καὶ τὸν κδ' κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου.

CANON X.

Viduæ et pauperes et peregrinantes hospites omni quiete fruantur, et nemo ea quæ sunt Ecclesiæ, ut sua usurpet.

ΚΑΝΩΝ Ι'.

Χῆραι καὶ οἱ πένητες καὶ οἱ παρεπιδημοῦντες ξένοι πάσης ἀναπαύσεως ἀπολαυέτωσαν, καὶ μηδὲ τις τὰ τῆς Ἐκκλησίας ἰδιοποιείσθω.

—

ΤΟΥ ΑΥΤΟΥ ΑΦΗΓΗΣΙΣ

Περὶ τῶν λεγομένων Καθαρῶν.

—

174 EJUSDEM NARRATIO DE IIS QUI DICUNTUR CATHARI.

—

Declaravit mihi tua pietas, quod quidam horum qui se Catharos nominant, volunt ad Ecclesiam accedere. Quoniam ergo magna synodus, quæ Nicæa habita est a sanctis Patribus nostris, statuit, ut ordinentur qui accedunt, velis juxta hanc formam eos qui ad Ecclesiam accedere volunt ordinare, si quidem vita eorum recta est, et nihil eis adversatur.

B *Δεδήλωκέ μοι ἡ σὴ εὐλάβεια, ὡς τινὲς τῶν ὀνομαζόντων ἑαυτοὺς Καθαροὺς, προσελθεῖν βούλονται τῇ Ἐκκλησίᾳ. Ἐπειδὴ τοίνυν ἡ μεγάλη σύνοδος ἡ γενομένη ἐν Νικαίᾳ παρὰ τῶν μακαρίων Πατέρων ἡμῶν, ὥρισεν, ὥστε χειροτονεῖσθαι τοὺς προσερχομένους, θέλησον κατὰ τὸν τύπον τοῦτον τοὺς ἐθέλοντας προσέρχεσθαι τῇ Ἐκκλησίᾳ χειροτονεῖν, εἴγε ὁ βίος αὐτῶν ὀρθός ἐστι καὶ μηδὲν τούτοις ἀντίκειται.*

BALS. De Novatianis interrogatus est (hi enim sunt qui etiam Cathari dicuntur), et responsum est, quod si ad Dei Ecclesiam accedunt, quia magna et prima Nicæna synodus statuit, ut ii ordinentur, fac tu quoque secundum hanc formam sive secundum istum canonem, et ordina eos qui accedunt; nisi aliquod impedimentum ex vita eorum adversetur. De Novatianis autem canon est octavus primæ synodi.

ΒΑΛΣ. Περὶ Ναυατιανῶν ἠρωτήθη (τοῦτοι γάρ εἰσιν οἱ λεγόμενοι Καθαροὶ), καὶ ἀπεκρίθη, ὅτι εἰ προσέρχονται τῇ Ἐκκλησίᾳ, ἐπεὶ ἡ μεγάλη σύνοδος ἡ ἐν Νικαίᾳ, ἦγουν ἡ πρώτη, ὥρισε χειροτονεῖσθαι αὐτούς, ποίει καὶ σὺ κατὰ τὸν τύπον, ἤτοι κατὰ τὸν κανόνα τοῦτον, καὶ χειροτόνει τοὺς προσερχομένους, C εἰ μή τι κώλυμα ἀπὸ τοῦ βίου αὐτῶν αὐτοῖς ἐναντιοῦται. Ὁ δὲ περὶ τῶν Ναυατιανῶν κανὼν ἔγδοός ἐστι τῆς πρώτης συνόδου.

—

ΤΟΥ ΑΥΤΟΥ ΑΓΑΘΩΝΙ ΕΠΙΣΚΟΠΩ.

—

EJUSDEM AGATHONI EPISCOPO.

—

Maximus asseruit se Ecclesiæ leges ignorantem illicito matrimonio conjunctum esse, et quia hoc eum male habet quod non recte et ex ordine agat, affirmavit, qui contra leges fecit per ignorantiam, se ab illicita vitæ societate ex consensu abstenturum, illa etiam hoc volente. Si ergo probaveris, quod hoc ex consensu faciant, et non fallant, quia est tempus decennale; si consideres eos debere versari cum catechumenis, nunc eos sic dispensa. Sin autem vides quod decipere velit, et acerbitate adhuc in eo opus sit; fac id quod Deus tibi suggesserit; id semper sequens

D Ἀγνοῶν τοὺς τῆς Ἐκκλησίας νόμους Μάξιμος, διισχυρίσατο παρανόμως συμβιώσει συνῆχθαι· καὶ ἐπειδὴ θορυβεῖ αὐτὸν τὸ ἀσύντακτον εἶναι, διεβεβαιώσατο, ἐπειδὴ ἀγνοίᾳ τὸ παράνομον ἔδρασεν, ἐκ συμφώνου ἀπέχεσθαι τῆς παρανόμου συμβιώσεως, κἀκείνης ἀγαπώσης τοῦτο. Ἐὰν δὲ τοίνυν δοκιμάσῃς, ὅτι τοῦτο ποιοῦσιν ἐκ συμφώνου καὶ μὴ ἀπατῶσιν, ἐπειδὴ δεκαετής ἐστιν ὁ χρόνος, εἰ σκοπεῖς μετὰ τῶν κατηχουμένων αὐτοὺς συνάγεσθαι, ἕως οὕτω διείκησον. Εἰ δὲ συνορᾷς, ὅτι ἀπατῆσαι βούλεται, καὶ δεῖται τὰ

Digitized by Google

κατ' αὐτοὺς ἐπιστύψεως, ὅπερ ὁ Θεὸς ὑποβάλῃ σοι, τοῦτο ποίησον, πανταχοῦ πρὸς τὸ ἐπέχον ὁδηγούμενος. Ἐπὶ γὰρ τῶν τόπων τυγχάνων τὰς γνώμας αὐτῶν μᾶλλον εἰδέναι δύνασαι.

A *quod in usu est vinque obtinet. Nam cum iis sis in locis, eorum mentes melius nosse potes.*

ΒΑΛΣ. Μάξιμός τις, ὡς παρανόμῳ γάμῳ συναφθεὶς γυναικὶ, ἀφωρίσθη καὶ τῆς συνάξεως τῆς μετὰ τῶν πιστῶν εἴργετο. Ὁ δὲ ἔλεγεν, ὅτι ἐν ἀγνοίᾳ ἐποίησε τὸ παράνομον, καὶ ἕτοιμός ἐστιν ἀποστῆναι τοῦ γάμου, τοῦτο καὶ τῆς γυναικὸς βουλομένης· καὶ ἐζήτει ἀφιστάμενος δεχθῆναι. Πρὸς ταῦτα οὖν ἔφη ὁ Θεόφιλος, ὡς ἂν ἐξετάσας εὑρήσεις, ὅτι ἐκ συμφώνου, ἀντὶ τοῦ ἐκ κοινῆς βουλῆς, ἀφίστανται τοῦ γάμου, καὶ οὐκ ἀπατῶσι, δεκαετίαν συνοικήσαντες ἀλλήλοις, δυσχερὲς ἴσως ἂν λογίζοιτο αὐτοῖς ἡ διάζευξις, καὶ μήποτε ἀπατῶσιν. Εἰ σκοπεῖς, ἀντὶ τοῦ εἰ κρίνεις μετὰ τῶν κατηχουμένων αὐτοὺς ἱστασθαι B εἴως, ἤγουν πρὸς τὸ παρὸν, οὕτως αὐτὸν οἰκονόμησον. Εἰ δὲ νοεῖς, φησὶν, ὅτι κατὰ ἀπάτην λέγουσι ταῦτα, καὶ ὅτι ἔτι δέονται στύψεως, ἤτοι αὐστηροτέρων ἐπιτιμίων, ποίησον ὅπερ ἂν ὁ Θεὸς ὑποβάλῃ σοι, ἀντὶ τοῦ ἐνηχήσῃ τῷ λογισμῷ σου, ὅπερ ὁ Θεὸς ἐνθυμήσει σε, πανταχοῦ πρὸς τὸ ἐπέχον ὁδηγούμενος, ἤτοι πρὸς τὸ ἐπικρατοῦν ἢ τὸ κατεπεῖγον.

BALS. Maximus quidam, ut illicito matrimonio mulieri conjunctus segregatus fuerat, et a congregatione cum fidelibus prohibebatur. Is vero dicebat se per ignorantiam fecisse contra leges, et paratum esse ab hoc matrimonio recedere, muliere etiam volente; et petebat, ut ab ea abscedens admitteretur. Ad hæc ergo dicit Theophilus, quod si inquirens inveneris eos ex consensu, hoc est, communi consilio, a matrimonio absistere, et non fallere, cum decem annis simul cohabitarint, difficilis forsan iis existimari posset a se invicem disjunctio, et ne fallant. Si consideras, hoc est, si judicas eos stare debere cum catechumenis, nunc, id est in præsentia, sic eos dispensa. Quod si intellexeris, inquit, quod per fraudem hæc dicunt, et quod adhuc acerbitate indigent, seu acerbioribus pœnis, fac quod Deus tibi suggesserit, hoc est, tuæ menti inspiraverit, quod in animum immiserit Deus, semper id quod est in usu et quod vires obtinet sequens, id est, quod magis est ratum ac validum.

ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΑ ΕΠΙΣΚΟΠΩ.

175 EJUSDEM
MENÆ EPISCOPO.

Νόμιμον πρᾶγμα πεποιήκασιν οἱ πρεσβύτεροι ἐν Γεμίνῳ τῇ κώμῃ, εἰ ἀληθεύει ἡ κομίζουσα τὸ γράμμα Εὐσταθοῦς. Φάσκει γὰρ, ὅτι Κυράδιον ἀδικοῦσαν καὶ μὴ βουλομένην ἀναστεῖλαι τὴν ἀδικίαν, ἐχώρισαν τῆς συνάξεως. Ἐπειδὴ τοίνυν εὗρον, ὡς τὸ ἑαυτῆς κακὸν θεραπεύουσα βούλεται συναχθῆναι, θέλησον παρασκευάσαι αὐτὴν ἀποθέσθαι πρῶτον τὴν ἀδικίαν, καὶ πεῖσαι μετανοῆσαι, ἵν' οὕτως, εἰ συνίδῃς ὅτι νόμῳ Θεοῦ προσέρχεται τῆς συνάξεως ὀρεγομένη, ἐπιτρέψῃς αὐτὴν μετὰ τῶν λαῶν συνάγεσθαι.

C *Rem justam fecerant presbyteri in Gemino pago, si verum dicit, quæ defert litteras Eustathii. Dicit enim, quod Cyradium facientem injuriam, nec ab ea desistere volentem, a communione separaverunt. Quia ergo inveni, quod suo malo curam adhibens vult communicare, fac ea ita se comparet, ut injuriam primum deponat, et pœnitentiam agere in animum inducat, ut si sic intellexeris, quod accedit, communionem desiderans, permittas ei ut cum populis communicet.*

ΒΑΛΣ. Γυναῖκά τινα Κυράδιον λεγομένην καὶ ἀδικοῦσαν οἱ ἐν Γεμίνῳ πρεσβύτεροι ἀφώρισαν τῆς Ἐκκλησίας, μὴ ἀπεχομένην τῆς ἀδικίας. Ἡ δὲ, διὰ τὸν ἀφορισμὸν, ὑπισχνεῖτο θεραπεῦσαι τὴν ἀδικίαν, καὶ ἤθελε δεχθῆναι. Γράφει οὖν ὁ Θεόφιλος πρὸς τὸν τῆς D χώρας ἐπίσκοπον, ὅτι Παρασκεύασον αὐτὴν ἀποθέσθαι πρῶτον τὴν ἀδικίαν, ἤγουν ἀποδοῦναι ἃ ἀδίκως ἐκτήσατο, καὶ μετανοῆσαι, ἀντὶ τοῦ ἐπὶ τῇ ἁμαρτίᾳ τῆς ἀδικίας μεταμεληθῆναι, καὶ δεηθῆναι τοῦ Θεοῦ ἀφεθῆναι αὐτῇ τὸ ἁμάρτημα. Καὶ ταῦτα ποιησάσης αὐτῆς, εἰ συνίδῃς, τουτέστι, γνῷς ὅτι νόμῳ Θεοῦ προσέρχεται, ἤγουν συνειδήσει ἀγαθῇ μὴ ἀνεχομένη κεχωρίσθαι τῆς τῶν πιστῶν συνάξεως, διὰ τὸν Θεὸν καὶ μὴ δι' αἰσχύνην ἀνθρώπων, τότε ἐπίτρεψον αὐτῇ τὴν μετὰ τῶν πιστῶν λαῶν σύναξιν καὶ σύστασιν ἐν τοῖς ὕμνοις.

BALS. Mulierem quamdam, quæ Cyradium appellabatur, et injuriam ante faciebat, qui erant in Gemino presbyteri ab Ecclesia separaverant, cum ab injuria non abstineret. Illa vero propter segregationem pollicebatur se injuriæ remedium allaturam, et ad communionem admitti volebat. Scribit ergo Theophilus ad episcopum regionis: Fac ut ea primum deponat injuriam, hoc est, reddat ea quæ injuste acquisivit, et pœnitentiam agat, id est, se injuriam fecisse ægre ferat, et Deum oret ut sibi peccata condonentur. Et cum hæc fecerit, si intellexeris, hoc est, si cognoveris, quod lege Dei accedit, seu bona conscientia, quæ non fert se a fidelium communione esse separatam, propter Deum, et non propter hominum pudorem, tunc ei permittes cum fidelibus populis communicare et in hymnis consistere.

Digitized by Google

BEATI NOSTRI PATRIS CYRILLI

ARCHIEPISCOPI ALEXANDRINI.

EPISTOLA CANONICA IN HYMNIS

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΠΙΣΤΟΛΗ ΚΑΝΟΝΙΚΗ ΕΝ ΤΟΙΣ ΥΜΝΟΙΣ.

Cyrillus ad Domnum.

Unaquæque res nostra, quando ordine canonico recta procedit, nullum quidem in nobis tumultum ingenerat, et a nonnullorum maledicentia liberat, vel potius eorum qui sapiunt laudem nobis conciliat. Quis enim non obviis, ut aiunt, ulnis excipiat de aliquibus prolatam sententiam, quæ nec huc nec illuc inclinetur? Vel quomodo non sit ab omni reprehensione alienum, vel potius magnopere laudandum, si recte et juste judicetur?

Et hæc quidem nunc scribo ad pietatem tuam, quæ in litteris ad me et religiosissimum fratrem nostrum et coepiscopum Proclum missis, episcopum quidem nominet, imprimis pium ac religiosum Petrum : cum ipse lamentetur, seque ab Ecclesia sibi attributa præter rationem ejectum esse dicat. Erat autem consentaneum ut vel sacerdotii nomen cum re haberet, vel, si non erat dignus ut altari præesset, nec ipsa quidem episcopatus vocatione dignus haberetur. Sed id fortasse quod dico, durum esse et charitatis expers videbitur. Res autem revera non ita se habet. Nos enim senis utique misereri putamus, si solum ei nomen reliquerimus ; sed multo melius erat aliud quoque considerare. Dicit enim se suam quidem posse causam probare, at defensionis tempus sibi non esse datum, nec auditionem canonicam sibi fuisse concessam. Sin autem tale quid factum esset, ipsa actorum productio eum convicisset reum impositorum ipsi criminum, nec esset quod se injuria affectum quereretur; vel certe absolutum eum declarans, rursus concederet ut præesset Ecclesiæ quæ illi subjecta fuit. Cum autem nihil factum sit ejusmodi, de re quidem alta voce queritur, et intolerabilem injuriam se dicit accepisse, et inique ejectum esse, adjiciens rem omnem familiarem suam ademptam sibi fuisse.

Tua itaque sanctitas, considerans et quod divinis canonibus sancitum est, et quod Ecclesiæ convenit, iisque qui sunt in sacro ministerio initiati, et nostrarum præterea litterarum rationem ducens, sistat senis lacrymas ; et si velit quidem cum iis judicio contendere qui crimina in eum intendunt, apud sanctitatem tuam pro more litiget, una scilicet assistentibus qui tibi subsunt episcopis, nisi forte aliquos recusat ut suspectos. Nullum enim religiosis-

Κύριλλος πρὸς Δόμνον.

Ἅπαντα τῶν καθ' ἡμᾶς πραγμάτων ὅταν εὐθὺ φέρηται κανονικῆς εὐταξίας, οὐδένα μὲν ἡμῖν ἐντίκτει θόρυβον, ἀπαλλάττει δὲ καὶ τῆς παρά τινων δυσφημίας, μᾶλλον δὲ καὶ τὰς παρὰ τῶν εὖ φρονούντων εὐφημίας ἡμῖν προξενεῖ. Τίς γὰρ οὐκ ἂν ἀποδέξαιτο ψῆφον ἀπροσκλινῆ, εἴπερ ἂν γίνοιτο παρά τινων; Ἢ πῶς τὸ κρίνειν ὀρθῶς καὶ ἐννόμως οὐκ ἀνεπίληκτον ἔσται, μᾶλλον δὲ παντὸς ἐπαίνου μεστόν;

Καὶ ταῦτα γράφω νυνὶ τῇ σῇ θεοσεβείᾳ, ἐν τοῖς ἑαυτῆς γράμμασι τοῖς σταλεῖσι πρὸς ἐμέ τε καὶ τὸν ὁσιώτατον καὶ θεοσεβέστατον ἀδελφὸν ἡμῶν καὶ συνεπίσκοπον Πρόκλον, ἐπίσκοπον μὲν ὀνομαζούσης τὸν εὐλαβέστατον καὶ θεοφιλέστατον Πέτρον· αὐτοῦ δὲ κλαίοντος, καὶ τῆς ἐκνεμηθείσης αὐτῷ Ἐκκλησίας παραλόγως κεκινῆσθαι λέγοντος. Ἦν δ' ἀκόλουθον ἢ τὸ τῆς ἱερωσύνης ὄνομα μετὰ τοῦ πράγματος ἔχειν αὐτὸν, ἤγουν εἴπερ μὴ ἦν ἄξιος τοῦ προεστάναι θείου θυσιαστηρίου, μηδ' αὐτῇ τιμᾶσθαι τῇ κλήσει τῆς ἐπισκοπῆς. Ἀλλ' ἴσως δόξειεν ἂν τῇ σῇ θεοφιλείᾳ σκληρὸς εἶναί τις καὶ ἀφιλάλληλος ὁ παρ' ἐμοῦ λόγος. Ἔχει δὲ οὐχ οὕτως κατὰ τὸ ἀληθές. Ἐλεῆσαι γὰρ τάχα που νομίζομεν τὸν πρεσβύτην μόνην αὐτῷ τὴν κλῆσιν ἀφέντες· μακρῷ δὲ ἦν ἄμεινον ἐννοῆσαι καὶ τὸ ἕτερον. Φάσκει γὰρ οὐ δύνασθαι μὲν συστῆναι τῇ οἰκείᾳ ὑπολήψει· οὐ λαβεῖν δὲ καιρὸν ἀπολογίας, οὔτε μὴν ἀκρόασιν αὐτῷ προτεθῆναι κανονικήν. Εἰ δ' ἐγεγόνει τι τοιοῦτον, αὐτὴ τῶν ὑπομνημάτων ἡ σύστασις διήλεγξεν ἂν αὐτὸν ἢ ἄλοντα τοῖς αἰτιάμασιν, ἢ ἔνοχον ἀποπεφασμένον καὶ οὐδὲν ἔχοντα λοιπὸν εἰπεῖν ὡς ἠδικημένον, ἤγουν ἐλεύθερον ἀποφήνασα, πάλιν ἀδίδου τὸ προεστάναι τῆς Ἐκκλησίας, ἢ καὶ ὑπὸ χεῖρα γέγονε τὴν αὐτοῦ. Οὐδενὸς δὲ πεπραγμένου τοιούτου, καταβοᾷ τοῦ πράγματος, καὶ ἀδικίαν ἀφόρητον ὑποστῆναί φησι, καὶ ἀθέσμως ἐκβεβλῆσθαι, προσεπάγων ὅτι καὶ ἡρπάγη πάντα τὰ προσόντα αὐτῷ χρήματα.

Ἡ σὴ τοιγαροῦν ὁσιότης, ἐννοοῦσα καὶ τὸ τοῖς θείοις κανόσι δοκοῦν, καὶ τὸ πρέπον τῇ Ἐκκλησίᾳ καὶ τοῖς τεταγμένοις εἰς ἱερὰν λειτουργίαν· ἔτι τε πρὸς τούτοις, καὶ τὰ παρ' ἡμῶν δυσωπηθεῖσα γράμματα, στησάτω τοῦ πρεσβύτου τὸ δάκρυον. Καὶ εἰ μὲν ἕλοιτο δικάσασθαι πρὸς τοὺς ἐπάγοντας αὐτῷ τὰς αἰτίας, δικαζέσθω κατὰ τὸ εἰωθὸς ἐπὶ τῆς θεοσεβείας· συμπαρόντων δηλονότι τῶν ὑπὸ τὴν αὐτῆς χεῖρα θεοσεβεστάτων ἐπισκόπων· ἐκτὸς εἰ μὴ παραιτοῖτό

Digitized by Google

τινας ὡς ὑπόπτους. Οὐδένα μὲν γὰρ τῶν θεοσεβεστάτων ἐπισκόπων ἐχθρὰ φρονεῖν ἀδελφῷ πιστεύομεν. Ἵνα δὲ μὴ πρόφασις αὐτῃ γένηται, τὴν ἐσομένην ἐπ' αὐτῷ κρίσιν παραλύουσα, πρὸς τὸ μὴ ἐν δίκῃ πεποιῆσθαι δοκεῖν, οὐδέν ἐστι τὸ λυποῦν ἀπεῖναι τοῦ συνεδρίου τῶν ἐν ὑποψίᾳ τινάς.

ΒΑΛΣ. Τὸ προοίμιον τῆς ἐπιστολῆς τοιαύτης ἐστὶν ἐννοίας. Φησὶν ὁ ἅγιος· Ὅτι τὰ καθ' ἡμᾶς πράγματα, τὰ ἐκκλησιαστικὰ δηλονότι, ἢ ἁπλῶς τὰ ἀνθρώπινα, ὅταν κατ' εὐθύτητα κανονικὴν διεξάγωνται, οὔτε θόρυβον ἡμῖν ἐπάγουσιν, οὔτε δυσφημίαν παρά τινων· ἀλλὰ μᾶλλον ἐπαίνους ἡμῖν προξενεῖ. Ἡ γὰρ ἀπροσκλινὴς κρίσις ἢ ἀρίστη, ἡ εὐθυτάτη, πᾶσίν ἐστιν ἀποδεκτέα· καὶ οὐ μόνον ἀνεπίπληκτόν ἐστιν, ἤγουν ἀκαταιτίατον, οὐκ ἐπιπλήξεως ἄξιον, τὸ κρίνειν ὀρθῶς, ἀλλὰ καὶ ἐπαινούμενον. Οὕτω δὲ προοιμιασάμενος φησὶν ὅτι Ταῦτα γράφω, ὅτι σὺ ἐπέστειλας ἡμῖν τὸν εὐλαβέστατον πρεσβύτερον ἐπίσκοπον ὀνομάσας· καὶ ταῦτα αὐτοῦ κλαίοντος, καὶ λέγοντος κεκινῆσθαι τῆς νεμηθείσης αὐτῷ ἐκκλησίας, ἤγουν ἐκβεβλῆσθαι τῆς δοθείσης αὐτῷ ἐπισκοπῆς. Ἦν δὲ ἀκόλουθον ἢ καὶ τὸ ὄνομα τοῦ ἐπισκόπου ἔχειν αὐτὸν καὶ τὸ πρᾶγμα, ἤγουν τὴν ἐπισκοπὴν καὶ τὴν ἐνέργειαν τοῦ ἐπισκόπου· ἢ εἰ μὴ ἦν ἄξιος προϊστασθαι θυσιαστηρίου, μηδὲ ἐπίσκοπον λέγεσθαι. Ἀλλ' ἴσως τοῦτο τὸ λεγόμενον ἂν σοι δόξῃ σκληρὸν, κἀγὼ ὁ λέγων αὐτὸ ἀφιλάλληλος· οὐκ ἔστι δὲ τοῦτο. Ἐλεῆσαι τάχα που νομίζομεν τὸν πρεσβύτην. Εἰσάγει δὲ ἐνταῦθα τὸν λόγον πληθυντικῶς, ὥσπερ καὶ περὶ αὐτοῦ λέγων ἃ λέγει, ἵνα ἀνεπαχθέστερος οὕτως εἴη ὁ λόγος, καὶ μὴ εἰς καταδρομὴν μόνου ἐκείνου δοκῇ γίνεσθαι. Καὶ ὡς ἐλεούντων ἡμῶν αὐτὸν, φησὶ, μόνη αὐτῷ κατελείφθη ἡ κλῆσις τοῦ ἐπισκόπου. Πολλῷ δὲ ἦν κρεῖσσον ἐννοῆσαι καὶ τὸ ἕτερον. Ποῖον τοῦτο; Οὐ δοθῆναι αὐτῷ καιρὸν ἀπολογίας, καὶ ἀκρόασιν προστεθῆναι κανονικὴν, ἤγουν δικαστήριον συνοδικόν. Λέγει γὰρ δύνασθαι συστῆναι τῇ οἰκείᾳ ὑπολήψει, ἀντὶ τοῦ ἀναίτιον ἑαυτὸν ἀποδεῖξαι. Εἰ δὲ ἐγένετο ταῦτα, αὐτὰ τὰ ὑπομνήματα, τὰ ἐπὶ τῇ ἐξετάσει γενόμενα, ἤλεγξαν ἂν αὐτὸν, ἢ κεχρατημένον, καὶ ἔνοχον τοῖς αἰτιάμασι, καὶ μὴ δυνάμενον λέγειν ὅτι ἠδίκηται, ἢ ἐὰν ἀνεύθυνος ἐφάνη, πάλιν ἐδίδοτο αὐτῷ ἡ προστασία τῆς Ἐκκλησίας. Ὅτι δὲ οὐκ ἐγένετο τοιοῦτόν τι καταβοᾷ ὡς ἀδικηθεὶς καὶ παρανόμως ἐκβληθεὶς, λέγων ὅτι καὶ ἡρπάγησαν ὅσα εἶχε χρήματα. Σὺ τοίνυν, τῷ Δόμνῳ γράφει ὁ ἅγιος, εἰδὼς καὶ τοὺς θείους κανόνας καὶ τὸ πρέπον τῇ Ἐκκλησίᾳ καὶ τοῖς λειτουργοῖς τοῦ Θεοῦ, ἤγουν τὸ δικαιοπραγεῖν, δυσωπηθεὶς δὲ καὶ τὴν ἡμετέραν γραφὴν, στῆσον τοῦ πρεσβύτου τὸ δάκρυον, καὶ εἰ θελήσει συνδικασθῆναι τοῖς κατηγόροις αὐτοῦ, δικασθήτω παρά σοι καὶ τοῖς ὑπό σε ἐπισκόποις· εἰ δέ τινας ὑπόπτους ἔχει τῶν ἐπισκόπων, ὡς μὴ καλῶς διακειμένους πρὸς αὐτὸν, καὶ παραιτεῖται αὐτοὺς ἐκεῖνοι μὴ παρίστωσαν εἰς τὸ δικαστήριον. Ἡμεῖς μὲν γὰρ, φησὶν, οὐδένα τῶν ἐπισκόπων ἔχθραν ἔχειν πιστεύομεν κατὰ ἀδελφοῦ, οὐδὲ διὰ τοῦτο κωλύομεν αὐτοὺς συνδικάσαι ἡμῖν· ἵνα δὲ μὴ τοῦτο ἀφορμὴ γένηται τοῦ μὴ δικασθῆναι αὐτὸν, ἐκεῖνοι ἀπίτωσαν συνεδρίου.

simorum episcoporum in fratrem inimico esse animo credimus. Ne autem hic prætextus futurum de eo judicium dissolvat, ut non jure factum esse videatur, non grave est a consessu abesse eorum qui suspecti sunt aliquos.

BALS. Proœmium epistolæ hunc habet sensum. Dicit sanctus : Res nostræ, scilicet ecclesiasticæ, vel simpliciter humanæ, quando canonica rectitudine procedunt, nec nobis tumultum ingenerant, nec aliquorum maledicta, sed laudes nobis potius conciliant. Judicium enim, quod nec huc nec illuc inclinat nec propendet, sed est rectissimum, est ab omnibus suscipiendum; et non **176** solum non est a vituperatione et accusatione alienum, reprehensione indignum, recte judicare ; sed etiam laudandum. Hoc usus proœmio dicit : Hæc scribo, quia tu ad nos misisti, religiosissimum presbyterum episcopum nominans : cum ipse interim defleat, et dicat se a possessa sibi ecclesia ejectum esse, seu a sibi dato episcopatu expulsum. Erat autem consentaneum, ut vel nomen haberet episcopi, et rem, seu episcopatum et episcopi munus : vel si non erat dignus qui altari præesset, nec episcopus quidem diceretur. Sed fortasse id, quod dictum est, tibi videatur durum, et ego quoque, qui id dico, immisericors : sed non ita est. Nos enim senis utique nos misereri putamus. Orationem autem pluraliter enuntiat, tanquam de se ipso quoque dicens quæ dicit, ut sic minus esset molesta oratio, et non ad ejus solius insectationem facta esse videretur. Et nobis ipsius veluti miserantibus, inquit, sola ipsi episcopi appellatio relicta est. Multo autem erat melius aliud quoque considerare. Quale illud ? Non fuisse ei datum tempus defensionis, nec fuisse propositam defensionem canonicam, seu synodale judicium. Dicit enim se posse causam suam probare, id est se innocentem ostendere. Sin autem hæc facta essent, ipsa acta, quæ in examinatione facta sunt, ipsum vel esse evictum et criminibus obnoxium, nec posse se injuria affectum esse dicere ostenderent; vel si innocens apparuisset, ei concessum esset, ut rursus præesset Ecclesiæ. Quia autem nihil tale factum est, se injuria affectum esse vociferatur, et præter leges ejectum, dicens quascunque etiam habebat pecunias ablatas. Tu ergo, scribit sanctus ad Domnum, qui scis et divinos canones, et quod convenit Ecclesiæ et Dei ministris, nempe juste agere, nostrarum etiam litterarum rationem ducens, reprime senis lacrymas, et si velit cum suis accusatoribus judicio contendere, apud te et qui tibi subsunt episcopos litiget : sin autem episcoporum aliquos suspectos habeat, ut non bene in ipsum affectos, et eos recuset, illi in judicio non adsint. Nos enim, inquit, nullum episcopum inimicitias habere adversus fratrem credimus, nec propterea vetamus ne illi nobiscum una judicent : sed ne hoc sit occasio, quominus ipse in judicio causans non agat, illi a consessu recedant.

Digitized by Google

Pecuniam autem quæ per injuriam ipsi erepta est, A duplici nomine ei reddi æquum est. Primum quidem quod nec tale quid omnino fieri oportebat : **177** et quod valde male habet magnaque tristitia afficit sanctissimos episcopos qui sunt ubique terrarum, quod sumptuum qui illis eveniunt dispensationis ratio ab eis exigatur, sive ex ecclesiasticis redditibus, sive ex fructu aliunde percepto. Unusquisque enim nostrum dabit suorum malorum rationem omnium judici. Vasa enim pretiosa et possessiones immobiles oportet servari Ecclesiis ; episcopis autem qui tunc temporis divinum sacerdotium administrant, incidentium sumptuum dispensationem secure credi.

Τὰ δὲ ἀδίκως ληφθέντα παρ' αὐτοῦ χρήματα, ἀνεδοθῆναι δίκαιον κατὰ δύο τρόπους. Πρῶτον μὲν ὅτι οὐδὲ ἐχρῆν ὅλως γενέσθαι τι τοιοῦτον· καὶ ὅτι λυπεῖ σφόδρα καὶ εἰς ἐσχάτην ἀκηδίαν καταφέρει τοὺς ἁπανταχόσε γῆς ὄντας θεοσεβεστάτους τὸ ἀπαιτεῖσθαι λόγους τῆς οἰκονομίας τῶν παραπιπτόντων αὐτοῖς ἀναλωμάτων, εἴτε ἐκ προσόδων ἐκκλησιαστικῶν, εἴτ' οὖν καὶ ἀπὸ τῆς τινων καρποφορίας. Ἕκαστος γὰρ ἡμῶν τῶν ἰδίων κακῶν δώσει λόγον τῷ πάντων κριτῇ. Κειμήλια μὲν γὰρ καὶ κτήσεις ἀκινήτους ταῖς Ἐκκλησίαις σώζεσθαι χρή· θαρσεῖσθαι δὲ τοῖς κατὰ καιρὸν τὴν θείαν διέπουσιν ἱερωσύνην τῶν παραπιπτόντων ἀναλωμάτων τὴν οἰκονομίαν.

BALS. Res autem, inquit, quæ ablatæ sunt, duabus ei de causis reddendæ sunt, una quidem, quod omnino iniquum est ullam earum factam ablationem ; altera vero, quod omnes episcopos male habet, et molestia afficit, quod ab eis ratio administrationis eorum sumptuum quæ incidunt sive obveniunt exigatur, undecunque pecuniæ obveniant, sive ex ecclesiasticis redditibus, sive ex fructu alicunde percepto, quibusdam scilicet oblationibus. Nam unusquisque nostrorum, inquit, episcoporum, rationem administrationis rerum suæ Ecclesiæ, pro suis temporibus, hoc est, pro tempore quo fuit episcopus, Deo reddet. Vasa enim pretiosa ecclesiarum, seu sacra, et reliqua Deo consecrata, et possessiones immobiles, non sunt alienabilia, et ecclesiis servantur ; ecclesiasticorum autem reddituum administrationem secure credi audacterque committi debere illis, qui statis temporibus sunt episcopi. B C

ΒΑΛΣ. Ἃ δέ, φησὶν, ἀφῃρέθη πράγματα, δίκαιόν ἐστιν ἀποδοθῆναι αὐτῷ κατὰ δύο τρόπους· ἕνα μὲν, ὅτι καὶ τὸ ὅλως γενέσθαι τὴν ἀφαίρεσιν αὐτῶν ἄδικόν ἐστιν· ἕτερον δὲ, ὅτι πάντας τοὺς ἐπισκόπους σφόδρα λυπεῖ, καὶ ἀκηδίαν ἐμβάλλει, τὸ λογοπραγεῖσθαι αὐτοὺς ἐπὶ τῇ οἰκονομίᾳ τῶν παραπιπτόντων ἤτοι συμβαινόντων ἀναλωμάτων, ὅθεν ἂν τὰ χρήματα περιέλθωσιν, εἴτε ἐκ προσόδων ἐκκλησιαστικῶν, εἴτε καρποφορίας, ἤτοι προσαγωγῶν τινων. Ἕκαστος γὰρ, φησὶ, τῶν ἐπισκόπων ἡμῶν τῷ Θεῷ δώσει λόγον περὶ τῆς διοικήσεως τῶν πραγμάτων τῆς Ἐκκλησίας αὐτοῦ ὑπὲρ τῶν ἰδίων καιρῶν, τουτέστιν ὑπὲρ τοῦ καιροῦ καθ' ὃν ἦν ἐπίσκοπος. Τὰ μὲν γὰρ κειμήλια τῶν ἐκκλησιῶν ἤτοι τὰ ἱερὰ καὶ τὰ λοιπὰ ἀναθήματα καὶ τὰς ἀκινήτους κτήσεις ἀνεκποιήτους ἐνδείκνυται εἶναι, καὶ φυλάττεσθαι ταῖς ἐκκλησίαις· τὴν δὲ οἰκονομίαν τῶν ἐξόδων τῶν ἐν ταῖς ἐκκλησίαις θαρσεῖσθαι, ἀντὶ τοῦ μετὰ θάρσους ἐμπιστεύεσθαι, τοῖς κατὰ καιροὺς ἐπισκόποις.

Renuntiationis autem libellos non sua voluntate, sed veluti vi ac metu, et aliquorum minis se tradidisse dicit. Jam vero alia quoque res est, quæ ecclesiasticæ consuetudini non placet, offerre sacerdotes aliquos renuntiationis libellos. Nam si sunt digni qui sacra mysteria obeant, in iis maneant ; sin autem indigni, nec per renuntiationem quidem exeant, sed potius propter gesta condemnati, de quibus quisquam conquestus fuerit uti a recto ordine aberrantibus. Saluta fraternitatem quæ apud te est; quæ est apud nos, te in Domino salutat. D

Τοὺς δὲ τῆς παραιτήσεως λιβέλλους οὐ κατὰ προαίρεσιν οἰκείαν, ἀλλ' ὡς ἐξ ἀνάγκης καὶ φόβου καὶ τῆς τινων ἀπειλῆς ἐπιδοῦναί φησι. Καὶ ἕτερον δὲ πρᾶγμά ἐστιν οὔτε τοῖς τῆς Ἐκκλησίας ἀρέσκον θεσμοῖς, τὸ λιβέλλους παραιτήσεων προσάγειν τινὰς τῶν ἱερουργῶν. Εἰ γάρ εἰσιν ἄξιοι τοῦ λειτουργεῖν, ἑστωσαν ἐν τούτῳ· εἰ δ' ἀνάξιοι, μὴ ἀπὸ παραιτήσεως ἐξίτωσαν, κατεγνωσμένοι δὲ μᾶλλον ἐπὶ πράγμασιν, ὧν ἄν τις πολλὴν ποιήσαιτο τὴν καταβοὴν, ὡς ἔξω τρεχόντων πάσης ἀκολουθίας. Πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα· σὲ ἡ σὺν ἡμῖν ἐν Κυρίῳ προσαγορεύει.

BALS. Allata quoque erat episcopi renuntiatio, de quo scripsit hic magnus Pater. De eo ergo dicit : Episcopus ait se non sponte renuntiationis scriptum dedisse, sed necessitate propter metum et quorumdam minas. Deinde subjungit, quod etiamsi alioqui eum sua sponte renuntiasse putemus, est tamen irritum, ut quod ecclesiasticis legibus non placeat, ut scilicet sacerdotes suis Ecclesiis renuntient. Si sint enim digni, inquit, qui sacra mysteria obeant, in iis maneant, et non admittantur ut renuntiantes : sin autem indigni nec per renuntiationem exeant, nec recedant ut renuntiantes, sed ut rebus ipsis condemnati : de quibus multam quis exclamationem fecerit,

ΒΑΛΣ. Καὶ παραίτησις ἐφέρετο τοῦ ἐπισκόπου, περὶ οὗ ἔγραψεν ὁ μέγας οὗτος Πατήρ. Λέγει οὖν καὶ περὶ τούτου ὅτι φησὶν ὁ ἐπίσκοπος ὡς οὐκ ἐκουσίως τὸ τῆς παραιτήσεως ἔγραφον δέδωκεν, ἀλλ' ἐξ ἀνάγκης διὰ φόβον καὶ ἀπειλάς τινων. Εἶτα ἐπάγει ὅτι καὶ ἄλλως δέ, κἂν δοκῶμεν ὡς ἑκὼν παρῃτήσατο, καὶ τοῦτο ἀνίσχυρον ἐστὶν, ὡς μὴ τοῖς θεσμοῖς τῆς Ἐκκλησίας ἀρέσκον, τὸ παραιτεῖσθαι τοὺς ἱερουργοὺς τὰς ἐκκλησίας αὐτῶν. Ἄξιοι μὲν γὰρ, φησὶν, ὄντες τοῦ ἱερουργεῖν, ἑστωσαν ἐν τούτῳ, καὶ μὴ παραδεχέσθωσαν ὡς παραιτούμενοι· ἀνάξιοι δὲ ὄντες μὴ ἀπὸ παραιτήσεως ἐξίτωσαν, μηδ' ὑποχωρείτωσαν ὡς παραιτούμενοι, ἀλλ' ὡς κατεγνωσμένοι ἐπὶ

Digitized by Google

πράγμασιν, ὧν ἄν τις πολλὴν ποιήσαιτο καταβοήν, τοὐτέστιν ἀξίων καταβοᾶσθαι, ὡς μὴ τηρούντων ἀκρίβειαν καὶ ἀκολουθίαν ἐκκλησιαστικήν· ἢ τὸ ὧν πολλήν τις ποήσαιτο καταβοήν, περὶ τῶν παραιτουμένων μᾶλλον εἰρῆσθαι νοηθήσεται.

A hoc est, quæ dignæ sunt de quibus exclametur, ut quæ ecclesiasticam accurationem et consequentiam non servent: vel illud: De quibus multam quis exclamationem fecerit; de iis qui renuntiant potius dici intelligetur.

ΤΟΥ ΑΥΤΟΥ

ΤΟΙΣ ΚΑΤΑ ΛΙΒΥΗΝ ΚΑΙ ΠΕΝΤΑΠΟΛΙΝ ΕΠΙΣΚΟΠΟΙΣ.

178 EJUSDEM

EPISCOPIS QUI SUNT IN LIBYA ET PENTAPOLI.

Παντὸς τοῦ χρησίμου καὶ ἀναγκαίου πρὸς οἰκοδομὴν τῶν λαῶν, τελοῦντος δὲ καὶ εἰς ὑπόληψιν τῶν ἁγίων Ἐκκλησιῶν, φροντίδα ποιεῖσθαι χρή. Γέγραπται γάρ, ὅτι « Εὐλαβεῖς ποιεῖτε τοὺς υἱοὺς Ἰσραήλ. » Μοναστηρίων τοίνυν Πατέρες τῶν κατὰ τὴν Θηβαΐων ἐπαρχίαν, ἄνδρες εὐλαβεῖς καὶ οὐκ ἀθαύμαστον ἔχοντες πολιτείαν, ἐλθόντες ἐν Ἀλεξανδρείᾳ, ἐρωτώμενοι παρ' ἐμοῦ τὴν κατάστασιν τῶν αὐτόσε μοναστηρίων, ἐδίδαξκον, ὅτι σκανδαλίζονται πολλοὶ διὰ τὴν τοιαύτην αἰτίαν.

Νεωστὶ γεγαμηκότες τινὲς καὶ οἷον ἐξ αὐτῶν καταβάντες τῶν νυμφώνων, συναρπάζουσί τινας τῶν θεοφιλεστάτων ἐπισκόπων, καὶ οὐδενὸς τάχα που τὰ κατ' αὐτοὺς καταγγέλλοντος, χειροτονοῦνται κληρικοὶ, ἦγουν πρεσβύτεροι. Ἕτεροι δέ τινες ἐξ αὐτῶν τῶν μοναστηρίων ὡς ἄτακτοι ἐκβαλλόμενοι, πάλιν ὑποτρέχουσι τὰς χειροτονίας, καὶ γενόμενοι κληρικοὶ, εἰσέρχονται καὶ ἐν αὐτοῖς τοῖς μοναστηρίοις ὅθεν ἐκβέβληνται, καὶ βούλονται προσφέρειν, καὶ ὅσα κληρικοῖς ἔθος πληροῦν, καὶ ταῦτα δρᾶν, ὡς καί τινας τῶν εἰδότων αὐτοὺς παραιτεῖσθαι καὶ τὰς συνάξεις, καὶ μὴ ἀνέχεσθαι κοινωνεῖν λειτουργούντων ἐκείνων.

Ἐπειδὴ τοίνυν πρὸς οἰκοδομὴν, ὡς ἔφην, τῶν λαῶν πάντα χρὴ πράττεσθαι παρ' ἡμῶν, ἐπιτηρείτω ταῦτα ἡ θεοσέβεια ὑμῶν· καὶ εἰ μέλλει τις χειροτονεῖσθαι κληρικὸς, περιεργαζέσθω τὸν βίον αὐτοῦ, καὶ πότερόν ποτε γαμετὴν ἔχει ἢ οὔ, καὶ πῶς καὶ πότε ἠγάγετο, καὶ εἰ μή τίς ἐστι τῶν ἐκβαλλομένων, ἢ παρ' ἑτέρου θεοσεβεστάτου ἐπισκόπου, ἢ ἐκ μοναστηρίου, καὶ τότε χειροτονείτω, ἀδιάβλητον εὑρεθέντα. Τηρήσομεν γὰρ οὕτω καὶ τὸ ἑαυτῶν συνειδὸς καθαρὸν, καὶ ἀδιάβλητον τὴν ἱερὰν καὶ σεπτὴν λειτουργίαν. Ἐὰν δὲ χωρισμὸν ὑπομείνωσί τινες ἐπιτιμηθέντες πταισμάτων ἕνεκα, εἶτα μέλλωσι τελευτᾷν κατηχούμενοι ὄντες, βαπτιζέσθωσαν, καὶ μὴ ἀποδημείτωσαν τῶν ἀνθρωπίνων ἀμέτοχοι τῆς χάριτος, ἦγουν ἀκοινώνητοι. Δοκεῖ γὰρ προσέχειν καὶ τοῦτο τοῖς τῆς Ἐκκλησίας θεσμοῖς. Προσείπατε τὴν παρ' ὑμῖν ἀδελφότητα· ὑμᾶς ἡ σὺν ἡμῖν ἐν Κυρίῳ προσαγορεύει.

ΒΑΛΣ. Τὸ ἀκοινώνητοι ἐνταῦθα ὁ ἅγιος οὐ μόνον περὶ τῆς ἁγίας μεταλήψεως λέγει, οὐ γὰρ ἀξιωθήσονται τῶν θείων μυστηρίων πρὸ τοῦ βαπτίσματος·

[1] Josue VII, 13.

Cujuslibet rei, quæ ad populorum ædificationem utilis est, et necessaria, et ad sanctarum etiam Ecclesiarum existimationem confert, cura gerenda est. Scriptum est enim: « Sanctos facite filios Israel [1]. » Patres itaque monasteriorum quæ sunt in Thebanorum provincia, viri pii ac sancti, ac satis admirabilem vitæ formam et institutionem habentes, cum Alexandriam venissent, a me interrogati de monasteriorum quæ illic sunt constitutione, docuerunt multos offendi propter hanc causam.

Quidam qui uxores recenter duxerunt, et ex ipsis veluti thalamis egressi, aliquos ex sanctissimis episcopis arripiunt, et nullo de eis utique renuntiante, ordinantur clerici seu presbyteri. Aliqui autem alii ex ipsis monasteriis, ut immodesti insolentesque ejecti, rursus ordinationes captant; et facti clerici, in ea ipsa monasteria ingrediuntur ex quibus ejecti sunt, et volunt oblationem agere et ea omnia facere quæ mos est clericis, ut etiam aliqui eorum qui ipsos norunt, synaxes devitent, et communicare in animum non inducant illis ministrantibus.

Quoniam ergo ad ædificationem, ut dixi, populorum, omnia a nobis facienda sunt, hæc vestra observet pietas; et si est quidem ordinandus clericus, de vita ejus inquirat, et an uxorem habeat, an non, et quonam modo duxit, et abstinuit, et si non est aliquis ex iis qui ejecti sunt a sanctissimo episcopo vel ex monasterio: tunc si inculpatus inventus fuerit, ordinet. Ita enim et nostram conscientiam puram conservabimus, et inculpatum sacrum ac venerabile mysterium. Sin autem segregationem aliqui sustinuerint propter lapsus puniti, deinde sint morituri exsistentes catechumeni, baptizentur, et ne ab humanis excedant gratiæ non participes, scilicet communione carentes. Videtur enim hoc quoque Ecclesiæ consuetudini adhærere. Salutate eam quæ est apud vos fraternitatem; quæ nobiscum est vos in Domino salutat.

BALS. Communione carere sanctus hic non solum dicit de sancta participatione; neque enim ante baptismum divinis mysteriis digni habebuntur: sed

Digitized by Google

etiam de ipso loquitur baptismo. Antequam enim baptizatus fuerit, non assequetur ut cum fidelibus consistat; quæ et ipsa communio in diversis canonibus dicta est. Et ideo hoc quoque adjecit: Videtur enim hoc etiam Ecclesiæ ritibus adhærere. Hoc enim, inquit, est legitimum et ecclesiasticum, ut una cum fidelibus in precibus non consistant omnino catechumeni, vel ii quibus pœna est imposita.

A ἀλλὰ καὶ περὶ αὐτοῦ φησὶ τοῦ βαπτίσματος. Ἐπεὶ πρὸ τοῦ βαπτισθῆναι οὐδὲ τῆς μετὰ τῶν πιστῶν συστάσεως τεύξεται· ἥτις καὶ αὐτὴ κοινωνία ἐν διαφόροις εἴρηται κανόσι. Διὸ καὶ τὸ, Δοκεῖ γὰρ προσέχειν καὶ τοῦτο τοῖς τῆς Ἐκκλησίας θεσμοῖς, προσέθετο. Καὶ τοῦτο γὰρ, φησὶ, νόμιμον καὶ ἐκκλησιαστικόν ἐστι, τὸ μὴ συνίστασθαι τοῖς πιστοῖς ἐν ταῖς εὐχαῖς διόλου τοὺς κατηχουμένους ἢ τοὺς ἐπιτιμωμένους.

ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ

ΕΚ ΤΩΝ ΕΜΜΕΤΡΩΝ ΑΥΤΟΥ ΠΟΙΗΜΑΤΩΝ,

ΠΕΡΙ ΤΟΥ ΤΙΝΑ ΧΡΗ ΑΝΑΓΙΝΩΣΚΕΣΘΑΙ ΒΙΒΛΙΑ ΤΗΣ ΠΑΛΑΙΑΣ ΚΑΙ ΝΕΑΣ ΔΙΑΘΗΚΗΣ.

—

SANCTI GREGORII THEOLOGI

EX METRICIS EJUS POEMATIBUS

QUINAM LIBRI SINT LEGENDI VETERIS TESTAMENTI ET NOVI.

—

At, tua ne libris faliatur mens alienis
(Namque ascriptitii multi falsique vagantur),
Hunc habeas certum numerum, a me, lector amice.
Bisseni libri Veteris sunt Fœderis omnes
Historici. Genesis primus liber. Exodus inde
Leviticus, Numeri, Legis tunc scita Secundæ.
Post Jesus, Critæ, Ruth, Regum gestaque bini
Describunt libri. Sequitur liber ille, vocatur
Qui Paralipomenon. Cunctorum est ultimus Esdras
Quinque metris constant, Job, David, tres Salomonis,
179 Concio, et insignes Cantus, Proverbia sacra.
Quinque prophetarum sunt libri rursus, in uno
Bisseni vates sunt juncti, nomina quorum,
Oseas, Amos, Michæas tertius, inde
Joel, ac Jonas, Abdias sextus, at hunc post
Naumque, Habbacucque octavus. Tum Sophonæus,
Aggæus, post Zacharias, atque ultimus horum
Malachias. Liber hos unus complectitur omnes;
Esaiam est alter, Jeremiam tertius autem.
Ezechiel quarto, Daniel post ordine quinto.

Hinc libros numerare duo datur atque viginti,

Tot nempe Hebrææ quot sunt elementa loquelæ.
Perge age jam Pacti libros numerare Recentis.
Matthæus Christi Hebræis miracula scripsit,
Ausonibus Marcus, Lucas at doctus Achivis,
Cunctis Joannes, penetrans cœlestia mente.
Inclyta apostolicæ classis tum gesta sequuntur.
Hinc bis septenæ Litteræ, quas numine Paulus
Æthereo scripsit. Sequitur post una Jacobi
Atque duplex Petri, tres rursum auctore beato
Joanne; ac Judæ postremo est unica. Sunt hæc
Omnia divinæ germana volumina chartæ
Quidquid præterea est, haud inter certa locandum

Ὅφρα δὲ μὴ ξείνῃσι νόον κλέπτοιο βίβλοισι.
(Πολλαὶ γὰρ τελέθουσι παρέγγραπτοι κακότητες),
Λέχνυσο τοῦτον ἐμεῖο τὸν ἔγκριτον, ὦ φίλ', ἀριθμόν·
Ἱστορικαὶ μὲν ἔασι βίβλοι δυοκαίδεκα πᾶσαι
Τῆς ἀρχαιοτέρης Ἑβραϊκῆς σοφίης.
Πρωτίστη, Γένεσις, εἶτ' Ἔξοδος, Λευιτικόν τε.
Ἔπειτ' Ἀριθμοί. Εἶτα Δεύτερος Νόμος.
Ἔπειτ' Ἰησοῦς, καὶ Κριταί. Ῥοὺθ ὀγδόη.
Ἡ δ' ἐνάτη δεκάτη τε βίβλοι, Πράξεις βασιλήων,
Καὶ Παραλειπόμεναι. Ἔσχατον Ἔσδραν ἔχεις.
Αἱ δὲ στιχηραὶ πέντε, ὧν πρῶτός γ' Ἰὼβ·
Ἔπειτα Δαυΐδ. εἶτα τρεῖς Σολομωντίαι·
Ἐκκλησιαστὴς, Ἆσμα καὶ Παροιμίαι.
Καὶ πένθ' ὁμοίως Πνεύματος προφητικοῦ.
Μίαν μέν εἰσιν ἐς γραφὴν οἱ δώδεκα·
Ὡσηὲ κ' Ἀμὼς, καὶ Μιχαίας ὁ τρίτος·
Ἔπειτ' Ἰωὴλ, εἶτ' Ἰωνᾶς, Ἀβδίας,
Ναούμ τε Ἀββακούμ τε, καὶ Σοφονίας,
Ἀγγαῖος, εἶτα Ζαχαρίας, Μαλαχίας.
Μία μὲν οἵδε. Δευτέρα δ' Ἡσαΐας.
Ἔπειθ' ὁ κλῃδεὶς Ἱερεμίας ἐκ βρέφους.
Εἶτ' Ἰεζεκιὴλ, καὶ Λανιήλου χάρις.
Ἀρχαίας μὲν ἔθηκα δύω καὶ εἴκοσι βίβλους,
Τοῖς τῶν Ἑβραίων γράμμασιν ἀντιθέτους.
Ἴδῃ δ' ἀρίθμει καὶ νέου μυστηρίου.
Ματθαῖος μὲν ἔγραψεν Ἑβραίοις θαύματα Χριστοῦ·
Μάρκος δ' Ἰταλίῃ, Λουκᾶς Ἀχαΐδι·
Πᾶσι δ' Ἰωάννης, κήρυξ μέγας, οὐρανοφοίτης.
Ἔπειτα Πράξεις τῶν σοφῶν ἀποστόλων.
Δέκα δὲ Παύλου τέσσαρές τ' Ἐπιστολαί.
Ἑπτὰ δὲ καθολικαί, ὧν, Ἰακώβου μία,
Δύω δὲ Πέτρου, τρεῖς δ' Ἰωάννου πάλιν·
Ἰούδα δ' ἐστὶν ἑβδόμη. Πάσας ἔχεις.
Εἴ τι δὲ τούτων ἐκτὸς, οὐκ ἐν γνησίαις.

Digitized by Google

ΒΑΛΣ. Ἵνα δὲ μὴ ἀλλοτρίαις τὸν νοῦν ἀπατᾷ βίβλοις. Πολλὰ γάρ εἰσι ψευδῶς γεγραμμένα, δέχου τοῦτον ἐμοῦ τὸν δεδοκιμασμένον, ὦ φίλε, ἀριθμόν. Ἱστορίας μὲν περιέχουσαι βίβλοι δώδεκα εἰσὶ, τῆς Παλαιᾶς δηλονότι Γραφῆς, καὶ αἱ βίβλοι τῶν Βασιλειῶν, εἰ τέσσαρες εἰσὶν, ἀλλ' εἰς δύο παραλαμβάνονται καὶ ἀριθμοῦνται· καὶ αἱ δώδεκα βίβλοι τῶν ἀπηριθμημένων προφητῶν, μία, φησὶ, λογίζονται. Τέσσαρες δὲ αἱ τῶν ἄλλων προφητῶν, ἑκάστη μία λογιζομένη. Τῆς μέν τοι ἀρχαίας ἦτοι τῆς Παλαιᾶς Γραφῆς ἔγραψε βίβλους κβ' τοῖς τῶν Ἑβραίων γράμμασιν ἀντιθέτους, ἤγουν ἰσοθέτους καὶ ἰσαρίθμους. Λαμβάνεται γὰρ ἡ ἀντὶ πρόθεσις καὶ ἐπὶ τοῦ ἴσου. Ὥσπερ λέγομεν ἀντίτεχνον τὸν ὁμότεχνον. Στοιχεῖα δὲ παρὰ τοῖς Ἑβραίοις κβ' λέγονται εἶναι. Ἀπαριθμήσας μέν τοι καὶ τὰ τῆς Νέας Γραφῆς βιβλία ὁ ἅγιος, ἐπήνεγκεν, ὅτι εἴ τι τούτων τῶν ἀπηριθμημένων ἔξω ἐστὶν, οὐ γνήσιον λογίζεται, ἀλλὰ νόθον.

BALS. Ne autem alienis libris mentem seducas. Multi enim sunt falso inscripti; cape, o amice, hunc numerum a me selectum, seu probatum et confirmatum. Sunt duodecim quidem libri, qui historias continent, antiquæ scilicet Scripturæ, et libri Regum, etiamsi sint quatuor, in duos tamen conferuntur et enumerantur, et duodecim libri prophetarum qui enumerantur, unus, inquit, reputantur. Quatuor autem libri aliorum prophetarum unusquisque unus reputatur. Porro Veteris sive Antiqui Testamenti scripsit duos et viginti libros, qui litteris Hebræorum respondent, sive æquivalentes et numero æquales sunt. Accipitur enim præpositio ἀντὶ, etiam pro *Æquali*; quemadmodum dicimus ἀντίτεχνον ὁμότεχνον, hoc est, eum qui est ejusdem artis. Elementa autem apud Hebræos esse dicuntur viginti duo. Cum autem novi quoque Testamenti libros enumerasset sanctus, subjunxit: Quod si quis est, præter eos qui sunt enumerati, non existimetur germanus, sed adulterinus.

ΤΟΥ ΑΓΙΟΥ ΑΜΦΙΛΟΧΙΟΥ

ΕΠΙΣΚΟΠΟΥ

ΕΚ ΤΩΝ ΠΡΟΣ ΣΕΛΕΥΚΟΝ ΙΑΜΒΩΝ ΠΕΡΙ ΤΗΣ ΑΥΤΗΣ ΥΠΟΘΕΣΕΩΣ.

SANCTI AMPHILOCHII

EPISCOPI

EX IAMBIS AD SELEUCUM DE EODEM ARGUMENTO.

Πλὴν ἀλλ' ἐκεῖνο προσμαθεῖν μάλιστά σοι
Προσῆκον· οὐχ ἅπασα βίβλος ἀσφαλὴς,
Ἡ σεμνὸν ὄνομα τῆς Γραφῆς κεκτημένη.
Εἰσὶν γὰρ, εἰσὶν ἴσθ' ὅτε ψευδώνυμοι
Βίβλοι· τινὲς μὲν ἔμμεσοι, καὶ γείτονες,
Ὡς ἄν τις εἴποι, τῶν ἀληθείας λόγων·
Αἱ δ' αὖ νόθοι τε καὶ λίαν ἐπισφαλεῖς,
Ὡς παράσημα καὶ νόθα νομίσματα,
Ἃ βασιλέως μὲν τὴν ἐπιγραφὴν φέρει,
Κίβδηλα δ' ἐστὶ, ταῖς ὕλαις δολούμενα.
Τούτων χάριν σοι τῶν θεοπνεύστων ἐρῶ
Βίβλων ἑκάστην· ὡς δ' ἂν εὐκρινῶς μάθῃς,
Τὰ; τῆς Παλαιᾶς πρῶτα Διαθήκης ἐρῶ.
Ἴλι Πεντάτευχος τὴν Κτίσιν, εἶτ' Ἔξοδον,
Λευϊτικὸν δὲ τὴν μέσην ἔχει βίβλον,
Μεθ' ἣν Ἀριθμοὺς, εἶτα Δευτερονόμιον.
Τούτοις Ἰησοῦν προστίθει, καὶ τοὺς Κριτάς.
Ἔπειτα τὴν Ῥοὺθ, Βασιλειῶν τε τέσσαρας
Βίβλους, Παραλειπομένων δέ γε ξυνωρίδα·
Ἔσδρας ἐπ' αὐταῖς πρῶτος, εἶθ' ὁ δεύτερος.
Ἓξ τῆς στιχηρὰς πέντε σοι βίβλους ἐρῶ·
Στεφάνους ἄθλοις ποικίλων παθῶν Ἰὼβ,

Ast illud etiam convenit te discere:
Non tutus omnis est liber, sacri Libri
In fronte nomen quisquis augustum gerit.
Sunt namque, falsum qui gerant nomen, libri.
Sunt medii, ab illis dissiti haud sane procul,
Quos esse veros nullus est qui deneget,
Ac rursus alii sunt nothi atque noxii,
Adulterinos cernere est nummos velut,
Inscriptionem regiam qui cum gerant,
Nothi tamen sunt, ære, non auro editi.
Ipse ergo sacri Codicis pandam tibi
Omnes libellos; quoque noscas planius,
Primum Vetusti Fœderis dicam libros.
In Pentateucho Genesim habes, et Exodum,
Leviticumque, sede qui media est situs,
Numeros; secunda Lex locum alterum obtinet.
His adde Iesum; mox sequuntur Judices,
Ruth deinde, Regum quatuor libri simul:
Paralipomenon adjice his libros duos:
At geminus Esdræ sequitur hos statim liber.
Tum quinque versu conditos libros habes,
Job cui palæstræ plurimæ cingunt caput,

Digitized by Google

Et mentis ægræ pharmacum Psalmos sacros,
Salomonis etiam tres libros, Parœmias,
Ecclesiasten, canticorum Cantica.
His ter quaternos junge jam vates simul,
Oseam, et Amos, atque Michæam insuper,
Quartumque Ioel, Abdiam, Jonam, typum
Reversi ad auras tertio a letho die,
Nahum, Abacucque, qui loco nono insidet,
Sophoniam, et Aggæum, Zachariam, ultimum,
Nomen duplex cui est, angelum Malachiam.
Post hos prophetæ disce qui sint quatuor :
Non trepidus ore primus est Isaias,
Alter Jeremias condolens, et mysticus
Ezechiel inde, et ultimo Daniel loco,
Robusque, dictis et simul, mire sagax.
Sunt qui libellum his copulent sanctæ Estheris.
Nunc jam Recentis audias Pacti libros :
Evangelistas quatuor solum cape.
Matthæus omnes anteit, Marcus statim,
Lucasque sequitur, quarta Ioanni datur
Sedes ; at aliis est prior, si dogmata
Spectes. Vocatur jure nam tonitrui
Proles : Dei nam maxime insonuit Λόγον.
Lucæ quoque librum jungito his rursum alterum,
Apostolorum Gesta qui fuse canit.
Electionis adde vas, Apostolum,
Qui præco celebris gentium semper fuit,
Scripsitque scite Litteras quatuordecim
Ad Christianos, civibus Romæ unicam,
Bimaris Corinthi scripsit ad cives duas,
Galatis et unam misit, unamque incolis
Ephesi, Philippis et Colossis unicam,
Thessalonicæ civibus binas, duas
Timotheo, et unam cum Tito Philemoni,
Unamque Hebræis denique, atque hanc ultimam,
Quidam licet sint qui notham hanc esse asserant,
Errore ducti : tota nam Paulum sapit.
Restat catholicas Litteras dicam ut tibi.
Has esse septem dictitant quidam : negant
Debere quidam suscipi plures tribus
Joannis unam, Petri et Jacobi unicam.
Joannis alii tres volunt, binas Petri
Recipi, et Judæ septimam. Rursum librum,
Arcana rerum detegit qui plurima,
Quidam inserendum Codici sacro asserunt :
Nothum esse major pars ait rursum altera.
Canon hic sacrati certus est voluminis.

A Ψαλμῶν τε βίβλον, ἐμμελὲς ψυχῆς ἄκος,
Τριῖς δ' αὖ Σολομῶντος τοῦ σοφοῦ, Παροιμίας,
Ἐκκλησιαστὴν, Ἆσμά τε τῶν ᾀσμάτων.
Ταύταις προφήτας προστίθει τοὺς δώδεκα,
Ὠσηὲ πρῶτον, εἶτ' Ἀμὼς τὸν δεύτερον
Μιχαίαν, Ἰωὴλ, Ἀβδίαν, καὶ τὸν τύπον
Ἰωνᾶν αὐτοῦ τοῦ τριημέρου πάθους.
Ναοὺμ μετ' αὐτοὺς, Ἀββακοὺμ, εἶτ' ἔννατον
Σοφονίαν, Ἀγγαῖόν τε καὶ Ζαχαρίαν,
Διώνυμόν τε ἄγγελον Μαλαχίαν.
Μεθ' οὓς προφήτας μάνθανε τοὺς τέσσαρας,
Παῤῥησιαστὴν τὸν μέγαν Ἡσαΐαν,
Ἱερεμίαν τε συμπαθῆ, καὶ μυστικὸν,
Ἰεζεκιὴλ, ἔσχατον δὲ Δανιὴλ,
B Τὸν αὐτὸν ἔργοις καὶ λόγοις σοφώτατον.
Τούτοις προσεγκρίνουσι τὴν Ἐσθὴρ τινες.
Καινῆς Διαθήκης ὥρα μοι βίβλους λέγειν.
Εὐαγγελιστὰς τέσσαρας δέχου μόνους,
Ματθαῖον, εἶτα Μάρκον, ᾧ Λουκᾶν τρίτον
Προσθεὶς, ἀρίθμει τὸν Ἰωάννην χρόνῳ
Τέταρτον, ἀλλὰ πρῶτον ὕψει δογμάτων.
Βροντῆς γὰρ υἱὸν τοῦτον εἰκότως καλῶ,
Μέγιστον ἠχήσαντα τῷ Θεοῦ Λόγῳ.
Δέχου δὲ βίβλον Λουκᾶ καὶ τὴν δευτέραν,
Τὴν τῶν καθολικῶν Πράξεων ἀποστόλων.
Τὸ *σκεῦος* ἐξῆς προστίθει *τῆς ἐκλογῆς*,
Τὸν τῶν ἐθνῶν κήρυκα, τὸν ἀπόστολον
Παῦλον, σοφῶς γράψαντα ταῖς Ἐκκλησίαις
Ἐπιστολὰς δὶς ἑπτὰ, Ῥωμαίων μίαν,
C Ἣ χρὴ συνάπτειν πρὸς Κορινθίους δύο,
Τὴν πρὸς Γαλάτας τε, καὶ τὴν πρὸς Ἐφεσίους, μεθ' ἣν
Τὴν ἐν Φιλίπποις, εἶτα τὴν γεγραμμένην
Κολοσσαεῦσι, Θεσσαλονικεῦσι δύο,
Δύο Τιμοθέῳ, Τίτῳ δὲ καὶ Φιλήμονι,
Μίαν ἑκατέρῳ, καὶ πρὸς Ἑβραίους μίαν.
Τινὲς δέ φασι τὴν πρὸς Ἑβραίους νόθον,
Οὐκ εὖ λέγοντες· γνησία γὰρ ἡ χάρις.
Εἶεν, τί λοιπόν; Καθολικῶν Ἐπιστολῶν
Τινὲς μὲν ἑπτά φασιν, οἱ δὲ τρεῖς μόνας
Χρῆναι δέχεσθαι, τὴν Ἰακώβου μίαν,
Μίαν δὲ Πέτρου, τὴν τ' Ἰωάννου μίαν.
Τινὲς δὲ τὰς τρεῖς, καὶ πρὸς αὐταῖς τὰς
Πέτρου δέχονται, τὴν Ἰούδα δ' ἑβδόμην.
D Τὴν δ' Ἀποκάλυψιν τὴν Ἰωάννου πάλιν
Τινὲς μὲν ἐγκρίνουσιν, οἱ πλείους δέ γε
Νόθον λέγουσιν. Οὗτος ἀψευδέστατος
Κανὼν ἂν εἴη τῶν θεοπνεύστων Γραφῶν,

Digitized by Google

ΕΓΚΥΚΛΙΟΣ ΕΠΙΣΤΟΛΗ ΓΕΝΝΑΔΙΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΚΑΙ ΤΗΣ ΣΥΝ ΑΥΤΩ ΑΓΙΑΣ ΣΥΝΟΔΟΥ

ΠΡΟΣ ΑΠΑΝΤΑΣ ΤΟΥΣ ΟΣΙΩΤΑΤΟΥΣ ΜΗΤΡΟΠΟΛΙΤΑΣ, ΚΑΙ ΠΡΟΣ ΤΟΝ ΠΑΠΠΑΝ ΡΩΜΗΣ.

—

[181] EPISTOLA ENCYCLICA GENNADII

PATRIARCHÆ CONSTANTINOPOLITANI

ET SANCTÆ CUM EO CONGREGATÆ SYNODI

AD SANCTISSIMOS OMNES METROPOLITANOS ET AD PAPAM URBIS ROMÆ.

—

Τῷ θεοφιλεστάτῳ συλλειτουργῷ τῷδε Γεννάδιος, καὶ ἡ ἐνθημοῦσα τῇ βασιλικῇ πόλει νέᾳ Ῥώμῃ, ἁγία σύνοδος.

Ὁ Δεσπότης ἡμῶν καὶ Θεὸς, καὶ Σωτὴρ Ἰησοῦς Χριστὸς ἐγχειρίσας τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς τοῦ Εὐαγγελίου τὸ κήρυγμα, καὶ διδασκάλους τούτους ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἀνθρώποις ἐξαποστείλας, παρεκελεύσατο διαῤῥήδην, ἣν εἰλήφασι παρ' αὐτοῦ δωρεὰν, ταύτης καὶ αὐτοὺς τοῖς ἀνθρώποις μεταδιδόναι δωρεὰν, μὴ κτωμένους ὑπὲρ αὐτῆς χαλκὸν, ἢ ἄργυρον, ἢ χρυσὸν, ἢ τινα περιουσίαν, ἄλλως ὅλως ὑλικὴν, ἢ γεώδη· μὴ γὰρ εἶναι τῶν ἐπουρανίων, καὶ πνευματικῶν χαρισμάτων ἀμοιβὴν, τὰ γηρὰ, καὶ ἐπίκηρα. Ταύτην τὴν ἐντολὴν, οὐ μόνον ἐκείνοις, ἀλλὰ καὶ ἡμῖν δι' ἐκείνων ἐνετείλατο, οὓς εἰς τὸν ἐκείνων βαθμόν τε, καὶ τόπον ὑπεισαγαγεῖν κατηξίωσε· καὶ δεῖ καθάπερ ἐκεῖνοι τότε, καὶ ἡμᾶς νῦν ἀκριβῶς φυλάττειν τε, καὶ παρατηρεῖν, καὶ μὴ σοφίζεσθαι τὰ ἄσοφα, μηδὲ κύβον ἀναῤῥίπτειν ἐπὶ κίνδυνον. *Δωρεὰν*, φησὶν, *ἐλάβετε, δωρεὰν δότε, μὴ κτησάμενοι χαλκὸν, μηδὲ ἄργυρον, μήτε χρυσὸν εἰς τὰς ζώνας ὑμῶν.* Ἁπλοῦς καὶ σαφὴς ὁ τῆς ἐντολῆς ταύτης λόγος ἐστὶν, οὐδὲν ποικίλον ἔχων, οὐδὲ δυσέφικτον, οὐδὲ σοφιστικῆς δεόμενον ἐξηγήσεως· Παρ' ἐμοῦ, φησὶν, ἐδέξασθε τὸ τῆς ἱερωσύνης ἀξίωμα, εἰ μὲν ὑπὲρ αὐτοῦ μοι μικρὸν, ἢ μέγα τι κατεβάλλεσθε, καὶ τοῦτο ὑμῖν πέπραται παρ' ἐμοῦ, πωλεῖτε καὶ ὑμεῖς ἑτέροις αὐτό. Εἰ δὲ δωρεὰν εἰλήφατε, δότε δωρεὰν καὶ ὑμεῖς. Τί τῆς ἐντολῆς ταύτης σαφέστερον; Τί δὲ τοῖς πειθαρχοῦσι λυσιτελέστερον; Οὐαὶ τῷ ὄντι, τοῖς κτήσασθαι τὴν τοῦ Θεοῦ δωρεὰν, ἢ δίδοναι ταύτην διὰ χρημάτων ὑπειληφόσιν. Εἰς γὰρ χολὴν πικρίας, καὶ

Religiosissimo et sanctissimo in sacris comministro N. Gennadius, et quæ in Christi amante regia civitate Constantinopoli coacta est sancta synodus.

Cum Dominus et Deus Salvator noster Jesus Christus suis discipulis Evangelii prædicationem credidisset, eosque per universum terrarum orbem inter homines ad docendum misisset, aperte jussit, ut quod gratis accepissent, eis quoque gratis darent, non aurum vel argentum, aut alias omnino materiales et terrenas facultates pro eis acquirentes. Cœlestibus enim et spiritualibus donis nulla est cum terrenis et temporalibus commutandi ratio. Hoc autem præceptum non solum illis, sed etiam nobis per illos dedit, quos in illorum gradum et locum subtituere dignatus est : et oportet, sicut illi tunc, nos quoque nunc accurate et diligenter servare, nec in iis quæ technas sophisticas non admittunt, uti sophistica calliditate, nec aleam periculosam jacere : *Gratis*, inquit, *accepistis, gratis date. Non possidentes æs, neque aurum, neque argentum in sonis vestris* [1]. Simplex est et aperta hujus mandati ratio, quæ nihil habet varium, nihil quod non sit facile et explicatum, nihil quod sophistica expositione egeat. A me, inquit, accepistis dignitatem sacerdotii. Si mihi pro ipso parum quid vel magnum solvistis, et hoc a me venditum est, vos quoque ipsum aliis vendite : si autem gratis accepistis, vos quoque gratis date. Quid hoc est mandato apertius? Quid autem iis qui parent, utilius? Væ illis re vera qui Dei donum acquirere, vel illud pro pecunia dare in animum inducunt. In fel enim amaritudinis et vinculum iniquitatis ii, juxta sancti Petri sententiam [2], a sua malitia comprehensi sunt

[1] Matth. xix, 8, 9. [2] Act. viii, 20.

Digitized by Google

Et mentis ægræ pharmacum Psalmos sacros,
Salomonis etiam tres libros, Paremias,
Ecclesiasten, canticorum Cantica.
His ter quaternos junge jam vates simul,
Oseam, et Amos, atque Michæam insuper,
Quartumque Ioel, Abdiam, Jonam, typum
Reversi ad auras tertio a letho die,
Nahum, Abacucque, qui loco nono insidet,
Sophoniam, et Aggæum, Zachariam, ultimum,
Nomen duplex cui est, angelum Malachiam.
Post hos prophetæ disce qui sint quatuor :
Non trepidus ore primus est Isaias,
Alter Jeremias condolens, et mysticus
Ezechiel inde, et ultimo Daniel loco,
Robusque, dictis et simul, mire sagax.
Sunt qui libellum his copulent sanctæ Estheris.
Nunc jam Recentis audias Pacti libros :
Evangelistas quatuor solum cape.
Matthæus omnes anteit, Marcus statim,
Lucasque sequitur, quarta Ioanni datur
Sedes ; at aliis est prior, si dogmata
Spectes. Vocatur jure nam tonitrui
Proles : Dei nam maxime insonuit Λόγον.
Lucæ quoque librum jungito his rursum alterum,
Apostolorum Gesta qui fuse canit.
Electionis adde vas, Apostolum,
Qui præco celebris gentium semper fuit,
Scripsitque scite Litteras quatuordecim
Ad Christianos, civibus Romæ unicam,
Bimaris Corinthi scripsit ad cives duas,
Galatis et unam misit, unamque incolis
Ephesi, Philippis et Colossis unicam,
Thessalonicæ civibus binas, duas
Timotheo, et unam cum Tito Philemoni,
Unamque Hebræis denique, atque hanc ultimam,
Quidam licet sint qui notham hanc esse asserant,
Errore ducti : tota nam Paulum sapit.
Restat catholicas Litteras dicam ut tibi.
Has esse septem dictitant quidam : negant
Debere quidam suscipi plures tribus
Joannis unam, Petri et Jacobi unicam.
Joannis alii tres volunt, binas Petri
Recipi, et Judæ septimam. Rursum librum,
Arcana rerum detegit qui plurima,
Quidam inserendum Codici sacro asserunt :
Nothum esse major pars ait rursum altera.
Canon hic sacrati certus est voluminis.

A Ψαλμῶν τε βίβλον, ἐμμελὲς ψυχῆς ἄκος,
Τριῖς δ' αὖ Σολομῶντος τοῦ σοφοῦ, Παροιμίας,
Ἐκκλησιαστὴν, Ἆσμά τε τῶν ᾀσμάτων.
Ταύταις προφήτας προστίθει τοὺς δώδεκα,
Ὥσηὲ πρῶτον, εἶτ' Ἀμὼς τὸν δεύτερον·
Μιχαίαν, Ἰωὴλ, Ἀβδίαν, καὶ τὸν τύπον
Ἰωνᾶν αὐτοῦ τοῦ τριημέρου πάθους.
Ναοὺμ μετ' αὐτοὺς, Ἀββακοὺμ, εἶτ' ἔννατον
Σοφονίαν, Ἀγγαῖόν τε καὶ Ζαχαρίαν,
Διώνυμόν τε ἄγγελον Μαλαχίαν.
Μεθ' οὓς προφήτας μάνθανε τοὺς τέσσαρας,
Παῤῥησιαστὴν τὸν μέγαν Ἡσαΐαν,
Ἱερεμίαν τε συμπαθῆ, καὶ μυστικὸν,
Ἰεζεκιὴλ, ἔσχατον δὲ Δανιὴλ,
B Τὸν αὐτὸν ἔργοις καὶ λόγοις σοφώτατον.
Τούτοις προσεγκρίνουσι τὴν Ἐσθήρ τινες.
Καινῆς Διαθήκης ὥρα μοι βίβλους λέγειν.
Εὐαγγελιστὰς τέσσαρας δέχου μόνους,
Ματθαῖον, εἶτα Μάρκον, ᾧ Λουκᾶν τρίτον
Προσθεὶς, ἀρίθμει τὸν Ἰωάννην χρόνῳ
Τέταρτον, ἀλλὰ πρῶτον ὕψει δογμάτων.
Βροντῆς γὰρ υἱὸν τοῦτον εἰκότως καλῶ,
Μέγιστον ἠχήσαντα τῷ Θεοῦ Λόγῳ.
Δέχου δὲ βίβλον Λουκᾶ καὶ τὴν δευτέραν,
Τὴν τῶν καθολικῶν Πράξεων ἀποστόλων.
Τὸ *σκεῦος* ἐξῆς προστίθει τῆς *ἐκλογῆς*,
Τὸν τῶν ἐθνῶν κήρυκα, τὸν ἀπόστολον
Παῦλον, σοφῶς γράψαντα ταῖς Ἐκκλησίαις
Ἐπιστολὰς δὶς ἑπτὰ, Ῥωμαίων μίαν,
C Ἣ χρὴ συνάπτειν πρὸς Κορινθίους δύο,
Τὴν πρὸς Γαλάτας τε, καὶ τὴν πρὸς Ἐφεσίους, μεθ' ἣν
Τὴν ἐν Φιλίπποις, εἶτα τὴν γεγραμμένην
Κολοσσαεῦσι, Θεσσαλονικεῦσι δύο,
Δύο Τιμοθέῳ, Τίτῳ δὲ καὶ Φιλήμονι,
Μίαν ἑκατέρῳ, καὶ πρὸς Ἑβραίους μίαν.
Τινὲς δέ φασι τὴν πρὸς Ἑβραίους νόθον,
Οὐκ εὖ λέγοντες· γνησία γὰρ ἡ χάρις.
Εἶεν, τί λοιπόν; Καθολικῶν Ἐπιστολῶν
Τινὲς μὲν ἑπτά φασιν, οἱ δὲ τρεῖς μόνας
Χρῆναι δέχεσθαι, τὴν Ἰακώβου μίαν,
Μίαν δὲ Πέτρου, τὴν τ' Ἰωάννου μίαν.
Τινὲς δὲ τὰς τρεῖς, καὶ πρὸς αὐταῖς τὰς
Πέτρου δέχονται, τὴν Ἰούδα δ' ἑβδόμην.
D Τὴν δ' Ἀποκάλυψιν τὴν Ἰωάννου πάλιν
Τινὲς μὲν ἐγκρίνουσιν, οἱ πλείους δέ γε
Νόθον λέγουσιν. Οὗτος ἀψευδέστατος
Κανὼν ἂν εἴη τῶν θεοπνεύστων Γραφῶν,

Digitized by Google

ΕΓΚΥΚΛΙΟΣ ΕΠΙΣΤΟΛΗ ΓΕΝΝΑΔΙΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΚΑΙ ΤΗΣ ΣΥΝ ΑΥΤΩ ΑΓΙΑΣ ΣΥΝΟΔΟΥ

ΠΡΟΣ ΑΠΑΝΤΑΣ ΤΟΥΣ ΟΣΙΩΤΑΤΟΥΣ ΜΗΤΡΟΠΟΛΙΤΑΣ, ΚΑΙ ΠΡΟΣ ΤΟΝ ΠΑΠΠΑΝ ΡΩΜΗΣ.

—

[181] EPISTOLA ENCYCLICA GENNADII

PATRIARCHÆ CONSTANTINOPOLITANI

ET SANCTÆ CUM EO CONGREGATÆ SYNODI

AD SANCTISSIMOS OMNES METROPOLITANOS ET AD PAPAM URBIS ROMÆ.

—

Τῷ θεοφιλεστάτῳ συλλειτουργῷ τῷδε Γεννάδιος, καὶ ἡ ἐνδημοῦσα τῇ βασιλικῇ πόλει νέᾳ Ῥώμῃ, ἁγία σύνοδος.

Ὁ Δεσπότης ἡμῶν καὶ Θεὸς, καὶ Σωτὴρ Ἰησοῦς Χριστὸς ἐγχειρίσας τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς τοῦ Εὐαγγελίου τὸ κήρυγμα, καὶ διδασκάλους τούτους ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἀνθρώποις ἐξαποστείλας, παρεκελεύσατο διαῤῥήδην, ἣν εἰλήφασι παρ' αὐτοῦ δωρεὰν, ταύτης καὶ αὐτοὺς τοῖς ἀνθρώποις μεταδιδόναι δωρεὰν, μὴ κτωμένους ὑπὲρ αὐτῆς χαλκὸν, ἢ ἄργυρον, ἢ χρυσὸν, ἢ τινα περιουσίαν, ἄλλως ὅλως ὑλικὴν, ἢ γεώδη· μὴ γὰρ εἶναι τῶν ἐπουρανίων, καὶ πνευματικῶν χαρισμάτων ἀμοιβὴν, τὰ γηϊνὰ, καὶ ἐπίκηρα. Ταύτην τὴν ἐντολὴν, οὐ μόνον ἐκείνοις, ἀλλὰ καὶ ἡμῖν δι' ἐκείνων ἐνετείλατο, οὓς εἰς τὸν ἐκείνων βαθμόν τε, καὶ τόπον ὑπεισαγαγεῖν κατηξίωσε· καὶ δεῖ καθάπερ ἐκεῖνοι τότε, καὶ ἡμᾶς νῦν ἀκριβῶς φυλάττειν τε, καὶ παρατηρεῖν, καὶ μὴ σοφίζεσθαι τὰ ἄσοφα, μηδὲ κύβον ἀναῤῥίπτειν ἐπὶ κίνδυνον. *Δωρεὰν*, φησὶν, *ἐλάβετε, δωρεὰν δότε, μὴ κτησάμενοι χαλκὸν, μηδὲ ἄργυρον, μήτε χρυσὸν εἰς τὰς ζώνας ὑμῶν.* Ἁπλοῦς καὶ σαφὴς ὁ τῆς ἐντολῆς ταύτης λόγος ἐστὶν, οὐδὲν ποικίλον ἔχων, οὐδὲ δυσέφικτον, οὐδὲ σοφιστικῆς δεόμενον ἐξηγήσεως· Παρ' ἐμοῦ, φησὶν, ἐδέξασθε τὸ τῆς ἱερωσύνης ἀξίωμα, εἰ μὲν ὑπὲρ αὐτοῦ μοι μικρὸν, ἢ μέγα τι κατεβάλλεσθε, καὶ τοῦτο ὑμῖν πέπραται παρ' ἐμοῦ, πωλεῖτε καὶ ὑμεῖς ἑτέροις αὐτό. Εἰ δὲ δωρεὰν εἰλήφατε, δότε δωρεὰν καὶ ὑμεῖς. Τί τῆς ἐντολῆς ταύτης σαφέστερον; Τί δὲ τοῖς πειθαρχοῦσι λυσιτελέστερον; Οὐαὶ τῷ ὄντι, τοῖς κτήσασθαι τὴν τοῦ Θεοῦ δωρεὰν, ἢ διδόναι ταύτην διὰ χρημάτων ὑπειληφόσιν. Εἰς γὰρ χολὴν πικρίας, καὶ

Religiosissimo et sanctissimo in sacris comministro N. Gennadius, et quæ in Christi amante regia civitate Constantinopoli coacta est sancta synodus.

Cum Dominus et Deus Salvator noster Jesus Christus suis discipulis Evangelii prædicationem credidisset, eosque per universum terrarum orbem inter homines ad docendum misisset, aperte jussit, ut quod gratis accepissent, eis quoque gratis darent, non aurum vel argentum, aut alias omnino materiales et terrenas facultates pro eis acquirentes. Cœlestibus enim et spiritualibus donis nulla est cum terrenis et temporalibus commutandi ratio. Hoc autem præceptum non solum illis, sed etiam nobis per illos dedit, quos in illorum gradum et locum subtituere dignatus est : et oportet, sicut illi tunc, nos quoque nunc accurate et diligenter servare, nec in iis quæ technas sophisticas non admittunt, uti sophistica calliditate, nec aleam periculosam jacere : *Gratis*, inquit, *accepistis, gratis date. Non possidentes æs, neque aurum, neque argentum in sonis vestris* [1]. Simplex est et aperta hujus mandati ratio, quæ nihil habet varium, nihil quod non sit facile et explicatum, nihil quod sophistica expositione egeat. A me, inquit, accepistis dignitatem sacerdotii. Si mihi pro ipso parum quid vel magnum solvistis, et hoc a me venditum est, vos quoque ipsum aliis vendite : si autem gratis accepistis, vos quoque gratis date. Quid hoc est mandato apertius? Quid autem iis qui parent, utilius? Væ illis re vera qui Dei donum acquirere, vel illud pro pecunia dare in animum inducunt. In fel enim amaritudinis et vinculum iniquitatis ii, juxta sancti Petri sententiam [2], a sua malitia comprehensi sunt

[1] Matth. x, 8, 9. [2] Act. VIII, 20.

Digitized by Google

σύνδεσμον ἀδικίας οἱ τοιοῦτοι, κατὰ τὴν ἀπόφασιν τοῦ ἁγίου Πέτρου, ὑπάρχουσι συλληφθέντες ὑπὸ τῆς ἑαυτῶν φιλαργυρίας.

Unde et sanctorum et beatorum Patrum sanctæ magnæ synodi œcumenicæ Chalcedone congregatæ huic legi Dominicæ convenit canon, qui sic a nobis aperte iisdem verbis editus est :

« Si quis episcopus pecuniis ordinationem fecerit, vel non venalem gratiam ad venditionem deduxerit, et pecuniis ordinaverit episcopum, vel chorepiscopum, vel presbyterum, vel diaconum, vel aliquem eorum qui in clero commumerantur, vel pecuniis provehat œconomum, vel defensorem, vel paramonarium, vel omnino aliquem ex clero, propter suum turpe lucrum : qui hoc aggressus esse convictus fuerit, de proprio gradu veniat in periculum ; et qui ordinatur, nihil ex ordinatione, vel promotione, quæ fit instar mercaturæ, juvetur, sed sit alienus a dignitate, vel curatione, quam pecuniis assecutus est. Si quis autem his turpibus ac nefariis lucris sequester intercessorve apparuerit, is quoque si sit clericus, a primo gradu excidat : si autem laicus, vel monachus, anathematizetur. »

Ὅθεν καὶ τῶν ὁσίων, καὶ μακαρίων Πατέρων τῶν τῆς ἁγίας καὶ μεγάλης οἰκουμενικῆς τῆς ἐν Χαλκηδόνι συναχθείσης, τῷ Δεσποτικῷ τούτῳ νόμῳ συνᾴδει ὁ περὶ τούτου κανὼν, ὃς ἡμῖν σαφῶς οὕτωσὶ λέξασιν αὐταῖς ἐκπεφώνηται·

« Εἴ τις ἐπίσκοπος ἐπὶ χρήμασι χειροτονίαν ποιήσαιτο, καὶ εἰς πράσιν καταγάγοι τὴν ἄπρατον χάριν, καὶ χειροτονήσαι ἐπὶ χρήμασιν ἐπίσκοπον, ἢ χωρεπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ ἕτερόν τινα τῶν ἐν τῷ κλήρῳ καταριθμουμένων, ἢ προβάλλοιτο ἐπὶ χρήμασιν οἰκονόμον, ἢ ἔκδικον, ἢ παραμονάριον, ἢ ἁπλῶς τινὰ τοῦ κλήρου, δι' αἰσχροκέρδειαν οἰκείαν, ὁ τούτῳ ἐπιχειρήσας ἐλεγχθεὶς κινδυνευέτω περὶ τὸν οἰκεῖον βαθμόν· καὶ ὁ χειροτονούμενος, μηδὲν ἐκ τῆς κατ' ἐμπορίαν ὠφελείσθω χειροτονίας, ἢ προβολῆς· ἀλλ' ἔστω ἀλλότριος τῆς ἀξίας, ἣ τοῦ φροντίσματος, οὗπερ ἐπὶ χρήμασιν ἔτυχεν. Εἰ δέ τις καὶ μεσιτεύων φανῇ τοῖς αἰσχροῖς τούτοις, καὶ ἀθεμίτοις λήμμασι, καὶ οὗτος εἰ μὲν κληρικὸς εἴη, τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ· εἰ δὲ λαϊκὸς, ἢ μονάζων, ἀναθεματιζέσθω. »

182 BALS. Pulcherrima et valde pia sunt hujus canonis sanctorum Patrum præcepta, qui omnem invasionem satanicam, diabolicumque conatum, qui in donum spirituale intenditur, repellit et rescindit. Nullo enim modo vult ordinationis promotionem pecuniis aut fieri, aut suscipi, nec ab eo qui illam exercet, nec ab eo qui ordinationis promotionem accipit : sed nec ante tempus ordinationis, nec post, dari pecunias concedit : omnium enim in hac quoque re esse sordes, munerumque corruptionem pronuntiat.

ΒΑΛΣ. Κάλλιστα καὶ λίαν εὐσεβῆ τοῦ κανόνος τῶν ἁγίων Πατέρων ὑπάρχει τὰ παραγγέλματα, πᾶσαν ἔξοδον σατανικὴν, καὶ πᾶν ἐγχείρημα διαβολικὸν κατὰ τῆς πνευματικῆς φερόμενον δωρεᾶς, ἀπωθούμενά τε καὶ ἀνακόπτοντα. Οὐ βούλεται γὰρ οὐδαμῶς διὰ χρημάτων γίνεσθαι τῆς χειροτονίας τὴν προβολὴν, ἢ ὑποδέχεσθαι, οὔτε παρὰ τοῦ ταύτην ἐνεργοῦντος, οὔτε παρὰ τοῦ τῆς χειροτονίας τὴν προβολὴν ὑποδεχομένου, ἀλλ' οὐδὲ πρὸ καιροῦ τῆς χειροτονίας, οὐδὲ μετὰ τὸν καιρὸν τῆς χειροτονίας, οὐδὲ κατὰ τὸν καιρὸν αὐτὸν τῆς χειροτονίας, ὑπὲρ τῆς χειροτονίας δίδοσθαι χρήματα συγχωρεῖ· καθόλου γὰρ τὴν ἐπὶ τῷ πράγματι τούτῳ δωροδοκίαν ἀπέφηνεν.

Quoniam tamen iis ita aperte prohibitis, quidam sunt in Galatarum Ecclesia deprehensi propter turpe lucrum et avaritiam hæc salutaria et humana præcepta negligere et transgredi : ea quoque ipsa nobis renovare visum est cum hac sancta synodo, quæ in hac regnante nova Roma, nunc agit : ut sine omni penitus inventione, et omni prætextu, callidoque commento, impiam hanc et odiosam, quæ nescio quomodo in sanctissimas Ecclesias subiit, consuetudinem omnino exscindamus ; ut cum pura et absque ulla cauponatione eorum qui ordinantur, renuntiatio ab antistitibus facta fuerit, gratia Spiritus sancti superne veniat. Quibus nescio an per pecuniam promotionem facientibus, et manu non pure operante, ad eum qui promovetur accedit, secundum vocem Evangelii, et non potius retrahitur gratia sancti Spiritus.

Ὅμως ἐπειδὴ νῦν, καίτοι προδήλως τούτων οὕτω κεκωλυμένων, ἐφωράθησάν τινες κατὰ τῶν Γαλατῶν ὀλιγωροῦντες, καὶ παραβαίνοντες δι' αἰσχροκέρδειαν, καὶ φιλαργυρίαν· τὰ σωτήρια ταῦτα, καὶ φιλάνθρωπα παραγγέλματα, εὖ ἔχειν ἔδοξε καὶ ἡμῖν ταῦτα πάλιν ἀνανεώσασθαι μετὰ τῆς ἁγίας συνόδου, τῆς ἐνδημούσης ἐν ταύτῃ τῇ βασιλευούσῃ νέᾳ Ῥώμῃ, ὥστε δίχα πάσης ἐπινοίας, καὶ πάσης προφάσεως, καὶ παντὸς σοφισμοῦ, τὴν βδελυρὰν ταύτην, καὶ ἀσεβῆ οὐκ οἶδ' ὅπως ἐπεισελθοῦσαν συνήθειαν ταῖς ἁγιωτάταις Ἐκκλησίαις παντελῶς ἐκτεμεῖν· ἵνα ἀληθῶς ἀκαπηλεύτου, καὶ καθαρᾶς παρὰ τῶν ἀρχιερέων τῆς ἐπὶ τῶν χειροτονουμένων ἀναῤῥήσεως γινομένης, ἄνωθεν ἡ τοῦ Πνεύματος χάρις ἐπιφοιτᾷ· ὧν νῦν γε οὐκ οἶδα διὰ χρημάτων τὴν προβολὴν ποιουμένων, καὶ οὐ τῆς χειρὸς καθαρῶς ἐνεργούσης, ἐπιφοιτᾷ τῷ προχειριζομένῳ κατὰ τὴν φωνὴν τοῦ κηρύγματος, καὶ οὐχὶ συστέλλεται μᾶλλον ἡ τοῦ ἁγίου Πνεύματος χάρις.

Scias ergo, o vir religiosissime et omni ex parte sanctissime, quod quicunque hujus convictus fuerit episcopus, vel chorepiscopus, vel viator, vel presbyter, vel diaconus, vel quivis alius ex canone, vel ex laicis, communi antistitum decreto, communique sententia condemnatus est, sicut de hoc quoque sanctorum Patrum præcedens canon loquitur. Opor-

Ἴσθι τοίνυν, τὰ πάντα θεοσεβέστατε, πάντα τὸν ὄντινα οὖν ἁλίσκομεν ἐπὶ τῷ τοιούτῳ τινὶ ἐπίσκοπον, ἢ χωρεπίσκοπον, ἢ περιοδευτὴν, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ ἄλλον τινὰ δήποτε τοῦ κανόνος, ἢ λαϊκὸν, κοινῷ δόγματι τῶν ἀρχιερέων κατακεκρίσθαι, καὶ κοινῇ ψήφῳ, καθὼς περὶ τούτου καὶ ὁ τῶν ἁγίων Πατέρων κανὼν φθάσας διαλαλεῖ. Δεῖ γὰρ εἶναι χά-

Digitized by Google

ρειν τὴν χάριν, καὶ μηδαμοῦ μεσιτεύειν παρ' αὐτῇ ἀργύριον. Ἔστω τοίνυν καὶ ἔστιν ἀποκήρυκτος, καὶ πάσης ἱερατικῆς ἀξίας τε, καὶ λειτουργίας ἀλλότριος, καὶ τῇ κατάρᾳ τοῦ ἀναθέματος ὑποκείμενος, ὅ τε ταύτην κτᾶσθαι διὰ χρημάτων οἰόμενος, καὶ ὁ ταύτην παρέχειν ἐπὶ χρήμασιν ὑπισχνούμενος, εἴτε κληρικὸς, εἴτε λαϊκὸς εἴη, κἂν ἐλέγχοιτο, κἂν μὴ ἐλέγχοιτο ποιεῖν, ὅτι οὐδὲ οἷόν τε συμβιβασθῆναί ποτε τὰ σύμβολα, οὐδὲ Θεῷ συμφωνῆσαι τὸν μαμμωνᾶν, ἢ τοὺς τούτῳ δουλεύοντας δουλεῦσαι Θεῷ. Δεσποτικὴ καὶ αὕτη ἐστὶν ἀπόφασις ἀναμφίβολος· *Οὐ δύνασθε Θεῷ δουλεύειν, καὶ μαμμωνᾷ.*

Τούτοις ἐπιβαρροῦντες ἡμεῖς κατὰ δύναμιν, καὶ τούτοις ὑπήκοντες, μετὰ τοῦ ταῦτα φήσαντος, κατὰ τῶν ταῦτα παρανομούντων τὴν ἀπόφασιν πεποιήμεθα. Φροντισάτω δὲ καὶ ἡ σὴ ὁσιότης διὰ πάσης περιφυλακῆς ποιουμένη, δῆλα καταστῆσαι διὰ ἀντιγράφων καὶ τοῖς ὑπὸ σὲ θεοφιλεστάτοις ἐπισκόποις, καὶ περιοδευταῖς, καὶ τοῖς ἄλλοις ἅπασιν· ἵνα ἐν ἑνὶ πνεύματι, καὶ μιᾷ ψυχῇ πάντες ὁμοῦ Χριστιανοὶ συμφραξάμενοι κατὰ τοῦ κοινοῦ δυσμενοῦς ἰσχύσωμεν σὺν Θεῷ, τὴν ὑπ' ἐκείνου φυτευθεῖσαν ἐν ἡμῖν τῆς φιλαργυρίας ῥίζαν, ἅμα πᾶσιν αὐτοῖς τῶν κακῶν τοῖς βλαστήμασιν ἐκτεμεῖν. Πᾶσαν τὴν σὺν σοὶ ἐν Χριστῷ ἀδελφότητα προσαγορεύω. Ἐρρωμένος ἐν Κυρίῳ ὑπερεύχου ἡμῶν, θεοφιλέστατε ἀδελφέ.

Τούτῳ τῷ ἐπιστολίμαίῳ λόγῳ σὺν αὐτῷ δὴ τῷ Γενναδίῳ ὑπέγραψαν καὶ οἱ ἑβδομήκοντα τρεῖς.

tet enim gratiam semper esse gratiam, et argentum apud eam nequaquam intercedere. Sit ergo et ab omni sacerdotali dignitate et ministerio alienus, et anathematis loco subjectus, qui et se per pecunias acquirere existimat, et qui eam pecuniis habere pollicetur, sive sit clericus, sive laicus, sive hoc facere convincatur, sive non : quia fieri non potest, ut conveniant quæ convenire nequeunt, nec ut mammona Deo consentiat; vel ut qui ei serviunt, Deo serviant. Domini est sententia, cui contradici non potest : *Non potestis Deo servire et mammonæ.*

Nos in his pro viribus consulentes, et eis credentes, cum eo qui hæc dixit, adversus eos qui in iis peccant, sententiam protulimus. Tua sanctitas curam gerat, omni adhibita diligentia, ut hæc per transcripta exemplaria innotescant et sanctissimis episcopis qui tibi subsunt, et περιοδευταῖς, et aliis omnibus : ut in uno spiritu et una anima omnes simul constipati Christiani adversus communem inimicum, Dei auxilio, possimus avaritiæ radicem, quæ ab illo in nobis insita est, cum omnibus eorum malorum germinibus exscindere. Omnem quæ tecum est in Christo fraternitatem salutamus. Fortis exsistens in Christo, ora pro nobis, sanctissime frater.

Huic epistolæ cum ipso Gennadio subscripserunt etiam septuaginta tres.

ΕΚ ΤΗΣ ΠΡΟΣ ΝΙΚΟΠΟΛΙΤΑΣ ΕΠΙΣΤΟΛΗΣ ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ.

---

183 EX EPISTOLA MAGNI BASILII AD NICOPOLITANOS.

Ἡ ἐπιστολὴ διαλέγεται περὶ τοῦ ὑπομενεῖν καὶ εὐχαρίστως φέρειν τοὺς πειρασμούς· εἶτα ἐπάγει, Τί πεπόνθαμεν δεινόν; εἰ μὴ τάχα τοῦτο λυπηρὸν, ὅτι μηδὲν πεπόνθαμεν, μηδὲ ἠνομίσθημεν ἄξιοι τῶν ὑπὲρ Χριστοῦ παθημάτων. Εἰ δὲ ὅτι ὁ δεῖνα κατέχει τὸν οἶκον τῆς προσευχῆς, ὑμεῖς δὲ ἐν ὑπαίθρῳ προσκυνεῖτε τὸν οὐρανοῦ καὶ γῆς ποιητὴν, τοῦτο ὑμᾶς ἀνιᾷ· ἐνθυμήθητε ὅτι οἱ μὲν ἑνδεκα μαθηταὶ ἐν τῷ ὑπερῴῳ ἦσαν ὑποκεκλεισμένοι· οἱ δὲ σταυρώσαντες τὸν Κύριον ἐν τῷ περιβοήτῳ ναῷ τὴν Ἰουδαϊκὴν λατρείαν ἐπλήρουν. Ἰούδας γὰρ, τὸν δι' ἀγχόνης θάνατον τοῦ μετ' αἰσχύνης ζῆν προτιμήσας, ἔδειξε τάχα τῶν νῦν ἀπερυθριασάντων πρὸς πᾶσαν ἀνθρώπων κατάγνωσιν, καὶ διὰ τοῦτο ἀναιδῶς πρὸς τὰ αἰσχρὰ διακειμένων ἑαυτὸν αἱρετώτερον. Μόνον μὴ ἀπατηθῆτε ὑπὸ τῶν ψευδολογιῶν αὐτῶν ἀπαγγελλομένων ὀρθότητα πίστεως. Χριστέμποροι γὰρ οἱ τοιοῦτοι, καὶ οὐχὶ Χριστιανοὶ, τὸ ἀεὶ κατὰ τὸν βίον αὐτοῖς λυσιτελοῦν τοῦ κατὰ ἀλήθειαν ζῆν προτιμῶντες. Ὅτε δὲ ἐνόμισαν κτᾶσθαι τὴν κενὴν ταύτην ἀρχὴν, προσέθεντο τοῖς ἐχθροῖς τοῦ Θεοῦ· ὅτε εἶδον τοὺς λαοὺς ἀγριαίνοντας, σχηματίζονται πάλιν τὴν ὀρθότητα. Οὐκ οἶδα εἰ ἐπίσκοποι εἶεν, μηδὲ ἀριθμησαίμην ἐν ἱερεῦσι

Epistola tractat de sustinendis et æquo animo ferendis tentationibus; deinde subjungit, Quid mali passi sumus? nisi forsan istud triste sit, quod nihil passi, nec passionibus pro Christo digni habiti sumus. Si autem, quod domum orationis nescio quis detineat; vos autem sub dio cœli et terræ Conditorem adoratis, hoc vos male habet; considerate, quod undecim quidem discipuli erant in cœnaculo inclusi : qui autem Dominum crucifixerunt in celebri templo Judaicum cultum peragebant. Judas enim, qui suspendio vitam finire maluit quam dedecore vivere, ostendit se iis esse meliorem, qui ad omnem hominum condemnationem frontem perfricuerunt, et ideo impudenter ad omnia affecti sunt. Eorum tantum falsiloquiis, qui fidei rectitudinem profitentur, ne seducamini, Christi enim cauponatores sunt ii, et non Christiani, qui id, quod eis semper in vita est utile, veræ vitæ præferunt. Quando autem existimarunt se posse hoc vanum imperium acquirere, Dei inimicis addi sunt : quando viderunt concitatos populos, rursus rectitudinem simulant. Nescio an sint episcopi, nec in Christi sacerdotibus cum enumeraverim, qui a profanis manibus ad hoc ut præsint in dissolutionem fidei promotus est. Hoc

Digitized by Google

est meum judicium. Vos autem, si quam habetis A partem nobiscum, eadem videlicet nobiscum sentite : sin vestro ipsorum consilio utimini, unusquisque suæ sententiæ dominus est. Nos hujus sanguinis insontes sumus.

Χριστοῦ τὸν παρὰ τῶν βεβήλων χειρῶ ἐπὶ καταλύσει τῆς πίστεως εἰς προστασίαν προβεβλημένον. Αὕτη ἐστὶν ἡ ἐμὴ κρίσις. Ὑμεῖς δὲ, εἴ τινα ἔχετε μεθ' ἡμῶν μερίδα, τὰ αὐτὰ ἡμῖν φρονήσατε δηλονότι. Εἰ δὲ ἀφ' ἑαυτῶν βουλεύεσθε, τῆς ἰδίας γνώμης ἐστὶν ἕκαστος κύριος. Ἡμεῖς ἀθῷοι ἀπὸ τοῦ αἵματος τούτου.

ΕΠΙΣΤΟΛΗ ΤΑΡΑΣΙΟΥ

ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ,

ΝΕΑΣ ΡΩΜΗΣ,

ΠΡΟΣ ΑΔΡΙΑΝΟΝ ΤΟΝ ΠΑΠΠΑΝ ΤΗΣ ΠΡΕΣΒΥΤΕΡΑΣ ΡΩΜΗΣ

Περὶ τοῦ μὴ ἐπὶ χρήμασι γίνεσθαι τὰς χειροτονίας.

—

184 EPISTOLA TARASII

SANCTISSIMI PATRIARCHÆ CONSTANTINOPOLIS,

NOVÆ ROMÆ,

AD ADRIANUM PAPAM ROMÆ VETERIS

De non faciendis pecunia ordinationibus.

—

Sanctissimo et beatissimo fratri et comministro, B domino Adriano, Papæ veteris Romæ, Tarasius misericordia divina episcopus Constantinopolis novæ Romæ, salutem in Domino.

Multipliciter multisque modis evangelice, apostolice et paterne docemur, etc.

Τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ κυρίῳ Ἀδριανῷ, πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης, Ταράσιος ἐλέῳ θεοῦ ἐπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης ἐν κυρίῳ χαίρειν.

Πολυμερῶς καὶ πολυτρόπως εὐαγγελικῶς, ἀποστολικῶς τε καὶ πατρικῶς διδασκόμεθα, κ. τ. λ.

Prolixissimam hanc epistolam habes in tomo nostro XCVIII, col. 1441-1452.

—

185-188 BALS. Hæc epistola ex Scriptura et canonicis demonstrationibus composita est, tractans eos gravius peccare, quam Spiritus sancti hostes, quicunque pecuniis ordinationem faciunt, et sancti Spiritus gratiam vendunt. Illi enim servum Dei sanctum Spiritum esse dicunt : hi vero servum suum illum faciunt propter venditionem. Ea enim vendit quis, quæ sua sunt. Eos autem Judæ quoque pro- C ditori comparat, ut qui sanctum Spiritum vendere audeant, Christo et Deo nostro consubstantialem. Debes autem scire, quod illud : *Sacerdotes, loquimini quæ cordi sunt Jerusalem ;* est ex prophetia Isaiæ [1] : et illud : *Speculator si viderit gladium*, etc., Ezechielis [2] : et illud : *Mundi sumus a sanguine eo-*

ΒΑΛΣ. Ἡ ἐπιστολὴ αὕτη κατεσκευάσθη ἀπὸ Γραφικῶν καὶ κανονικῶν ἀποδείξεων, διαλαμβάνουσα χείρονα τῶν Πνευματομάχων ἁμαρτάνειν τοὺς ποιοῦντας χειροτονίας διὰ χρημάτων, καὶ πωλοῦντας τὴν χάριν τοῦ ἁγίου Πνεύματος. Οἱ μὲν δοῦλον τοῦ Θεοῦ τὸ Πνεῦμα τὸ ἅγιον λέγουσιν, οὗτοι δὲ δοῦλον ἑαυτῶν ποιοῦσι τοῦτο διὰ τὴν πρᾶσιν. Ἐκεῖνα γάρ τις πωλεῖ, τὰ οἰκεῖα. Παρεικάζει δὲ τούτους καὶ τῷ προδότῃ Ἰούδᾳ, ὡς τολμῶντας πωλεῖν τὸ ἅγιον Πνεῦμα, τὸ ὁμοούσιον τῷ Χριστῷ καὶ Θεῷ ἡμῶν. Ὀφείλεις δὲ εἰδέναι ὅτι τὸ, *Ἱερεῖς, λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλήμ*, ἐκ τῆς προφητείας ἐστὶ τοῦ Ἡσαΐου· τὸ, *Ὁ σκοπὸς ἐὰν ἴδῃ τὴν ῥομφαίαν* καὶ τὰ ἑξῆς, τοῦ Ἰεζεκιήλ· τὸ, *καθαροὶ*

[1] Isa. xl, 2. [2] Ezech. xxxiii, 6.

Digitized by Google

ἐσμεν ἀπὸ τοῦ αἵματος τῶν παραβαινόντων τὰς κανονικὰς διατάξεις, ἐκ τῶν Πράξεων τῶν ἀποστόλων, ἤτοι ἐκ τῆς πρὸς τοὺς πρεσβυτέρους τῶν Ἐφεσίων διαταγῆς τοῦ μεγάλου Παύλου· τὸ, Ὡς τὸν Σίμωνα τὸν Μάγον κατακρίνεσθαι τοὺς διὰ χρημάτων χειροτονουμένους, ἐξελήφθη ἀπὸ τοῦ κθ' ἀποστολικοῦ κανόνος· τὸ, Νῦν φησι Κύριος, Ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω, ἀπὸ τῆς ἀρχῆς τῆς πρώτης τῶν Βασιλειῶν· τὸ, Ὃ οὐκ ἔλαβον οὐδὲ ἔχουσιν, ἀπὸ τῆς πρὸς Κορινθίους πρώτης Ἐπιστολῆς· τὸ, Οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ, ἀπὸ τῶν Πράξεων τῶν ἀποστόλων· τὸ, Δεῖ τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, ἀπὸ τῆς πρὸς Τιμόθεον πρώτης Ἐπιστολῆς· τὸ, Ἀκούσωμεν ταῦτα πάντα καὶ ἐρωτισώμεθα, ἀπὸ τῆς πρὸς Ἑβραίους Ἐπιστολῆς· τὸ, Οὐ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ, ἐλυτρώθημεν, ἀπὸ τῆς πρώτης καθολικῆς Ἐπιστολῆς Πέτρου· τὸ, Ἐπ' ὄρους ὑψηλοῦ ἀνάβηθι ἐκ τοῦ Ἡσαΐου καὶ τοῦ Ὡσηέ· τὸ, Οἱ ἱερεῖς ὡς φοῖνιξ ἀνθήσουσιν, ἐκ τῆς πρὸς Κορινθίους δευτέρας Ἐπιστολῆς· καὶ τὸ, Περιελεῖ Κύριος ἐκ σοῦ τὰ ἀδικήματά σου, ἐκ τοῦ Σοφωνίου.

A *rum* [a], qui transgrediuntur canonicas constitutiones; ex Actibus apostolorum, seu ex magni Pauli constitutione ad presbyteros Ephesiorum. Illud : Tanquam Simonem Magum condemnari eos, qui pecuniis ordinantur; ex canone 29 apostolico desumptum est. Illud : *Nunc dicit Dominus, utique eos, qui me glorificant, glorificabo* [b]; ex principio primi Regum. Illud : *Quod non acceperunt, nec habent* [c]; ex prima ad Corinthios Epistola. Illud : *Non est tibi portio, nec hæreditas in hoc negotio* [d]; ex Actis apostolorum. Illud : *Oportet episcopum esse a reprehensione alienum* [e]; ex prima Epistola ad Timotheum. Illud : *Audiamus hæc omnia, et auribus percipiamus hæc omnia ;* ex Epistola ad Hebræos. Illud : *Non corruptibilibus, auro et argento, redempti sumus* [f]; ex B Petri catholica Epistola prima. Et illud : *In altum montem conscende* [g]; ex Isaia et Osee. Illud : *Sacerdotes ut palma florebunt;* ex secunda ad Corinthios Epistola; et illud, *Abstulit Dominus abs te iniquitates tuas*, ex Sophonia.

[a] Act. xx, 26. [b] I Reg. II, 30. [c] I Cor. IV, 7. [d] Act. VIII, 21. [e] I Tim. III, 2. [f] I Petr. I, 18. [g] Isa. XL, 9.

189-215 ΕΡΩΤΗΣΕΙΣ

ΜΟΝΑΧΩΝ ΤΙΝΩΝ ΕΞΩ ΤΗΣ ΠΟΛΕΩΣ ΑΣΚΟΥΜΕΝΩΝ, ΚΑΙ ΑΠΟΚΡΙΣΕΙΣ ΕΠ' ΑΥΤΑΙΣ ΓΕΝΟΜΕΝΑΙ ΠΑΡΑ ΤΗΣ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΑΓΙΑΣ ΣΥΝΟΔΟΥ ΕΠΙ ΤΩΝ ΗΜΕΡΩΝ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΝΙΚΟΛΑΟΥ, ΒΑΣΙΛΕΥΟΝΤΟΣ ΤΟΥ ΑΟΙΔΙΜΟΥ ΒΑΣΙΛΕΩΣ ΚΥΡΙΟΥ ΑΛΕΞΙΟΥ ΤΟΥ ΚΟΜΝΗΝΟΥ· ΕΦ' ΑΙΣ ΚΑΙ ΕΡΜΗΝΕΙΑΙ ΕΞΕΦΩΝΗΘΗΣΑΝ ΠΑΡΑ ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΑΝΤΙΟΧΕΙΑΣ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΒΑΛΣΑΜΩΝ.

INTERROGATIONES

QUORUMDAM MONACHORUM, QUI EXTRA URBEM EXERCEBANTUR; ET RESPONSIONES, QUÆ AD EAS FACTÆ SUNT A SANCTA CONSTANTINOPOLITANA SYNODO, TEMPORE SS. PATRIARCHÆ D. NICOLAI, IMPERANTE CELEBERRIMO IMP. ALEXIO COMNENO; IN QUAS ETIAM INTERPRET. EDITÆ SUNT A THEODORO BALSAMONE PATRIARCHA ANTIOCHENO.

ΕΡΩΤΗΣΙΣ Α'.

Εἰ χρὴ μοναχὸν εἰσιέναι εἰς τὸ ἅγιον θυσιαστήριον; Κωλύει γὰρ τοῦτο ὁ λγ' κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἁγίας συνόδου, ὃς καὶ οὐ παραχωρεῖ ἐπὶ ἄμβωνος ἀναγινώσκειν ἢ ψάλλειν ἀσφράγιστόν τινα ἢ μοναχόν. Ὁμοίως καὶ ὁ τῆς ἐν Λαοδικείᾳ κανὼν ιε', καὶ ὁ τῆς ἐν Νικαίᾳ τὸ δεύτερον κανὼν ιθ'.

ΑΠΟΚΡ. Τὸ μὲν δίχα χειροθεσίας ἐπὶ ἄμβωνος ὡς ἀναγνώστην ποιῆσαι τὸν μοναχὸν τὰς

C

INTERROGATIO I.

An monachum ad sanctum altare ingredi oporteat? Hoc enim canon 33 sanctæ in Trullo synodi prohibet: qui etiam non permittit in ambone cantare vel legere monachum aliquem qui characterem non acceperit. Similiter et syn. Laodic. can. 15, et 21, et syn. Nicænæ secundæ canon 14.

RESP. Sine ordinatione quidem monachum lectoris officio fungi perinde ac si lector esset prohi-

Digitized by Google

bitum est : ad altare autem accedere pro accendendis cereis vel candelis, monacho, qui nullo tenetur crimine, non existimo oportere prohiberi, propter monachalis habitus honestatem.

INTERPRET. Cum sancta synodus recte et divinorum canonum traditioni convenienter ad interrogationem responderit, dixerunt quidam, quod monachos quidem qui lectoris characterem non acceperint, in ambone non legere, indistinctum est : ut autem quilibet habitu monachico indutus ad altare accedat, non indistincte accipietur. Sed quoniam canon 49 syn. in Trullo statuit laicos non posse ad sanctum altare accedere ; si is quidem qui monachali habitu dignatus est, tonsuram etiam est assecutus, ad sanctum altare sine ullo impedimento accedet : sin propter probationem juxta canones, monasticas induerit vestes, quas etiam inter triennium deponere ei permissum est, ad sanctum altare pro ulla causa non ingredietur, ut qui nondum in monachorum ordinem relatus sit, sed adhuc laicus est. Mihi autem videtur non posse quempiam, qui sanctas vestes ullo modo indutus est, eas abjicere, et ludibrio eas habere. Non enim debet cum vestibus monasticis probari, sed cum habitu laico, et ideo omnibus qui sacra veste induti sunt, erit absque ullo præjudicio aditus ad sanctum altare, ut qui in laicorum locum venire non possint. Lege etiam quæ a nobis scripta sunt in can. 15 syn. 7.

INTERROGATIO II.

An non oporteat in Sabbato genu flectere, sicut nec in Dominico, vel Pentecoste ?

RESP. A canone quidem non prohibitum est. Multi autem quia jejunium in Sabbato non sequatur, nec genu flectunt.

INTERPRET. Veneranda responsio multas breviter contradictiones dissolvit. Dixit enim quod quoniam a sanctis Patribus non est expresse prohibitum in Sabbato genu flectere sicut est jejunare prohibitum, qui genu flectit non reputabitur adversari ecclesiasticis traditionibus, et multo magis si **216** hoc propter exercitationem fecerit. Quoniam autem a sanctis Patribus omnino sunt prope exæquata Sabbata Dominicis, et qui in iis jejunent, puniuntur, nec ei qui genu non flectit, præjudicium afferetur. Dicit enim quoddam juris præceptum hoc modo, Non omne quod non prohibitum, permissum est.

INTERROGATIO III.

An oporteat jejunium in Augusto peragere ?

RESP. Erat prius in hoc tempore jejunium, sed translatum est, ne cum gentilium, quæ hoc tempore fiebant, jejuniis incideret. Sed tamen adhuc multi homines hoc jejunium jejunant.

INTERPRET. De hoc jejunio aliquando quæsitum est coram potenti et sancto nostro domino et imperatore, præsente sanctissimo illo patriarcha

τοῦ ἀναγνώστου ὑπηρεσίας κεκώλυται · τὸ δὲ εἰς θυσιαστήριον εἰσιέναι χάριν ὑφάψεως κηρίου ἢ κανδήλας τὸν μηδενὶ ἐγκλήματι γενόμενον ἔνοχον οὐκ οἶμαι δεῖν κωλυθῆναι διὰ τὴν τοῦ μοναχικοῦ σχήματος σεμνότητα.

ΕΡΜΗΝ. Καλῶς καὶ κατὰ τὴν τῶν θείων κανόνων παράδοσιν ἀποκριναμένης τῆς ἁγίας συνόδου πρὸς τὴν ἐρώτησιν, εἶπόν τινες ὡς τὸ μὲν μὴ ἀναγινώσκειν ἐπ' ἄμβωνος τοὺς μὴ λαβόντας ἀναγνώστου σφραγῖδα μοναχοὺς ἀδιάστικτόν ἐστι · τὸ δὲ ἐγχωρηθῆναι πάντα περιβεβλημένον σχῆμα μοναχικὸν εἰσιέναι εἰς τὸ θυσιαστήριον οὐδὲ ἀδιαστίκτως παραληφθήσεται. Ἀλλ' ἐπεὶ ὁ ξθ' κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου διορίζεται ἄβατον εἶναι τοῖς λαϊκοῖς τὸ ἅγιον θυσιαστήριον, εἰ μὲν ὁ τοῦ μοναχικοῦ σχήματος καταξιωθεὶς καὶ ἀποκάρσεως ἔτυχεν, ἀκωλύτως εἰσελεύσεται εἰς τὸ ἅγιον θυσιαστήριον · εἰ δὲ διὰ δοκιμασίαν κατὰ τοὺς κανόνας τὰ μοναχικὰ ἐνεδύσατο, ἃ καὶ ἀποτίθεσθαι ἐντὸς τριετίας ἐξεχωρήθη, οὐκ εἰσελεύσεται εἰς τὸ ἅγιον θυσιαστήριον χωρὶς οἱασδήποτε ὑποθέσεως, ὡς μηδὲ μετὰ τῶν μοναχῶν συνταττόμενος, ἀλλ' ἔτι ὢν λαϊκός. Ἐμοὶ δὲ δοκεῖ ὅτι οὐ δύναταί τις τὰ μοναχικὰ ὁπωσδήποτε περιβαλλόμενος ἅμιλλα ῥίψαι καὶ διαπαῖξαι αὐτά. Οὐ γὰρ μετὰ μοναχικῶν ἀμφίων ὠφείλει δοκιμάζεσθαι, ἀλλὰ μετὰ σχήματος λαϊκοῦ · διὸ καὶ πᾶσι τοῖς τὸ ἱερὸν σχῆμα ἠμφιεσμένοις ἀποκριμάτιστος ἔσται ἡ εἰς τὸ ἅγιον θυσιαστήριον εἰσέλευσις, ὡς μηδὲ δυναμένοις εἰς τόπον ἐλθεῖν λαϊκοῦ. Ἀνάγνωθι καὶ τὰ παρ' ἡμῶν γραφέντα εἰς τὸν ιθ' κανόνα τῆς ζ' συνόδου.

ΕΡΩΤΗΣΙΣ Β'.

Εἰ χρὴ μὲν κλίνειν ἐν Σαββάτῳ γόνυ, ὥσπερ οὐδὲ ἐν Κυριακῇ ἢ ἐν Πεντηκοστῇ ;

ΑΠΟΚΡ. Ἀπὸ τοῦ κανόνος μὲν οὐ κεκώλυται · οἱ πολλοὶ δὲ διὰ τὸ μὴ ἐπακολουθεῖν ἐν Σαββάτῳ νηστείαν οὐδὲ γόνυ κλίνουσιν.

ΕΡΜΗΝ. Ἡ προσκυνητία ἀπόκρισις δι' ὀλίγου πολλὰς ἀντιλογίας ἔλυσεν. Εἶπε γὰρ ὡς, ἐπεὶ παρὰ τῶν ἁγίων Πατέρων οὐκ ἐκωλύθη ῥητῶς τὸ γόνυ κάμπτειν κατὰ τὰ Σάββατα, ὥσπερ τὸ νηστεύειν κεκώλυται, ὁ γόνυ κάμπτων οὐ λογισθήσεται ταῖς ἐκκλησιαστικαῖς ἐναντιούμενος παραδόσεσι, καὶ μᾶλλον εἴπερ τοῦτο ποιεῖ διὰ ἄσκησιν. Ὅτι δὲ παρὰ τῶν ἁγίων Πατέρων ἐξισώθησαν διάλου σχεδὸν ταῖς Κυριακαῖς τὰ Σάββατα, καὶ οἱ νηστεύοντες ἐν τούτοις κολάζονται, οὐδὲ ὁ γόνυ μὴ κάμπτων προκριματισθήσεται · ἐρεῖ γὰρ νομικόν τι παράγγελμα, οὕτω διεξιών. Οὐ πᾶν τὸ μὴ κεκωλυμένον ἐπιτέτραπται.

ΕΡΩΤΗΣΙΣ Γ'.

Εἰ χρὴ ἐν τῷ Αὐγούστῳ νηστείαν ἐπιτελεῖν ;

ΑΠΟΚΡ. Ἦν ἡ νηστεία πρότερον ἐν τῷ καιρῷ τούτῳ, μετετέθη δὲ διὰ τὸ μὴ περιπίπτειν ταῖς κατὰ τὸν καιρὸν τοῦτον γινομέναις ἐθνικαῖς νηστείαις. Πλὴν καὶ ἔτι πολλοὶ τῶν ἀνθρώπων ταύτην τὴν νηστείαν νηστεύουσιν.

ΕΡΜΗΝ. Τὸ περὶ τῆς νηστείας ταύτης ἐζητήθη ποτὲ ἐνώπιον τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως κατὰ παρουσίαν τοῦ ἁγιωτάτου ἐκείνου πα-

Digitized by Google

τριάρχου κυροῦ Λουκᾶ καὶ τῶν παρευρεθέντων ἀρχιερέων. Καί τινες μὲν εἶπον μὴ ὀφείλειν νηστεύειν ἡμᾶς διὰ τὴν ἐν τῇ ἀποκρίσει δηλουμένην μετάθεσιν· ἕτεροι δὲ ἀντέθεντο ὡς, ἐπεὶ ἡ ἁγία σύνοδος ἀνενδοιάστως φησὶ νηστείαν μὲν γίνεσθαι πρότερον κατὰ ταύτας τὰς ἡμέρας, μετατεθῆναι δὲ ταύτην, οὐ δηλοῦται δὲ ὅπως καὶ ὅπου ἡ μετάθεσις γέγονεν, ὀφείλομεν ἐξ ἀνάγκης νηστεύειν. Ὁ δὲ πατριάρχης καὶ οἱ ἀρχιερεῖς ἀπεφήναντο ἀπροφάσιστον εἶναι τὴν νηστείαν τοῦ Αὐγούστου μηνὸς, καὶ εἰς ἐπισύστασιν τοῦ λόγου αὐτῶν ἐχρῶντο καὶ τῷ τόμῳ τῆς ἑνώσεως, τῷ διαλαμβάνοντι τοὺς τριγάμους τρὶς τοῦ ἔτους μεταλαμβάνειν τῶν θείων ἁγιασμάτων· κατὰ τὸ μέγα Πάσχα δηλαδὴ, κατὰ τὴν ἑορτὴν Κοιμήσεως τῆς ὑπεραγίας Θεοτόκου, καὶ κατὰ τὴν Γέννησιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τὸ ἐν ταύταις προηγεῖσθαι νηστείαν, καὶ τὸ ἐκ ταύτης ὄφελος. Ἀμφιβαλλόντων δὲ καὶ εἰσέτι τότε τινῶν διὰ τὸ μὴ εὑρίσκεσθαι ὁπουδήποτε τὴν ποσότητα τῶν ἡμερῶν τῆς τοιαύτης νηστείας, εἶπεν ὁ αὐτὸς ἁγιώτατος πατριάρχης ὡς τῶν ἡμερῶν ταύτης τε καὶ τῆς τελουμένης νηστείας πρὸ τῆς ἑορτῆς Γεννήσεως τοῦ Χριστοῦ μὴ δηλουμένων ἐκ τινος ἐγγράφου, ἀναγκαζόμεθα ἕπεσθαι τῇ ἀγράφῳ ἐκκλησιαστικῇ παραδόσει, καὶ ὀφείλομεν νηστεύειν ἀπὸ τῆς πρώτης τοῦ Αὐγούστου μηνὸς καὶ ἀπὸ τῆς ιδ' τοῦ Νοεμβρίου μηνός. Εἰ δὲ καταλῦσαι διὰ σωματικὴν ἀσθένειαν ἀναγκαζόμεθα, ἐκ προτροπῆς ἐπισκοπικῆς αἱ δηλωθεῖσαι ἡμέραι τῶν νηστειῶν στενοχωρηθήσονται· ὅτι καὶ τοῦτο δέδοκται ἐξ ἀγράφου ἐκκλησιαστικῆς παραδόσεως. Καὶ τότε μὲν ἐλαλήθησαν ταῦτα. Ἐγὼ δὲ μετὰ τοῦτο σκοπήσας ἔθεν καὶ ὅπως παρεδόθησαν αἱ δύο αὗται νηστεῖαι, ἤγουν ἡ τῆς Κοιμήσεως τῆς ἁγίας Θεοτόκου, καὶ ἡ τῆς Γεννήσεως τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν· ἀλλὰ μὴν καὶ ἡ πρὸ τῆς ἑορτῆς τῶν ἁγίων Ἀποστόλων τελουμένη νηστεία, καὶ ἡ πρὸ τῆς Μεταμορφώσεως νηστεία, καὶ εἰ ἐξ ἀνάγκης ὀφείλομεν κατὰ ταύτας νηστεύειν, καὶ ἐπὶ πόσαις ἡμέραις, λέγω τὴν μὲν νηστείαν τῶν τοιούτων τεσσάρων ἑορτῶν ἀπαραίτητον εἶναι, τὴν δὲ ποσότητα τῶν ἡμερῶν ταύτης μὴ εἶναι εἰς πάντας ἰσάριθμον· ὅπερ εἰς τὴν μεγάλην ἐστὶ Τεσσαρακοστήν· ἀλλὰ πρὸ μὲν ἑπτὰ ἡμερῶν ἑκάστης τῶν τοιούτων ἑορτῶν πάντες οἱ πιστοὶ, λαϊκοὶ δηλονότι καὶ μοναχοὶ, ἀναγκάζονται νηστεύειν κατὰ τὸ ἀπαραίτητον, καὶ οἱ μὴ οὕτω ποιοῦντες ἐκ τῆς κοινωνίας τῶν ὀρθοδόξων Χριστιανῶν ἀλλοτριωθήσονται· οἱ δὲ ἀπὸ τῶν κτητορικῶν τοπικῶν συνωθούμενοι μοναχοὶ νηστεύειν ἐπὶ πλέον, ἤγουν ἀπὸ τῆς ἑορτῆς τῶν Ἁγίων πάντων, καὶ ἀπὸ τῆς ιδ' τοῦ Νοεμβρίου μηνὸς, καὶ ἄκοντες ἀναγκασθήσονται τοῖς κτητορικοῖς αὐτῶν τοπικοῖς ἀκολουθεῖν, ὅτι τοῦτο κανονικὸν καὶ σωτηριῶδές ἐστιν, ὥσπερ καὶ οἱ λαϊκοὶ οὕτως ἑκουσὶ νηστεύοντες Εὐχαριστίας ἀξιωθήσονται. Ἐπεὶ δὲ τὰς αἰτίας τούτων πάντων γραφικοῖς ῥητοῖς δόγμασι καὶ διδάγμασι εὐδοκοῦντος Θεοῦ κατησφαλισάμεθα, καὶ δι' ἐπιστολῆς παρεστησάμεθα γραφείσης πρὸς τὸν ἐν τῷ βουνῷ τοῦ ἁγίου Αὐξεντίου ἐγκλει-

A domino Luca, et qui cum eo inventi sunt antistitibus. Et nonnulli quidem dicebant non debere nos jejunare, propter translationem quæ in responsione declaratur. Alii autem contra dicebant, quod quoniam sancta synodus dicit absque ulla dubitatione jejunium fuisse prius hoc tempore, sed fuisse translatum, non declaratur autem ubi et quomodo translatio facta sit, debemus necessario jejunare. Patriarcha autem et antistites pronuntiabant inexcusabile esse jejunium Augusti, et ad dicti sui comprobationem etiam unionis tomo utebantur, quo dicitur, trigamos ter in anno esse sacramentorum participes, scilicet in Paschate, et in festo Dormitionis sanctissimæ Deiparæ, et in Nativitate B Domini nostri Jesu Christi : eo quod in iis præcederet jejunium, et ejus utilitas. Quibusdam autem tunc quoque dubitantibus, quod nusquam inveniretur præscripta ejus jejunii dierum quantitas, dixit ipse sanctissimus patriarcha, quod cum dies hujus et illius quod ante Christi natalem sit, jejunii non declarentur ab ulla scriptura, cogimur sequi ecclesiasticam traditionem non scriptam, et debemus jejunare, a primo die Augusti, et a quarto decimo die mensis Novembris. Sin autem propter corporalem imbecillitatem id solvere cogamur, episcopali permissione dies declarati in Augustum redigentur; nam hoc quoque placuit ex non scripta ecclesiastica traditione. Et hæc quidem tunc temporis dicebantur. Ego autem cum postea considerassem undenam et quomodo hæc duo jejunia tradita sunt, scilicet Dormitionis sanctæ Deiparæ, et C Nativitatis Jesu Christi, et Dei nostri, atque etiam jejunium quod fit ante festum Sanctorum apostolorum, et jejunium ante Transfigurationem; et an necessario debemus hæc jejunare, et quot diebus; dico hoc quidem festorum jejunium esse inexcusabile; ejus autem quantitatem non esse numero in omnibus æqualem, ut est in magna Quadragesima : sed ante septem quidem dies uniuscujusque horum festorum, omnes fideles, laici scilicet et monachi, coguntur jejunare inexcusabiliter, et qui non ita faciunt, ab orthodoxorum Christianorum communione alienabuntur. Monachi autem qui suarum fundationum constitutionibus amplius jejunare D coguntur, scilicet a festo Omnium Sanctorum, et a quarto decimo mensis Novembris, vel inviti cogentur sequi statuta suarum fundationum, quoniam hoc canonicum est, et salutare : quemadmodum et laici qui sua sponte ita jejunant, gratiarum actione digni habebuntur. Quia autem horum omnium causas, Deo favente, divinis Scripturarum sententiis et doctrinis confirmavimus, et in Epistola ostendimus quam ad imprimis venerabilem monachum dominum Theodosium Sarpiotem, qui in colle S. Auxentii 217 includitur, scripsimus, eam lege. Hic autem non sita est, eo quod sit prolixa. Eadem autem epistola, nihilo penitus mutato, scripta est etiam ad clericos et reliquos qui sunt in throno magnæ Antiochiæ.

Digitized by Google

στότατον τιμιώτατον μοναχὸν κυρὸν Θεοδόσιον τὸν Σαρπειώτην, ἀνάγνωθι καὶ ταύτην. Ἐνταῦθα γὰρ ὡς πολύστιχος οὐ κατεστρώθη· ἡ αὐτὴ δὲ ἐπιστολὴ ἐγράφη ἀπαραλλάκτως καὶ πρὸς τοὺς ἐν τῷ Ὁρόντῃ τῆς μεγάλης Ἀντιοχείας κληρικοὺς καὶ λοιπούς.

INTERROGATIO IV.

An oporteat dæmoniacum communicare sacramentis? Sanctus enim Timotheus in quæstionibus sibi propositis aliter dixit, et sancti apostoli aliter, et posteriores aliter.

RESP. Si quis atra bile agitatur, ut videatur esse dæmoniacus, non prohibebitur : sed si est revera dæmoniacus, sacramentis minime dignabitur : nulla est enim luci societas cum tenebris.

INTERPR. Mihi videtur sanctus Timotheus, ei etiam qui est per intervalla dæmoniacus, concessisse divinorum sacramentorum participationem, eo tempore quo est sanæ mentis, et maxime, si eo tempore quo est furore percitus non blasphemet adversus sancta. Quemadmodum enim qui ab humore melancholico vexatur, si non novit sacramentorum gratiam, imo etiam quod majus est, blasphemat, non concedetur ei ut sit sacramentorum particeps, ne divina ex eo injuria afficiantur: ita etiam qui per intervalla furit, si sit dignus, et furoris tempore adversus divina mysteria non blasphemet, non impedietur eorum esse particeps eo tempore quo est sanæ mentis. In extrema autem respiratione existimo omnes debere dignos haberi divino sanctoque viatico. Nam sanctus quoque Timotheus decernit eos tunc baptizari debere, si antea non fuerint baptizati.

INTERROGATIO V.

An oportet ea quæ in Ecclesia offeruntur, ut oblationes, panem scilicet et vinum, sacerdotem indiscriminatim comedere, et quemadmodum sibi placuerit : et an debet hæc comedere tanquam panem communem ; et si multa hujusmodi collecta fuerint, quid oportet his facere?

RESP. Exaltatæ quidem oblationis fragmenta nequaquam, sed in sola debent Ecclesia comedi, donec universa consumpserint; quæ autem ex his supersunt, non cum lacte, et caseo, et ovis, et piscibus, sed separatim, et per se.

INTERPRET. Consequenter can. 7 Theophili episcopi Alexandrini, qui situs est in compellatoria ejus oratione in sancta Theophania, et hæc expresse definit, Quæ pro sacro sacrificio offeruntur, post ea quæ consumuntur in usum sacramentorum, clerici dividant, et neque catechumenus ex iis comedat, vel bibat; sed potius clerici, et fideles fratres qui sunt cum ipsis, respondit sancta synodus. Sed canon quidem non definit de fragmentis quæ restant ex sancto pane exaltato, et reliquis nec præcepit quomodo iis uti oporteat. Responsio autem eorum consumptionem in duo divisit. Sed sancta quidem synodus de vino oblato respondit : Theophilus autem ipsum quoque similiter ac panes, consumendum decrevit; et recte, ut existimo. Neque enim exaltatur vinum, sed solum sanctifi-

ΕΡΩΤΗΣΙΣ Δ'.

Εἰ δεῖ τὸν δαιμονιζόμενον μεταλαμβάνειν τῶν ἁγιασμάτων· ὁ μὲν γὰρ ἅγιος Τιμόθεος εἰς τὰς πρὸς αὐτὸν ἐρωτήσεις εἶπεν ἄλλως, καὶ οἱ ἅγιοι ἀπόστολοι ἄλλως, καὶ οἱ μεταγενέστεροι ἄλλως.

ΑΠΟΚΡ. Εἰ ἀπὸ μέλανος ἐνοχλεῖται χυμοῦ τις, ὡς δαιμονᾷν δοκεῖν, οὐ κωλυθήσεται· εἰ δὲ τῇ ἀληθείᾳ δαιμονῶν ἐστιν, ἥκιστα τῶν ἁγιασμάτων ἀξιωθήσεται· ὅτι οὐδὲ κοινωνία φωτὶ πρὸς σκότος.

ΕΡΜΗΝ. Ἐμοὶ δοκεῖ καὶ τῷ ἐκ διαλείμματος δαιμονῶντι παρὰ τοῦ ἁγίου Τιμοθέου ἐκχωρηθῆναι τὴν τῶν θείων ἁγιασμάτων μετάληψιν καθ' ὃν νήφει πάντως καιρόν· καὶ μᾶλλον ἐὰν κατὰ τὴν μανίαν οὐ βλασφημεῖ κατὰ τῶν ἁγίων. Ὥσπερ γὰρ ὁ ἀπὸ χυμοῦ μελαγχολικωτέρου ὀχλούμενος, ἐὰν οὐκ οἶδε τὴν χάριν τῶν ἁγιασμάτων, ἐπὶ πλέον καὶ βλασφημεῖ, οὐ παραχωρηθήσεται μεταλαβεῖν, ἵνα μὴ ἐντεῦθεν παρυβρίζωνται τὰ θεῖα· οὕτω καὶ ὁ ἐκ διαλείμματος μαινόμενος, ἐὰν ἄξιός ἐστι, καὶ οὐδὲ βλασφημεῖ κατὰ τὸν τῆς μανίας καιρὸν τῶν θείων μυστηρίων, οὐκ ἐμποδισθήσεται αὐτῶν μετασχεῖν, καθ' ὃν νήφει καιρόν. Κατὰ δὲ τὰς τελευταίας ἀναπνοὰς οἶομαι πάντας ὀφείλειν ἀξιοῦσθαι τοῦ θείου καὶ ἁγίου ἐφοδίου· ὅτι καὶ ὁ ἅγιος Τιμόθεος βαπτίζεσθαι τούτους τηνικαῦτα διορίζεται, μὴ προβαπτισθέντας.

ΕΡΩΤΗΣΙΣ Ε'.

Εἰ δεῖ τὰ προσφερόμενα ἐν τῇ Ἐκκλησίᾳ, οἷον προσφοράς, καὶ ῥάματα, ἀδιαφόρως ἐσθίειν τὸν ἱερέα, καὶ ὡς βούλεται· καὶ εἰ ὡς ἄρτον κοινὸν ὀφείλει ταῦτα ἐσθίειν· καὶ εἰ πολλὰ τοιαῦτα συναχθείη, τί δεῖ ταῦτα ποιεῖν;

ΑΠΟΚΡ. Τὰ μὲν τῆς ὑψωθείσης κλάσματα οὐχί· ἀλλ' ἐν τῇ ἐκκλησίᾳ μόνῃ ἐσθίειν, ἕως ἂν ἅπαντα δυπανήσωσι· τὰ δὲ περιττὰ τῶν ἄλλων μὴ μετὰ γάλακτος, καὶ τυροῦ, καὶ ὠῶν, καὶ ἰχθύων, ἀλλ' ἀποτεταγμένως, καὶ ἰδιαζόντως.

ΕΡΜΗΝ. Ἀκολούθως τῷ ζ' κανόνι Θεοφίλου ἐπισκόπου Ἀλεξανδρείας, τῷ κειμένῳ εἰς τὸν προσφωνηματικὸν λόγον αὐτοῦ τὸν εἰς τὰ ἅγια Θεοφάνεια, καὶ διοριζομένῳ ταῦτα ῥητῶς, Τὰ προσφερόμενα εἰς λόγον θυσίας μετὰ τὰ ἀναλισκόμενα εἰς τὴν τῶν ἁγίων χρείαν οἱ κληρικοὶ διανεμέσθωσαν, καὶ μήτε κατηχούμενος ἐκ τούτων ἐσθιέτω, ἢ πινέτω, ἀλλὰ μᾶλλον οἱ κληρικοὶ καὶ οἱ σὺν αὐτοῖς πιστοὶ ἀδελφοί, ἀπεκρίνατο ἡ ἁγία σύνοδος. Πλὴν ὁ μὲν κανὼν οὐ διεστείλατό τι χάριν τῶν περιττευόντων κλασμάτων ἀπὸ τοῦ ὑψωθέντος ἁγίου ἄρτου, καὶ τῶν λοιπῶν, οὐδ' ὅπως τούτοις δεῖ χρῆσθαι παρεκελεύσατο· Ἡ δὲ ἀπόκρισις διεῖλεν εἰς δύο τὴν τούτων δαπάνην. Περὶ μέντοι τοῦ προσφερομένου οἴνου ἡ μὲν ἁγία σύνοδος οὐδέν τι ἀπελογίσατο· ὁ δὲ Θεόφιλος καὶ τοῦτον παρομοίως τοῖς ἄρτοις δαπανᾶσθαι διω-

Digitized by Google

ρίσατο · καὶ ὡς νομίζω, καλῶς · οὐδὲ γὰρ ὑψοῦται ὁ οἶνος, ἀλλὰ μόνον ἁγιάζεται. Ἀνάγνωθι τῶν ἁγίων ἀποστόλων κανόνα ὀβ' καὶ τῆς ἐν Ἀγκύρᾳ συνόδου κανόνα ζ' καὶ η'. Σημείωσαι δὲ τὰ ἐν τῇ παρούσῃ ἀποκρίσει περιεχόμενα, καὶ θρήνησον, πῶς καταφρονεῖται σχεδὸν ἀπὸ πάντων τῶν ἱερέων ἡ δαπάνη τῶν μὴ ὑψωμένων προσφορῶν · ὅτι πλείους γὰρ καὶ μετὰ κρεάτων ἐσθίουσιν αὐτάς, καὶ ἀλλοτρόπως κοινοποιοῦσιν.

A catur. Lege etiam sanctorum apostolorum can. 72 et synodi Ancyranæ can. 7 et 8. Observes autem quæ in præsenti responsione continentur; et lamentis vaces, quod ab omnibus propemodum sacerdotibus neglectui habeatur exaltatarum **218** oblationum consumptio : plerique enim eos etiam cum carnibus comedunt, et aliis modis profanant.

ΕΡΩΤΗΣΙΣ Ϛ'.

Εἰ ὁπουδήποτε ἀποκαρεὶς μοναχός τις βλάπτεται κατά τι συμβὰν ψυχικῶς, καὶ βουλόμενος ὑποχωρῆσαι δεσμηθῇ παρὰ τοῦ οἰκείου προεστῶτος, τί ποιήσει; τῆς βλάβης καταφρονήσει, ἢ τοῦ δεσμοῦ;

INTERROGATIO VI.

Si ullus quocunque in loco tonsus monachus in aliquo, quod ejus animam offendit, læditur, et volens recedere, a suo præposito ligatus fuerit, quid faciet? damnum contemnet, an vinculum?

ΑΠΟΚΡ. *Χρὴ τοῦτον λέγειν τῷ προεστῶτι δι' ὃ βλάπτεται · καὶ εἰ ἔστι προφανὴς κίνδυνος ἐκ τούτου, ὑποχωρεῖν ἐκεῖθεν, καὶ μὴ τοῦ δεσμοῦ φροντίζειν.* B

RESP. Oportet eum dicere præposito quam ob rem læditur: et si est ex eo manifestum periculum, recedere, et vinculum non curare.

ΕΡΜΗΝ. Ὁ τρίτος κανὼν τῆς ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων συστάσης πρώτης καὶ τῆς δευτέρας συνόδου ἀφορίζεσθαι διορίζεται τὸν καθηγούμενον, μὴ ἀναζητοῦντα μετὰ ἐπιμελείας τὸν ἀποδιδράσκοντα μοναχὸν αὐτοῦ · καὶ ὁ δ' κανὼν τῆς αὐτῆς συνόδου ἀφορίζει τὸν χωρὶς εὐλόγου αἰτίας μεταπίπτοντα μοναχὸν, καὶ τὸν δεχόμενον αὐτόν. Ὅθεν καὶ ἡ ἁγία σύνοδος ἀπελογήσατο μὴ ἀπερισκέπτως, καὶ κατὰ τὸ δόξαν σκάνδαλον ἑνὶ ἑκάστῳ τῶν μοναχῶν, ὑποχωρεῖν ἐξ ἧς ἀπεκάρη μονῆς, ἀλλὰ ἀναδιδάσκειν τοῦτο τὸν καθηγούμενον, καὶ εἰ μὴ τύχοι διορθώσεως, ὑποχωρεῖν ἀπὸ τῆς μονῆς, καὶ μὴ ἐπιστρέφεσθαι τοῦ ἡγεμονικοῦ δεσμοῦ. Ἐκλαβοῦ δὲ τὸ μὴ ἐπιστρέφεσθαι αὐτὸν τοῦ δεσμοῦ εἰς τὸ μὴ ὑποπτεύειν κίνδυνον ἐκ τοῦ ὑποχωρῆσαι πρὸ τοῦ λυθῆναι τὸν δεσμόν · μὴ μέντοι γε καὶ εἰς τὸ γενέσθαι αὐτόλυτον · ἀναγκασθήσεται γὰρ προσελθεῖν τῷ κατὰ χώραν ἐπισκόπῳ, καὶ λυθῆναι τοῦ δεσμοῦ ἢ κατὰ παρουσίαν τοῦ ἐπαγαγόντος αὐτὸν, ἢ καὶ ἐκείνου δίχα, μετὰ τὴν μετάκλησιν μὴ παρουσιάσαντος. C

INTERPRET. Tertius canon primæ et secundæ syn. in templo SS. apostolorum habitæ, decernit, ut segregetur monasterii præpositus, qui diligenter non requirit monachum suum qui aufugit : et quartus canon ejusdem synodi segregat monachum qui sine justa causa recedit, et eum qui illum recipit. Unde etiam S. syn. respondit non inconsiderate et pro ea quæ sibi apparuerit offensione, licere unicuique monacho ex eo quo tonsus est monasterio recedere : sed hoc præpositum docere, et si non correctionem assecutus sit, a monasterio recedere, et vinculi sui præpositi nullam curam habere. Accipe autem illud vinculi nullam curam habere ad hoc, ut non suspicetur aliquod sibi imminere periculum, eo quod recesserit antequam sit solutum vinculum : non etiam ad hoc, ut ipse per se absolvatur. Cogetur enim accedere ad loci episcopum, et absolvi a vinculo, vel eo præsente qui imposuit, vel etiam sine illo, postquam vocatus non adfuerit.

ΕΡΩΤΗΣΙΣ Ζ'.

Ἡγούμενος τελευτῶν κατέλιπεν ἕτερον ἀνθ' ἑαυτοῦ, δεσμήσας αὐτὸν μὴ ὑποχωρῆσαι. Ἀλλ' ὁ τοιοῦτος καταγνοὺς ἑαυτοῦ ἀσθένειαν ὑπεχώρησε. Τί οὖν χρὴ ποιῆσαι περὶ τοῦ δεσμοῦ;

INTERROGATIO VII.

Moriens præpositus reliquit pro se alium, ab eo ligatum ne recederet. Is autem, sua imbecillitate cognita, recessit. Quid itaque faciendum est de vinculo?

ΑΠΟΚΡ. *Ἄλογος ὁ δεσμὸς, καὶ διὰ τοῦτο ἀνίσχυρος· καὶ ὁ δεσμηθεὶς ἀπολυθήσεται ἀρχιερεῖ προσελθών, καὶ τὰ καθ' ἑαυτὸν ἀπαγγείλας.* D

RESP. Ratione caret vinculum, atque ideo invalidum est, et accedens ad episcopum ligatus absolvetur, cum sua ei exposuerit.

ΕΡΜΗΝ. Ὁ λβ' κανὼν τῶν ἁγίων ἀποστόλων φησὶ τὸν ἀφορισθέντα παρ' ἐπισκόπου μὴ δέχεσθαι παρ' ἑτέρου ἀλλ' ἢ παρὰ τοῦ ἀφορίσαντος αὐτὸν, εἰ μὴ κατὰ συγκυρίαν τελευτήσει ὁ ἀφορίσας τοῦτον. Κατὰ γοῦν τὴν τούτου περίληψιν ἀπελογήσατο ἡ ἁγία σύνοδος τὸν ἀνεύλογον δεσμὸν τοῦ τελευτήσαντος καθηγουμένου λύεσθαι παρὰ ἀρχιερέως πάντως τοῦ κατὰ χώραν. Οὐ γὰρ ἐνεδόθη ἑτέρας ἐνορίας ἀρχιερεῖ λύειν δεσμὸν καθηγουμένου, μὴ ὑποκειμένου αὐτῷ. Καὶ ὁ μὲν παράλογος ἀφορισμὸς

INTERPRET. Tricesimus secundus canon sanctorum apostolorum, dicit eum qui ab episcopo segregatus est ab alio non suscipi, præterquam ab eo qui ipsum segregavit, nisi forte mortuus sit qui eum segregavit. Sicut ergo eo comprehenditur, respondit sancta synodus injustum vinculum defuncti præpositi solvi omnino ab episcopo regionis. Neque enim datum est alterius regionis antistiti solvere vincula præpositi sibi non subditi. Et injusta quidem segregatio sic solvetur. De eo autem

Digitized by Google

cui pœna est imposita propter rem quæ fieri non potest, vel causam manifeste injustam et non canonicam, considerandum est. Et quære decimum decretum quinti cap. tit. 1, lib. VI Basilicorum.

A

INTERROGATIO VIII.

An oportet sacerdotem qui propter crimen est depositus, vel qui sacerdotium sua sponte deposuit, cum seipsum condemnasset, præfari illud, « Benedictus Deus » et hoc, « Deus misereatur nostri, » vel hoc, « Christus verus Deus » vel suffire suffitibus, vel communicare intra altare.

RESP. Non. In laicorum enim locum reductus est.

INTERPRET. Vicesimus septimus Basilii sacerdotem qui illicitum **219** matrimonium contraxit insciens, dicit sola esse cathedra dignandum propter ignorantiam, non sinit autem eum alios benedicere. Nonus canon synodi Neocæsariensis hæc dicit expresse : Si presbyter qui corpore ante peccaverit, promotus fuerit, et se ante ordinationem peccasse confessus fuerit, ne offerat, manens in cæteris propter aliud ejus bonæ vitæ studium. Et Novella 79 imperatoris D. Leonis Sapientis statuit, ut qui post ordinationem cum muliere conjungitur, deponatur quidem, sed ad clericorum habitus et alius ministerii in ecclesiis, quod non est attingere illicitum, alienationem non condemnetur. Mihi itaque videntur hæc conciliari pro differentia operationis ecclesiasticæ. Et qui non sic operantur, iis quæ ad sacerdotes per accessum ad altare pertinent, privabuntur, sed operationibus quæ pertinent ad clericos qui sunt extra sacrum tribunal, non privabuntur.

B

C

INTERROGATIO IX.

Quod dicit S. Basilius in parvis pœnis, Sit a benedictione alienus, pro lapsus proportione, quid est ?

RESP. Privari aliquem benedictione, quæ datur in Ecclesia.

INTERPRET. Benedictiones ecclesiasticæ sunt omnia quæ fiunt vel dantur ab episcopis vel sacerdotibus in ecclesiis ad preces et stabilimentum fidelis populi. Unusquisque ergo pro sui lapsus proportione ecclesiastica benedictione privetur.

D

INTERROGATIO X.

An oportet eos qui a sancto dono sunt prohibiti, comedere exaltatas oblationes.

LESP. Invenimus in Vita sancti Theodori eos fuisse prohibitos.

INTERROGATIO XI.

An oportet, ut vult canonicum jejunatoris, canonice se gerere ?

RESP. Illud canonicum nimia indulgentia usum,

οὕτω λυθήσεται. Περὶ δὲ τοῦ ἐπιτιμηθέντος διὰ ἀδύνατον, ἢ καὶ προφανῶς παράνομον καὶ ἀκατάστατον αἰτίαν, σκοπητέον. Καὶ ζήτει θέμα ε' τοῦ ε' κεφ. τοῦ πρώτου τίτλου τοῦ ιαʹ βιβλ. τῶν Βασιλικῶν.

ΕΡΩΤΗΣΙΣ Ιʹ.

Εἰ χρὴ τὸν ἐπὶ ἐγκλήματι καθαιρεθέντα ἱερέα ἢ ἑκουσίως τὴν ἱερωσύνην καταλείψαντα, καταγνόντα ἑαυτοῦ προλέγειν τό, « Εὐλογητὸς ὁ Θεός, » καὶ τό, « Ὁ Θεὸς οἰκτιρήσαι ἡμᾶς, » καὶ τό, « Χριστὸς ἀληθινὸς Θεός, » ἢ θυμιᾶν μετὰ θυμιατοῦ, ἢ μεταλαμβάνειν ἔνδον τοῦ θυσιαστηρίου.

ΑΠΟΚΡ. *Οὐχ· εἰς γὰρ τὸν τῶν λαϊκῶν τόπον κυταχθήσεται.*

A ἀτιμίας ; Ἢ πῶς οὐ παντελῶς ἀσυνείδητον, ἐπτὰ ἡμερῶν οὐσῶν, ὧν μία εἰς Δεσποτικὴν τιμὴν ἀνεῖται, μὴ ἀρκεῖσθαι ἡμᾶς ταῖς ἐξ ἀποκεχρημένους εἰς ἔργον, καὶ ἀναφαίρετον τῷ Δεσπότῃ ἐκείνην τηρεῖν· ἀλλὰ καὶ ταύτην κοινοποιεῖσθαι, καὶ τῶν ἡμετέρων ἔργων νομίζειν καιρόν ; Διό φαμεν καὶ ἡμεῖς, πάσης ἐνεργείας ἐμπορευομένων, καὶ αὐτῶν δὴ τῶν γεωργῶν, ἀπρακτησάσης, ὡς εἴρηται, καὶ πάντων ἀναγκαζομένων ταῖς ἐκκλησίαις ἐνασχολεῖσθαι, καὶ δοξολογεῖν τὸν Θεὸν μᾶλλον κατὰ ταύτην τὴν κυριώνυμον, διὰ τὸ ἐν αὐτῇ ἰδεῖν ἡμᾶς τοὺς πιστοὺς τὸν τῆς δικαιοσύνης Ἥλιον λάμψαντα· οὔτε οὖν οἱ τὰ τῶν βαλανείων προκαυστήρια, λουτήριά τε, καὶ λοιπὰ ἐνεργοῦντες τούτοις ὑπηρετήσουσιν, οὔτε τις πιστὸς συγγνώμης ἀξιωθείη· τῆς μὲν προσευχῆς B ἀποσχόμενος, καὶ τῶν πολυῴμήτων δοξολογιῶν καὶ διδασκαλιῶν τῆς κυριωνύμου ἀφιστάμενος, καὶ θερμοῖς ὕδασι προσανέχων καὶ ἀσχολούμενος· ἀλλὰ διὰ ἐπιτιμίων κατὰ τὴν ἐπισκοπικὴν διάκρισιν διορθωθήσεται.

Interr. 52. Jejunium solvens carnibus, caseo et ovo, diebus Mercurii et Veneris totius anni, venia dignus, annon?

Resp. Sexagesimus nonus canon sanctorum apostolorum sit : Si quis episcopus, vel presbyter, vel diaconus, vel lector, vel cantor, sanctam Paschæ Quadragesimam non jejunat, vel quartum diem, vel Parasceven, præter quam si propter imbecillitatem corporalem impediatur, deponatur : si sit autem laicus, segregetur. Qui igitur sine corporali infirmitate dissolvit [j] dies Mercurii et Veneris, punitur juxta canonis hujus tenorem. Quando vero propter imbecillitatem coactus fuerit dissolvere, piscibus C vel oleo moderabitur ægrotationis afflictionem. Carnes enim vel caseum, aut ovum attingere non fuerit concessum, licet extremam efflet animam, neque in magna Quadragena, neque in qualicunque Mercurii vel Veneris die. Sufficit enim ei, qui necessario per aridorum esum magnificare debet dies Mercurii et Veneris, per oleum et pisces morbi acerbitatem mitigare. Excipe mihi dies Mercurii et Veneris, carnisprivii, septuagesimæ, renovationis et duodecim dierum. In his enim per carnes etiam, citra periculum jejunia frangimus : quia circa dodecahemerum jejunant Armenii propter Artziburium, in hebdomade prima carnisprivii, propter Ninivitas : et in hebdomade tyrophagi Tetraditæ hæretici jejunium magnum observant. Nos igitur contraria iis facientes, frangimus [k], ne videamur cum iis consentire, eo excepto, quod illud fiet, si quis cum Tetraditis aut Armeniis habitet. Alioqui enim, si in regione degat, ubi nullus est ejuscemodi, degustabit tantum ex carnibus, vel caseo, et suspicionem attenuabit per continentiam, non per inglu-

Ἐρώτ. νβ'. Ὁ καταλύων διὰ κρέατος, τυροῦ καὶ ὠοῦ, τὰς τετρόδας καὶ τὰς παρασκευὰς τοῦ ὅλου χρόνου, συγγνωστέος ἐστίν, ἢ οὔ ;

Ἀπόκ. Ὁ ξθ' κανὼν τῶν ἁγίων ἀποστόλων φησίν· Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ἀναγνώστης, ἢ ψάλτης, τὴν ἁγίαν Τεσσαρακοστὴν τοῦ Πάσχα οὐ νηστεύει, ἢ τετράδα, ἢ παρασκευήν, καθαιρείσθω· εἰ μὴ διʼ ἀσθένειαν ἐμποδίζοιτο. Εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω. Ὁ γοῦν καταλύων ἄνευ σωματικῆς ἀσθενείας τὰς τετράδας καὶ τὰς παρασκευάς, κολάζεται κατὰ τὴν τοῦ τοιούτου κανόνος περίληψιν. Ὅτε δὲ διʼ ἀσθένειαν ἀναγκασθείη τις καταλῦσαι, διὰ ἰχθύων ἢ ἐλαίου μετριάσει τοῦ ἀρρωστήματος τὴν κακότητα. Κρέατος γὰρ ἢ τυροῦ ἢ ὠοῦ ἅψασθαι οὐ συγχωρηθείη, κἂν πνέῃ τὰ λοίσθια, οὔτε ἐν τῇ μεγάλῃ Τεσσαρακοστῇ, οὔτε ἐν οἱῳδήτινι τετράδι καὶ παρασκευῇ· ἀρκεῖ γὰρ τῷ ἐξ ἀνάγκης διὰ ξηροφαγίας μεγαλύνειν ὀφείλοντι τὰς τετράδας καὶ τὰς παρασκευὰς, διὰ ἐλαίου καὶ ἰχθύων ἐπιεικεῦσαι τὸ νόσημα. Ὑπέξελέ μοι τὰς τετράδας, καὶ τὰς παρασκευὰς τῆς ἀπόκρεω, τῆς τυροφάγου τῆς διακινησίμου [49], καὶ τοῦ δωδεκαημέρου. Ἐν ταύταις γὰρ καὶ διὰ κρέατος ἀκινδύνως καταλύομεν· ὅτι κατὰ τὸ δωδεκαήμερον νηστεύουσιν οἱ Ἀρμένιοι διὰ τὸν Ἀρτζιβούριον· κατὰ τὴν ἑβδομάδα τῆς πρώτης ἀπόκρεω, διὰ τοὺς Νινευΐτας· καὶ κατὰ τὴν ἑβδομάδα τῆς τυροφάγου νηστεύουσιν οἱ D Τετραδῖται οἱ αἱρετικοὶ νηστείαν μεγάλην. Ἡμεῖς οὖν ἀντιπράττοντες τούτοις, καταλύομεν, ἵνα μὴ δόξωμεν ὁμοφρονεῖν αὐτοῖς. Πλὴν καὶ τοῦτο γενήσεται, ὅταν τις μετὰ Τετραδιτῶν ἢ Ἀρμενίων συναυλίζηται. Εἰ γὰρ εἰς χώραν διάγει ἔνθα οὐκ ἔστι τοιοῦτος, ἀπογεύσεται μόνον κρέατος ἢ τυροῦ, καὶ μετεωρίσει τὴν ὑπαψίαν δι' ἐγκρατείας, οὐ μὴν διὰ

VARIÆ LECTIONES.

[49] διακαινησίμου.

[h] *cum omne opus negotiatorum, et ipsorum quoque agricolarum cesset, ut dictum est, omnesque cogantur in ecclesiis versari.* [i] *resplenduisse : ne quidem eos, qui balneorum æstuaria et lavacra, et reliqua tractant, his operas suas facturos* [j] *violat.* [k] *violamus hæc.*

Digitized by Google

ἀδδηφαγίας. Κατὰ δὲ τὴν ἑβδομάδα τῆς διακινησίμου [90] ἀκινδύνως κρεωφαγήσομεν, κατὰ τὴν αὐτῆς τετράδα, καὶ παρασκευήν. Ὡς μία γὰρ λογίζεται κυριώνυμος τὸ ἑπταήμερον τοῦτο διάστημα.

A viem. Hebdomade autem antipascenalis sine periculo carnibus vescemur in ejus Mercurii die et Veneris. Nam pro uno die Dominico habetur hoc septem dierum intervallum.

Ἐρώτ. νγ'. Αἱ νηστεῖαι τῆς ἑορτῆς τῶν ἁγίων ἀποστόλων, καὶ τῆς Χριστοῦ γεννήσεως, καὶ τῆς κοιμήσεως τῆς ἁγίας Θεοτόκου, καὶ τοῦ Σωτῆρος, ἀπαραίτητοί εἰσιν, ἢ συγχωρητέαι καὶ ἀδιάφοροι;

Interr. 53. Jejunia diei festi Sanctorum Apostolorum, et Natalis Christi, et Obdormitionis sanctæ Deiparæ et Servatoris, inexcusabilia sunt, an permittenda et indifferentia?

Ἀπόκ. Ἡ μὲν ἐν Κωνσταντινουπόλει ἁγία σύνοδος ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου..... ἐρωτηθεῖσα εἰ χρὴ τὴν ἐν τῷ Αὐγούστῳ νηστείαν ἐπιτελεῖν, ἀπελογήσατο ὡς αὕτη ἡ νηστεία μετετέθη, διὰ τὸ μὴ περιπίπτειν ταῖς κατὰ τὸν καιρὸν τοῦτον γινομέναις ἐθνικαῖς νηστείαις. Πλὴν καὶ ἔτι πολλοὶ τῶν ἀνθρώπων ταύτην τὴν νηστείαν νηστεύουσιν. Ἡμεῖς δὲ, σκοπήσαντες τὰ περὶ τούτου, ἀπολογούμεθα, ὅτι ἐξ ἀνάγκης προηγοῦνται νηστεῖαι πρὸ τῶν τεσσάρων τούτων ἑορτῶν· ἤγουν πρὸ τῆς ἑορτῆς τῶν Ἁγίων Ἀποστόλων, τῆς Γεννήσεως τοῦ Χριστοῦ, τῆς Μεταμορφώσεως τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, καὶ τῆς Κοιμήσεως τῆς ἁγίας Θεοτόκου· πλὴν ἑπταήμεροι. Μία γὰρ τεσσαρακονθήμερος νηστεία ἐστὶν, ἡ τοῦ ἁγίου καὶ μεγάλου Πάσχα. Εἰ δέ τις καὶ πλέον τῶν ἑπτὰ ἡμερῶν κατὰ τὴν ἑορτὴν τῶν Ἁγίων Ἀποστόλων καὶ κατὰ τὴν ἑορτὴν τῆς Γεννήσεως τοῦ Χριστοῦ νηστεύει, ἢ ἑκουσί, ἢ ἀπὸ κτητορικοῦ τυπικοῦ συνωθούμενος, οὐ κατεισχυνθήσεται. Ὅπως δὲ καὶ διατί πρὸ ἑκάστης τούτων τῶν τεσσάρων ἑορτῶν ἑπταήμερον νηστείαν ἐξ ἀνάγκης νηστεύειν ὀφείλομεν, ἐδηλώθη ἐν τῷ γεγονότι παρ' ἡμῶν χάριν τούτου συνοδικῷ τόμῳ. Οἱ γοῦν μὴ νηστεύοντες πρὸ ἑκάστης τούτων τῶν τεσσάρων ἑορτῶν κατὰ τὸ πάντη ἀπαραίτητον, δι' ἐπιτιμίων μεγάλων διορθωθήσονται.

Resp. Constantinopolitana quidem sancta synodus in diebus sanctissimi illius patriarchæ.... interrogata, an oporteat Augusti mensis jejunium perficere [l]: respondit, id jejunium mutatum esse, ne cum paganis jejuniis quæ eodem tempore fiunt, concurrat. Multi tamen homines id jejunium adhuc observant. Nos autem cum ea, quæ ad hoc pertinent, consideraverimus, defendimus jejunia necessario præcedere hæc quatuor festa: nimirum festum Sanctorum Apostolorum, Natalis Christi, Transformationis Christi et Dei nostri, et Obdormitionis sanctæ Deiparæ, sed tantum septem dierum. Unum enim est quadraginta dierum jejunium sancti et magni Paschatis. Quod si quis plusquam septem diebus circa festum Sanctorum Apostolorum et festum natalis Christi jejunet, seu sponte, seu a fundatoria regula [m] impulsus, non vituperabitur. Quomodo autem, et propter quid ante unumquodque horum quatuor festorum jejunare debeamus, declaratum in synodali decisione, de eo a nobis facta. Qui igitur non jejunant ante unumquodque horum quatuor festorum sine ulla omnino excusatione magnis emendabuntur pœnis.

Ἐρώτ. νδ'. Οἱ κατὰ ταύτας τὰς νηστείας ἐγκρατευόμενοι, πρὸς δὲ καὶ οἱ κατὰ τὰς τετράδας καὶ παρασκευὰς ξηροφαγοῦντες, ἐκχωρηθήσονται διὰ δευτέρας τραπέζης θεραπεῦσαι τὴν τοῦ σώματος ἔνδειαν, ἢ οὔ;

Interr. 54. Qui his jejuniis continenter agunt, adhæc et diebus Mercurii et Veneris aridis vescuntur, sinentur per secundariam mensam curare corporis indigentiam, annon?

Ἀπόκ. Κυρίως ἡ ἐγκράτεια, νηστεία ἐστίν· ὅτι καὶ παθοκτόνος, οὐκ ἀνθρωποκτόνος καλεῖται. Εἰ γοῦν οἱ ἐγκρατευόμενοι, διὰ σύστασιν τοῦ σώματος καὶ δευτέρας τραπέζης δεηθῶσιν, οὐ προκριματισθήσονται. Πάντως γὰρ καὶ αὐτοὶ τὴν ὁλοήμερον οὐκ ἀτιμάσουσιν ἐγκράτειαν, διὰ ἐσπερινῆς ἀκρασίας. Τοῦτο δὲ ποιήσαντες, ἐπιτιμηθήσονται.

Resp. Proprie continentia, jejunium est; quia et affecticida, non homicida vocatur. Si ergo, qui continenter vivunt, ad corporis sustentationem secundaria mensa indigeant, præjudicium non patientur. Nam nec hi tota die continentiam infamabunt per incontinentiam nocturnam [n]. Id enim si fecerint, coercebuntur.

Ἐρώτ. νε'. Κατὰ τὴν παραμονὴν τῆς ἐκ νεκρῶν ἐγέρσεως τοῦ δικαίου Λαζάρου, καὶ κατὰ τὴν ἑορτὴν τῶν Ἁγίων Τεσσαράκοντα, ἀκινδύνως τελείαν ἱερουργίαν ἱερουργήσει τις, ἢ οὔ; Ὡσαύτως καὶ κατὰ τὴν ὅλην ἁγίαν Τεσσαρακοστὴν ἔξεστι βαπτίζειν, ἢ ἱερολογίας γάμων καὶ μνηστειῶν ποιεῖν, ἢ οὔ;

Interr. 55. In exspectatione resurrectionis a mortuis justi Lazari, et in festo Sanctorum Quadraginta, sine periculo sacrificium quispiam perfectum celebrabit, annon? Pariter et tota sancta Quadragena licet baptizare, aut benedictiones nuptiarum sponsaliorumque facere, annon?

Ἀπόκ. Ὁ νβ' κανὼν τῆς ἐν τῷ Τρούλλῳ τοῦ μεγάλου

Resp. Quinquagesimus secundus canon sanctæ et

VARIÆ LECTIONES.

[90] διακαινησίμου.

[l] *Augusto mense, jejunium servaret:* [m] *seu a municipali aucdam decreto.* [n] *Omnino tamen nec ipsi tota die continuatam temperantiam, per respertinam intemperantiam deformabunt.*

Digitized by Google

œcumenicæ synodi, in Trullo magni palatii congregatæ, hæc ait: In omnibus sanctæ Quadragesimæ jejunii diebus, præter quam Sabbato, et Dominico, et sancto Annuntiationis die, fiat sacrum præsanctificatorum ministerium. Et 49 canon Laodicenæ synodi hæc enuntiat: Quod non oportet in Quadragesima panem offerre, nisi Sabbato, et solis Dominicis. Et 51 canon ejusdem synodi inquit: Quod non oportet in Quadragesima martyrum natales peragere, sed sanctorum martyrum facere commemorationes in Sabbatis et Dominicis. Et 52 ait: Quod non oportet in Quadragesima nuptias, vel natalitia celebrare. Ejusdem synodi 45 complectitur: Quod non oportet post duas hebdomadas Quadragesimæ ad illuminationem [o] admitti. Qui igitur contra horum tenorem faciunt baptismata, vel nuptiales benedictiones in tota sancta magna Quadragena, vel perfectas hostias sacrificantes, excepto solo Sabbato, et die Dominico, et evangelizatione [p], injuste agunt, et gravibus emendabuntur pœnis, quod ea commiserint, quæ veniam non merentur. Canonibus sane definitum est, in magno Sabbato baptismata fieri. Quod si vitæ exitus urgeat divini baptismatis initiationem, lavacrum exhibebitur, etiam alio die Quadragenæ. Nam et iis, qui ad extremum coercentur [q], et perpetua excommunicatione damnati sunt, mortis auxiliatur mysterium, ad sanctorum mysteriorum participationem.

Interr. 56. Sine periculo fiunt ordinationes subdiaconorum, diaconorum, sacerdotum, et pontificum in sancta et magna Quadragena, annon?

Resp. Canonibus statutum est (ut superius diximus) ne perfecta sacrificatio fiat toto 40 dierum jejunio, exceptis solis Sabbatis, et Dominicis, et festo Evangelizationis. His itaque diebus, quando mystica consecrata victima perficitur, ordinationes citra ullum crimen fiunt: cæteris autem jejunatoriis diebus, quando perfecta sacrificatio non fit, nec ordinatio ullius eorum, qui altari ministrant, multoque minus episcopalis perficietur. Ordinatio [r] enim est publici conventus tempus, et glorificationis Dei, dignis elargiens spiritales dignitates.

Interr. 57. Quæ in sanctis Dei Ecclesiis ab aliquibus offeruntur res qualescunque, vel etiam edulia, ab ullo accipientur [s], et eorum tribuetur licentia? Item quæ, et qualia sunt canonica, quæ sacerdotibus et pontificibus quotannis dantur?

Resp. Aurea quidem et argentea, quæ Deo offeruntur, vasa et supellectilia, sine domino sunt [t], et per episcopos Deo consecrantur. Esculenta autem, et potulenta, quæ uxta morem,

A παλατίου συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου, ταῦτά φησιν· Ἐν πάσαις ταῖς τῆς ἁγίας Τεσσαρακοστῆς τῶν νηστειῶν ἡμέραις, παρὲξ Σαββάτου καὶ Κυριακῆς, καὶ τῆς ἁγίας τοῦ Εὐαγγελισμοῦ ἡμέρας, ἡ τῶν προηγιασμένων ἱερῶν λειτουργία γινέσθω. Καὶ ὁ μὲν τῆς ἐν Λαοδικείᾳ συνόδου ταῦτα διέξεισιν, ὅτι Οὐ δεῖ τῇ Τεσσαρακοστῇ ἄρτον προσφέρειν, εἰ μὴ ἐν Σαββάτῳ καὶ Κυριακῇ μόνον. Καὶ ὁ να' κανὼν τῆς αὐτῆς συνόδου φησὶν, ὅτι Οὐ δεῖ τῇ Τεσσαρακοστῇ μαρτύρων γενέθλια τελεῖν, ἀλλὰ τὰς τῶν ἁγίων μαρτύρων μνήμας ποιεῖν ἐν τοῖς Σάββασι καὶ ταῖς Κυριακαῖς. Καὶ ὁ νβ' λέγει, ὅτι Οὐ δεῖ ἐν τῇ Τεσσαρακοστῇ γάμους ἢ γενέθλια ἐπιτελεῖν. Ὁ μὲ τῆς αὐτῆς συνόδου διαλαμβάνει ὅτι οὐ δεῖ μετὰ δύο ἑβδομάδας τῆς Τεσσαρακοστῆς δέχεσθαι εἰς τὸ φώτισμα. Οἱ γοῦν ποιοῦντες παρὰ τὴν τούτων περίληψιν βαπτίσματα, ἢ ἱερολογίας γαμικὰς, δι' ὅλης τῆς ἁγίας μεγάλης Τεσσαρακοστῆς, ἢ τελείας θυσίας ἱερουργοῦντες, ἄνευ μόνου τοῦ Σαββάτου καὶ τῆς Κυριακῆς καὶ τοῦ Εὐαγγελισμοῦ, παρανομοῦσι, καὶ δι' ἐπιτιμίων μεγάλων διορθωθήσονται, ὡς ἀσύγγνωστα πλημμελήσαντες. Κατὰ μέντοι τὸ μέγα Σάββατον κεκανόνισται τὰ βαπτίσματα γίνεσθαι. Εἰ δὲ κατεπείγει τὴν τοῦ θείου βαπτίσματος τελετὴν ἡ τοῦ βίου μετάστασις, γενήσεται βάπτισμα καὶ καθ' ἑτέραν ἡμέραν τῆς Τεσσαρακοστῆς· ὅτι καὶ τοῖς ἐσχάτως ἐπιτιμηθεῖσι καὶ ἀκοινωνησίᾳ κατακριθεῖσι παντελεῖ τὸ τοῦ θανάτου μυστήριον βοηθεῖ πρὸς τὴν τῶν ἁγίων μυστηρίων μετάληψιν.

B

C

'Ερώτ. νς'. Ἀκινδύνως γίνονται χειροτονίαι κατὰ τὴν ἁγίαν καὶ μεγάλην Τεσσαρακοστὴν τῶν ὑποδιακόνων, τῶν διακόνων, τῶν ἱερέων καὶ τῶν ἀρχιερέων, ἢ οὔ;

Ἀπόκ. Κεκανόνισται (καθὼς ἄνωθεν εἴρηται) μὴ γίνεσθαι τελείαν ἱεροτελεστίαν δι' ὅλης τῆς τεσσαρακονθημέρου νηστείας, ἄνευ μόνων τῶν Σαββάτων καὶ τῶν Κυριακῶν, καὶ τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ. Διὸ κατὰ μὲν τὰς ἡμέρας ταύτας, ὅτε καὶ μυστικὴ τετελειωμένη θυσία τελεῖται, γενήσονται χειροτονίαι κατὰ τὸ πάντη ἀκριμάτιστον· ἐν δὲ ταῖς λοιπαῖς νηστίμοις ἡμέραις, ὅτε τελεία ἱεροτελεστία οὐ γίνεται, οὐδὲ χειροτονία τινὸς τῶν τοῦ βήματος, πολλῷ δὲ πλέον ἐπισκοπικὴ τελεσθήσεται. Καὶ ἡ χειροτονία γὰρ πανηγύρεώς ἐστι καιρὸς, καὶ δοξολογίας Θεοῦ, τοῖς ἀξίοις χαριζομένη πνευματικὰ ἀξιώματα.

D

'Ερώτ. νζ'. Τὰ ἐν ταῖς ἁγίαις τοῦ Θεοῦ Ἐκκλησίαις παρά τινων προσφερόμενα οἱαδήτινα πράγματα, ἢ καὶ τρωκτὰ, παρά τίνος δεχθήσονται καὶ ἐξουσιασθήσονται; Καὶ τίνα, καὶ ποῖά εἰσι τὰ ἐτησίως διδόμενα τοῖς ἱερεῦσι, καὶ ἀρχιερεῦσι κανονικά;

Ἀπόκ. Τὰ μὲν τῷ Θεῷ προσαγόμενα χρυσᾶ καὶ ἀργυρᾶ σκεύη καὶ ἐπίπλα, ἀδέσποτά εἰσι, κἂν διὰ τῶν ἐπισκόπων προσφέρωνται τῷ Θεῷ· τὰ δὲ τρωκτὰ καὶ ποτὰ συνήθως ἐν μνήμαις ἁγίων καὶ ὑπὲρ μνη-

VARIÆ LECTIONES.

[o] *ad baptismum.* [p] *et Annuntiationis.* [q] *qui extreme puniuntur.* [r] *nam et ordinatio, publici conventus est occasio, et celebrationis Dei.* [s] *quonam accipientur et retinebuntur?* [t] *in nullius dominio sunt.*

Digitized by Google

μοσύνων κατοιχομένων εἰσκομιζόμενα τῷ ναῷ, καὶ τὰ ὑπὲρ ψυχικῶν διαδόσεων ταῖς ἐκκλησίαις παρά τινων προσφερόμενα, τοῖς ἐπισκόποις δίδοσθαι κεκανόνισται, καὶ παρὰ τούτων πρός τε τοὺς κληρικοὺς καὶ τοὺς ξενιζομένους καὶ ἄλλως πενητεύοντας ἀδελφοὺς διαμερίζεσθαι, κατὰ τὴν τούτων διάκρισιν. Φησὶ γὰρ ὁ γ' κανὼν τῶν ἁγίων ἀποστόλων ταῦτα ῥητῶς· Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος παρὰ τὴν τοῦ Κυρίου διάταξιν τὴν ἐπὶ τῇ θυσίᾳ προσενέγκῃ ἑτερά τινα ἐπὶ τὸ θυσιαστήριον, ἢ μέλι, ἢ γάλα, ἢ ἀντὶ οἴνου σίκερα ἐπιτηδευτά, ἢ ὄρνις, ἢ ζῶά τινα, ἢ ὄσπρια, παρὰ τὴν διάταξιν, καθαιρείσθω· πλὴν νέων χίδρων, τῷ καιρῷ τῷ δέοντι. Μὴ ἐξὸν δὲ ἔστω ἕτερόν τι προσάγεσθαι εἰς τὸ θυσιαστήριον, ἢ μόνον ἔλαιον εἰς τὴν λυχνίαν, καὶ θυμίαμα τῷ καιρῷ τῆς ἁγίας προσφορᾶς· ἡ ἄλλη δὲ πᾶσα ὁπώρα εἰς οἶκον ἀποστελλέσθω, ἀπαρχὴ τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις, ἀλλὰ μὴ πρὸς τὸ θυσιαστήριον. Δῆλον δὲ ὡς ὁ ἐπίσκοπος καὶ οἱ πρεσβύτεροι ἐπιμερίσουσι τοῖς διακόνοις καὶ τοῖς λοιποῖς κληρικοῖς. Καὶ ὁ ζ' καὶ ὁ η' κανὼν τῆς ἐν Γάγγρᾳ συνόδου ταῦτα παρακελεύεται· Εἴ τις καρποφορίας ἐθέλει λαμβάνειν, ἢ διδόναι ἔξω τῆς ἐκκλησίας, παρὰ γνώμην τοῦ ἐπισκόπου, ἢ τοῦ ἐγκεχειρισμένου τὰ τοιαῦτα, καὶ μὴ μετὰ γνώμης αὐτοῦ ἐθέλει πράττειν, ἀνάθεμα ἔστω. Καὶ ὁ κβ' ἀποστολικὸς κανὼν ταῦτά φησιν· Εἴ τις κληρικός, ἢ λαϊκός, ἀπὸ τῆς ἁγίας ἐκκλησίας ἀφέληται κηρὸν ἢ ἔλαιον, ἀφοριζέσθω. Καὶ ὁ ογ' κανὼν λέγει· Σκεῦος χρυσοῦν ἢ ἀργυροῦν ἁγιασθὲν, ἢ ὀθόνην, μηδεὶς εἰς οἰκείαν χρῆσιν σφετεριζέσθω· παράνομον γάρ. Εἰ δέ τις φωραθείη, ἐπιτιμάσθω ἀφορισμῷ. Ὁ δὲ ι' κανὼν τῆς ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων συστάσης οἰκουμενικῆς ἁγίας συνόδου, τοὺς μὲν κοινοποιοῦντας τὰ τοῦ βήματος ἱερὰ καθαιρέσει καθυποβάλλει· τοὺς δὲ τὰ ἔξωθεν τοῦ βήματος ὄντα ἱερὰ σκεύη εἰς ἀνίερον χρῆσιν μεταποιοῦντας, ἀφορίζει· τοὺς δὲ ἁρπάζοντας, ὡς ἱεροσύλους κατακρίνει. Ὁ δὲ μέγας Κύριλλος ἐν τῇ πρὸς Δόμνον ἐπιστολῇ ταῦτά φησιν· Ἕκαστος ἡμῶν τῶν ἰδίων καιρῶν δώσει λόγους τῷ πάντων Κριτῇ. Κειμήλιον μὲν γὰρ, καὶ κτήσεις ἀκινήτους ἀνεκποίητα ταῖς ἐκκλησίαις σώζεσθαι χρὴ, θαρσεῖσθαι δὲ τοῖς κατὰ καιρὸν τὴν θείαν διέπουσιν ἱερωσύνην, τῶν παραπιπτόντων ἀναλωμάτων τὴν οἰκονομίαν. Ζήτει καὶ βιβλίου νδ' τίτλον γ', κεφάλαιον β'. Χάριν δὲ τῆς ὀφειλούσης δίδοσθαι ποσότητος ὑπὲρ κανονικοῦ παρὰ κοινολαΐτων, οἱ κανόνες μὲν οὐδέν τι διορίζονται, πρόσταγμα δὲ τοῦ ἀοιδίμου βασιλέως ἐκείνου κυροῦ Ἰσαακίου τοῦ Κομνηνοῦ ὑποτυποῖ πολλά τινα δίδοσθαι τοῖς ἐπισκόποις παρὰ τῶν ἐν ταῖς ἐνορίαις αὐτῶν προσκαθημένων λαϊκῶν. Ἐπεὶ δὲ ἡ τῶν πραγμάτων ἀνωμαλία καὶ ἔνδεια τὴν τούτων ἐκάλυψεν ὑποτύπωσιν (πολλοστημόριον γάρ τις αὐτῶν οὐ δίδωσι πρὸς ἐπίσκοπον), ἀρκούμεθα τῇ συνηθείᾳ καὶ προαιρέσει τῶν διδόντων.

A sanctorum memoriis, et pro mortuorum commemorationibus inferuntur in templum, et quæ pro animalibus trajectionibus ecclesiis [a] ab aliquibus offeruntur, episcopis dari canonice statutum est, et ab his distribui in clericos peregrinos hospitio exceptos, et alioquin inopia pressos fratres, prout ipsi judicaverint. Ait enim tertius canon sanctorum apostolorum hæc expressim: Si quis episcopus, vel presbyter, præter Domini de sacrificio ordinationem, alia quædam ad altare attulerit, mel, vel lac, vel pro vino siceram [v], vel confecta, vel aves, vel aliqua animalia, vel legumina, præter ordinationem, deponatur: præterquam nova legumina, tempore opportuno. Ne liceat autem aliquid aliud ad altare offerre, quam oleum ad luminare, et B incensum, tempore sanctæ oblationis. Omnis autem alius fructus domum mittatur, ut sint primitiæ episcopo, et presbyteris. Clarum autem est, episcopum et presbyteros diaconis, et reliquis clericis distributuros. Et 7 et 8 canon Gangrensis synodi hæc præcipit: Si quis vult fructus ecclesiæ oblatos accipere, vel dare extra ecclesiam, præter episcopi sententiam, vel ejus, cui cura eorum tradita est, et non cum ejus sententia ea velit agere, sit anathema. Et 72 apostolicus canon hæc ait: Si quis clericus, vel laicus, a sancta ecclesia ceram vel oleum auferat, segregetur. Et 73 canon ait: Vas aureum, vel argenteum, vel velum sanctificatum, nemo amplius in suum usum convertat: hoc enim fit præter jus, et contra leges. Si quis C autem deprehensus fuerit, multetur. Canon autem decimus œcumenicæ sanctæ synodi, congregatæ in templo Sanctorum Apostolorum, eos quidem, qui altaris sacra contaminant, depositioni subjicit: eos autem, qui extra altare exsistentia sacra vasa in profanum usum convertunt, excommunicat: eos vero, qui diripiunt, ut sacrilegos condemnat. Porro magnus Cyrillus in epistola ad Domnum scripta, hæc ait: Unusquisque nostrum propriorum temporum rationes reddet Judici omnium. Vasorum enim thesauros, et possessiones immobiles, inalienabiles ecclesiis conservari oportet: iis autem, qui per tempus divino funguntur sacerdotio, administrationem sumptuum erogandorum D fiducia præditam esse [x]. Quære et libri 54, tit. 3, cap. 2. De quantitate autem, quæ pro canonario danda est a plebeiis [y], canones quidem nihil definiunt: verum jussio inclyti imperatoris illius, domini Isaacii Comneni, formam designat multorum quorumdam, quæ episcopis dantur a laicis, qui sedes in eorum diœcesibus stabilierunt [z]. Quoniam autem rerum irregularitas et indulgentia [a] horum occultavit descriptionem (multesimam enim eorum partem episcopo dat nemo), contenti sumus consuetudine, et dantium liberalitate.

VARIÆ LECTIONES.

[a] *quæ nomine distributionum spiritalium ecclesiis.* [v] *siceram factitiam, vel gallinas.* [x] *erogandorum cum fiducia committi.* [y] *quæ canonici nomine præstanda est a laicis.* [z] *qui habens in eorum territoriis domicilia.* [a] *et inopiæ.*

Digitized by Google

Interr. 58. Orthodoxus quidam ab Agarenis captus, et per vim orthodoxam fidem ejuratus, ac circumcisus, absque intermissione fere immunditiem deflet, et clam cum orthodoxis convenit, invocatque salutem. Quia autem vult sacramentorum fieri particeps, quærimus, quid sit faciendum.

Resp. Certantium sunt coronæ, et Dominus ac Deus noster Jesus Christus: Si quis me confiteatur, inquit, coram hominibus, et ego confitebor eum coram Patre meo, qui in cœlis est. Immundum ergo vas, ad susceptionem unguenti, qua mentis alienatione admittetur? Quamobrem consolationem quidem episcopicam, et aliud spiritale colloquium ille sic pœnitens, et bona mutatione mutari volens, promerebitur; sed sanctis sacramentis dignus non habebitur. Debet enim impietatis sordes abluere, et ita admitti: et post præstitutum tempus sanctæ etiam communionis fiet particeps.

Interr. 59. Vicanorum turbæ eum, qui ipsis videtur esse dignus episcopali, vel sacerdotali dignitate, mihi exhibent; petuntque ut sine repulsa renuntietur ordineturque pontifex, aut sacerdos, vel diaconus. Quæro igitur, an acclamationes populi sequi compellar [b].

Resp. Olim aliquando ordinationes episcoporum, et reliquorum sacris initiatorum ordinibus fiebant per electionem multitudinis, eorumque, qui simul imperabant. Decimus tertius autem canon Laodicenæ synodi, et 3 canon sanctæ et œcumenicæ 7 synodi, hujusmodi ordinationes ab ecclesiastico rejecit statu. Ille enim ait, turbis non esse permittendum eorum, qui sunt in sacerdotio constituendi, electionem facere. Hic autem pronuntiat: Omnem electionem, quæ fit a magistratibus, episcopi, vel presbyteri, vel diaconi, irritam manere: ex canone dicente, Si quis episcopus sæcularibus magistratibus usus, per eos ecclesiam obtinuerit, deponatur, et segregetur, et omnes qui cum eo communicant. Oportet enim eum, qui est promovendus ad episcopatum, ab episcopis eligi, quemadmodum a sanctis Patribus Niceæ decretum est, in canone qui dicit: Episcopum oportet maxime quidem ab omnibus, qui sunt in provincia, constitui: si autem hoc difficile fuerit, vel propter urgentem necessitatem, vel propter viæ longitudinem, tres omnino eodem convenientes, iis quoque qui absunt, simul suffragium ferentibus, et assentientibus per litteras, tunc facere electionem. Eorum autem, quæ a se fiunt, confirmationem dare unicuique metropolitano.

Interr. 60. Liberi ex secundis nuptiis procreati, et qui ex ancillis, ac concubinis, sacerdotio digni judicabuntur, annon?

Resp. Secundarum nuptiarum liberi nulla ratione

A Ἐρώτ. νη'. Ὀρθόδοξός τις αἰχμαλωτισθεὶς παρὰ Ἀγαρηνῶν, καὶ κατὰ βίαν τὴν ὀρθόδοξον πίστιν ἐξομοσάμενος, καὶ περιτμηθείς, διόλου σχεδὸν τὴν ἀκαθαρσίαν ἀποκλαίεται, καὶ μετὰ τῶν ὀρθοδόξων λαθραίως συνέρχεται, καὶ τὴν σωτηρίαν ἀνακαλεῖται. Ἐπεὶ δὲ ἐθέλει καὶ τῶν ἁγιασμάτων μεταλαμβάνειν, ζητοῦμεν τὸ ποιητέον μαθεῖν.

Ἀπόκ. Τῶν ἀγωνιζομένων εἰσὶν οἱ στέφανοι, καὶ ὁ Κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς Χριστός. Εἴ τίς με ὁμολογήσει, φησὶν, ἔμπροσθεν τῶν ἀνθρώπων, κἀγὼ ὁμολογήσω αὐτὸν ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Ἀκάθαρτον γοῦν ἀγγεῖον πρὸς ὑποδοχὴν μύρου πῶς παραφρονούντως δεχθήσεται; Διὸ παρηγορίας μὲν ἐπισκοπικῆς καὶ ἄλλης πνευματικῆς ὁμιλίας, ὁ οὕτω μετανοῶν, καὶ τὴν καλὴν θέλων B ἀλλοιωθῆναι ἀλλοίωσιν, ἀξιωθήσεται· τῶν δὲ ἁγίων μυστηρίων οὐκ ἀξιωθήσεται. Πρότερον γὰρ ὀφείλει τῆς ἀσεβείας τὴν βεβήλωσιν ἀπονίψασθαι, καὶ οὕτως δεχθῆναι· καὶ μετὰ τὸν νενομισμένον καιρὸν καὶ τῆς ἁγίας μεταλήψεως γενήσεται μέτοχος.

Ἐρώτ. νθ'. Πλήθη χωριτικὰ τὸν δοκοῦντα τούτοις ἄξιον εἶναι πρὸς ἀξίωμα ἐπισκοπικὸν ἢ ἱερατικὸν παριστῶσί μοι· καὶ ζητοῦσι κατὰ τὸ ἀπαραίτητον ἐπικηρυχθῆναι καὶ χειροτονηθῆναι ἀρχιερέα, ἢ διάκονον. Ζητῶ τοίνυν μαθεῖν εἰ ταῖς φωναῖς τῶν ὄχλων ἀναγκαζόμεθα κατακολουθεῖν.

Ἀπ. Πάλαι ποτὲ αἱ χειροτονίαι τῶν ἐπισκόπων καὶ τῶν λοιπῶν ἱερωμένων δι' ἐπιλογῆς τοῦ ὄχλου καὶ τῶν παραδυναστευόντων ἐγίνοντο· ὁ δὲ ιγ' κανὼν τῆς C ἐν Λαοδικείᾳ συνόδου, καὶ ὁ γ' κανὼν τῆς ἁγίας καὶ οἰκουμενικῆς ζ' συνόδου, τὰς τοιαύτας χειροτονίας ἀπὸ τῆς ἐκκλησιαστικῆς ἀπεξένωσαν καταστάσεως. Ὁ μὲν γάρ φησι περὶ τοῦ μὴ ὄχλοις ἐπιτρέπειν τὰς ἐκλογὰς ποιεῖσθαι τῶν μελλόντων καθίστασθαι εἰς ἱερατεῖον· ὁ δὲ ταῦτα διέξεισι, Πᾶσαν ψῆφον γινομένην παρὰ τῶν ἀρχόντων, ἐπισκόπου, ἢ πρεσβυτέρου, ἢ διακόνου, ἄκυρον μένειν, κατὰ τὸν κανόνα τὸν λέγοντα. Εἴ τις ἐπίσκοπος κοσμικοῖς ἄρχουσι χρησάμενος, δι' αὐτῶν ἐγκρατὴς ἐκκλησίας γένηται, καθαιρείσθω καὶ ἀφοριζέσθω, καὶ οἱ κοινωνοῦντες αὐτῷ πάντες. Δεῖ γὰρ τὸν μέλλοντα προβιβάζεσθαι εἰς ἐπισκοπὴν, ὑπὸ ἐπισκόπων ψηφίζεσθαι· καθὼς καὶ παρὰ τῶν ἁγίων Πατέρων τῶν ἐν Νικαίᾳ ὥρισται, ἐν τῷ κανόνι τῷ λέγοντι. Ἐπίσκοπον προσήκει μά- D λιστα μὲν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ καθίστασθαι· εἰ δὲ δυσχερὲς εἴη τοῦτο, ἢ διὰ κατεπείγουσαν ἀνάγκην, ἢ διὰ μῆκος ὁδοῦ, ἐξ ἅπαντος τρεῖς ἐπὶ τὸ αὐτὸ συναγομένους, συμψήφων γινομένων καὶ τῶν ἀπόντων, καὶ συντιθεμένων διὰ γραμμάτων, τότε τὴν χειροτονίαν ποιεῖσθαι. Τὸ δὲ κῦρος τῶν γινομένων δίδοσθαι καθ' ἑκάστην ἐπαρχίαν τῷ μητροπολίτῃ.

Ἐρώτ. ξ'. Οἱ τοῦ δευτέρου γάμου παῖδες, καὶ οἱ ἀπὸ δουλίδων καὶ παλλακῶν τεχθέντες, ἀξιωθήσονται ἱερωσύνης, ἢ οὔ;

Ἀπόκ. Οἱ τοῦ δευτέρου γάμου παῖδες ἐξ οὐδενὸς λό-

VARIÆ LECTIONES.

[b] *an voces populares sequi cogamur.*

Digitized by Google

γου κωλύονται ἱεράσθαι. Ὁ γὰρ ἐπὶ τοῦ Πορφυρογεννήτου καὶ βασιλέως κυρίου Κωνσταντίνου γεγονὼς τόμος συνοδικὸς τῷ πρώτῳ γάμῳ τὸν δεύτερον ἐπὶ πᾶσιν ἐξίσωσε. Διὸ καὶ ὑπεξούσιοι κληρονόμοι τοῦ πατρός εἰσιν. Ἀλλὰ καὶ οἱ ἀπὸ δουλίδων τεχθέντες, καὶ ἐλευθερίας ἀξιωθέντες, ὡσαύτως καὶ οἱ ἐκ παλλακῶν γεννηθέντες, οὐ κωλυθήσονται ἱερωθῆναι. Αἱ γὰρ μητέρες αὐτῶν ἐπιτιμίοις πορνευόντων ὑπέπεσον, αὐτοὶ δὲ οὐδὲν ἥμαρτον, καὶ διὰ τοῦτο οὐδὲ ἐπιτιμίοις ὑπόκεινται. Κατὰ γοῦν τοὺς λοιποὺς ἀνθρώπους τοὺς μηδὲν ἡμαρτηκότας, καὶ αὐτοὶ τιμῆς ἱερατικῆς κατὰ κανόνας ἀξιωθήσονται.

A vetantur sacris ordinibus initiari. Synodica enim decisio, facta tempore imperatoris domini Constantini Porphyrogennetæ, primis nuptiis secundas in omnibus exæquavit. Ideoque et sui hæredes sunt patri. Sed et qui ex ancillis nati, et donati libertate, parique modo, qui ex concubinis geniti, non vetantur sacrari. Matres enim eorum pœnis scortantium succiderunt [c], ipsi autem nihil deliquerunt: quamobrem nec pœnis subjiciuntur. Ut reliqui igitur homines, qui nihil peccarunt, honorem sacerdotalem secundum canones consequentur et ipsi.

Ἐρώτ. ξα'. Ἀναγνώστης παρὰ ἡγουμένου ἐπιτραπεὶς διέπειν κτήματα μοναστηριακὰ, θέλει προκαθῆσθαι τῶν ἐκεῖσε ὄντων ἱερέων, καὶ λοιπῶν κληρικῶν, καὶ ἐν ταῖς ἱεραῖς ἀγιστείαις μετὰ τὸν ἡγούμενον μνημονεύεσθαι. Ἐρωτῶ τοίνυν μαθεῖν εἰ καλῶς περὶ τούτου φιλονεικεῖ.

B

Interr. 61. Lector potestate a priore [d] accepta, administrandi possessiones monasteriales, vult præcedere sacerdotes, et alios clericos illic existentes, et in sanctis sacrificiis post præfectum seu priorem [e], commemorationem sui fieri. Quæro an recte de eo contendat.

Ἀπόκ. Τάξις συνέχει τὰ οὐράνια καὶ τὰ ἐπίγεια. Διὸ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, τῆς κενοδοξίας ἀναστέλλων τὴν ματαιότητα, Ὅταν κληθῇς εἰς γάμον ὑπό τινος, ἔφησεν, εἰς πρωτοκλισίας τάπητας μὴ ἀνακλιθῇς, ἀλλ' εἰς ἔσχατον τόπον ἀνάπεσον· ἵνα ἀκούσῃς παρὰ τοῦ κεκληκότος σε· Φίλε, προσανάβηθι. Καὶ οὕτως ἔσται σοι δόξα πολλή. Ὁ γοῦν ζητῶν ἀναγνώστης πρὸ τῶν ἱερέων καθῆσθαι, καὶ μετὰ τὸν ἡγούμενον μνημονεύεσθαι, τοῖς Κυριακοῖς ἐναντιοφρονεῖ παραγγέλμασιν. Εἰ δὲ κατὰ τὴν διήγησίν σου ὁ ἀναγνώστης εἰς χώραν ἐπιδημεῖ, καθηγουμένου τόπον ἀναπληρῶν, ἀκινδύνως μᾶλλον δὲ ἀξίως φιλονεικεῖ πρὸ τῶν ἱερέων καθῆσθαι, καὶ μνημονεύεσθαι, ὡς τόπον ἐπέχων τοῦ ἐπιτρέψαντος αὐτῷ τὸ λειτούργημα. Καὶ παρίσταται τοῦτο ἀπὸ τοῦ ζ' κανόνος τῆς ἐν Τρούλλῳ τοῦ μεγάλου παλατίου συστάσης ἁγίας καὶ οἰκουμενικῆς ς' συνόδου ἐν μέρει ταῦτα διεξιόντος. Μεμαθήκαμεν ἔν τισι τῶν Ἐκκλησιῶν διακόνους τινὰς αὐθαδείᾳ καὶ αὐτονομίᾳ κεχρημένους, τολμᾶν πρὸ τῶν πρεσβυτέρων καθέζεσθαι, ... ἐκτὸς εἰ μὴ τὸ πρόσωπον ἐπέχων τοῦ οἰκείου πατριάρχου. ἢ μητροπολίτου, ἐν ἑτέρᾳ πόλει παραγίνηται, ἐπί τινι κεφαλαίῳ. Τότε γὰρ, ὡς τὸν ἐκείνου τόπον ἀναπληρῶν, τιμηθήσεται.

C

Resp. Ordo cœlestia et terrestria continet. Ideoque Dominus noster Jesus Christus inanis gloriæ vanitatem reprimens, Cum vocatus fueris, inquit, ad nuptias ab aliquo, ne discumbas ad primi accubitus tapetes, sed recumbe in ultimo loco: ut audias ab eo qui te invitavit: Amice, ascende superius. Et ita erit tibi gloria multa. Lector igitur volens ante sacerdotes sedere, et post præfectum [f] commemorari, Dominicis adversatur præceptis. Quod si, quemadmodum narras, lector in regione peregrinatur, præfecti locum [g] implens, sine periculo, vel potius merito, contendit ante sacerdotes sedere et commemorari, veluti locum obtinens ejus, qui mandavit ei munus. Idque ostenditur e canone septimo sanctæ et œcumenicæ sextæ synodi, congregatæ in Trullo magni palatii, hæc in parte persequentis: In nonnullis Ecclesiis diacones officia ecclesiastica habere didicimus: et ex hoc nonnullos eorum, arrogantia et licentia fretos, ante presbyteros sedere.: statuimus, ut diaconus, etiamsi in dignitate, id est, in quovis sit officio ecclesiastica, ante presbyterum ne sedeat: præterquam, sit proprii patriarchæ, vel metropolitani vicem gerens, adsit in alia civitate super aliquo capite. Tunc enim, ut locum illius implens, honorabitur.

Ἐρώτ. ξβ'. Ἀγροικώτερος ἱερεὺς ἐὰν τρίτου γάμου ἱερολογίαν ποιήσῃ, τὴν τριτογαμίαν εἰδὼς, κολασθείη, ἢ ὡς χωρίτης, συγγνώμης ἀξιωθήσεται;

D

Interr. 62. Agrestior sacerdos si tertii matrimonii sacram benedictionem sciens fecerit, punietur, an, ut rusticus, veniam merebitur?

Ἀπόκ. Ὁ μὲν φάκτον ἀγνοήσας, οἷος ἂν καὶ ἔστιν, ἀξιοῦται κατὰ νόμους συγγνώμης· ὁ δὲ νόμον ἀγνοήσας, οὐ συγγινώσκεται. Ἐπεὶ δὲ ἀπὸ τῆς Νεαρᾶς νομοθεσίας τοῦ ἀοιδίμου βασιλέως κυρίου Κωνσταντίνου τοῦ Πορφυρογεννήτου ὁ τρίτος γάμος πη μὲν συγγνωστός ἐστι, πῇ δὲ ἀσύγγνωστος (οἱ γὰρ ἔχοντες παῖδας ἐκ πρώτου ἢ δευτέρου γά-

Resp. Qui factum ignorat qualiscunque sit, legibus excusatur: qui autem legem ignorat, veniam non consequitur. Quoniam autem Novella constitutione inclyti imperatoris, domini Constantini Porphyrogennetæ, tertiæ nuptiæ partim sunt venia dignæ, partim minime (nam qui ex primo, vel secundo matrimonio habent liberos, et qui quadragesimum

VARIÆ LECTIONES.

[c] *obnoxia fuerunt.* [d] *ab abbate.* [e] *post abbatem.* [f] *abbatem.* [g] *abbatis vices gerens.*

Digitized by Google

ætatis annum excesserunt, tertias contrahere non possunt) : dicimus sacerdotem, qui hujusmodi vetitarum nuptiarum benedictionem fecerit, deponendum esse : ejus enim crassa est legis ignorantia. Rustici autem si subtilitatem legis ignorent, interdum excusantur, non tamen, si omnibus manifesta jura.

μου, καὶ οἱ τεσσαρακοστὸν χρόνον τῆς ἡλικίας αὐτῶν ὑπεραναβάντες, τρίτον συναλλάττειν οὐ δύνανται)· φαμὲν ὅτι ὁ τοιούτου κεκωλυμένου τρίτου γάμου ἱερολογίαν ποιήσας ἱερεὺς, καθαιρετέος ἐστίν· παχύτητα γὰρ νόμου ἠγνόησεν. Οἱ δὲ χωρῖται, λεπτότητα νόμου ἠγνοηκότες, ἐνίοτε συγγινώσκονται, οὐ μὴν τὰ πᾶσι δῆλα νόμιμα.

Interr. 63. Mulier quædam a proprio patre coacta legitime conjungi viro, et videns obligatoriis scriptis conjugium a patre munitum, indicavit, quod recte factum erat, cuidam amatorie erga ipsam affecto. Hic autem, ut perdite amans, nihil cunctatus, cum nonnullis rei ignaris familiaribus suis nocte quadam in mulieris domicilium irrupit, eamque volentem rapuit, abduxitque domum suam, intra fines alius territorii sitam. Quæro, an qui talem raptum moliti sunt, possint per sacram benedictionem canonice conjungi : maxime, cum puellæ parentes illud modo fieri velint.

Ἐρώτ. ξγ'. Γυνή τις ἀναγκαζομένη παρὰ τοῦ οἰκείου πατρὸς νομίμως συζευχθῆναι ἀνδρὶ, καὶ βλέπουσα δι' ἐγγράφων δεσμωτικῶν τὴν συζυγίαν ὑπὸ τοῦ πατρὸς ἀσφαλιζομένην, μήνυμα ἔθετο πρός τινα διακείμενον ἐρωτικῶς πρὸς αὐτὴν τοῦ γινομένου καλοῦ. Ὁ δὲ, μηδὲν μελλήσας, ὡς ἐρωτομανῶν, μετά τινων ἀπαιδεύτων συνήθων αὐτῷ ἐν ἑσπέρᾳ μιᾷ τὴν τῆς γυναικὸς κατοικίαν κατέλαβε· καὶ ταύτην ἥρπασε θέλουσαν, καὶ ἀπήγαγεν εἰς τὴν κατοικίαν αὐτοῦ, διακειμένην εἰς ἑτέρου χωρίου περιοχήν. Ἐρωτῶ οὖν μαθεῖν εἰ δύνανται διὰ ἱερολογίας κανονικῶς συναφθῆναι οἱ οὕτω τὴν τοιαύτην ἁρπαγὴν συσκευάσαντες. Καὶ οἱ γονεῖς γὰρ τῆς γυναικὸς θέλουσιν ἀρτίως τοῦτο γενέσθαι.

Resp. Tertium caput 58 tit. lib. 60 Basilicon, hæc ait nominatim. Ne nubat rapta raptori. Sed et si tali conjugio parentes ejus consentiant, exsilio circumscribuntur. Et 27 canon sanctæ et œcumenicæ quartæ synodi hæc inquit : Eos, qui nomine conjugii mulieres rapiunt, vel opem ferunt ac consentiunt iis, qui rapiunt ; statuit synodus, si sint quidem clerici proprio gradu excidere : sin autem laici, anathematizari. Quamobrem et nos hæc legitime canoniceque constituta sequentes, dicimus : si res, ut interrogatione tua proposuisti, ita se habet ; neque nuptias futuras inter raptam et raptorem, et si pater illius rem approbet : neque raptus pœnas effugituros, qui ejus fuerint conscii, sed etiam ultimo affectos iri supplicio.

Ἀπόκ. Τὸ γ' κεφάλαιον τοῦ νη' τίτλου τοῦ ξ' βιβλίου τῶν Βασιλικῶν ταῦτά φησι ῥητῶς· Μὴ γαμείσθω ἡ ἁρπαγεῖσα τῷ ἁρπάσαντι αὐτήν· ἀλλὰ καὶ εἰ συναινέσουσι τῷ τοιούτῳ συνοικεσίῳ οἱ γονεῖς αὐτῆς, περιορίζονται. Καὶ ὁ κζ' κανὼν τῆς ἁγίας καὶ οἰκουμενικῆς δ' συνόδου ταῦτα φησι· Τοὺς ἁρπάζοντας γυναῖκας ἐπ' ὀνόματι συνοικεσίου, ἢ συμπράττοντας, ἢ συναιρομένους τοῖς ἁρπάζουσιν, ὥρισεν ἡ ἁγία σύνοδος, εἰ μὲν κληρικοὶ εἶεν, ἐκπίπτειν τοῦ βαθμοῦ· εἰ δὲ λαϊκοὶ, ἀναθεματίζεσθαι. Διὸ καὶ ἡμεῖς τοῖς οὕτω διατεταγμένοις νομίμως τε καὶ κανονικῶς ἀκολουθήσαντες, λέγομεν ὡς εἰ οὕτως ἔχουσι τὰ τοῦ πράγματος καθὼς ἡ ἐρώτησις περιέστησεν, οὔτε γάμος γενήσεται μεταξὺ τῆς ἁρπαγείσης καὶ τοῦ ἁρπάσαντος, κἂν ὁ πατὴρ ταύτης ἀσπάζηται τὸ γινόμενον, οὔτε τὰ τῆς ἁρπαγῆς ἐπιτίμια διαδράσουσιν οἱ ταύτης συνίστορες, ἀλλὰ καὶ ἐσχάτως τιμωρηθήσονται.

Interr. 64. Mulier quædam gravi morbo laborans, nocte mali afflictionem ulta, seipsam in mortem projecit, et mortis hausit poculum. Vir ejus, cum lector tunc esset, hodieque sit, quærit, an ob eam rem sacerdotalem dignitatem consequi non possit.

Ἐρώτ. ξδ'. Γυνή τις ἀῤῥωστίᾳ περιπεσοῦσα δεινῇ, ἐν ὥρᾳ νυκτερινῇ, τοῦ νοσήματος ἀμυνομένη δῆθεν τὴν κάκωσιν, ἑαυτὴν εἰς θάνατον ἔῤῥιψε, καὶ τὸ τοῦ θανάτου ποτήριον ἔπιεν. Ἐρωτᾷ οὖν ὁ ταύτης ἀνὴρ, ἀναγνώστης ὢν καὶ τότε καὶ σήμερον, εἰ ἐντεῦθεν κωλύεται τυχεῖν ἱερατικοῦ ἀξιώματος.

Resp. Si, quemadmodum narras, ita se res habet, lector sine impedimento sacrabitur. Ut enim diligentem pigritia non ladit negligentis, ex divinorum canonum sententia : sic lectori præjudicium non faciet uxoris ejus peccatum. Unusquisque enim propriis catenis (ut vulgo fertur) coercetur [h].

Ἀπόκ. Εἰ κατὰ τὴν διήγησίν σου συνέπεσον τὰ τοῦ πράγματος, ἀπαρεμποδίστως ὁ ἀναγνώστης ἱερωθήσεται. Ὡς γὰρ οὐ βλάπτει τὸν σπουδαῖον ἡ ῥᾳθυμία τοῦ ἀμελοῦς, κατὰ τὴν τῶν θείων νόμων περίληψιν, οὐδὲ τὸν ἀναγνώστην προκριματίσει τῆς γυναικὸς αὐτοῦ τὸ ὀλίσθημα. Ἕκαστος γὰρ ταῖς οἰκείαις σειραῖς, κατὰ τὸν εἰπόντα, συσφίγγεται.

OFFICIUM ET DEFINITIO EPISCOPI.

Ex libro de jure, qui est Basilii, Constantini et Leonis, titulo v, *cap.* 1.

Episcopus est inspector et curator omnium ad

ΤΟ ΚΑΘΗΚΟΝ ΚΑΙ ΟΡΟΣ ΤΟΥ ΕΠΙΣΚΟΠΟΥ.

Ἀπὸ τοῦ νομίμου βιβλίου Βασιλείου, Κωνσταντίνου καὶ Λέοντος, ἀπὸ τοῦ ε' τίτλου, κεφ. α'.

Ἐπίσκοπος ἐστὶν ἐπιτηρητὴς καὶ ἐπιμελητὴς

VARIÆ LECTIONES.

[h] *constringitur.*

Digitized by Google

ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΒΑΛΣΑΜΩΝ

ΠΑΤΡΙΑΡΧΟΥ ΑΝΤΙΟΧΕΙΑΣ

ΜΕΛΕΤΑΙ ΗΤΟΙ ΑΠΟΚΡΙΣΕΙΣ

—

THEODORI BALSAMONIS

PATRIARCHÆ ANTIOCHENI

MEDITATA SIVE RESPONSA.

—

Τοῦ ἁγιωτάτου πατριάρχου Ἀντιοχείας Θεοδώρου μελέτη ἤγουν ἀπόκρισις, χάριν τῶν πατριαρχικῶν προνομίων.

Εἰσῆλθε τὸ ἀξίωμά σου ἐνώπιόν μου, πανιερώτατε, καὶ ἐδέχθη, καὶ ἀπεδέχθη, καὶ ᾠκειώθη μοι. Οὐ γὰρ ἄσεμνα ῥάκη περιεβέβλητο, καὶ τῆς σῆς πλουτοδότιδος σοφίας ἀνάξια· σεμνὰ δὲ μᾶλλον, καὶ εὐπρεπῆ, καὶ οἷα χείλη στημονίζουσιν ἱερατικά, λαλοῦντα δικαιοσύνην, καὶ ζητοῦντα ἀλήθειαν. Δέξαι τοίνυν δ δι' αὐτοῦ λαβεῖν ἐζήτησας ἐξ ἡμῶν φιλικῆς ἀποκρίσεως τάλαντον. Ἠξίωσάς με διαλαβέσθαι γραφῇ, πόθεν καὶ πῶς ἡ τῶν ἁγιωτάτων πατριαρχῶν οὐσιώθη πεντὰς, καὶ ποίων προνομίων ἠξίωται, καὶ εἴ ἐστι τις μέσον τούτων διαφορὰ, καθώς τινες λέγουσι. Γράφομεν τοίνυν τῇ ἱερότητί σου, ὅτι πρὸ πάντων πατριαρχῶν τῆς θεουπόλεως μεγάλης Ἀντιοχείας παρὰ τοῦ ἁγίου ἀποστόλου Πέτρου κεχειροτόνηται ὁ ἐξ Ἀγτιοχέων Εὔοδος· καὶ μετ' ὀλίγον ὑπὸ τοῦ αὐτοῦ θεοκήρυκος, τῆς Ἐκκλησίας τῶν Ἀλεξανδρέων ἐπίσκοπος, ὁ ἅγιος Μάρκος προβέβληται· τῶν Ἱεροσολυμιτῶν, ὁ ἅγιος Ἰάκωβος· καὶ τῆς Θρᾴκης, ὁ ἅγιος Ἀνδρέας. Μετὰ δὲ χρόνους ὡσεὶ τριακοσίους ὁ μέγας ἐν Πατράσιν, ὁ ἅγιος Σίλβεστρος παρὰ τοῦ ἁγίου ἰσαποστόλου μεγάλου Κωνσταντίνου, ἄρτι πρώτως ὀρθοδοξήσαντος, πάπας τοῦ θρόνου τῆς παλαιᾶς Ῥώμης ὠνόμασται, καθὼς ἡ φιλόθεος ἱστορία, καὶ αἱ λοιπαὶ ἐκκλησιαστικαὶ ἱστορίαι διαλαμβάνουσιν. Ὁ δὲ μέγας θρόνος τῆς Κωνσταντινουπόλεως, τὸ περιβόητον τοῦτο καὶ πρᾶγμα καὶ ὄνομα, Περινθίοις ὑποκείμενος (Περίνθος δέ ἐστιν ἡ δυτικὴ Ἡράκλεια) ἐτέλει ὑπὸ ἐπίσκοπον. Οὔπω γὰρ μεγαλόπολις ἡ Κωνσταντινούπολις ὠνομάζετο, ἀλλὰ πολίχνιον, καὶ Βυζάντιον. Μετενεχθέντων δὲ τῶν σκήπτρων τῆς βασιλείας ἀπὸ τῆς παλαιᾶς Ῥώμης ἐν αὐτῇ, κατὰ θείαν καὶ ἀπόῤῥητον Πρόνοιαν, ὡς ἐξ ἀγριελαίου εἰς καλλιέλαιον, ὁ τότε ἀρχιερατεύων τῆς Ἐκκλησίας τοῦ τοιούτου θρόνου ἅγιος Μητροφάνης, ἐξ ἐπισκόπου μετωνομάσθη ἀρχιεπίσκοπος. Διὰ γὰρ τοῦτο καὶ ἡ πρώτη ἁγία οἰκουμενικὴ σύνοδος μνημονεύσασα καὶ τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως,

Sanctissimi patriarchæ Antiocheni Theodori meditatum, sive responsum de patriarcharum privilegiis.

Venit in conspectum meum petitio tua, vir sanctissime, et admissa receptaque, per mihi placuit Quippe non inhonestis erat indumentis amicta, nec indignis liberali sapientia tua : sed honestis potius et decentibus, qualia texere sacerdotalia labra solent, quæ justitiam proferunt, et veritatem quærunt. Quapropter accipe, quod per eam voluisti a nobis consequi, responsionis amicæ talentum. Petiisti, ut scripto complectar, unde, et quomodo sanctissimorum patriarcharum numerus quinarius exstiterit ; quæ privilegia consecuti sint ; et an sit inter eos discrimen aliquod, uti quidam perhibent. Scribimus ergo sanctitati tuæ, cæteros ante patriarchas omnes, a sancto Petro apostolo fuisse ordinatum magnæ illius Antiochiæ antistitem, Evodum Antiochenum ; et paulo post, ab eodem præcone divino, episcopum Alexandrinæ præfectum Ecclesiæ, sanctum Marcum ; Hierosolymitanæ, sanctum Jacobum ; Thracensi, sanctum Andream. Post annos vero quasi trecentos, magnus inter Patres, et sanctus vir Silvester, a sancto et apostolis pari, magno illo Constantino, qui rectam doctrinam recens amplexus fuerat, solii priscæ Romæ papa fuit appellatus ; quemadmodum historia religiosa, cum cæteris historiis ecclesiasticis, tradit. Magnus autem thronus ille Constantinopolis, re pariter ac nomine famosus, Perinthiis subjectus (est autem Perinthus, occidentalis Heraclea) episcopo parebat. Necdum enim urbs magna, vel Constantinopolis appellabatur ; sed oppidum et Byzantium. Cum autem imperii sceptra ex veteri Roma, divina et ineffabili Providentia, tanquam ex oleastro in olivam, huc translata fuissent ; qui tunc pontificia cum auctoritate throno hujus ecclesiæ præerat, sanctus ille Metrophanes, ex episcopo, nomine mutato, vocatus fuit archiepiscopus. Etenim idcirco prima sancta synodus universalis,

Digitized by Google

mentione throni Constantinopolitani facta, Romæ veteris illi honoraria jura tribuit, propterea quod esset(ut ipsius verbis utar) Roma nova : quemadmodum hæc secundo et tertio synodi ejusdem canone declarantur. Ut autem bonus ordo, res omnium pulcherrima, in Ecclesiarum quoque capitibus perinde, servetur, atque cœlestibus in ordinibus, divina et universalis sancta synodus, in Trullo majoris palatii coacta, quæ quinta et sexta dicitur, hæc disertis verbis decrevit.

A δέδωκεν αὐτῇ τὰ πρεσβεῖα τῆς παλαιᾶς Ῥώμης, διὰ τὸ εἶναι ταύτην (φησὶ) νέαν Ῥώμην, καθὼς δηλοῦται τὰ περὶ τούτου ἀπὸ τοῦ δευτέρου καὶ τρίτου κανόνος τῆς αὐτῆς συνόδου. Ἵνα δὲ τὸ κάλλιστον χρῆμα τῆς εὐταξίας καὶ εἰς τὰς κεφαλὰς φυλάττηται τῶν Ἐκκλησιῶν, ὥσπερ καὶ εἰς τὰ οὐράνια τάγματα, ὥρισεν ἡ ἐν τῷ Τρούλλῳ τοῦ μεγάλου παλατίου συστᾶσα θεία καὶ οἰκουμενικὴ ἁγία σύνοδος, ἡ καὶ πενθέκτη λεγομένη, ταῦτα ῥητῶς.

Renovantes ea, quæ a centum quinquaginta sanctis Patribus, in custodita divinitus et imperatoria urbe congressis, et a sexcentis ac triginta, qui Chalcedone convenerunt, sancita sunt : decernimus, ut thronus Constantinopolis æqualibus honorariis fruatur juribus quibus veteris Romæ thronus : utque parem cum illo ecclesiasticis in rebus amplitudinem obtineat, et ab illo secundus sit : post quam, magnæ urbis Alexandrinæ thronus numeretur : deinde, Antiochenus : et post hunc, urbis Hierosolymitanæ thronus. Propterea secundum id, quod hoc canone continetur, ex eo tempore huc usque, sanctissimorum istorum quinque soliorum magnos pontifices per orbem universum hoc modo veneramur. Etenim justa papæ veteris Romæ ab Ecclesiis abscissio, minime ordinem canonicum abolevit. Præterea primus adversus secundum sese non effert, neque secundus adversus tertium : sed cum instar quinque sensuum capitis unius (qui tot esse numero dicuntur, nec dividuntur tamen in partes) apud populum Christianum habeantur, dignitate nihilominus pares sunt in omnibus; et cum capita sanctarum per universum orbem Ecclesiarum Dei jure dicantur, locum in eis discrimen ab hominibus statutum habere non potest : neque de sententia quorumdam non magni momenti res afferentium, papæ Romano propterea fit injuria, quod ipse propter litteram R (57), si litterarum collocationem respiciamus, tertius in ordine sit ; et eadem ratione Constantinopolitanus per C litteram honoretur, ac priorem locum consequatur. Nec offensioni aperta fenestra fuit inter Alexandrinum et Antiochenum, propter A litteram, velut eorum quolibet locum sibi priorem vindicante : sed quemadmodum quinarius ille sensuum, arcbitecti et conditoris Dei formationi respondet, nec aspectus (verbi gratia) odoratum, nec auditus tactum vel gustatum hostiliter eam ob causam invadit, quod eorum nomina forte tali serie a nobis proferantur : ita nec sanctissimorum patriarcharum aliquis, cui per divinos canones primus attributus est locus, adversus secundum, et proximum ad hoc, arroganter semet effert.

Ἀνανεούμενοι τὰ παρὰ τῶν ρν' ἁγίων Πατέρων, τῶν ἐν τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει συνελθόντων, καὶ τῶν ἑξακοσίων τριάκοντα τῶν ἐν Χαλκηδόνι συνελθόντων νενομοθετημένα· ὁρίζομεν, ὥστε τὸν τῆς Κωνσταντινουπόλεως B *θρόνον τῶν ἴσων ἀπολαύειν πρεσβείων τοῦ τῆς πρεσβυτέρας Ῥώμης θρόνου, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκεῖνον μεγαλύνεσθαι πράγμασι, δεύτερον μετ' ἐκεῖνον ὑπάρχοντα· μεθ' ὃν ὁ τῆς Ἀλεξανδρείας μεγαλοπόλεως ἀριθμείσθω θρόνος· εἶτα ὁ τῆς τῶν Ἀντιοχέων· καὶ μετὰ τοῦτον, ὁ τῆς τῶν Ἱεροσολυμιτῶν πόλεως.* Διὸ καὶ κατὰ τὴν τούτου περίληψιν, ἔκτοτε καὶ μέχρι τοῦ νῦν οἱ τῶν τοιούτων πέντε ἁγιωτάτων θρόνων μεγάλοι ἀρχιερεῖς οὕτω κατὰ πᾶσαν τὴν οἰκουμένην σεβάζονται. Τοῦ γὰρ πάπα τῆς παλαιᾶς Ῥώμης ἡ δικαία ἐκ τῶν Ἐκκλησιῶν ἐκκοπὴ, τὴν κανονικὴν εὐταξίαν οὐκ ἐλυμήνατο. Παρὰ τοῦτο δὲ, τοῦ δευτέρου ὁ πρῶτος οὐ κατεπαίρεται, οὐδὲ τοῦ τρίτου ὁ δεύτερος· ἀλλ' ὡς αἰσθήσεις πέντε μιᾶς κεφαλῆς ἀριθμούμεναι καὶ μὴ μεριζόμεναι, παρὰ τῷ χριστωνύμῳ λαῷ λογιζόμενοι, ἰσοτιμίαν ἐν ἅπασιν ἔχουσι, καὶ κάρα τῶν κατὰ πᾶσαν τὴν οἰκουμένην ἁγίων Ἐκκλησιῶν τοῦ Θεοῦ δικαίως καλούμενοι, διαφορὰν ἀνθρωπίνην οὐ πάσχουσιν· οὐδὲ κατὰ σμικρολόγους, ὁ πάπας Ῥώμης ὀβριοπαθεῖ, ὅτι αὐτὸς μὲν διὰ τοῦ Ρ στοιχείου τρίτος τῇ θέσει τῶν γραμμάτων κατεττοιχείωται, ὁ δὲ Κωνσταντινουπόλεως διὰ τοῦ Κ τιμᾶται καὶ πρωτερεύεται. Οὐδὲ σκανδάλου πάροδος γέγονε μέσον τοῦ Ἀλεξανδρείας καὶ τοῦ Ἀντιοχείας, χάριν τοῦ ἄλφα στοιχείου, ὡς ἑκάστου αὐτῶν ἰδιουμένου τὸν πρότερον· ἀλλ' ὥσπερ ἡ πεντὰς τῶν αἰσθήσεων στοιχεῖ τῇ διαπλάσει τοῦ ἀρχιτέκτονος καὶ πλάστου Θεοῦ, καὶ οὐ κατατρέχει τυχὸν ἡ ὅρασις τῆς ὀσφρήσεως, οὐδὲ ἡ ἀκοὴ τῆς ἁφῆς καὶ τῆς γεύσεως, ὅτι* D *παρ' ἡμῖν οὕτω πως ὀνομάζονται· οὕτως οὐδέ τις τῶν ἁγιωτάτων πατριαρχῶν ἐκ τῶν θείων κανόνων τόπον κληρωσάμενος πρότερον, τοῦ δευτέρου καὶ τοῦ μετ' αὐτὸν ὡς ὑπερφέρων ἀλαζονεύεται.*

Quia vero nonnulli dicunt, non esse permissum Alexandrino vel Antiocheno, verbi gratia, ut cum lampade vel face patriarchali faciat iter ad urbem imperatoriam, vel in aliam diœcesin ; exceptis illis provinciis, quæ per canones eis attributæ

Ἐπεὶ δέ τινες λέγουσιν, ὡς οὐκ ἐφεῖται τῷ Ἀλεξανδρείας ἢ τῷ Ἀντιοχείας τυχὸν, μετὰ λαμπάδος πατριαρχικῆς τὰς ὁδοιπορίας ποιεῖν εἰς τὴν τῶν πόλεων βασιλεύουσαν, ἢ εἰς ἑτέραν διοίκησιν, παρὰ τὰς ἀπονεμηθείσας ἀπὸ τῶν κανόνων αὐτοῖς. Ἡ γὰρ

VARIÆ LECTIONES.

(57) Quæ prima est in vocabulo *Romæ*.

Digitized by Google

λαμπὰς τοῦ διδασκαλικοῦ, φασὶν, ἐστὶν ἀξιώματος. Ἔξω δ' ἐνορίαν δὲ διδάσκειν οὐκ ἐφεῖται ἀρχιερεῖ, κατὰ τὸν κ' κανόνα τῆς ἐν τῷ Τρούλλῳ ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου. Καὶ εἰς ἐπισύστασιν δ' ἦθεν τοῦ λόγου αὐτῶν, καὶ τοῖς εὐαγγελικοῖς ἀποχρῶνται ῥήμασι, καὶ λέγουσι· Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων. Ἀκουσάτωσαν, ὡς οἱ βασιλεῖς καὶ οἱ πατριάρχαι μεγαλύνονται μὲν καὶ διδασκαλικοῖς ἀξιώμασι, διὰ τὴν τοῦ ἁγίου χρίσματος δύναμιν· ἐντεῦθεν γὰρ οἱ πιστοὶ δεσπόται καὶ αὐτοκράτορες κατηχητικῶς ὁμιλοῦσι τῷ χριστωνύμῳ λαῷ, ἢ θυμιῶσιν ὡς ἱερεῖς, καὶ μετὰ δικηρίου σφραγίζουσι. Κατὰ τοῦτο δὲ μόνον λαμπάσι ζωννυμέναι; ἀργυροῖς καὶ διαχρύσοις (οἷον εἰπεῖν) στεφανώμασιν οὐκ ἀποσεμνύνονται, ἀλλ' ὅτι καὶ κατὰ τὸν οὐράνιον γίγαντα τὸ κέντρον καταφωτίζουσι τῆς ὀρθοδοξίας τοῖς ἀμαρύγμασι καὶ ἡ ἔξοδος αὐτῶν ἀπ' ἄκρου λάμπει τοῦ οὐρανοῦ, καὶ τὸ κατάντημα αὐτῶν ἕως ἄκρου φθάνει τοῦ οὐρανοῦ· καὶ οὐκ ἔστιν ὃς τῆς θέρμης αὐτῶν ἀποκρύπτεται. Εἰ γὰρ μόνον διὰ τὸ τῆς διδασκαλίας ἀξίωμα τῶν τοιούτων λαμπάδων ἐπενοήθη τὸ σεμνολόγημα, ἡ κατὰ καιροὺς τέως αὐτοκρατόρισσα ἐκ τοῦ προνομίου τούτου δικαίως ἂν ἀφῆκεν ἀφώτιστος. Γυναῖκας γὰρ σιγᾷν καὶ μὴ διδάσκειν νενομοθέτηται. Ἀλλὰ μὴν καὶ ταύτας ὁρῶμεν οὕτω δοξαζομένας κατὰ τοὺς βασιλεῖς. Καὶ οἱ ἐγχώριοι δὲ πάντες ἀρχιερεῖς παρομοίως τὰς ἀρχιερατικὰς καὶ ἀλλοίας προόδους ἐπενδύουν ἄν· καὶ εἶδεν ἄν τις τυχὸν τὸν τοῦ Ἀθύρα ἐπίσκοπον, καὶ τὸν πολλῷ τούτου μικροπρεπέστερον, πεζῇ μὲν καὶ βάδην τὰς προόδους τῆς οἰκείας ἐνορίας περιερχόμενον, λαμπάδι δὲ πατριαρχικῇ κυδαινόμενον, ὅτι καὶ αὐτοὶ διδασκαλικὸν ἀξίωμα περιβέβληνται. Οὔ τί ἂν τις φαίη καινοπρεπέστερον, ἢ μᾶλλον εἰπεῖν, ἀηδέστερον; Εἰ δὲ τοῦτο οὐδέποτέ τις εἶδε γινόμενον εἴς τινα τῶν μητροπολιτῶν ἢ τῶν ἀρχιεπισκόπων, πολλῷ δὲ πλέον τῶν ἐπισκόπων, ἄνευ μόνων τῶν αὐτοκεφάλων ἀρχιεπισκόπων, τοῦ Βουλγαρίας φημὶ, καὶ τοῦ Κύπρου, καί τινων ὀλίγων μητροπολιτῶν λαβόντων ἀπὸ φιλοτιμίας βασιλικῆς ἰδικῆς τοῦτο τὸ δίκαιον· ἄραρε, μόνοις τοῖς βασιλεῦσι καὶ τοῖς πατριάρχαις ὑπὸ τῆς τοῦ παναγίου Πνεύματος χάριτος, καὶ τῆς ἀρχαιοπαραδότου συνηθείας, καὶ εὐταξίας, ἐπιφιλοτιμηθῆναι τοῦτο τὸ δίκαιον διὰ τὰς ῥηθείσας αἰτίας.

Ὅτι δὲ τῶν μὲν αὐτοκρατόρων ἡ ἀρωγὴ πρὸς φωτισμὸν καὶ σύστασιν ἐπεκτείνεται ψυχῆς τε καὶ σώματος, τὸ δὲ μεγαλεῖον τῶν πατριαρχῶν εἰς μόνην ψυχικὴν ἐστενοχώρηται λυσιτέλειαν (ὀλίγη γὰρ τούτοις ἐστὶ φροντὶς εὐπαθείας σωματικῆς), ὡσαύτως καὶ ἡ περὶ τοὺς ὑπηκόους τῆς βασιλίσσης κηδεμονία καὶ μέριμνα πρὸς μόνην σωματικὴν εὐζωΐαν ἐξήπλωται (πάσης γὰρ ψυχικῆς βοηθείας αἱ γυναῖκες ἐστέρηνται), αἱ λαμπάδες μὲν τῶν βασιλέων διττοῖς

sunt. Quippe fax, inquiunt, ad officium doctoris spectat. Extra provinciam vero docere, non permissum est pontifici; secundum canonem xx habitæ in Trullo sanctæ atque universalis sextæ synodi. Et ad confirmandam scilicet hanc rationem suam, evangelicis quoque verbis hisce utuntur: Luceat lux vestra coram hominibus. Audiant hi, tam ad amplitudinem imperatoriam, quam patriarchalem, officia docendi pertinere, propter unctionis sacræ vim atque potestatem. Hinc enim usuvenit, ut fideles principes et imperatores catechetico more cum populo Christiano colloquantur, aut suffitum faciant more sacerdotum, et cum cera duplici obsignent. Verum hac sola de causa facibus, quæ argenteis et aureis (ut ita dixerim) corollis cinctæ sunt, non utuntur in pompis: sed etiam, quod instar cœlestis illius gigantis (58), hoc centrum orthodoxæ doctrinæ radiis collustrent: quodque luceat, eorum egressio ab extremo cœlo, et occursus ipsorum ad alteram cœli tendat extremitatem: cum interim nemo sit, qui ab eorum calore se possit abdere. Nam si duntaxat propter dignitatem officii docendi, facum ejusmodi speciosus ritus excogitatus esset: cujusque temporis imperatrix expers hujusce privilegii foret, ac facibus non abs re careret. Quippe sancitum est, ut taceant mulieres, ac minime doceant. Attamen his quoque videmus eodem cum imperatoribus ritu faces præferri. Regionum præterea pontifices universi, consimiliter tum pontificales, tum alias in publicum processiones instituerent: ac videret aliquis episcopum Athyrensem, verbi gratia, vel etiam longe quempiam hoc inferiorem, peditem illum quidem in provincia sua prodeuntem in publicum, et hac illac itantem; sed facula tamen patriarchalis honore tumentem, quando hi etiam episcopi officio docendi fruuntur. Quo sane quid dici possit insolentius? vel rectius ut loquar, quid injucundius? At si nunquam quisquam hoc fieri vidit in aliquo vel metropolitano, vel archiepiscopo, tantum abest ut in episcopos cadat, exceptis quibusdam archiepiscopis, qui caput ipsi suorum sunt; Bulgariæ, inquam, et Cypri, et paucis quibusdam metropolitanis; qui ex imperatoria speciali munificentia jus hoc obtinuerunt: sequitur, solis imperatoribus et patriarchis per gratiam Spiritus sancti, et acceptam antiquitus consuetudinem atque ordinem, jus hoc propter indicatas causas esse concessum.

Quia vero imperatorum auxilium ad illuminationem et stabilimentum sese tam animi, quam corporis porrigit; amplitudine patriarcharum ad animi duntaxat utilitatem constricta (perexiguam quippe curam gerunt hi de rebus ad corporum commoda spectantibus), et consimiliter imperatricis cura et sollicitudo de subditis, duntaxat ad vitæ corporalis prosperitatem extenditur (nullum enim animarum a mulierculis exspectandum auxi-

NOTÆ.

(58) Solis videlicet.

Digitized by Google

lium) : Idcirco faces imperatorum geminis aurcis cinguntur corollis, cum quæ patriarcharum et imperatricis sunt, uno quasi sepimento circumdentur. Sed dicet quispiam : Sit ita, sane. Concessum esto, lucernas patriarchales accendi per ignem tot traditionum, veri speciem habentium. Sed unde profectum est, quod eisdem ex argento vis quædam accedat? Sufficiebat, duntaxat ecclesiarum capitibus per lampadas majestatis aliquid accedere, atque interim eos, qui vagantur in exsilio, et pauperes sunt, eam ob causam non vexari. Respondemus, piissimos imperatores, et sanctissimorum patriarcharum quinarium, esse similes agricolis, consistentibus in area frumenti largitrice, ac ventilabro unctionis vitiositatem ceu paleas exterminare, et virtutem ceu grana colligere : vel similes esse normis recta circuli superficiem librantibus et centrum per justitiæ radios collustrantibus : vel maritimi navigii malis ac velis, dum imperatoriis consiliis, et præceptis spiritualibus cymbam mundi hujus incolumem servant. Quo fit, ut cum exiguis magna comparantes religiosissimi imperatores, atque inter sanctos Patres, eximii quique necessario statuerint, ista ratione comitandos esse magnos pontifices, parique modo tam opulentum, quam pauperem habendum : ut rectæ quidem doctrinæ sectatores, dum magnam illam et augustam pompam solis imperatoribus et patriarchis exhiberi vident, convenientem gratiarum actionem instar grati sufflitus, offerant Domino, qui intra centrum mundanæ pulchritudinis defensores ejus glorificat; utque flexo genu petant a Domino, quo tropæis imperatoriis universa sub sole tellus collustretur, et patriarchicis precibus terrenæ res irradientur : at vero diversæ sententiæ sectatores, qui potentia sua nituntur, et suis se jactant opibus (simulacra namque gentium sunt aurum et argentum) ad id, quod cernitur, cæcutiant : et excusorum opera vana atque inutilia existiment, mundanæque opinionis munera. Et hæc quidem de lampadibus patriarchicis. Quoniam vero baculus, et saccus, et cruces plurimæ, plenaque tunica figuris gamma litteram repræsentantibus, patriarchalem sanctitatem solam nobilitant, ac nonnulli volunt, quosdam ex patriarchis nonnunquam aliquibus horum non exornari : age, de his etiam breviter disseramus. Inclina aurem tuam, sanctissime, et me audi. Non enim in parabolis aperiam os meum, sed quæstiones ab origine proferam, quas divorum Patrum gratia me docuit.

Sanctissimos quinque patriarchas (adhuc enim ut hedera quercui, sic ipse concordiæ papæ Romani quasi mordicus inhæreo, et ob separationem illius animo lacceror, atque quotidie conversionem ipsius egregiam exspecto) pro solo capite corporis omnium Ecclesiarum Dei agnoscimus, quemadmodiaχρύσοις περιζωννύονται στεφανώμασι· τῶν δὲ πατριαρχῶν καὶ τῆς βασιλίσσης ἑνὶ κατακυκλοῦνται θριγγώματι. Ἀλλ' ἐρεῖ τις· Ἔστω· δεδόσθω, τὰς πατριαρχικὰς λαμπάδας ἀνάπτεσθαι πυρὶ τοσούτων σύλογοφανῶν παραδόσεων. Τὸ ταύτας ἐξ ἀργύρου περιζωννύεσθαι δύναμιν, πόθεν περιεζώσατο δύναμιν; Ἥρκει διὰ μόνων τῶν λαμπάδων τὰς κεφαλὰς τῶν ἐκκλησιῶν μεγαλύνεσθαι, καὶ τέως τοὺς ὑπερορίους πλανωμένους καὶ πενητεύοντας, χάριν τούτου μὴ σκύλλεσθαι. Φαμὲν οὖν, ὡς οἱ εὐσεβέστατοι βασιλεῖς, καὶ τῶν ἁγιωτάτων πατριαρχῶν ἡ πεντάς, ἐοίκασι γεωργοῖς μέσον ἑστηκόσι σιτοδότιδος ἄλωνος, καὶ τῷ πτύῳ τοῦ χρίσματος τὴν κακίαν ὡς ἄχυρον ἐκφαυλίζουσι, καὶ τὴν ἀρετὴν ὡς κόκκον συνάγουσιν· ἢ διαβήταις ζυγοστατοῦσιν ἰθυτενῶς τοῦ κύκλου τὴν ἐπιφάνειαν, καὶ τὸ κέντρον καταπυρσεύουσι τῆς δικαιοσύνης τοῖς ἀμαρύγμασιν· ἢ νηὸς ποντοπορούσης ἱστοῖς καὶ πετάσμασιν, ἐν προμηθείαις βασιλικαῖς, καὶ παραγγελίαις πνευματικαῖς τὸ κοσμικὸν ἀκάτιον σώζουσι. Τῷ τοι καὶ μικρὰς τὰ μεγάλα σταθμώμενοι τῶν βασιλέων οἱ εὐσεβέστατοι, καὶ τῶν ἁγίων Πατέρων οἱ προὔχοντες, διωρίσαντο ἐξ ἀνάγκης οὕτω δορυφορεῖσθαι τοὺς μεγάλους ἀρχιερεῖς, καὶ εἶναι ἐπιτοαυτὸ πλούσιόν τε καὶ πένητα· ὡς ἂν οἱ μὲν ὀρθόδοξοι βλέποντες τὸ μέγα τοῦτο καὶ σεβάσμιον σεμνολόγημα παρὰ βασιλεῦσι καὶ πατριάρχαις μόνοις πολιτευόμενον, εὐχαριστίαν ἀνάλογον ὡς θυμίαμα δεκτὸν τῷ Κυρίῳ προσφέρωσι, τῷ μέσον τοῦ κέντρου τῆς κοσμικῆς ὡραιότητος τοὺς δεφένσορας τούτου δοξάζοντι· καὶ γονυκλιτῶσι πρὸς Κύριον, τροπαίοις βασιλικοῖς τὴν ὑφήλιον καταλάμπεσθαι, καὶ εὐχαῖς πατριαρχικαῖς ἀκτινοβολεῖσθαι τὰ ἐπιχθόνια· οἱ δὲ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν ἑτερόδοξοι, καὶ καυχώμενοι ἐπὶ τῷ πλούτῳ αὐτῶν (τὰ γὰρ εἴδωλα τῶν ἐθνῶν χρυσίον εἰσὶ καὶ ἀργύριον), πρὸς τὸ ὁρώμενον ἀβλεπτήσωσι, καὶ νομίσωσιν ἔργα χαλκοτύπων εἶναι μάταια καὶ ἀνόνητα, καὶ κοσμικοῦ δοξαρίου χαρίσματα. Καὶ ταῦτα μὲν περὶ τῶν πατριαρχικῶν λαμπάδων. Ἐπεὶ δὲ καὶ ῥάβδος, καὶ σάκκος, καὶ πολυσταύριον, καὶ διὰ γρσμμάτων [16] στιχάριον, τὴν πατριαρχικὴν καὶ μόνην δοξάζουσιν ἁγιότητα, θέλουσι δέ τινές τισιν ἐξ αὐτῶν τινας τῶν πατριαρχῶν ἐνίοτε μὴ κατα-ποικίλλεσθαι, φέρε καὶ περὶ τούτων βραχέα φιλοσοφήσωμεν. Κλῖνον τὸ οὖς σου, πανιερώτατε, καὶ ἄκουσόν μου. Οὐ γὰρ ἐν παραβολαῖς ἀνοίξω τὸ στόμα μου, ἀλλὰ φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς, ὅσα μὴ θείων Πατέρων χάρις ἐδίδαξε.

Τοὺς ἁγιωτάτους πατριάρχας πέντε (καὶ ἔτι γὰρ ὡς κισσὸς δρυὸς, τῆς ὁμονοίας τοῦ πάπα Ῥώμης ἐξέχομαι, καὶ τῷ χωρισμῷ τούτου τὴν καρδίαν σπαράττομαι, καὶ τὴν καλὴν ἐπιστροφὴν κοὐκάστην καραδοκῶ) μίαν οἴδαμεν κεφαλὴν τοῦ σώματος πασῶν τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ, καθὼς καὶ ἄνωθεν

VARIÆ LECTIONES.

[16] γαμμάτων.

Digitized by Google

εἴρηται· καὶ πιστεύοντες τελειωθῆναι τούτους τῇ ἁγιωσύνῃ τῷ χρίσματι, Χριστοὺς Κυρίου, καὶ ἁγιωτάτους κατονομάζομεν, καὶ στηλογραφοῦντες μετὰ τῶν ἁγίων καὶ θεοφόρων Πατέρων ἡμῶν, καὶ σχετικῶς ἀσπαζόμενοι, πληροφορούμεθα διὰ τούτων ἡμῖν τὰς θύρας τῆς βασιλείας τῶν οὐρανῶν ἀποκλείεσθαι καὶ ἀνοίγεσθαι, καὶ διὰ τῶν χειλέων αὐτῶν τὸν Θεὸν ἀποστοματίζειν τὰ μέλλοντα. Οὐ γὰρ σὰρξ καὶ αἷμα, ἀλλ' ὁ οὐράνιος Πατὴρ καὶ Θεὸς ἡμῶν, ὁ εἰπών· Ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, καὶ οἱ δοῦλοί μου προφητεύσουσιν, ἀποκαλύπτει τούτοις τὰ ὄντα καὶ τὰ σόμενα. Οὕτω γὰρ καὶ Σαοὺλ ἐν προφήταις, καὶ Καϊάφας ἄκων προεφητεύσατο, εἰπών· Συμφέρει ἵνα ἀπολέσθαι ὑπὲρ τοῦ λαοῦ καὶ ὑπὲρ τοῦ ἔθνους παντός. Ὁ μὲν γὰρ τῷ χρίσματι τῆς βασιλείας ὑπεθερμαίνετο, ὁ δὲ τῆς ἀρχιερωσύνης τῇ χάριτι. Ἦν γάρ, φησὶν, ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου. Διὸ καὶ ὡς τόπον ἐπέχοντες τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, δικαίως ἀποσεμνύνουσι τὰ ἑκούσια πάθη αὐτοῦ, καὶ τὰ διὰ τὴν σωτηρίαν ἡμῶν ἐπενεχθέντα τούτῳ παρὰ τῶν ἀχαρίστων Ἰουδαίων ἐφύβριστα πρὸ τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως. Ποῖα δὲ ταῦτά εἰσιν, ἀκουσάτω ἡ ἱερότης σου. Κἂν γὰρ κόπος ἐνώπιόν μού ἐστιν ἕως οὗ εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ, καὶ συνῶ τὰ ἐν αὐτῷ καὶ περὶ αὐτὸ, ἀλλ' ἡ χάρις τοῦ παναγίου Πνεύματος ἡ ἐν πατριάρχαις προτυπωθεῖσα, ἐν προφήταις προκηρυχθεῖσα, ἐν ἀποστόλοις θεμελιωθεῖσα, ἐν μάρτυσι τελειωθεῖσα, καὶ ἐν ἱεράρχαις κατακοσμηθεῖσα, δώσει λόγον ἐν ἀνοίξει τοῦ στόματός μου.

Τὰ τῶν πατριαρχῶν τῶν ἁγίων ἐπιμάνικα, τὰς χειροπέδας τοῦ Κυρίου δοξάζουσιν, ἃς ἑκὼν ὑπέστη διὰ τὴν σωτηρίαν ἡμῶν, κατὰ μαστιγίαν πρὸς Καϊάφαν ἀγόμενος. Τὰ ἐπιτραχήλια, τὸ φραγέλλιον τὸ ἑλκύσαν τὴν ζωὴν πρὸς τὸν θάνατον. Τὰ μετὰ ποταμίων στιχάρια, τοὺς κρουνοὺς τοῦ αἵματος καὶ τοῦ ὕδατος, τοὺς ἐκ τῆς θείας πλευρᾶς ἀποστάξαντας. Τῶν γονατίων τὰ ἐπιβλήματα, τοῦ λεντίου τὸ ἐγχειρίδιον, δι' οὗ τοὺς πόδας ὁ Κύριος τῶν ἀποστόλων ἀπέσμηξεν. Οἱ σάκκοι, τὴν χλαῖναν τῆς ὕβρεως. Τὰ ὠμοφόρια, τὴν ἐκ τοῦ ᾅδου πρὸς οὐρανὸν τοῦ πρωτοπλάστου μετάβασιν. Τὰ διὰ πολυσταυρίων φαινόλια, τοῦ τιμίου σταυροῦ τὴν παγκόσμιον δόξαν καὶ δύναμιν. Τὰ ἐν τούτοις τριγώνια, τὸν ἀκρογωνιαῖον λίθον, Χριστὸν τὸν Θεὸν ἡμῶν, τὸν τὰ διεστῶτα συνάψαντα. Καὶ αἱ ῥάβδοι τὸν κάλαμον, τὸν τὴν σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων καλλιγραφήσαντα. Καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός. Ἀπὸ γοῦν τῶν οὕτω δεδοξασμένων ἀγακλεῶς, καὶ εἰς τύπον καταστάντων τοῦ ἀληθινοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, ποῖός τις τολμητίας καὶ θρασυκάρδιος ἀφέληται τι δίκαιον ἱερατικὸν ὁπωσδήποτε; Πάντως οὐδείς. Ἀκούσει γὰρ ἐκ τοῦ θεοπάτορος· Σὺ δὲ ἀπώσω καὶ ἐξουδένωσας τὸν Χριστόν σου, καὶ τὸ ἁγίασμα αὐτοῦ ἐβεβήλωσας. Ὥσπερ τοίνυν οὐκ ἔξεστι τῶν ἁπάντων τινὶ λέγειν περὶ τοῦ ἑνὸς Χριστοῦ καὶ Θεοῦ ἡμῶν, ἄλλως μὲν ἐν τῷδε τῇ οἰκουμένῃ τῷ κλίματι παρουσιάζειν καὶ μεγαλύνεσθαι, ἄλλως δ' ἐν ἐκείνῳ δοξάζεσθαι, ἵνα

dum et supra dictum fuit : et quia credimus eos per unctionem sanctitatis perfici, unctos Domini, et sanctissimos appellamus; ac referentes eos in numerum sanctorum et divinitus afflatorum Patrum nostrorum, et amanter ipsos amplectentes, certi sumus, fores regni cœlestis per eos nobis tum occludi, tum aperiri, et per ipsorum labra Deum velut ore proprio futura proferre. Non enim caro et sanguis, sed cœlestis ille Pater ac Deus noster (qui dixit: In diebus illis effundam de Spiritu meo, et servi mei vaticinabuntur), revelat eis tam præsentia, quam futura. Sic enim et Saul inter prophetas, et Caiaphas invitus oraculum hoc protulit : Expedit unum perire pro populo et pro hac universa natione. Nam ille per unctionem regiam incalescebat, hic per gratiam pontificatus. Erat enim, inquit, ejus anni pontifex maximus. Propterea nostri patriarchæ, tanquam obtinentes locum Christi Deique nostri, non abs re voluntarios ipsius cruciatus, et probra salutis nostræ causa ei ante crucem et resurrectionem ab ingratis Judæis illata, cum gravitate repræsentant. Quæ autem illa sint, audiat tua sanctitas. Nam tametsi videam me laborem subiturum, donec ingrediar in sanctuarium Dei, quæque in eo sunt, et circa ipsum, intelligam : nihilominus sancti Spiritus gratia in patriarchis præfigurata, in prophetis ante denuntiata, in apostolis fundata, in martyribus absoluta, in hierarchis decorata, subministrabit orationem in apertione oris mei,

Sanctorum patriarcharum epimanica, Domini manicas celebrant, quas volens sustinuit ob salutem nostram, cum instar verberonis ad Caiapham duceretur. Collaria, lorum illud, quod vitam ad mortem traxit. Tunicæ fluvios habentes, sanguinis et aquæ rivos, qui ex divino latere destillarunt. Genuum amictus, ejus lintei documentum, quo pedes apostolorum Dominus extersit. Sacci, pallium illud contumeliæ atque opprobrii. Humeralia, primitivi transitum ab inferis ad cœlum. Multis insignitæ crucibus penulæ, venerandæ crucis universalem gloriam atque potestatem. Quæ sunt in his triangula, lapidem illum angularem Christum Deum nostrum, qui disjuncta conjunxit. Baculi, arundinem illam, quæ salutem generis humani egregie depinxit. Testis in cœlo fidelis. Patriarchis ergo tam præclare nobilitatis, et in simulacrum veri Christi ac Dei nostri constitutis, quis adeo temerarius et audax fuerit, ut jus aliquod sacerdotale quocunque modo adimat? omnino nullus. Audiet enim a Christi patre Davide : Tu autem repulisti et annihilasti unctum tuum, et sanctificationem ejus profanasti. Quemadmodum ergo nemini dicere licet de uno Christo Deoque nostro, quod aliter in hoc orbis tractu sit præsens et magnificetur, aliter in illo glorificetur ; ne vesaniæ extremæ rerum se faciat, et ad impietatem exorbitet : sic etiam nemo patriarchalem sacram

Digitized by Google

amplitudinem dividi debere dixerit, uti vel majora vel minora habeat privilegia. Quapropter etiam statutum est, ut in quavis ecclesia Dei, sive ad Euphratem, sive ad Tigrim, sive ad ipsum pertingat Oceanum, conjunctim eorum nomina referantur. Acceperunt enim, uti scriptum leginus, regiones gentium; et eorum throni sunt instar lunæ perfectæ, ac solis instar coram me sunt.

Sed dicet aliquis: Cum divini et sacri canones velut arvipendio quodam patriarchis quatuor orbis partes distribuerint, qui fit, ut ipse semel statuta transgrediens, velis eas instar unius haberi provinciæ, quæque divisa recte sunt, male confundere? Ad hanc objectionem respondemus, posse pariter et hæc vim suam obtinere, quemadmodum a sanctis Patribus sancita sint, et tamen identitatem unionis non confundi. Opifex ille hujus universi Deus, qui hominem suam ad imaginem finxit, et regem terrestrium constituit, qui cœlitus regeretur, prælicatur ille quidem cum propter reliquam figmenti hujus eximiam compagem; tum quod ex immortali partim, partim mortali mistura, vas illud apte fluxerit: quod sane cum loco circumscribatur, ratione crassitiei carnalis, mente tamen ea spectat, quæ vel apud Gades exsistunt. Neque minus ei majestatis ex eo tribuitur, quod hominum vitam per quinque sensus regi voluerit, quorum quilibet vim sibi peculiarem vindicaret, cum interim societatem mutuam non abnegent. Licet enim aspectus, verbi gratia, munus sibi divinitus injunctum etiam pro sua parte duntaxat obeat, ceu debitum quoddam persolvens, in quo minime cognatis a sensibus impeditur, nequaquam tamen ab horum societate avellitur, sed vult eos dignitatis suæ participes esse, mutuasque conferre operas instar fidarum ancillarum, ad curandum id corpus, cui sensus hi dati sunt. Præterea meretur admirationem, quod quemlibet horum geminaverit; ut tametsi perire contigerit unum, tamen reliquus illius etiam vicem impleat, nec adversus eum insolescant sensus adhuc integri, sed potius ei condoleant, ne ludibrio paterfamilias ipsorum habeatur. Quippe si contigerit alterutram aurem inutilem reddi, non amplius homo, creatum longe pulcherrimum, perfectus et incolumis, et qualem Deus condidit, esse dicitur; sed instar abortus habetur, cum a reliquis quatuor sensibus, licet incolumes sint, auxilii nihil habeat. Quemadmodum ergo quolibet sensu munus suum implente, cæterorum usum non inficiamur, nec damnamus eos tanquam fœdus et inutiles, propterea quod gemina ratione non sint efficaces, quemadmodum erant conditi, sed potius eis favemus (quippe si unus ex eis, uti dictum est, in universum defecerit; totum corpus inutile redditur, et ab hominibus haud aliter habetur atque si non exsisteret), sic etiam quinarius patriarcharum recte atque ordine sese geret. Nam quilibet horum administrationem sibi

A μὴ παραπληξίας ἐσχάτης κατακριθῇ, καὶ πρὸς δυσσέβειαν μετακυλισθῇ, οὕτως οὐδὲ τὴν πατριαρχικὴν θείαν μεγαλειότητα διαιρετέαν εἶποι τις εἶναι, καὶ πρὸς μείζονα καὶ ἐλάττονα προνόμια μεταπίπτουσαν. Τῷ τοι καὶ δέδοκται κατὰ πᾶσαν ἐκκλησίαν, περὶ τὸν Εὐφράτην, καὶ Τίγρητα, καὶ αὐτὸν διήκουσαν τὸν ὠκεανὸν, ἰλαδὸν αὐτοὺς ἀναφέρεσθαι. Ἔλαδον γὰρ, φησὶ, χώρας ἐθνῶν, καὶ οἱ θρόνοι αὐτῶν ὡσεὶ κατηρτισμένη σελήνη, καὶ ὡς ἥλιός εἰσιν ἐναντίον μου.

Ἀλλ' ἐρεῖ τις· Καὶ πῶς τῶν θείων καὶ ἱερῶν κανόνων ὡς ἐν σχοινίῳ κληροδοσίας ἐπιμερισάντων τοῖς πατριάρχαις τῆς οἰκουμένης τὴν τετραμέρειαν, αὐτὸς ὑπερβαίνων τὰ δόξαντα θέλεις ὡς μίαν ἐπαρχίαν ταύτας λογίζεσθαι, καὶ συγχέειν κακῶς τὰ διαιρεθέντα καλῶς; Φαμὲν οὖν πρὸς τὴν τοιαύτην ἀντίθεσιν, ὡς ἔστι καὶ ταῦτα κρατεῖν καθὼς ὑπὸ τῶν ἁγίων Πατέρων τεθέσπισται, καὶ τὴν ταυτότητα τῆς ἑνώσεως μὴ συγχέεσθαι. Ὁ Δημιουργὸς τῶν ὅλων Θεὸς κατ' οἰκείαν εἰκόνα πλαστουργήσας τὸν ἄνθρωπον, καὶ βασιλέα καταστήσας τῶν ἐπὶ γῆς βασιλευόμενον ἄνωθεν, ὑμνεῖται μὲν καὶ χάριν τῆς ἄλλης ὑπερφυοῦς ἁρμονίας τοῦ πλάσματος, καὶ πῶς ἐξ ἀθανάτου κράματος καὶ θνητοῦ τὸ ἐφάλκιον διωργάνωσε, καὶ τόπῳ περιγραφόμενον τῷ λόγῳ τῆς σαρκώδους παχύτητος, νοερῶς τὰ παρὰ Γαδείροις περιεργάζεται. Οὐχ ἧττον δὲ μεγαλύνεται, ὅτι τὴν ζωὴν τῶν ἀνθρώπων εὐδόκησε διὰ πέντε αἰσθήσεων διεξάγεσθαι, σφετεριζομένων τὴν ἰδικότητα, καὶ μὴ ἀπαρνουμένων τὴν ἀνακοίνωσιν. Κἂν γὰρ ἡ ὄψις τυχὸν ἐνεργῇ καὶ μονομερῶς τὸ ἀποκληρωθὲν ταύτῃ λειτούργημα παρὰ Θεοῦ, καθά τι δίκαιον ὄφλημα, μὴ ἐμποδιζομένη παρὰ τῶν συντρόφων αἰσθήσεων, ἀλλὰ τῆς κοινωνίας αὐτῶν οὐ χωρίζεται· θέλει δὲ ταύτας μετέχειν τῶν ἀξιωμάτων αὐτῆς, καὶ συναρήγειν εἰς τὸ αὐτὸ κατὰ δουλίδας πιστὰς, πρὸς θεραπείαν τοῦ ταύτας πλουτήσαντος σώματος. Ἔτι θαυμάζεται, πῶς ἑκάστην τούτων ἐδιπλασίασεν, ἵνα κἂν συμβῇ περιαιρεθῆναι τὴν μίαν, ἡ περιλειφθεῖσα κἀκείνης τὸν τόπον ἀναπληρώσειε, καὶ μὴ καταλαζονεύωνται ταύτης αἱ ἀρτιόσωμοι, συμπονῶσι δὲ μᾶλλον αὐτῇ, ὡς ἂν μὴ ὁ οἰκοδεσπότης αὐτῶν θριαμδεύηται. Ὡς εἴπερ τύχοι καὶ τὴν θατέραν ἀχρειωθῆναι τῶν ἀκοῶν, οὐκέτι τὸ κάλλιστον χρῆμα ὁ ἄνθρωπος, ἐντελὴς καὶ σῶος, καὶ οἷον αὐτὸν ὁ Θεὸς εἰργάσατο, λέγεται· ἀλλ' ὡς ἐκτρωμά τι λογίζεται, ὑπὸ τῶν λοιπῶν τεττάρων αἰσθήσεων, ὑγιαινουσῶν καὶ ταύτας μὴ βοηθούμενος. Ὡς γοῦν ἑκάστης τῶν αἰσθήσεων πληρούσης τὴν οἰκείαν ἐνέργειαν, τῶν λοιπῶν τὸ χρήσιμον οὐκ ἀπαναινόμεθα, οὐδὲ καταψηφιζόμεθα τούτων ἀσχημοσύνην καὶ ἀχρειότητα, διὰ τὸ μὴ διπλοειδῶς ἐνεργεῖν, καθὼς πεπλαστούργηνται, μᾶλλον μὲν οὖν καὶ συνάγομεν (μιᾶς γὰρ ἐξ αὐτῶν σχολασάσης τελείως, ὡς εἴρηται, ὅλον τὸ σῶμα ἠχρείωται, καὶ ὡς μηδὲ ὂν τοῖς ἀνθρώποις λογίζεται)· οὕτω καὶ τῶν πατριαρχῶν ἡ πεντὰς, δικαίως καὶ ἀσφαλῶς οἰκονομηθήσεται. Ἕκαστος γὰρ τούτων, τὴν μὲν ἀπονεμηθεῖσαν αὐτῷ διοίκησιν ἐνεργήσει μονοειδῶς, ἵνα μὴ συγχέωνται τῶν ἁγίων Ἐκκλησιῶν τὰ προνόμια· τῶν δὲ τιμῆς τοῦ Θεοῦ καὶ τῶν ἀνέκαθεν διδομένων δικαίων τῇ

Digitized by Google

πατριαρχικῇ θείᾳ μεγαλειότητι, οὐδεὶς ἀποξενωθήσεται. Εἰ γὰρ τοιοῦτόν τι γένηται, καὶ τὸν Ἀλεξανδρείας τυχὸν εὑρισκόμενον εἰς τὴν τῶν πόλεων βασιλεύουσαν, τῶν πατριαρχικῶν προνομίων ἀποξενώσει τις, ὅτι κατὰ τὴν οἰκείαν ἐνορίαν οὐ πάρεστιν, ἀχρειώσει τὴν κεφαλὴν ὡς κωφεύουσαν, ἢ ἀβλεπτοῦσαν, καὶ ὑπὸ τεττάρων, ἢ καὶ τριῶν διεξαγομένην αἰσθήσεων. Διὰ ταύτην τὴν αἰτίαν, ὡς ἔοικε, προτετύπωται προβάλλεσθαι κατὰ τὸ ἀπαραίτητον καὶ τοὺς μὴ ἔχοντας πατριάρχας τοὺς ἀποκληρωθέντας αὐτοῖς ἁγίους θρόνους, διὰ τὴν ἐπιδρομὴν τῶν ἐθνῶν, τὸν Ἀντιοχείας καὶ τὸν Ἱεροσολύμων φημί.

A tributam obibit pro parte sua, ne sanctarum ecclesiarum privilegia confundantur: nec tamen honore concesso divinitus, datisve antiquitus patriarchali sacræ amplitudini juribus, quispiam spoliabitur. Quippe si tale quid usuvenerit, et Alexandrinum (verbi causa) in urbe imperatrice commorantem, privilegiis patriarchalibus propterea quispiam spoliaverit, quod non degat in provincia sua; caput ipsum inutile reddet, tanquam surdum, vel cæcum, et quatuor, aut tribus duntaxat sensibus præditum. Ob hanc ipsam causam, ceu credi par est, jamdudum sancitum est, ut haud dubie per electionem instituantur etiam ii patriarchæ, qui cæteroqui sacros sibi destinatos thronos, ob paganorum hostiles incursus, haud possident: Antiochenus, inquam, et Hierosolymitanus.

Κἂν γὰρ ἐξώσθησαν τῆς δόξης τῶν θρόνων αὐτῶν, ἀλλ' ἡ πνευματικὴ χάρις, κατὰ τὸν Δαβίδ, οὐ παλαιωθήσεται. Ἥξει δὲ μᾶλλον ὁ Θεὸς ἡμῶν ἐμφανῶς, καὶ οὐ παρασιωπήσεται· ὡς συναγάγῃ αὐτῷ τοὺς ὁσίους αὐτοῦ, τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ. Φιλοφρονητέον τοίνυν τοὺς ἀποξενωθέντας πατριάρχας ἐκ τῶν ἁγιωτάτων ἐκκλησιῶν αὐτῶν, καὶ ὑπερορίους καθημένους εἰς ἑτέρου πατριάρχου διοίκησιν, καὶ μὴ ἀτιμαστέον. Κεκανόνισται γὰρ παρακαλεῖσθαι τούτους, καὶ πάσης ἐπιμελείας καὶ ὑποδοχῆς ἀξιοῦσθαι, οὐ μὴν ὀβριζέσθαι διὰ τὴν τῶν πραγμάτων ἀνωμαλίαν, θρήνων ἀξίαν οὖσαν, καὶ μὴ ἀλαζονείας γεννήτριαν. Εἶτα τῶν θείων καὶ ἁγίων Γραφῶν καὶ τῶν Πατρικῶν παραδόσεων κατονομαζουσῶν Πάπαν τὸν ἐπίσκοπον Ῥώμης, ὡσαύτως καὶ τὸν Ἀλεξανδρείας· ἀλλὰ μὴν καὶ τὸν Κωνσταντινουπόλεως, καὶ τὸν Ἱεροσολύμων, ἀρχιεπισκόπους· μόνον δὲ τὸν Ἀντιοχείας, πατριάρχην. Πῶς τῶν Ἀντιοχέων ἡ ἐκκλησία οὐχ ὑβριοπαθεῖ, μανθάνουσα καὶ τοὺς λοιποὺς, πατριάρχας ἀνακηρύττεσθαι; πάντως διὰ τὴν ταυτότητα τῆς τιμῆς, καὶ διὰ τὸ ἐπέχειν τοὺς πέντε πατριάρχας τόπον τῆς μιᾶς κεφαλῆς τοῦ σώματος, δηλαδὴ τῶν ἁγίων Ἐκκλησιῶν τοῦ Θεοῦ.

B Quavis enim gloria thronorum suorum per vim exciderint, tamen spiritualis gratia, secundum Davidem, non exolescet. Imo potius veniet Deus noster manifesto, nec silebitur; ut colligat sibi sanctos suos, qui testamentum ipsius disponunt. Itaque complectendi sunt amanter ii patriarchæ, qui sanctissimis Ecclesiis suis spoliati sunt, et exsules in alterius patriarchæ diœcesi degunt, minimeque contumeliis afficiendi. Quippe sanctum canonibus est, ut eos consolemur, et omni cura susceptioneque dignemur; non injuriis afficiamus ob rerum humanarum inconstantiam, quæ lacrymis potius est digna, quam ut insolentiam gignere debeat. Cæterum cum sacræ Litteræ, Patrumque traditiones, episcopum Romanum appellent C papam; itidemque Alexandrinum, et ipsum quoque Constantinopolitanum, ac Hierosolymitanum, archiepiscopos; solum vero Antiochenum patriarcham: qui fieri potest, ut Antiochena ecclesia non patiatur injuriam, quæ intelligat, reliquos etiam publice dici patriarchas? Omnino fit hoc propter identitatem honoris, et quod hi quinque patriarchæ vicem unius capitis universi corporis obtineant, sanctarum videlicet Ecclesiarum Dei.

Ἐπεὶ δέ τινες λέγουσι μηδὲν εἶναι τὸ ἐμποδὼν, καὶ τοὺς ἑκασταχῆ ἀρχιερατεύοντας οὕτω τιμᾶσθαι καὶ μεγαλύνεσθαι. Καὶ οὗτοι γαρ διδασκαλικοῦ ἀξιώματος κατηξίωνται, καὶ κατὰ Μωσέα καὶ Ἀαρὼν εἰς τὰ ἅγια τῶν ἁγίων ἑστήκασι, καὶ τὴν ἀναίμακτον θυσίαν προσφέρουσι. Φαμὲν, ὡς ἀπὸ τῶν θείων καὶ ἱερῶν κανόνων μόνοις τοῖς πατριάρχαις πεφιλοτίμηται τῆς οἰκουμένης τὰ κλίματα. Κἀντεῦθεν οὐδὲ ἔχει τις ἕτερος οἰκείῳ δικαίῳ ἐνορίαν, ἢ ἄλλο τι δίκαιον ἱερατικόν· ἀλλ' ἐκεῖνο καὶ μόνον τὸ μέρος τῆς διοικήσεως ἱερατικῶς ἐνεργεῖ, τὸ δοθὲν αὐτῷ παρὰ τῆς πατριαρχικῆς θείας μεγαλειότητος. Ὅθεν ὡς ἀποστελλόμενοι παρὰ πατριαρχῶν, καὶ ἀναπληροῦντες τὸν τόπον τῶν θείων καὶ ἁγίων ἀποστόλων, ἀποστολικῶν μὲν προνομίων ἠξίωνται (δεσμοῦσι γὰρ καὶ λύουσι κατ' αὐτοὺς καὶ χειροτονίας ποιοῦσι, καὶ τὴν ἀναίμακτον θυσίαν, προσάγουσι) πατριαρχικῶν δὲ δικαίων οὐ κατηξίωνται. Οὔτε γὰρ σάκκους, οὔτε πολυσταύρια ἐνδιδύσκονται· οὔτε μετὰ γραμμάτων καὶ τριγωνίων στιχάρια. Ταῦτα δὲ οὕτω γίνεται, ὅτι καὶ τῶν ἁγίων ἀποστόλων ἡ θεία ὁμήγυρις τὸ τοῦ

Quia vero quidam perhibent, nihil esse impedimento, quominus ubivis constituti pontifices, eodem cum patriarchis honore amplitudineque fruantur, cum et ipsi docendi dignitatem nacti sint, et exemplo Mosis et Aaronis in sanctis sanctorum consistant, incruentamque victimam offerant: respondemus per divinos sacrosque canones, D solis patriarchis esse concessos orbis terrarum tractus. Unde fit, ut alius quispiam suo jure provinciam non habeat, vel aliud quodpiam jus sacerdotale: sed in ea duntaxat parte diœcesis munere sacerdotali fungitur, quæ ipsi a sacra patriarchali amplitudine concessa est. Unde veluti qui mittantur a patriarchis, et vicem divinorum sanctorumque apostolorum impleant, apostolica quidem privilegia consecuti sunt (ligant enim et solvunt per se, ac ordinationes faciunt, et incruentam hostiam offerunt), at patriarchalia jura non obtinuerunt. Nec enim vel saccos, vel penulas multis insignitas crucibus induunt, nec tunicas frequenti littera gamma, triangulisque depictas. Hæc autem ita fiunt, quod

Digitized by Google

sanctorum apostolorum divinus cœtus martyrii stadium decurrens, manicis quidem ac loro subjectus fuerit, et discipulorum pedes absterserit linteo, atque Aaronis exemplo induerit humerale, tunicam talarem, Ephud, quibus illa prisca pellis Adamiææ massæ denotabatur : verum sanguis et aqua ex eorum latere non defluxit, quorum vicem gammatia (59) tunicarum implent. Nec contumeliæ pallium induerunt. Nec eorum quisquam lapis angularis vocatus fuit, sicut Dominus ille Deusque noster. Nec fidei talentum per quemlibet ipsorum in universum orbem terrarum dilatatum fuit, sed hic Romam, ille ad Indos vel Britannos, alius ad Gallos doctrinæ latices derivavit. Solus ille Christus ac Deus noster aderat ubique, atque universa gaudio implebat. Unde fit, ut sanctissimi patriarchæ, qui sanctarum Ecclesiarum capitis Dei vicem implent, saccos induant, tunicasque fluviis ac triangulis, pennulas multis crucibus depictas ; ac pariter in omnibus Ecclesiis nominatim referantur. Idem baculo, perinde ac arundine Christus Deusque noster, spectabiles sese reddunt. Cæteri pontifices et antistites, perinde ac Aaron illa virga, quæ magni mysterii significandi causa floruit, vel instar magni illius apostoli Petri, qui ex ipso Deo audivit, Pasce oves meas. Et quoniam vero est simile, quempiam interrogare, quæ vocabuli papa significatio sit, quæ patriarchæ, quæ archiepiscopi ; et quamobrem horum quinque capitum facultas atque privilegia sint eadem, uti declaratum fuit, cum eorumdem nomina sint diversa : necessario putavimus horum quoque velut apicem tangendum.

Apud Latinos papa dicitur Pater. Et apud Judæos patriarcha dicitur princeps sive Pater patriarum. Similiter archiepiscopus, erit episcoporum Pater. Licet ergo papæ, patriarchæ, et archiepiscopi significata, linguæ ratione diversa sunt, nullo tamen modo potestate differunt. Quamobrem omnes etiam communi nomine patriarchæ dicuntur. Sanctus quidem ille Silvester, qui primus Romæ pontificatum obtinuit, et qui primus Antiochiæ pontifex fuit Evodus, non absre Patres appellati fuere. Quippe necdum erant patriarchæ, qui a Patribus instituuntur. Similiter et Alexandrinus propterea vocatus fuit papa, quod sanctus ille Cyrillus in tertia synodo privilegia papæ Romani, Cœlestini scilicet, acceperit. Cum autem religio jam pervagata fuisset fines orbis terrarum, ut urbs fere quælibet episcopum obtinuisset : ipsa pietatis ratio poscebat, ut Hierosolymis etiam honos haberetur, ob cruciatus sacrosanctos et sepulcrum Domini nostri Jesu Christi. Nam magna isthæc urbs Constantinopolis jam ante honorem obtinuerat, uti supra dictum fuit, pro-

μαρτυρίου στάδιον τρέχουσα, χειροπέδαις μὲν καὶ φραγγελίῳ καθυποβάλληται, καὶ πόδας μαθητῶν διὰ λεντίου ἀπέσμηξε, καὶ ἐνεδιδύσκετο κατὰ Ἀαρὼν τὴν ἐπωμίδα, καὶ τὸν ποδήρη, καὶ τὸ ἐφούδ, τὰ τὸ ἀρχαῖον σημαίνοντα κώδιον τοῦ Ἀδαμιαίου φυράματος· αἷμα δὲ καὶ ὕδωρ ἐκ τῆς πλευρᾶς αὐτῶν οὐ κατέῤῥευσεν, ὧν ἀναπληροῦσι τόπον τὰ τῶν στιχαρίων γαμμάτια. Οὐδὲ τὴν χλαῖναν τῆς ὕβρεως ἐνεδύσαντο. Οὐδέ τις αὐτῶν λίθος ἀκρογωνιαῖος ὠνόμασται, ὡς ὁ Κύριος καὶ Θεὸς ἡμῶν. Οὐδὲ τὸ τῆς πίστεως τάλαντον δι' ἑκάστου αὐτῶν εἰς πᾶσαν τὴν οἰκουμένην ἐφήπλωται, ἀλλ' ὁ μὲν ἐν Ῥώμῃ, ὁ δὲ ἐν Ἰνδοῖς ἢ Βρεττανοῖς, ὁ δὲ ἐν Γαλάταις τοὺς τῆς διδασκαλίας μετώχευσε πίδακας. Μόνος δὲ ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν πανταχοῦ παρῆν, καὶ χαρᾶς τὰ πάντα ἐπλήρωσεν. Ὅθεν καὶ οἱ ἁγιώτατοι πατριάρχαι, τόπον ἀναπληροῦντες τῆς κεφαλῆς τῶν ἁγίων Ἐκκλησιῶν τοῦ Θεοῦ, ἐνδιδύσκονται σάκκους, καὶ μετὰ ποταμίων καὶ τριγωνίων στιχάρια, καὶ διὰ πολυσταυρίων φαινόλια, καὶ εἰς πάσας τὰς Ἐκκλησίας κατὰ ταὐτὸν ἀναφέρονται. Τῇ δὲ ῥάβδῳ, ὡς ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν τῷ καλάμῳ τῆς ὕβρεως, ἀποσεμνύνονται. Οἱ δὲ λοιποὶ ἀρχιερεῖς καὶ ἡγούμενοι, ὡς ὁ Ἀαρὼν τῇ ῥάβδῳ ἐκείνῃ τῇ βλαστησάσῃ κατὰ μεγάλου μυστηρίου προδήλωσιν, ἢ ὡς ὁ μέγας ἀπόστολος Πέτρος, ὁ ἀκούσας παρὰ Θεοῦ, Ποίμανε τὰ πρόβατά μου. Ἐπεὶ δὲ τῶν εἰκότων ἐστὶν ἐρωτῆσαί τινα, τίς ἡ τοῦ πάπα σημασία, καὶ τίς ἡ τοῦ πατριάρχου ἐστὶ, καὶ τίς ἡ τοῦ ἀρχιεπισκόπου, καὶ διατί τῶν πέντε κεφαλῶν ἡ μὲν ἐνέργεια καὶ τὰ προνόμια ταυτίζονται, καθὼς διείληπται, τὰ δὲ ὀνόματα τούτων εἰσὶ διάφορα, δέον ἐλογισάμεθα καὶ τὰ περὶ τούτων ἐκχορυφῶσαι.

Πάπας παρὰ Λατίνοις κέκληται ὁ Πατήρ. Καὶ παρὰ Ἰουδαίοις πατριάρχης, ὁ ἄρχων ἤτοι ὁ Πατὴρ τῶν πατριῶν. Καὶ ἀρχιεπίσκοπος ὁμοίως, ὁ ἐπισκόπων Πατήρ. Κἂν γοῦν ὦσι τοῦ πάπα, τοῦ πατριάρχου, καὶ τοῦ ἀρχιεπισκόπου τὰ σημαινόμενα τῇ διαλέκτῳ διάφορα, ἀλλὰ δυνάμει κατὰ μηδὲν διαφέρουσι. Διὸ καὶ πάντες κοινῷ ὀνόματι πατριάρχαι κατονομάζονται. Ὁ γοῦν πρώτως ἀρχιερατεύσας ἐν Ῥώμῃ ἅγιος Σίλβεστρος, καὶ ὁ πρώτως ἀρχιερατεύσας ἐν Ἀντιοχείᾳ Εὔοδος, ἐκλήθησαν εὐλόγως Πατέρες. Οὕπω γὰρ ἦσαν πατριάρχαι, παρὰ τῶν Πατέρων προβαλλόμενοι. Ὡσαύτως καὶ ὁ Ἀλεξανδρείας ἐκλήθη πάπας, διὰ τὸ λαβεῖν τὸν ἅγιον Κύριλλον κατὰ τὴν τρίτην σύνοδον τοῦ πάπα Ῥώμης, τοῦ Κελεστίνου φημὶ, τὰ προνόμια. Τῆς δὲ εὐσεβείας διαδραμούσης εἰς τῆς οἰκουμένης τὰ πέρατα, καὶ πόλεως ἑκάστης σχεδὸν λαβούσης ἐπίσκοπον, ἐδέησε τιμηθῆναι θεαρέστως καὶ εὐσεβῶς καὶ τὴν Ἱερουσαλὴμ, διὰ τὰ ἅγια πάθη καὶ τὸν τάφον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἡ γὰρ μεγαλόπολις προτετίμητο, καθὼς προείρηται, διὰ τὸ εἰς ταύτην μετενεχθῆναι τὰ σκῆπτρα τῆς τῶν Ῥωμαίων βασιλείας. Μετωνομέ-

VARIÆ LECTIONES.

[57] φραγγίλιῳ. [58] μετυχέτευσε.

NOTÆ.

(59) Figura litteræ gamma.

Digitized by Google

σθησαν οὖν οἱ ἐν ταύταις ἀρχιερατεύοντες, ἀρχιεπίσκοποι· ἀρχαὶ δηλονότι καὶ κεφαλαὶ πολλῶν ἐπισκόπων. Ταὐτὸν δέ ἐστιν εἰπεῖν, Πατέρες καὶ πατριάρχαι. Ἐκ τούτου δὲ διαφορά τις οὐκ ἔστι μέσον αὐτῶν. Ὁ γὰρ πατὴρ τοῦ ἔθνους τοῦδε τυχὸν, πατήρ ἐστι καὶ ἱερατικῆς φυλῆς καὶ λαϊκῆς, ὡς ὁ Ἰακὼβ τῶν ιβ' φυλῶν Ἰσραήλ. Καὶ ἄρχων ἐπισκόπων, ἐξαναγκὴς ἐστὶ πατὴρ καὶ ἐπισκόπων καὶ λαϊκῶν· ὁ δὲ Γοτθίας, οὐ καλεῖται ἀρχιεπίσκοπος, ὡς ἄρχων ἐπισκόπων καὶ προβολεύς, ἀλλ' ὡς ἀρχὴ ἐπισκόπων. Ὡρίσθη γὰρ παρὰ τῶν ἁγίων Πατέρων, τὰς μὲν ἐχούσας διοικήσεις πολλὰς πόλεις, ὑπὸ ἐπισκόπων κυβερνωμένας, παρὰ μητροπολιτῶν διεξάγεσθαι, οὓς καὶ πρώτους οἱ κανόνες ὀνομάζουσι· τὰς δὲ μὴ ἐχούσας ὑφ' ἑαυτὰς πόλεις τινὰς ὑπὸ ἐπισκόπων ἰθυνομένας, παρὰ ἀρχιεπισκόπων ἱερατεύεσθαι· ὥστε μειονεκτεῖν μὲν αὐτὰς τῶν μητροπόλεων, ὑπερτερεῖν δὲ τῶν ἐπισκόπων. Οὕτω λυθείσης καὶ τῆς τοιαύτης ἀμφιβολίας, ἤθελον εἰπεῖν, ὅτου χάριν ὁ πάπας Ῥώμης οἰκουμενικὸς πάπας λέγεται, ὡσαύτως καὶ ὁ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, οἰκουμενικὸς πατριάρχης· οἱ δὲ λοιποὶ πατριάρχαι, καὶ ταῦτα τῆς αὐτῆς ὄντες τάξεως, κλήσεώς τε καὶ τιμῆς, καὶ ταύτης οὐκ ἔτυχον τῆς ἀνακηρύξεως. Ἐπεὶ δὲ τὸν μὲν πάπαν τὸ τῆς φιλαυτίας δαιμόνιον τῆς τῶν λοιπῶν ἁγιωτάτων πατριαρχῶν ὀπέστησεν ὁμηγύρεως, καὶ εἰς μόνην τὴν Δύσιν ἐστενοχώρησε· τὸν δὲ Κωνσταντινουπόλεως βλέπω μηδενὶ τῶν προνομίων τοῦ πάπα κατακοσμούμενον (οὔτε γὰρ τῷ τῆς βασιλείας λώρῳ κατὰ τὸ τοῦ ἁγίου Κωνσταντίνου νομιζόμενον θέσπισμα καταστέφεται, οὔτε κοκκοβαφέσι πεδίλοις κατὰ τὸ τυπωθὲν θεατρίζεται, ἀλλ' οὐδ' ἑτέρῳ προνομίῳ τῆς παλαιᾶς Ῥώμης κέχρηται, καὶ διὰ τοῦτο οἱ πόδες αὐτοῦ ἵστανται ἐν εὐθύτητι, καὶ ἡ κεφαλὴ αὐτοῦ παντοίᾳ συνέσει, κατὰ τὸν Δαβὶδ, πεπολίωται· καὶ τὰς οἰκείας δὲ ὑπογραφὰς ὡς οἰκουμενικὸς οὐ μεγεθύνει πατὴρ, κἂν παρ' ἡμῶν οὕτω κέκληται καὶ δεδόξασται)· τὴν μὲν περὶ τούτου συζήτησιν, ὡς ἀλυσιτελῆ, παρατρέχω. Ἀπολογοῦμαι δὲ πρὸς τοὺς λέγοντας τολμηρῶς, ὀφείλειν τῆς πατριαρχικῆς ἀπηξενοῦσθαι τιμῆς τὸν Ἀντιοχείας καὶ τὸν Ἱεροσολύμων. Κεκανόνισται γὰρ, φασὶ, μηδ' ἐν ἀρχιερεῦσι συντάττεσθαι τοὺς μὴ ῥιψοκινδύνως ἀπερχομένους ἀρχιερεῖς εἰς τοὺς παρὰ βαρβάρων κατεχομένους θρόνους αὐτῶν, μηδὲ τὸν τοῦ μαρτυρίου προαρπάζοντας στέφανον. Ὡς εἰ μὲν εἰσὶ λαϊκοὶ οἱ τοιαῦτα καθά τι μάταιον ἄμβλωμα κατὰ τῶν ἁγίων κεφαλῶν ὠδινήσαντες, συγγνώμης ἀξιωθήσονται κατὰ πολλὴν ἐπιείκειαν. Γέγραπται γάρ· Οὐ χρὴ Ῥωμαῖον ἄνδρα νόμους (ταὐτὸν δ' ἔστιν εἰπεῖν καὶ κανόνας) ἀγνοεῖν. Ὅτι κἂν χειρώναξ τίς ἐστι, κἂν φύρφαξ, οἰκοθεν εἰδέναι νόμους ἢ κανόνας μὴ συγχωρούμενός ἐστιν, ἀλλ' οἱ τούτους κατὰ σπουδαίους ἀργυρογνώμονας μεταλλεύοντες,

Ὅσσα τε φύλλα καὶ ἄνθεα γίνεται εἴαρος ὥρῃ·

leges sint canones per se norit, veniam impetrare industriorum argenti exploratorum, investigant, in

A pterea quod in eam imperii Romani sceptra fuissent translata. Itaque mutatis nominibus harum pontifices dicti sunt archiepiscopi, veluti principia et capita multorum episcoporum. Quod idem erit, ac si dixeris, Patres et patriarchæ. Unde nullum existit inter eos discrimen. Nam Pater hujus illiusve gentis, tam sacerdotalis, quam laicæ tribus est Pater, sicut Jacob duodecim tribuum Israelis. Et princeps episcoporum, necessario Pater est tum episcoporum, tum laicorum. Gotthiæ quidem antistes non propterea vocatur archiepiscopus, quod episcoporum princeps et ordinator sit, sed tanquam principium episcoporum. Quippe sanctis a Patribus est sancitum, ut eæ diœceses, quæ multas habent urbes sub episcoporum gubernatione constitutas, a metropolitanis administrentur, quos etiam ipsi canones appellant primos : quæ vero sub se non habent urbes aliquas, episcoporum regimini subditas, archiepiscopos habeant pontifices : ut inferiores hæ quidem sint metropolibus, at episcopatibus superiores. In hunc modum, hoc etiam ambiguo soluto, volebant equidem dicere, quamobrem papa Romanus appelletur universalis Papa, similiterque Constantinopolis archiepiscopus, universalis patriarcha : cum reliqui patriarchæ, licet ejusdem sint ordinis, appellationis et honoris, ita proclamari non soleant. Sed quando papam Romanum malus ambitionis ille genius a reliquorum sanctissimorum patriarcharum cœtu avulsit, et in Occidentem duntaxat coarctavit; cum interim videant Constantinopolitanum nullo papæ privilegio semet ornantem (quippe nec regni coronatur fascia, secundum id, quod sancti Constantini statutum esse putatur, nec cum coccineis calceis, ut ibidem sancitur; velut in spectaculo semet exhibet; nec aliud denique Romæ veteris papæ privilegium usurpat : ideoque stant pedes ejus in rectitudine, et caput ejus omnigena prudentia, quemadmodum Davides loquitur, incanuit. Idem ne subscriptiones quidem suas magnificas facit, tanquam pater universalis; licet a nobis ita vocetur et celebretur (equidem de hoc disquisitionem, velut infrugiferam, instituere supersedeo. Facere tamen non possum, quin iis respondeam, qui audacter prædicant, a dignitate patriarchali removendos Antiochenum et Hierosolymitanum. Quippe canonibus statutum est, inquiunt, ne quidem inter pontifices recensendos esse, qui non vel extremo cum periculo se conferant ad thronos suos a Barbaris occupatos, nec martyrii coronam præripiant. Nimirum si laici sunt, qui talia veluti stolidum quemdam abortum adversus sacra sancta capita parturierunt, veniam merebuntur ex singulari quadam nostra moderatione. Cæteroquin enim scriptum est : Hominem Romanum ignorare leges (idem et de canonibus dicendum) non oportet. Quippe licet aliquis manuarius sit opifex, et ex infima fæce plebis, quin non potest : cum qui leges et canones, instar hac urbe regia tot sint,

Quot folia et flores nascuntur tempore verno :

Digitized by Google

qui quidem cuivis ad manum sunt, tanquam liberale quoddam et nullo constans pretio epulum : neque dubium est, quin horum doctrinæ mulso dulcescere possit istorum ignorationis absinthium. Sin autem sacro pontificum catalogo continentur, babæ! quonam modo quis horum condemnationem expresserit? Quam enim merebitur is veniam, qui cum se canones docere profiteatur, canonum tamen crassitiem non videt, quæ ipsum prope montem Athon superat? Omnino nullam. Imo potius ex omnipotenti Deo audiet. Tu rejecisti justitiam, et ego rejiciam te, ne mihi sis sacerdos. Quapropter omni de hoc contentione omissa, scripto præsenti ad tollendum omne scandalum inseram XXXVII canonem coactæ in magni palatii Trullo sanctæ ac universalis synodi, quæ quinta et sexta dici solet : qui sane canon ita sonat ad verbum : *Quia diversis temporibus Barbarorum impressiones acciderunt, et urbes hinc plurimæ redactæ sunt in potestatem impiorum, ita ut deinceps hujus talis urbis præses post ordinationem suam non potuerit thronum suum accipere, atque in eo pro conditione sacerdotali collocari, et usu recepta consuetudine tam ordinationes, quam alia omnia, quæ ad episcopi pertinent officium, perficere atque exercere : nos dignitatem et venerationem sacerdotii tuentes, minimeque volentes, ut injuria paganorum juribus ecclesiasticis detrimento sit, in hunc modum ordinatis, et ob causam supra positam thronos suos non possidentibus, jus suum absque præjudicio sic conservandum decrevimus, ut et ordinationes diversorum clericorum juxta canones instituant, et auctoritate præsidentiæ secundum modum fruantur, ac denique firma et rata sit omnis ab ipsis profecta administratio. Non enim accuratione per necessitatis tempus circumscripta, lex dispensationis in angustum cogetur.*

Præter hunc vero canonem, scripto præsenti lectores moneo, etiam edictum quoddam exstare memorandi imperatoris, domini Alexii Comneni, mense Novembri secundæ indictionis publicatum, ac fiscalibus et ecclesiasticis secretis insertum, quod statuit (60), non solum debere citra ullum impedimentum eligi pontifices in orientales Ecclesias, a paganis possessas, licet ii, qui ad eas renuntiantur, quos sortiti sunt thronos accipere nequeant propter malitiam paganorum : verum etiam quod post ordinationem habere debeant, quæcunque ante illam Constantinopoli habebant jura : nimirum abbatias, adelphatorum annonas (61), et reliqua. Atque nos quidem hæc ita rogati perscripsimus. Cæterum Deus ille pacis, qui per Davidem prophetam dixit : Si populus meus præcepta mea servaverit, in virga visitabo inimicos eorum, et in flagellis iniquitates eorum;

παρὰ ταύτῃ τῇ βασιλευούσῃ τῶν πόλεων καθεστήκασι, καὶ πρόκεινται τῷ βουλομένῳ παντὶ φιλότιμος πανδαισία καὶ ἀπραγμάτευτος, καὶ πάντως τῷ μελικράτῳ τῆς διδασκαλίας αὐτῶν ἐμελιτώθη τὸ τῆς ἀγνοίας ἐκείνων ἀψίνθιον. Εἰ δὲ τοῦ θείου καταλόγου τῶν ἀρχιερέων εἰσὶ, βαβαί! πῶς ἂν τις εἴπῃ καὶ διηγήσεται τὴν ἐπαγομένην τούτοις κατάκρισιν; Ποίας γὰρ συγγνώμης ἀξιωθήσεται ὁ διδάσκειν κανόνας ἐπαγγειλάμενος, καὶ κανόνων μὴ βλέπων παχύτητα, τὸν Ἄθων αὐτὸν σχεδὸν ὑπερβαίνουσαν; Πάντως οὐδεμιᾶς· ἀκούσει δὲ μᾶλλον ἀπὸ Θεοῦ παντοκράτορος· Σὺ ἀπώσω δικαιοσύνην, κἀγὼ ἀπώσομαί σε τοῦ μὴ ἱερατεύειν μοι. Ὅθεν τὴν περὶ τούτου πολλὴν ἀντιλογίαν καταλιπὼν, καταστρωννύω πρὸς περιαίρεσιν σκανδάλου παντὸς τῇ παρούσῃ γραφῇ τὸν λζ' κανόνα τῆς ἐν τῷ Τρούλλῳ τοῦ μεγάλου παλατίου συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς λεγομένης πανθέκτης, οὕτως ἐπὶ λέξεως ἔχοντα· *Ἐπειδὴ κατὰ διαφόρους καιροὺς βαρβαρικαὶ γεγόνασιν ἔφοδοι, καὶ πλεῖσται πόλεις ἐντεῦθεν ὑποχείριοι τοῖς ἀνόμοις κατέστησαν, ὡς ἐντεῦθεν μὴ δυνηθῆναι τὸν τῆς τοιαύτης πόλεως πρόεδρον μετὰ τὴν ἐπ' αὐτῷ χειροτονίαν τὸν οἰκεῖον θρόνον καταλαβεῖν, καὶ ἐν αὐτῷ ἱερατικῇ καταστάσει ἐνιδρυθῆναι, καὶ οὕτω κατὰ τὸ κρατῆσαν ἔθος τὰς χειροτονίας, καὶ πάντα, ἃ τῷ ἐπισκόπῳ ἀνήκει, πράττειν τε καὶ μεταχειρίζεσθαι, ἡμεῖς τὸ τίμιον καὶ σεβάσμιον τῇ ἱερωσύνῃ φυλάττοντες, καὶ μηδαμῶς πρὸς λύμην τῶν ἐκκλησιαστικῶν δικαίων τὴν ἐθνικὴν ἐπήρειαν ἐνεργεῖσθαι βουλόμενοι, τοῖς οὕτω χειροτονηθεῖσι, καὶ διὰ τὴν προκειμένην αἰτίαν ἐν τοῖς ἑαυτῶν μὴ ἐγκαταστᾶσι θρόνοις, τὸ ἀποκριμάτιστον συντηρηθῆναι συνεωράκαμεν· ὥστε καὶ χειροτονίας διαφόρων κληρικῶν κανονικῶς ποιεῖν, καὶ τῇ τῆς προεδρείας αὐθεντίᾳ κατὰ τὸν ἴδιον ὅρον κεχρῆσθαι, καὶ βεβαίαν καὶ διοίκησιν. Οὐ γὰρ ἀπὸ τοῦ τῆς ἀνάγκης καιροῦ ὅρος περιορισθήσεται.*

Σὺν τῷ τοιούτῳ δὲ κανόνι ἀναδιδάσκω τοὺς ἐντυγχάνοντας τῇ παρούσῃ γραφῇ, ὡς καὶ πρόσταξίς ἐστι τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, κατὰ τὸν Νοέμβριον μῆνα τῆς δευτέρας ἐπινεμήσεως ἀπολυθεῖσα, καὶ τοῖς δημοσιακοῖς καὶ ἐκκλησιαστικοῖς σεκρέτοις καταστρωθεῖσα, καὶ διοριζομένη μὴ μόνον ἀπαρεμποδίστως ἀρχιερεῖς ψηφίζεσθαι εἰς τὰς ἀνατολικὰς Ἐκκλησίας, τὰς παρὰ τῶν ἐθνῶν κατεχομένας, κἂν οὐ δύνανται οἱ ἐν αὐταῖς ἐπικηρυττόμενοι καταλαμβάνειν τοὺς λαχόντας τούτους θρόνους διὰ τὴν ἐθνικὴν κακίαν, ἀλλὰ καὶ μετὰ τὴν χειροτονίαν ἔχειν ὅσα πρὸ ταύτης ἴσχυν κατὰ τὴν μεγαλόπολιν δίκαια. Ἡγουμενείας δηλαδὴ, ἀδελφάτων σιτηρέσια, καὶ λοιπά. Καὶ ἡμεῖς μὲν καθὼς ἠξιώθημεν, ταῦτα γεγράφαμεν. Ὁ δὲ τῆς εἰρήνης Θεὸς, ὁ εἰπὼν διὰ τοῦ προφήτου Δαβίδ· Ἐὰν ὁ λαός μου τὰς ἐντολάς μου φυλάξῃ, ἐν ῥάβδῳ τοὺς ἐχθροὺς αὐτῶν ἐπισκέψομαι, καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐ-

NOTÆ.

(60) Vide Novellam sextam Alexii Comneni.

(61) Quæ portiones fratrum sunt, uti vocant.

Digitized by Google

τῶν· τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπὸ τῶν ἀγαπώντων με, οὐδ' οὐ μὴ βεβηλώσω τὴν διαθήκην μου· τὴν μὲν ἐθνικὴν ἀπιστίαν διασκορπίσει ὡσεὶ κονιορτὸν ἀπὸ ἅλωνος θερινῆς, τοὺς δὲ ὁσίους αὐτοῦ συναγάγῃ, καὶ δώσει αὐτοῖς χώρας ἐθνῶν καὶ φυλάς. Καὶ ἐρεῖ πᾶς ὁ λαός· Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα. Γένοιτο, γένοιτο.

A misericordiam vero meam non dispergam a diligentibus me, nec profanabo testamentum meum: is ergo paganorum quidem infidelitatem dissipet, veluti pulverem ex area æstiva, sanctos autem suos colligat, et paganorum eis det regiones ac tribus. Et dicat populus universus: Benedictus Dominus in sæculum. Fiat, fiat.

ΤΟΥ ΑΥΤΟΥ

Μελέτη, χάριν τῶν δύο ὀφφικίων, τοῦ τε χαρτοφύλακος, καὶ τοῦ πρωτεκδίκου.

Τοῦ μεγάλου διδασκάλου τῆς Ἐκκλησίας Παύλου τοῦ θεοκήρυκος λέγοντος, Οὐχ ἑαυτῷ τις λαμβάνει τιμὴν, ἀλλὰ καλούμενος ὑπὸ τοῦ Θεοῦ, ὤφειλεν ὁ πρωτέκδικος ἀρκεῖσθαι τοῖς δεδομένοις αὐτῷ, καὶ κατ' ἰχνία [99] βαίνειν τῶν πρὸ αὐτοῦ, παντοίᾳ σοφίᾳ B τῶν πλειόνων κεκοσμημένων τῇ χάριτι τοῦ Θεοῦ, καθὼς καὶ αὐτός ἐστι, καὶ τὰ ὑψηλότατα τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας ἐνεργησάντων ὀφφίκια, τινῶν δὲ καὶ κατὰ γνησίους πτερυξαμένων ἀετιδεῖς, καὶ εἰς τὸν μέγαν φθασάντων θρόνον τῆς Κωνσταντινουπόλεως, καὶ τὰ κυρωθέντα διὰ χρόνων ἀμνημονεύτων σχεδὸν, μὴ σπεύδειν ἀλλοιωθῆναι κατὰ σηπύας αὐθημερὸν, καὶ οὕτω ῥιψοκινδύνως σκανδαλίζειν καὶ σκανδαλίζεσθαι· θέλειν δὲ μᾶλλον εἰρήνην ἐπὶ τὸν λαὸν τοῦ Θεοῦ, καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ. Ἐπεὶ δ' οὐκ οἶδ' ὅπως παραδραμὼν τοὺς ἐγείροντας τὰ σκάνδαλα μύλωνας, καὶ τὰ διορισθέντα κανονικῶς κατὰ τῶν παραλυόντων ἀπερισκέπτως συνήθειαν μακρὰν ἐκκλησιαστικὴν οἱανδήτινα (καὶ ταύτην γὰρ κρατεῖν ὡς τοὺς θείους κανόνας νενομο- C θέτηται), καὶ ὑπεραναβὰς τὸν ὁρίζοντα, θέλει παρασαλεῦσαι τὰ τοῦ χαρτοφύλακος προνόμια, καὶ συνάψαι τοῖς ἐκδικικοῖς λειτουργήμασι, κατά τινας ἑτεροφυῆ συμμοσχεύοντας σώματα, καὶ πρὸς ἐπισύστασιν τοῦ οἰκείου θελήματος, κανόσι χρῆται τῆς ἁγίας καὶ οἰκουμενικῆς τετάρτης συνόδου, πρὸς δὲ καί τισι ῥήμασι τοῦ ἀποκειμένου βιβλίου ἐν τῷ σεκρέτῳ τοῦ ἱεροῦ ἐκδικείου, παριστῶ καὶ αὐτὸς διὰ τῆς παρούσης γραφῆς μου, καθὼς ἠξίωμαι, τὰ τοῦτον, ὡς ἐγῷμαι, δικαίως ἐπιστομίζοντα, καὶ τὸν κατὰ καιροὺς χαρτοφύλακα φιλαλήθως ἀποσεμνύνοντα. Ἀπὸ τοῦ κγ' κανόνος τῶν ἐν Χαλκηδόνι συνελθόντων χλ' ἁγίων Πατέρων, συκίνην ἐπικουρίαν ὁ πρωτέκδικος ἰδιώσατο, χάριν τοῦ κρίνειν ἰδιορυθμίας μοναζόντων καὶ κληρικῶν, καὶ ἀνακρίνειν ἀποδημίας αὐτῶν, καὶ κατακρίνειν ὡς φυγαδίας δουλοπρεπεῖς. Πρὸ γὰρ ἑκατὸν χρόνων μικρόν τι κλέον ἢ ἔλαττον, τοῦ δοσιδίμου βασιλέως τοῦ Ἰουστινιανοῦ, τοῦ τὴν Ἐκκλησίαν ἀγακλεῶς οὐρανώσαντος, ὁ τοιοῦτος κανὼν ἐκπεφώνηται, ὅτε λόγος οὐκ ἦν ἐκδίκων ὄντων ἀπὸ τοῦ βήματος, λαϊκῶν δὲ ταῖς ἐκκλησίαις διδομένων ἑκάστοτε πρὸς ἐκδίκησιν. Καὶ τοῦτο δῆλόν ἐστιν ἀπὸ τοῦ σε' κανόνος τῆς ἐν Καρθαγένῃ συνόδου, οὑτωσὶ διεξιόντος ῥητῶς· *Περὶ ἐκδίκων τῶν Ἐκκλησιῶν, τῶν ὀφειλόντων ἀπὸ τοῦ βασιλέως αἰτηθῆναι, σύμπασιν ἔδοξεν αἰτῆσαι ἀπὸ τῶν βασιλέων*

EJUSDEM

Meditatum, de duobus illis officiis, charlularii stilicet, ac primi defensoris.

Cum magnus ille doctor Ecclesiæ, divinusque præco Paulus dicat, non sibi quempiam honorem sumere, sed a Deo vocatum; sane debebat primus defensor sibi concessis esse contentus, et decessorum suorum vestigiis insistere; quorum plerique, sicut et ipse, per Dei gratiam omnigena fuerunt ornati doctrina, supremasque sanctissimæ Dei majoris Ecclesiæ dignitates gesserunt, atque etiam aliqui genuinorum in morem pullorum aquilinorum alas sumpserunt, et ad magnum illum Constantinopolis thronum pervenerunt: minimeque dare debebat operam, ut annis hominum prope memoriam excedentibus confirmata, mutarentur uno die, sepiarum in morem; atque ita periculose tam offendere, quam offendi: sed velle potius pacem supra populum Dei, et supra sanctos ejus. Verum quia nescio quomodo molaribus excitantibus scandala præteritis, atque itidem iis, quæ canonice statuta sunt adversus inconsiderate violantes quamcunque diuturnam consuetudinem ecclesiasticam (nam et illam perinde ratam esse debere sancitum est, atque sacros canones) et transcenso denique horizonte, privilegia chartularii concutere vult, et cum functionibus defensoriis conjungere, more quorumdam, qui diversæ naturæ corpora sibimet inserendo copulant: cumque instituti sui probandi causa, sanctæ et universalis quartæ synodi canonibus utatur, ac præterea verbis quibusdam ex libro, qui servatur in secreto sacri defensorii: proferam et ipse hoc præsenti scripto, quemadmodum a me petitum est, quæ os huic non absre, meo quidem judicio, sunt obturatura; et vere culvis pro tempore chartulario D venerationem conciliatura. Igitur ex canone xxiii sanctorum Patrum, qui Chalcedone convenerunt, ficulnum præsidium sibi defensor quæsivit, quasi judicet ipse de iis, quæ sunt officii monachorum et clericorum, quasique de horum peregrinationibus inquirat, easque veluti mancipiorum aufugia condemnet. Nimirum annis paulo plus minusve centum ante clarissimum illum imperatorem Justinianum, qui hanc ecclesiam laudabiliter quasi quodam cœlesti opere construxit, is canon publicatus fuit: quo tempore nullus erat sermo de defensoribus ex ordine sacro, sed ecclesiis semper laici defensionis causa dabantur. Atque

VARIÆ LECTIONES.

[99] κατίχνια.

Digitized by Google

hoc manifestum est ex LXXV canone concilii Carthaginiensis, cujus hæc verba sunt: *De defensoribus Ecclesiarum, qui ab imperatore peti debent, visum est universis, petendos ab imperatoribus, propter afflictionem pauperum, quorum gravaminibus indesinenter Ecclesia molestatur: ut defensores eis, interveniente providentia episcoporum, eligantur adversus opulentorum tyrannidem.*

A διὰ τὴν τῶν πενήτων κάκωσιν, ὧν ταῖς ἐπαχθείαις ἀπαύστως ἡ Ἐκκλησία παρενοχλεῖται, ὥστε ἐκδίκους τούτοις μετὰ τῆς τῶν ἐπισκόπων προνοίας ἐπιλέγεσθαι κατὰ τῆς τῶν πλουσίων τυραννίδος.

Itidem paret hoc ex XV novella imperatoris Justiniani, quæ exstat libro VI Basilicorum, titulo XVIII in hanc sententiam: Defensores ex incolis cujuslibet urbis per vices eligi, licet illustres aliqui sint, et clarissimi: atque hos duntaxat biennio defensionis munus sustinere. Quare cum defensores et eligantur, ceu dictum est, et eorum munus certo temporis spatio definiatur: nugantur sane, qui ex indicato canone stabiliri perhibent id, quod a primo defensore asseritur. Verba vero libri de officio primi defensoris, quæ propemodum hujusmodi sunt: *Oportet vos, si quis presbyterorum et diaconorum cum aliquo litem habebit, eum qui accusatur, tertium citare, secundum indicatum modum, et non obsequentem condemnare*: hæc, inquam, verba neque radicitus, neque vel rami, vel corticis respectu, jurisdictionem chartularii in universos sacris initiatos evertunt, et ad defensores transferunt.

Ὡσαύτως καὶ ἀπὸ τῆς ιε' νεαρᾶς τοῦ βασιλέως Ἰουστινιανοῦ, τῆς κειμένης ἐν βιβλίῳ ς' τῶν Βασιλικῶν, τίτλῳ ιη', καὶ διαλαμβανούσης, τοὺς ἐκδίκους ἀπὸ τῶν κατοίκων ἑκάστης πόλεως ἀμοιβαδὸν ἐπιλέγεσθαι, κἂν ἰλλούστριοί τινες ὦσι καὶ λαμπρότατοι· καὶ ἐπὶ μόνῃ διετίᾳ τὸ τῆς ἐκδικήσεως ὑπέχειν τούτους λειτούργημα. Τῶν γοῦν ἐκδίκων ἐπιλεγομένων ὡς εἴρηται, καὶ τῆς λειτουργίας αὐτῶν μετρουμένης χρονικῷ διαστήματι, εἰκαιομυθοῦσιν οἱ λέγοντες, ἀπὸ B τοῦ ῥηθέντος κανόνος στηρίζεσθαι τὸ παρὰ τοῦ πρωτεκδίκου λεγόμενον. Τὰ δὲ ῥήματα τοῦ πρωτεκδίκου βιβλίου, τὰ οὕτω πως κατὰ ῥῆμα διαλαμβάνοντα· *Δεῖ ὑμᾶς, εἴ τις τῶν πρεσβυτέρων καὶ διακόνων δίκην ἔξει μετά τινος, προκαλεῖσθαι*[80] *τὸν διεγκαλούμενον ἐκ τρίτου κατὰ τὸν εἰρημένον τρόπον, καὶ μὴ ὑπείκοντα καταδικάζειν.* Οὐ κατασπῶσι προθέλυμνον, οὐδ' ἐξ ἀποσπάδος, οὐδ' ἐκ φλοιοῦ, τὴν κατὰ πάντων τῶν ἱερωμένων δικαιοδοσίαν τοῦ χαρτοφύλακος, καὶ πρὸς τοὺς ἐκδίκους μεταφυτεύουσιν.

Quippe non sic intelliguntur, de primi defensoris sententia, quasi possit is cogere vel invitos eos, qui a diaconis et presbyteris quibusdam conveniuntur, fortassis ipsi laici, ut apud eum causam dicant, ob quam postulantur. Nam temerarium isthuc est, ac ne patriarchali quidem sacræ amplitudini concessum, veluti legibus contrarium, quæ actores forum reorum sequi volunt. Quod si quis primi defensoris mentem probans (nam et malitiose agentibus quod aiunt, interdum benedicitur), vano cum fastu subjiciet, indicata verba loqui de duabus partibus, quæ diversis studiis non distinguantur; sed quæ communis sacerdotii professione conjuncta sint: is audiet, hoc modo temerariam vacationem et justicium indici non chartularii duntaxat jurisdictioni, verum etiam ipsius patriarchalis sacratissimi tribunalis. Quippe si hoc concessum sit, primus defensor jus dicet audacter, imo suprema cum potestate, adversus pontifices, et diaconos, et reliquos sacerdotes, D magnis nonnunquam dignitatibus insignes, quæ ipsius etiam primi defensoris jurisdictionem ex diametro transcendant. Quin et episcopianos sibi vindicare conabitur, veluti qui episcopi ratiocinium sortitus sit. Quod sane, quam absurdum sit, ne dici quidem meretur. Cæterum quod quidam ait, eos qui a sacerdotibus apud defensores ob quamcunque causam vel civilem, vel criminalem, in jus rapiatur, per tres denuntiationes esse arcessendos, et condemnandos si non compareant (id enim omnino fiat necesse est si concessum fuerit, per

Οὐδὲ γὰρ ἐκλαμβάνονται, καθὼς φησιν ὁ πρωτέκδικος, εἰς τὸ δύνασθαι τοῦτον καταναγκάζειν καὶ ἄκοντας τοὺς ἀναγομένους παρὰ διακόνων καὶ πρεσβυτέρων τινῶν, ἴσως ὄντας καὶ λαϊκούς, ἀπολογεῖσθαι παρὰ τούτῳ περὶ ὧν ἡ αἰτίασις. Τοῦτο γὰρ καὶ C τολμηρόν ἐστιν, οὐδὲ τῇ πατριαρχικῇ θείᾳ μεγαλειότητι δέδοται, ὡς ὑπεναντίον τοῖς νόμοις, τοῖς διοριζομένοις τῶν ἀναγομένων τῷ φόρῳ τοὺς ἀνάγοντας ἕπεσθαι. Εἰ δέ τις τοῦ πρωτεκδικικοῦ θελήματος ἀντεχόμενος (εὐλογοῦνται γὰρ, φησὶ, καὶ κακοπραγοῦντες ἐνίοτε), ὑποθήσει κενεμβατῶν, τὰ ῥηθέντα ῥήματα διαλέγεσθαι περὶ μερῶν μὴ μεριζομένων διαφόροις ἐπιτηδεύμασιν, ἀλλ' ἡνωμένων τῆς ἱερωσύνης τῷ ἐπαγγέλματι, ἀκούσει διὰ τούτου σχολὴν τολμηρὰν καταψηφίζεσθαι καὶ παρόρασιν, μὴ μόνον τῆς δικαιοδοσίας τοῦ χαρτοφύλακος, ἀλλὰ καὶ τοῦ πατριαρχικοῦ θειοτάτου βήματος. Εἰ γὰρ τοῦτο δοθείη, δικαιοδοτήσει θαῤῥούντως, μάλιστα δ' εἰπεῖν αὐθεντικῶς ὁ πρωτέκδικος, κατὰ ἀρχιερέων, καὶ διακόνων, καὶ λοιπῶν τῶν τοῦ βήματος, ἔστιν ὅτε καὶ μεγάλα διαπρεπόντων ὀφφίκια, καὶ τὴν πρωτεκδικικὴν ἰουρισδικτίονα κατὰ διάμετρον ὑπερπαίοντα. Ζητήσει δὲ καὶ τοὺς ἐπισκοπειανοὺς σφετερίσασθαι, ὡς ἐπισκόπου κληρωσάμενος λογοθέσιον. Ὅπερ ὡς ἄτοπον, οὐδὲ λέγεσθαι ἄξιον. Τὸ δὲ λέγειν τινὰ, τοὺς ἐλκομένους παρὰ τοῖς ἐκδίκοις ὑπό τινων τῶν τοῦ βήματος περὶ χρηματικῆς ἢ ἐγκληματικῆς οἱασδήτινος ὑποθέσεως, ὀφείλειν μετακαλεῖσθαι διὰ μηνυμάτων τριῶν, καὶ καταδικάζεσθαι μὴ ὑπείκοντας (οὕτω γὰρ ἀνάγκη πᾶσα πρόκειται γίνεσθαι, εἰ δοθείη διὰ τῶν ῥηθέντων ῥημάτων τοῦ πρωτεκδικ-

VARIÆ LECTIONES.

[80] προσαλεῖσθαι.

Digitized by Google

Atheniensium tam indigenæ, quam advenæ, nulli alii rei vacabant, inquit magnus ille Paulus, quam ut aliquid novi tum proferrent, tum audirent. At vero Ecclesia Dei, vel sacra potius regia sanctissimæ Dei majoris Ecclesiæ, a sanctis Patribus decreta corroborans, omnem superfluitatem novitatis speciem habentem radicitus exstirpat, et culmum veritatis ad ferendum fructum centuplum vult crescere. Proficit enim per Dei gratiam, in omni accepta Deo tam oratione, quam negotio. Quamobrem etiam id, de quo non ita pridem quæsitum est in synodo, num unus et idem duabus sobrinis copulari debeat, minime voluit ceu novum aliquid, in angulum aliquem cadere neglectum : sed uti rem alicujus momenti et utilissimam, ad examen publicum proposuit. Et quia sanctissimus ille sponsus ejus, et canonicarum traditionum meditator vigilantissimus, nos quoque participes ejus boni esse voluit, dicimus aliquos latam et offensionis expertem (ut ipsi quidem aiunt) viam aperuisse Demetrio, qui Mariæ cujusdam maritus fuerat, matrimonio copulandi sobrinam ejus, nomine Theodoram. Et interrogati, quamobrem, et quomodo ad hoc invitent, aiunt, hunc contractum ad septimum gradum pertingere, propterea quod Demetrius et Maria, conjux ejus mortua, personas duas, et consequenter gradus duos constituant, licet ob consensum et amorem mutuum pro una carne haberentur. Nam Maria, inquiunt, sextum cum Theodora gradum habuit, non itidem Demetrius, veluti qui ad personam septimam, et ejusdem numeri gradum referatur. At secundum thema (65) capitis XXXII tituli V libri XXVIII Basilicorum, et canon LIV coactæ in magni palatii Trullo sanctæ et universalis synodi, usque ad gradum sextum matrimonia tam ex affinitate, quam cognatione contracta, constrinxerunt. Quæ vero sextum sequuntur, ubere conflari permiserunt. Ac tametsi publicatus sit recens tomus synodalis, confirmatus etiam edicto imperatorio, quo præcipitur, ne gradu septimo conjuncti per cognationem, matrimonia contrahant : tamen ad hoc ii, qui eodem gradu per affinitatem sese constrigunt, non constringuntur. Magnum enim discrimen est inter necessitudinem sanguinis, et cognaticam simpliciter propinquitatem : ac magna inter hæc stabilita ratio est, alios copulans, alios dirimens. Etiam

B

C

D

ΤΟΥ ΑΥΤΟΥ

Διάγνωσις, χάριν τοῦ λαληθέντος συνοδικῶς ζητήματος, περὶ τοῦ, εἰ χρὴ τὸν αὐτὸν καὶ ἕνα δυσὶ διαδελφαῖς συνάπτεσθαι.

Οἱ τῶν Ἀθηναίων ἰθαγενεῖς καὶ προσήλυτοι εἰς οὐδὲν ἕτερον εὐκαίρουν, ὁ μέγας Παῦλός φησιν, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον. Ἡ Ἐκκλησία δὲ τοῦ Θεοῦ, καὶ μᾶλλον τὸ θεῖον ἀνάκτορον τῆς ἁγωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας, τὰ παρὰ τῶν ἁγίων Πατέρων δογματισθέντα κρατύνουσα, προθέλυμνον ἀποσπᾷ πᾶσαν καινοφανῆ περιττότητα, καὶ θέλει τῆς ἀληθείας τὸν ἅσταχυν ἀνατέλλειν ἑκατοστεύοντα. Προκόπτει γὰρ τῇ χάριτι τοῦ Θεοῦ, ἐπὶ παντὶ θεαρέστῳ λόγῳ καὶ πράγματι. Διά τοι τοῦτο καὶ τὸ συνοδικῶς ἐρωτηθὲν πρὸ μικροῦ, περὶ τοῦ εἰ χρὴ τὸν αὐτὸν καὶ ἕνα δυσὶ διαδελφαῖς συνάπτεσθαι, οὐκ ηὐδόκησεν ὡς τι καινοπρεπὲς ὑπὸ γωνίαν πεσεῖν ἀτημέλητον· ἀλλ' ὡς σπουδαῖον καὶ χρησιμώτατον, εἰς κοινὴν προέθετο κατεξέτασιν. Ἐπεὶ οὖν ὁ παναγιώτατος νυμφίος αὐτῆς, καὶ τῶν κανονικῶν παραδόσεων μελεδωνὸς ἀγρυπνότατος, ἠθέλησε καὶ ἡμᾶς συμμεριστὰς γενέσθαι τοῦ ἀγαθοῦ, φαμὲν ὅτι τινὲς πλατεῖαν ὁδὸν καὶ ἀπρόσκοπον (ὡς φασιν) ἥπλωσαν τῷ Δημητρίῳ τυχὸν, τῷ χρηματίσαντι γαμέτῃ Μαρίας τινὸς, διαδελφὴν ταύτης Θεοδώραν καλουμένην ἁρμόσασθαι. Καὶ ἐρωτώμενοι, πόθεν καὶ ὅπως τοῦτο προτρέπουσι, λέγουσιν εἰς ἕβδομον βαθμὸν καταντᾷν τὴν τοῦ συναλλάγματος ποίησιν, διὰ τὸ πρόσωπα δύο, καὶ ἀκολούθως δύο βαθμοὺς καθίστασθαι τὸν Δημήτριον μετὰ Μαρίας τῆς ἀποιχομένης συζύγου αὐτοῦ, κἂν τῇ ὁμονοίᾳ καὶ τῇ στοργῇ σὰρξ μία λογίζωνται. Ἡ γὰρ Μαρία, φασὶν, ἕκτον εἶχε μετὰ τῆς Θεοδώρας βαθμὸν, οὐ μὴν ὁ Δημήτριος, ὡς εἰς ἕβδομον πρόσωπον, καὶ βαθμὸν τοσαυτάριθμον ἀναγόμενος. Τὸ δὲ β' θέμα, τοῦ λβ' κεφαλαίου τοῦ ε' τίτλου τοῦ κη' βιβλίου τῶν Βασιλικῶν, καὶ ὁ νδ' κανὼν τῆς ἐν τῷ Τρούλλῳ τοῦ μεγάλου παλατίου συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου, μέχρι τοῦ ἕκτου βαθμοῦ καὶ αὐτοῦ τὰ ἐξ ἀγχιστείας καὶ τὰ ἐξ αἵματος ἐξεστενοχώρησαν συναλλάγματα. Τὰ δὲ μετὰ τοῦτον, ἁδεῶς ἀπέλυσαν ἀναχώννυσθαι. Καὶ κἂν ἐξηνέχθη προσφάτως τόμος συνοδικὸς, στηριχθεὶς καὶ προστάξει βασιλικῇ, τοὺς ἐξ αἵματος ὄντας ἑβδόμου βαθμοῦ μὴ συνάπτεσθαι, ἀλλὰ τοὺς ἐξ ἀγχιστείας οἰκείωσιν τοιουτόμετρον ἔχοντας, οὐκ ἐστενοχώρησε. Πολὺ γάρ ἐστι τὸ διάφορον μέσον συγγενείας ἐξ αἵματος, καὶ συγγενικῆς ἁπλῶς οἰκειώσεως· καὶ λόγος μέγας μέσον τούτων ἐστήρικται, τοὺς μὲν συνάπτων, τοὺς δὲ διαιρῶν. Οἱ πλείους δὲ τούτων καὶ ἐπιχειρήμασι συλλογιστικοῖς, καὶ διὰ τῆς εἰς τὸ ἀδύνατον ἀπ-

NOTÆ.

(65) Quod paragraphum nostri dicunt.

Digitized by Google

ἀγωγῆς τοὺς οἰκείους δῆθεν λόγους στηρίζουσι. Λέγουσι γὰρ, ὡς εἰ δοθείη γενέσθαι τὴν Μαρίαν καὶ τὸν Δημήτριον ἑνὸς βαθμοῦ μετὰ τὴν συνάφειαν, πολλὰ συμπέσουσιν ἄτοπα· οἷον, Δημήτριος γαμέτης τῆς Μαρίας καλούμενος, καὶ γαμβρὸς τοῦ ταύτης πατρὸς, τούτου μὲν παῖς, ἐκείνης δὲ ἀδελφὸς μετονομασθήσεται, τοῦ βαθμοῦ τῇ ταυτότητι· καὶ οὕτω διαπᾶσθαι τὸ συνοικέσιον, εἰς ἀδελφομιξίαν περιτρέποντα. Προστιθέασι δὲ κατὰ τοῦτο τὸ ἄτοπον καὶ τὰς ἐξ ἀδιαθέτου διαδοχὰς, ἀλλήλων τε, καὶ τῶν γονέων τούτων, ναὶ μέντοι καὶ προσγενῶν, αὐτοὺς σφετερίσασθαι. Ὡσαύτως καὶ τὸ μὴ δύνασθαι τοὺς ἑτερομερεῖς ἀγχιστεῖς ἀλλήλοις συνάπτεσθαι, καθὼς τῆς ἀγχιστείας τὰ νόμιμα διορίζονται· ἀλλὰ κατὰ τοὺς γάμους τῶν ἐξ αἵματος προσγενῶν.

A plerique horum syllogisticis argumentis, et per abductionem ad impossibile, rationes suas fulciunt. Aiunt enim si concessum sit, Mariam et Demetrium post copulationem unius fieri gradus, absurda multa concursura: verbi gratia, quod Demetrius, qui Mariæ maritus esse perhibetur, et patris ejus gener, ejusdem quoque filius, et frater Mariæ, propter identitatem gradus, sit appellandus. Atque hoc modo dirimendum matrimonium, veluti quod ad concubitum fratris cum sorore tendat. Addunt huic absurdo eos etiam successiones ab intestato, tam ipsorum inter se, quam parentum, imo etiam propinquorum, sibi vindicare. Consimiliter ex una parte duntaxat affines inter se copulari non posse, quemadmodum affinitatis jura statuunt: sed idem B in his faciendum, quod in nuptiis sanguine propinquorum.

Καὶ μὴν ἐν τῇ Ῥωμαϊκῇ συνηθείᾳ, καὶ τῇ ἐκκλησιαστικῇ καταστάσει, φασὶ, τὸ ἐναντίον σήμερον πολιτεύεται. Θεῖος γὰρ καὶ ἀνεψιὸς μετὰ θείας καὶ ἀνεψιᾶς ἀκωλύτως συνάπτονται, ἕκτον ἐξ ἀγχιστείας καὶ ταῦτα λαχόντες βαθμὸν, ὡς τοῦ τόμου τοῦ ἁγιωτάτου πατριάρχου Σισινίου τοὺς πρώτους ἐξαδέλφους κωλύσαντος δυσὶν αὐταδέλφαις συνάπτεσθαι. Διενίστανται δὲ, μηδὲ ἁπρεπές τι, καὶ τῶν ὀνομάτων συγχυτικὸν ὑποσύρεσθαι, ἐκ τοῦ τὸν αὐτὸν δυσὶ διεξαδέλφαις συνάπτεσθαι· ὅτι τότε φασὶ παρατηρεῖται τῶν ὀνομάτων ἀκρίβεια, καὶ τὸ ἀσύγχυτον τούτων φυλάττεται, ὅτε δουλικὴ τύχη μεσιτεύει συγγένειαν· οὐ μὴν ὅταν ἐκ συναφείας ὁμοζύγων C τοῖς νόμοις δικτῇς, ὡς ἐκ ῥίζης τινὸς πτόρθοι γεννηθῶσι κατάλληλοι. Εἰ γὰρ δοθείη κἂν τούτοις συντηρεῖσθαι τῶν ὀνομάτων τὸ εὐπρεπὲς καὶ ἀσύγχυτον, στενοχωρηθείη καὶ τῶν τρισεξαδέλφων καὶ ἐφεξῆς ἡ ἐκχωρητέα [83] συνάφεια· ἵνα μὴ κληθῶσιν οἱ ἐξ ἐκείνων φυόμενοι, ἀδελφοὶ καὶ τετταρεξάδελφοι, ὅπερ οὐ δέδοκται. Καὶ αὐτοὶ, ταῦτα. Ἡμεῖς δὲ σκοπήσωμεν πρότερον, εἰ τοῖς νόμοις καὶ τοῖς κανόσι δοκεῖ, δύο βαθμοὺς τοὺς ὁμοζύγους ψηφίζεσθαι, καὶ διὰ τοῦτο συγχωρητέον εἶναι τὸ, περὶ οὗ ὁ λόγος, συνάλλαγμα. Εἴπωμεν οὖν, καὶ πάλιν ἐκκορυφώσωμεν τὰ λεγόμενα.

Atqui dicunt, in consuetudine Romana, et statu ecclesiastico, contrarium hodie observatur. Patruus enim, et fratris filius, cum amita et fratris filia sine impedimento copulantur, qui gradum ex affinitate sextum obtinent: cum sanctissimi patriarchæ Sisinnii tomus consobrinos vetuerit cum duabus germanis sororibus jungi. Urgent præterea, nec inhonesti quidquam, vel quod nomina confundat, ex eo irrepere, quod idem duabus sobrinis copuletur. Tunc enim, inquiunt, accurata ratio nominum habetur, et eorumdem confusio cavetur, cum cognationi fortuna servilis intercedit: non cum ex copulatione conjugum legibus admissa, velut ex radice quadam, rami convenientes procreantur. Nam si datum fuerit etiam in his observari nominum honestatem, et declinationem confusionis, velut in arctum redigetur etiam ex sobrinis natorum, et ordine sequentium licita permittendaque conjunctio, ne videlicet contingat ex eis genitos appellari fratres simul, et prognatorum ex sobrinis filios, quod minime visum est. Et hæc quidem illi. Nos autem prius considerabimus, an leges atque canones censeant, conjuges pro duobus gradibus habendos, ac propterea permittendum contractum, quo de agitur. Disseramus igitur, et quasi repetamus ab ipso apice, quæ dicenda veniunt.

Φασί τινες τὴν φωνὴν τοῦ Κυρίου τὴν λέγουσαν, D Καὶ ἔσονται οἱ ὁμόζυγοι σὰρξ μία, μὴ ἐκλαμβάνεσθαι πρὸς ταυτότητα, ἀλλὰ πρὸς στοργὴν καὶ ὁμόνοιαν. Εἰ γὰρ μὴ οὕτως ἐκληφθῇ τὸ Κυριακὸν θεσπιῴδημα, ἀδελφοὶ κληθεῖεν οἱ συναφθέντες, καὶ οὐχ ὁμόζυγοι· καὶ ἐφεξῆς ἐπακολουθήσουσι κακὰ μυριόριθμα, τὴν ἀτοπίαν τοῦ ζητήματος μεγαλύνοντα. Ἀκουσάτωσαν οὖν, ὡς προτάσεις ψευδεῖς οὔτε διὰ συλλογισμῶν ἀλήθειαν συμπεραίνουσιν, οὔτε πρὸς τὸ ἀδύνατον ἀπαγόμεναι, τοῦ ὑποκειμένου τὴν φύσιν μετατιθέασιν· ἀλλ' ἐξ ὁμολογουμένων καὶ ἁπλανῶν ἀνατέλλει τῆς ἀληθείας ὁ ἥλιος. Εἰ γάρ τις εἴποι

Aiunt quidam vocem Domini, qua dicitur, Erunt conjuges una caro, non de identitate accipiendam, sed de amore ac consensu. Quippe ni sic oraculum Dominicum intellectum fuerit, copulati conjugio vocandi essent fratres ac sorores, non conjuges: ac deinceps quoque sequerentur infinita incommoda, quæstionis absurditatem majorem efficientia. Audiant ergo, propositiones falsas neque per syllogismos veritatem concludere, neque si deducantur ad impossibile, subjecti naturam mutare: sed ex confessis et errore carentibus solem veritatis oriri. Nam verbi gratia, si quis dixerit,

VARIÆ LECTIONES.

[83] ἐγχωρητέα.

Digitized by Google

Omnis lapis anima præditus est: ac rursus ex altera parte, Omnis smaragdus est lapis: et concludat, Omnis ergo lapis smaragdus est anima præditus ..... colliget, extremumque mendacium. Unde fit, ut qui dicit per matrimonii copulationem esse factam personarum confusionem, et conjugium esse transmutatum in fraternitatem, atque ita forte absurditatem concludit; compedem linguæ, non veritatem colligat. Quod cum ita sit, cumque post conjunctionem sexus uterque maneat integer, nemo tam sit audax, ut ipsos conjuges appellet fratres, ad reprehensionem dicti divini, cujus verba sunt: Et conjuges ipsi non amplius erunt duo, sed unus. Quippe sicut oleaster propterea non dicitur oliva, quod ramus ejus in olivam translatus sit: sic neque patrem puellæ, socerum puellæ vocabimus, Quo sane stabilito per demonstrationem certam, et cui contradici nequeat, nostra quidem opinione, neque vocari licebit alterutrum eorum ad successionem defuncti, vel alicujus ipsi sanguine propinquorum (quo enim id pacto? cum possessiones accipiant ii, quibus lege deferuntur) neque reprehendi poterit, aut abominandum erit, si quis dicat, iisdem finibus circumscribi contracta et affinitate et ex cognatione matrimonia. Sic enim canonibus est statutum. Quod autem patruus et fratris filius, cum amita et fratris filia copulentur, non est, ut aliqui perhibent, per consuetudinem non scriptam introductum, vel sine traditione per statum ecclesiasticum invectum: sed clarissimi principis, domini Alexii Comneni sacrum edictum, prolatum ad suggestionem Bardæ cujusdam, qui Xerus appellabatur, et receptum tam in reipublicæ, quam in ecclesiarum archiva et codices, ejusmodi nuptias liberas fecit, pro ea potestate, quæ cœlitus est imperatoribus data. Non igitur accuratus Ecclesiæ status calumniandus est. Nam matrimonia ex affinitate, ad sextum usque gradum et coarctabat semper, et adhuc constringit sicut etiam matrimonia ex cognatione: in quo tam legum, quam canonum statuta sequitur, et tomum illius sanctissimi patriarchæ, domini Sisinnii. Quod enim ad ejus eversionem ab imperatoria sacra majestate promulgatum fuit, ut in effectum deduceretur, justus ille judex minime voluit: quemadmodum norunt initiati, nec in errore versantur.

Atqui, subjicit adversarius, ne id quidem, quod confusio et dedecus nominum introducatur, ob graduum necessitudinem, quominus primæ conjugis suæ sobrinam ducat Demetrius, impediet. Hoc enim illis etiam sanguine propinquis usuvenit, cum inter se copulantur, qui vel octavo se gradu contingunt, dum conjuges absque pudore vocamus, quos natura sobrinorum filios agnoscit, eorumque liberos pro fratribus ducimus, cum a natura sint prognatorum ex sobrinis filii. Cur ergo novum et insolens sit, idem hoc etiam in præsenti quæstione dici atque fieri? Sed audiant, qui hæc ita colligunt, quod, quemadmodum ea,

A τυχὸν, Πᾶς λίθος ἔμψυχός ἐστι, καὶ ἐτέρωθεν, Πᾶσα σμάραγδος λίθος ἐστί· καὶ συμπεράνει, Πᾶς ἄρα λίθος σμάραγδος ἔμψυχός ἐστι,.....ψιν συναγάγῃ, καὶ ψεῦδος ἔσχατον. Ὅθεν καὶ ὁ λέγων γενέσθαι διὰ τῆς συναφείας τῶν ὑποστάσεων τὴν σύγχυσιν, καὶ τὴν ὁμοζυγίαν μεταστοιχειωθῆναι πρὸς ἀδελφότητα, καὶ οὕτω συμπεραίνων τάχα τὸ ἄτοπον, γλωττοπέδην συνήγαγεν, οὐκ ἀλήθειαν. Τούτου δὲ οὕτως ἔχοντος, καὶ τῶν γενῶν σωζομένων ἑκατέρων μετὰ τὴν ἕνωσιν, μὴ τολμητέον ἀδελφοὺς τοὺς ὁμοζύγους εἰπεῖν εἰς ἐπιστομισμὸν τοῦ ῥήματος τοῦ Θεοῦ, τοῦ εἰπόντος· Καὶ οὐκέτι ἔσονται οἱ ὁμόζυγες δύο, ἀλλὰ εἷς. Ὡς γὰρ οὐ λέγεται τὸ ἀγριέλαιον καλλιέλαιον, ὅτι κλάδος αὐτοῦ μετὰ καλλιελαίου μετεμοσχεύθη, οὕτως οὐδὲ πατέρα τῆς κόρης τὸν ταύτης εἴποιμεν πενθερόν. Τούτου δὲ στηριχθέντος ἐξ ἀναντιῤῥήτου καὶ ἀσφαλοῦς ἀποδείξεως, ὡς οἰόμεθα, οὔτε τὸ καλεῖσθαι θάτερον ἐξ αὐτῶν εἰς τὴν κληρονομίαν τοῦ τελευτήσαντος, ἢ τινὸς τῶν ἐξ αἵματος αὐτῷ προσγενῶν παῤῥησιασθήσεται (πῶς γάρ; προσλαμβανόντων τῶν κτησαμένων ἐκ νόμου τὰς διαχατοχάς), οὔτε μεμπτέον ἔσται καὶ ἀποτρόπαιον τὸ λέγειν, τοῖς αὐτοῖς ὅροις συστέλλεσθαι τὰ ἐξ ἀγχιστείας καὶ τὰ ἐξ αἵματος συναλλάγματα. Οὕτω γὰρ κεκανόνισται. Τὸ δὲ συνάπτεσθαι θεῖον καὶ ἀνεψιὸν μετὰ θείας καὶ ἀνεψιᾶς, οὐκ ἔστιν (ὡς τινες λέγουσι) συνηθείας ἀγράφου παγκράτιον, ἢ καὶ ἀπαραδότου ἐκκλησιαστικῆς καταστάσεως τροπαιούχημα· ἀλλὰ πρόσταξις θεία τοῦ ἀοιδίμου βασιλέως, κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, ἐξενεχθεῖσα ἐπὶ ὑπομνήσει Βάρδα τινὸς λεγομένου Ξηροῦ, καὶ ἐπιγνωσθεῖσα τοῖς δημοσιακοῖς καὶ ἐκκλησιαστικοῖς ἀρχείοις καὶ κώδιξι, τὸν τοιοῦτον γάμον ἀπέλυσε κατὰ τὴν δεδομένην τοῖς βασιλεῦσιν ἄνωθεν κυριότητα· μὴ τοίνυν συκοφαντητέον τὴν ἀκριβῆ τῆς Ἐκκλησίας κατάστασιν. Τὰ γὰρ ἐξ ἀγχιστείας συναλλάγματα, μέχρι τοῦ ἕκτου βαθμοῦ καὶ αὐτοῦ, καὶ ἐστενοχώρει πάντοτε, καὶ στενοχώρει, καθὼς που καὶ τὰ ἐξ αἵματος, ἐπομένη νομικοῖς καὶ κανονικοῖς διατάγμασι, καὶ τῷ τόμῳ τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου, κυροῦ Σισινίου. Τὸ γὰρ ἐπ' ἀνατροπῇ τούτου διορισθὲν παρὰ βασιλικῆς θείας μεγαλειότητος, εἰς ἔργον ἐλθεῖν ὁ δίκαιος κριτὴς οὐκ ἠὐδόκησεν, ὡς οἴδασιν οἱ μεμυημένοι, καὶ οὐ πεπλάνηνται.

D Ναὶ, φησὶν, ἀλλ' οὐδὲ τὸ σύγχυσιν καὶ ἀπρέπειαν ὀνομάτων εἰσάγεσθαι διὰ τὴν τῶν βαθμῶν ἰδιότητα, ἐμποδίσει λαβεῖν τὸν Δημήτριον τὴν δισεξαδέλφην τῆς προτέρας αὐτοῦ γυναικός. Τοῦτο γὰρ καὶ εἰς τοὺς συναπτομένους ἐξ αἵματος συγγενεῖς καὶ ὀγδόου ὄντας βαθμοῦ θριαμβεύεται, δι' ὧν ὁμοζύγους ἀνερυθριάστως κατονομάζομεν, οὓς ἡ φύσις τρισεξαδέλφους ἐγνώρισε, καὶ τοὺς παῖδας αὐτῶν ὡς ἀδελφοὺς περιέπομεν, τετταρεξαδέλφους ὄντας ἐκ φύσεως. Τί γοῦν ἐστι καινὸν κἀν τῷ παρόντι ζητήματι λαλεῖσθαι τοῦτο καὶ γίνεσθαι; Ἀλλ' ἀκουσάτωσαν οἱ ταῦτα συνείροντες, ὅτι καθὼς τὰ Γαδείρων ἐντὸς διακείμενα, καὶ ἀκριβολογοῦνται καὶ ἀπογράφονται,

Digitized by Google

τὰ δὲ πέρα Γαδείρων οὐ πέρατά εἰσιν· οὕτω τὰ μὲν ἐντὸς τοῦ ἕκτου βαθμοῦ γινόμενα συναλλάγματα, καὶ διὰ τὸ φύσει δίκαιον καὶ εὐπρεπὲς κατακρίνονται· τὰ δὲ ἐκτὸς αὐτῶν μετεωριζόμενα, οὐδὲ κατασπῶνται, οὐδὲ κουφίζονται, ἄνευ μόνου τοῦ ἐξ αἵματος ἑβδόμου βαθμοῦ.

A quæ eis Gades sita sunt, accurate sciri ac describi possunt, cum quæ ultra Gades sunt posita, penetrari nequeant : sic etiam matrimonia, quæ intra sextum gradum contrahuntur, vel ipsa ratione naturalis æquitatis et honesti damnentur : quæ autem extra gradus hosce suspenduntur, nec dirimantur, nec releventur, excepto solo ex sanguinis conjunctione septimo gradu.

Τοῦτον γὰρ βασιλικὸς ὁρισμὸς καὶ τόμος συνοδικὸς τοῖς τοῦ ἕκτου βαθμοῦ συναλλάγμασι συνεξίσωσαν. Ἐπεὶ οὖν ἱκανῶς διελάβομεν τά τισι δικαιολογούμενα περὶ τοῦ εἰς ἕνα βαθμὸν τοὺς ὁμοζύγους ἀνάγεσθαι, εἴτε καὶ μή· Φέρε καὶ τὸ ἡμῖν παριστάμενον χάριν τοῦ τοιούτου ζητήματος, εἴπωμεν. Οἱ νενομοθετηκότες περὶ κεκωλυμένων γάμων διδάσκοντες ἐν βιβλίῳ κη', τίτλῳ ε', εἰς δύο διαιροῦσι τοὺς συγγενεῖς· εἰς ἀνιόντας καὶ κατιόντας, παῖδας δηλαδὴ καὶ γονεῖς, καὶ εἰς τοὺς ἐκ πλαγίου, ἀδελφούς φημι καὶ λοιποὺς ἐξ αἵματος προσγενεῖς. Καὶ τῶν μὲν ἀνιόντων καὶ κατιόντων, κἂν γνήσιοι ὦσι, κἂν φυσικοὶ, κἂν θετοὶ, τοὺς γάμους κωλύουσιν εἰς ἀπέραντον. Τῶν δὲ ἐξ αἵματος, μέχρις ἕκτου βαθμοῦ. Μετὰ μέντοι τὸ τεχνολογῆσαι τὰ περὶ τούτων, καὶ εἰς ὄψιν προθέσθαι τὴν τῶν βαθμῶν βαθεῖαν καὶ δυσδιεξίτητον ὑπουλότητα (δυσχερεστάτη γάρ φησι, καὶ οὐκ εὐκατάληπτος ἡ ἐκ πλαγίου τῶν βαθμῶν ἐστιν εὕρεσις) προστιθέασι καὶ ταῦτα ῥητῶς· Εἰσὶ δὲ καὶ ἕτεροι γάμοι, οὐ διὰ θεσμὸν συγγενείας, διὰ δὲ ἀγχιστείαν μὴ προβαίνοντες. Ἀγχιστεία δέ ἐστιν οἰκειότης προσώπων ἐκ γάμων ἡμῖν συνημμένων, συγγενείας ἐκτός. Οἷον οὖν οἰκειοῦνται βαθμὸν οἱ ὁμόζυγες μετὰ τὴν συνάφειαν, καθαρῶς μὲν οὐ διδάσκουσιν· ἐπάγουσι δὲ, μὴ δύνασθαί τινα πρὸς γάμον λαβεῖν τὴν οἰκείαν νύμφην ἢ προγονήν. Ἀλλ' οὐδὲ τὴν μητρυιὰν, ἢ τὴν πενθερὰν, ἐπειδὴ μητέρων τάξιν ἐπέχουσι. Σκοπητέον τοίνυν πρὸ πάντων τὸ περὶ τῶν βαθμῶν. Οὕτω γὰρ ἐξομαλισθείη τὸ τοῦ ζητήματος ἅπαντες.

Naim illum tam imperatoria sanctio, quam tomus synodalis, sexti gradus matrimoniis exæquavit. Et quando jam satis disseruimus de iis, quæ nonnulli hac in quæstione allegant, sintne conjuges ad unum referendi gradum, necne : age proferamus etiam id, quod de quæstione proposita nobis ad animum B accidit. Jurisconsulti, qui de nuptiis prohibitis docent libro Basilicorum xxviii, titulo v, bifariam cognatos dividunt : ascendentes et descendentes, liberos scilicet ac parentes ; et in eos, qui sunt ex transverso, fratres inquam, et reliquos sanguine propinquos. Et ascendentium quidem ac descendentium, sive legitimi sint, sive naturales, sive adoptivi, nuptias prohibent in infinitum : eorum vero, qui sanguine propinqui sunt, ad sextum usque gradum. Postquam ista subtiliter exposuerunt, et oculis subjecerunt graduum profundam et penetratu difficilem obscuritatem (impeditissima namque ut ipsorum verbis utar nec perceptu facilis est in iis, qui sunt ex transverso graduum inventio), disertis verbis hæc etiam adjiciunt : Sunt et aliæ nuptiæ P, non illæ C quidem propter jus cognationis, sed propter affinitatem non procedentes. Affinitas autem est necessitudo quædam personarum, per nuptias nobis conjunctarum, citra cognationem. Ergo quem sibi gradum post initum matrimonium vindicent conjuges, pure illi quidem non docent : subjungunt tamen, aliquem nurum suam, vel privignam, uxorem ducere non posse. Nec item novercam, vel socrum : quoniam matrum loco sunt. Consideranda igitur ante omnia graduum ratio. Sic enim exæquari poterit ipsa quæstionis velut acclivis inæqualitas.

Οἱ τῆς συγγενείας βαθμοὶ, ἐκ τῶν βαθμίδων τῆς κλίμακος ὠνομάσθησαν. Ὡς γὰρ ἐκεῖναι λαμβάνουσαι καταρχὴν ἐξ ἐπιπέδου τινὸς, καὶ εἰς τὰ πρόσω προβαίνουσαι, τὴν κάθοδον ἢ τὴν ἄνοδον συμπεραίνουσιν, οὕτω καὶ οἱ βαθμοὶ, ὡς ἐκ ῥίζης ὁμοφυεῖς κλάδοι τοῦ πρώτου γεννήτορος προϊέμενοι, τὴν συγγένειαν καταρτίζουσιν. Ἴδωμεν οὖν, ποία ῥίζα καὶ καταρχὴ μεσιτεύει τὸν ἄνδρα μετὰ τῆς γυναικὸς, ὥστε πρὸς ταύτην ἀναδραμεῖν, καὶ ἐξ αὐτῆς ὡς διὰ βαθμίδος πρὸς τούτους ἐλθεῖν. Πάντως οὐδεμία. Οὐδὲ γὰρ δύναταί τις εἰπεῖν, Ὁ Πέτρος ἐγγένησε τὸν Δημήτριον. Ὁ αὐτὸς καὶ τὴν Μαρίαν ἀπέτεκεν. Ὥστε τούτους δύο βαθμῶν ἔχειν συγγένειαν. Προφανὲς γὰρ ψεῦδός ἐστι. Πολλῷ δὲ πλέον οὐκ εἴποι τις ὑποστάσεις διττὰς, ἑνὸς εἶναι βαθμοῦ. Δύο γὰρ γεννήσεις τούτους παρήγαγον. Οἱ γοῦν λέγοντες

Gradus cognationis dicti sunt a similitudine graduum alicujus scalæ. Nam sicut illæ principium sumentes a planitie, sursumque tendentes, ad descendendum vel ascendendum nobis serviunt : D sic et hi gradus, velut ejusdem naturæ rami ex radice, primo scilicet parente procedentes, cognationem perficiunt. Videamus ergo, quænam radix ac principium inter virum et uxorem sic intercedat, ut ad eam sit recurrendum, et ab ea ceu gradu quodam ad ipsos veniendum. Nulla prorsus exsistit. Non enim dicere quispiam potest, Petrus genuit Demetrium. Idem et Mariam procreavit : quo fit, ut hi duorum graduum cognatione juncti sint. Hoc enim manifestissimum mendacium est. Multo magis cavebit aliquis, ne dicat, duas personas unius esse gradus. Quippe duæ generationes eos produxerunt.

VARIÆ LECTIONES.

• *Vide eclogam Basilicorum ; vide tit. de Gradibus cognationis, d. lib. Basilicorum.* P *vide tit. de prohib. nupt. d. lib. Basili.*

Digitized by Google

Nimirum qui dicunt, conjuges inter se vel unius, vel secundi esse gradus, quique per gradus eos ita librant, uti solent res illæ, quæ pondere, vel mensura, vel numero constant ; similes sunt interrogantibus, quotuplex istud pavimentum lapis ambiat, et respondentibus, duplex. Quippe cingitur a lapide prasini coloris, et ligno cedrino circumdatur. Quamobrem apte dicimus, nec ad duorum graduum necessitudinem referri conjuges (quo enim id pacto ? cum eamdem radicem et generationem non habeant, ac ea causa naturaliter non dividantur) : nec etiam unius et ejusdem esse gradus, propter unionem carnalem, ut instar mulsi commisceantur, (qua enim id fieri ratione possit, cum personæ maneant integræ ?) sed propter divinam ac salutarem vocem Domini, et Dei, et servatoris nostri Jesu Christi, qui dixit ad discipulos ipsum interroganles, liceretne homini divertere ab uxore sua, disertis verbis hæc subjungendo : Non legistis, eum qui ab initio res condidit, marem et feminam ipsos fecisse : qua de causa relinquet homo patrem suum et matrem, et agglutinabitur uxori suæ. Et erunt bi duo in carnem unam. Quare non amplius duo sunt sed una caro : propter hanc ergo vocem credere nos et confiteri, unum propemodum unaminem hominem, qui duabus in personis cernitur, pro conjugibus matrimonii causa haberi. Sed enim permittendum, ut rivus orationis etiam ad aliud quiddam opportune currat.

Unigeniti Filii Dei incomprehensibilis erga nos demissio, et pignus salutis humani generis, cum ex aliis multis mysteriis magnificatur, tum etiam non parum glorificatur ex benedictione nuptiali. Quippe cum obnoxia peccato conjunctio in universam hominum massam fuisset dedita post draconis invidiam, et mandati divini transgressionem, jamque malum illud ad alia mala majora processisset ; curæ benigno Deo fuit regeneratio nostra et instauratio. Itaque cum unigenitus Dei Filius homo factus fuisset instar nostrum, propter nos, et omnem aliam administrationem implesset, uti nos beatitatem pristinam recuperamus : etiam nuptiis in Cana Galilææ celebratis benedixit, et aquam desperationis in vinum veræ Dei cognitionis mutavit ; certiores per hoc reddens homines, quod feminæ non amplius in doloribus liberos pariant, nec qui procreantur ex copulatione matrimoniali amplius pristino more dicant, In peccatis concepit me mater mea : sed Dei præcepta servantes, quemadmodum primus ille parens noster ea servavit ante transgressionem, eumdem honorem et gloriam consequantur, qua fuerint ornati primi parentes ante inobedientiam.

Honorabile namque matrimonium est, et lectus impollutus, qui salutem largitur. Quæ cum ita sint, et cum tabulæ divinitus scriptæ dicant, Non ingredieris ad quemvis necessarium carnis tuæ, ut reveles pudorem ejus : cum primus ille parens noster alibi responderit, Jam magis uxor mea est

A εἶναι τοὺς συζύγους ἑνὸς ἢ δευτέρου βαθμοῦ, καὶ ζυγοστατοῦντες διὰ βαδμίδων αὐτούς, κατὰ τὰ σταθμώμενα, ἢ μετρούμενα, ἢ ἀριθμούμενα, ἐοίκασι τοῖς ἐρωτωμένοις, πόσος ἀμπίσχει τόδε τὸ δάπεδον μάργαρος ; καὶ ἀποκρινομένοις, διττός. Λίθος γὰρ πρασίζων αὐτὸ περιζώννυσι, καὶ ξύλον κέδρινον ἀμφιέννυσιν. Ἆραρε τοίνυν λέγειν ἡμᾶς, μήτε πρὸς δύο βαθμῶν οἰκειότητα τοὺς ὁμοζύγους ἀνάγεσθαι, (πῶς γὰρ, οἱ μὴ τὴν αὐτὴν ἐσχηκότες ῥίζαν καὶ γέννησιν, καὶ διὰ τοῦτο μηδὲ φυτικῶς διαιρούμενοι ;) μήτ' οὖν ἑνὸς γενέσθαι βαθμοῦ, διὰ τὴν ἑνσαρκον ἕνωσιν, καὶ συγχυθῆναι κατὰ μελίκρατον. Πῶς γάρ ; Σωζομένων ἀδιαπτώτων τῶν ὑποστάσεων ; Διὰ δὲ τὴν θείαν καὶ σωτηριώδη φωνὴν τοῦ Κυρίου, καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ εἰπόντος πρὸς τοὺς ἐρωτήσαντας αὐτὸν μαθητὰς, εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ, καὶ ἐπαγαγόντος ταῦτα ῥητῶς· Οὐκ ἀνέγνωτε, ὅτι ὁ ποιήσας ἀπαρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· καὶ ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ· καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν· ὥστε οὐκέτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία· πιστεύειν ἡμᾶς, καὶ ὁμολογεῖν, ἕνα σχεδὸν ὁμόψυχον ἄνθρωπον ἐν δυσὶ θεωρούμενον ὑποστάσεσιν, ὁμοζύγους διὰ τὸν γάμον λογίζεσθαι. Ἀλλὰ δοτέον ἀναθραμεῖν τοῦ λόγου τὸν ῥύακα καὶ πρὸς ἕτερον καίριον.

C Ἡ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ πρὸς ἡμᾶς ἀκατάληπτος συγκατάβασις, καὶ τὸ τῆς σωτηρίας τοῦ γένους τῶν ἀνθρώπων ἐχέγγυον, μεγαλύνεται μὲν καὶ ἐξ ἄλλων μυστηρίων πολλῶν, οὐχ ἧττον δὲ καὶ ἐκ τῆς γαμικῆς ἱερολογίας δοξάζεται. Τῆς γὰρ ἁμαρτητικῆς συναφείας διαδοθείσης εἰς ἅπαν τῶν ἀνθρώπων τὸ φύραμα, μετὰ τὸν φθόνον τοῦ δράκοντος, καὶ τῆς ἐντολῆς τοῦ Θεοῦ τὴν παράβασιν, καὶ τοῦ κακοῦ πρὸς ἕτερα κακὰ προχωρήσαντος μεῖζονα, ἐμέλησε τῷ φιλανθρώπῳ Θεῷ τῆς ἡμῶν παλιγγενεσίας καὶ ἀναπλάσεως. Γεγονὼς τοίνυν ἄνθρωπος καθ' ἡμᾶς, δι' ἡμᾶς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, καὶ πᾶσαν ἄλλην πληρώσας οἰκονομίαν, ἵνα ἡμεῖς τὴν ἀρχαίαν μακαριότητα λάβωμεν, καὶ τὸν ἐν Κανᾷ τῆς Γαλιλαίας γάμον ηὐλόγησε, καὶ τὸ ὕδωρ τῆς D ἀπογνώσεως εἰς οἶνον ἀληθοῦς θεογνωσίας μετέβαλεν· ἐντεῦθεν πληροφορῶν τὸ ἀνθρώπινον, ὡς οὐκέτι γυναῖκες ἐν λύπαις τέκνα γεννήσουσιν, οὐδὲ ἐκ γαμικῆς συναφείας τικτόμενοι, κατὰ τὸ πρότερον εἶποιεν, Ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου· ἀλλὰ τηρήσαντες τὰς ἐντολὰς τοῦ Θεοῦ, καθὼς ὁ προπάτωρ αὐτὸς ἐτήρησε πρὸ τῆς παραβάσεως, τῆς αὐτῆς τιμῆς καὶ δόξης ἀξιωθήσονται, οἵας πρὸ τῆς παρακοῆς οἱ προπάτορες.

Τίμιος γὰρ ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος, σωτηρίαν φιλοτιμούμενος. Τούτων οὕτως ἐχόντων, καὶ τῶν θεογράφων πλακῶν λεγουσῶν· Οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου ἀποκαλύψαι αἰσχύνην αὐτοῦ· καὶ τοῦ προπάτορος ἀποκρινομένου ἑτέρωθεν. Νῦν καὶ μᾶλλον ἡ γυνή μου ὀστοῦν ἐκ τῶν

Digitized by Google

ὀστῶν μού ἐστι καὶ σὰρξ ἐξ τῆς σαρκός μου· οὐ τολμῶ τοὺς ὁμοζύγους εἰπεῖν ἄλλης καὶ ἄλλης εἶναι σαρκὸς, κἂν ἐν δυσὶν ὑποστάσεσιν αὐτοὺς θεωρῶ· ἵνα μὴ δικαίως καταχριθῶ κατὰ τοὺς ἀθετοῦντας ἀγγράφους καὶ ἀγράφους παραδόσεις, τῶν ἁγίων Ἐκκλησιῶν καὶ τῆς σωτηρίας ἡμῶν τὸ ἐχέγγυον. Διαγινώσκω δὲ μᾶλλον μίαν σάρκα τούτους λογίζεσθαι, καὶ τοῖς αὐτοῖς στενοχωρεῖσθαι τὸν ἄνδρα νομικοῖς καὶ κανονικοῖς παραγγέλμασιν, ὅσον τέως εἰς συνάφειαν γαμικὴν, οἷς καὶ ἡ τούτου στενοχωρεῖται ὁμόζυγος· ὥσπερ καὶ τὸ ἀνάπαλιν. Καὶ διὰ τοῦτο μὴ δύνασθαι τὸν Δημήτριον εἰς γυναῖκα τὴν Θεοδώραν λαβεῖν, λογιζομένην δισεξαδέλφην αὐτοῦ, διὰ τὴν μετὰ τῆς Μαρίας γαμικὴν τούτου συνάφειαν. Ἀποδέχομαι δὲ καὶ τοὺς κωλύοντας τὸ τοιοῦτον γαμικὸν τοῦ Δημητρίου συνάλλαγμα διὰ τοὺς νόμους τοὺς λέγοντας, ἐν τοῖς γάμοις οὐ μόνον τὸ ἐφειμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς ζητητέον· κατανοῶν ἀπρεπέστατον εἶναι, τὸν μέχρι τοῦ νῦν γαμβρὸν παρὰ τῆς δισεξαδέλφης λεγόμενον, ὁμόζυγον αὐτῆς ὀνομάζεσθαι. Ὅτι δὲ χρώμενοί ῥήμασί τινες τοῦ κατὰ τὴν λ' τοῦ Ἰουλίου μηνὸς, τῆς ιβ' ἐπινεμήσεως, συνοδικοῦ σημειώματος, τοῦ μὲν ἁγιωτάτου κυροῦ Θεοδοσίου πατριαρχεύοντος, ἡμῶν δὲ τοῦ χαρτοφύλακος ἐνεργούντων ὀφίκιον, καὶ περὶ τὸ τέλος ταῦτα διεξιοῦσιν. *Ἐπεὶ γὰρ ἡ μετὰ Ἰωάννου τελεσθεῖσα μνηστεία ὡς ἀνυπόστατος λέλυται, διὰ τὴν τῆς Εἰρήνης ἀνηβότητα, καλῶς ἡ Εἰρήνη δευτέρῳ ἐξαδέλφῳ αὐτοῦ κατὰ νόμον γάμου συζευχθήσεται. Οὔτε γὰρ συγγενικὸν πρόσωπον τὴν Εἰρήνην λογίζεται, ὁ Θεόδωρος, οὔτε τοῖς ἐξ ἀγχιστείας δεσμοῖς καὶ ὅροις συσφίγγεται, διὰ τὸ ὑπερβῆναι τὸν ἐξ ἀγχιστείας ἕκτον βαθμόν.*

Θέλουσιν ἡμᾶς σιωπᾷν, ἄρτι τἀναντία διαγινώσκοντας· πρῶτον μὲν λέγομεν, ὡς ὁ κατὰ καιροὺς χαρτοφύλαξ στόμα πατριαρχικὸν λογιζόμενος, ἐκεῖνα λέγει καὶ γράφει, ὅσα νεφελώσει καὶ ὑδατώσει τῆς κεφαλῆς ἡ ἀκρώρεια. Οὐκοῦν οὐδὲ αἰτιατέους ἢ ἐπαινετέους λογιεῖταί τις ἡμᾶς καλλιγραφήσαντας ἴσως τὴν παροῦσαν ὑπόθεσιν, ἢ τοὐναντίον κακογραφήσαντας. Κατὰ γὰρ τὸν Βαροὺχ ὑπεγραμματεύσαμεν ὅσα θρηνῶν Ἱερεμίας ἐθρήνησε· καὶ κατὰ τὸν Ἀαρὼν ἐλαλήσαμεν, ὅσα λαλῶν ἐλάλησε Μωσῆς. Ὑπὲρ δὲ καὶ τότε τὴν μικρόνοιαν ἡμῶν ἐθεράπευσε χάριν τοῦ τοιούτου ζητήματος, ἐγράφη παρ' ἡμῶν ἐν τῷ β' κεφαλαίῳ, τοῦ ιγ' τίτλου τοῦ νομοκανόνου. Εἴπομεν γὰρ τὸ τοιοῦτον κεφάλαιον ἑρμηνεύοντες, ὡς καὶ βασιλικὸν ἐκώλυσε πρόσταγμα τὸ ζητούμενον συνοικέσιον, κἂν καταστρωθῆναι οὐκ ἔφθασε, καὶ ἡ Ἐκκλησία τὴν τούτου ποίησιν οὐκ ἀνέχεται. Εἶτά φαμεν, ὡς σημειωμάτων προκομιζομένων ταλαυγενῶν, καὶ διὰ [a] γραμμάτων ὁμοίων ἐκκλησιαστικῶν, διυλιζόντων καὶ αὐτὸν τὸν φαυλότατον κώνωπα τοῦ τοιούτου ζητήματος, καὶ ἀποκαλούντων τοῦτο παρανομώτατον,

A os ex ossibus meis, et caro ex carne mea : equidem dicere non audeo, conjuges alterius et alterius esse carnis, licet eos in duabus personis video : ne fueritc condemner illorum more, qui scriptas et non scriptas traditiones reprobant, quæ sanctarum Ecclesiarum et salutis nostræ pignus sunt. Imo potius statuo, pro una carne ducendos, et iisdem constringi maritum legalibus et canonicis præceptis, quantum scilicet copulationem matrimonialem attinet, quibus et conjux ejus includitur : idemque vice versa locum habere. Atque hac de causa non posse Demetrium in uxorem ducere Theodoram, quæ pro sobrina ejus habetur, propter matrimonialem ipsius cum Maria conjunctionem. Assentior etiam iis, qui matrimonialem ejusmodi contractum B Demetrii prohibent legum ratione (66) quarum verba sunt : In nuptiis non solum quid permissum sit, sed etiam quid honestum, considerandum est : dum animadverto, inhonestissimum esse, ut qui hactenus a sobrina vocatus fuerit affinis, postea conjux ejus appelletur. Et quia nonnulli utentes verbis scripti synodalis, publicati die xxx mensis Julii, indictione duodecima, cum esset patriarcha sanctissimus ille dominus Theodosius, et nos officio chartularii fungeremur, quo in scripto circa finem hæc verba leguntur : *Cum enim celebrata cum Joanne sponsalia, ceu minime constantia, solvantur, propter ætatem Irenæ impuberem : recte Irena sobrino ipsius lege matrimoniali copulabitur. Quippe nec pro* C *persona cognata Theodorus Irenam ducit, nec affinitatis vinculis atque legibus constringitur propterea quod sextum ex affinitate gradum excedat.*

His ergo verbis utentes, tacere nos volunt, qui jam contraria statuimus : primum respondemus, cujusque temporis chartularium, qui os patriarchæ esse ducitur, ea tum dicere, tum scribere, quæ capitis ipsi vertex instar nubis et aquæ suppeditat. Ideoque nec culpandos, nec laudandos nos putabit quispiam, qui vel recte præsentem causam, vel e contrario male litteris complexi simus. Nam more Baruchi, scribæ munere functi notavimus quæcunque lamentando Hieremias lamentatus est : et Aaronis more prolocuti sumus, quæcunque loquendo D locutus est Moses. Quod autem intellectus nostri tenuitati tunc remedio fuit in hac quæstione, perscriptum a nobis est in capite secundo tituli XIII Nomocanoni. Quippe caput illud interpretantes diximus, etiam edicto imperatorio prohibitum esse matrimonium, quo de agitur, licet in acta relatum non fuerit, et Ecclesia promulgationem ejus non sustineat. Deinde subjicimus, quod cum notationes priscæ proferuntur, et consimilia scripta ecclesiastica, pravissimum et ipsa culicem quæstionis hu-

VARIÆ LECTIONES.

[a] διαγραμμάτων.

NOTÆ.

(66) *Semper.* D. *De reg. jur.* Et l. 42. D. *De rit. nupt.*

Digitized by Google

jus percolantia, et iniquissimam hanc appellantia ; nemo sane, qui ad evidentem rationem non connivet, illa quidem velut abolita damnabit, præsertim cum nec sublata sint disertis verbis a præsenti synodali scripto ; quæ autem hoc continentur, canonis et legalibus doctrinis exæquabit. Itaque respiciens in auctorem et consummatorem fidei nostræ, Dominum ac Deum nostrum Jesum Christum, rursus alio : quod cum magnus ille Paulus dicat, *Mulier corporis sui potestatem non habet, sed maritus : ac similiter maritus potestatem corporis sui non habet, sed uxor :* itidemque cum sacri canones et tomi cum vidua matrimonio copulatum pro digamo habentes, ad gradum aliquem ecclesiasticum pervenire non sinant : ac ne defuncti quidem sacerdotis conjugem ad secundas transire nuptias permittant, idque omnino propter identitatem corporum ipsorum, quemadmodum manifesto liquet ex XXXI et XXXII capite tituli primi libri III Basilicorum, et XLIV canone sancti Basilii, cujus in fine dicitur, Nos diaconæ corpus, veluti quæ consecrata fuerit, non amplius in usu carnali esse permittimus : equidem judico canonicum et legitimum esse, ut auctoritate prohibeatur ecclesiastica, quominus unus et idem duabus sobrinis copuletur, ac vice versa : sique clam ejusmodi quid factum fuerit, de industria dirimatur, et interveniente pœna corrigatur.

A οὐδεὶς μὴ σκαρδαμύττων πρὸς τὴν ἐνάργειαν, ἐκείνων μὲν καταψηφιεῖται σχολήν, καὶ ταῦτα μηδὲ ἀναιρεθέντων ῥητῶς ὑπὸ τοῦ παρόντος συνοδικοῦ σημειώματος· τὰ δὲ ἐν τούτῳ περιεχόμενα, κανονικοῖς καὶ νομίμοις ἐξισώσει διδάγμασιν. Ἀφορῶν οὖν εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Κύριον καὶ Θεὸν ἡμῶν Ἰησοῦν Χριστὸν, λέγω καὶ αὖθις· ὡς ἐπεὶ ὁ μέγας Παῦλός φησιν· *Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή.* Οἱ δὲ θεῖοι καὶ ἱεροὶ κανόνες καὶ τόμοι τὸν μετὰ χήρας γαμικῶς συναφθέντα λογιζόμενοι δίγαμον, εἰς ἐκκλησιαστικὸν βαθμὸν οὐκ εὐδοκοῦσιν ἐλθεῖν, ἀλλ' οὐδὲ τὴν τοῦ τελευτήσαντος ἱερέως ὁμόζυγον δευτερογαμῆσαι παραχωροῦσι, B πάντως διὰ τὴν ταυτότητα τῶν σωμάτων αὐτῶν, καθὼς τὰ περὶ τούτου παρίσταται ἐκ τοῦ λα' καὶ λβ' κεφαλαίου, τοῦ πρώτου τίτλου, τοῦ γ' βιβλίου τῶν Βασιλικῶν, καὶ τοῦ μθ' κανόνος τοῦ ἁγίου Βασιλείου, λέγοντος περὶ τὸ τέλος· Ἡμεῖς οὖν τῆς διακόνου τὸ σῶμα, ὡς καθιερωμένης, οὐκέτι ἐπιτρέπομεν ἐν χρήσει εἶναι σαρκικῇ· διαγινώσκω κανονικὸν εἶναι καὶ νόμιμον, τὸ μετὰ αὐθεντίας ἐκκλησιαστικῆς κωλύεσθαι τὸν αὐτὸν καὶ ἕνα δυσὶ διαδεξαδέλφαις συνάπτεσθαι, καὶ τὸ ἀνάπαλιν· καὶ εἰ λάθοι γενέσθαι τοιοῦτόν τι, σπουδαίως διασπᾶσθαι, καὶ μετ' ἐπιτιμίου διορθοῦσθαι.

EJUSDEM

Epistola de incensis, quæ a patriarcha dari solent eo die quo catechesis habetur.

Tu quidem, charissime fili, gloriosissime judex, et præfecte judiciorum, cum Davide psallens : Interroga patrem tuum, ac dicet tibi ; seniores te, ac renuntiabunt tibi ; recte cognoscere cupivisti ex nobis, qua de causa dari populo soleant a cujusque temporis sanctissimis patriarchis incensa, post habitam catechesin. Ego vero faces afflictionis hauriens in exsilio, cunctabar hactenus in respondendo. Sed quoniam cuivis petenti, et semper quidem, tam lingua, quam manu dare debere didici, hæc ad interrogationem ex tempore respondeo.

Celsissimam sacrorum imperatorum circumspectionem, et patriarcharum amplitudinem, inter alia reddebant olim augustiorem etiam annuæ rogæ, ac baiorum largitiones. Quippe sedebant annis singulis cujusque temporis patriarchæ ac imperatores, et per hæc subditos ad benevolentiam invitabant. Novit hoc patrum conscriptorum amplissimus ordo, ac fortassis etiam nonnulli, qui hac ætate nostra vivunt. Non enim ante tempora Euclidis prodita sunt gerris, nec somniantium vetularum fabellæ sunt : sed usque ad imperium domini Constantini Ducæ duravit augustus ille mos tam in ipsius Dei, quam imperatorum regia, et omnino bonum hoc ad nos quoque propagatum fuit, a majoribus ad nepotes, a generatione ad

ΤΟΥ ΑΥΤΟΥ

C *Ἐπιστολὴ, χάριν τῶν διδομένων θυμιαμάτων παρὰ τοῦ πατριάρχου, κατὰ τὴν ἡμέραν τῆς κατηχήσεως.*

Σὺ μὲν, τριπόθητον τέκνον, μεγαλοδοξότατε κριτὰ, καὶ ἐπὶ τῶν κρίσεων, ψάλλων μετὰ τοῦ θεοπάτορος, Ἐρώτησον τὸν πατέρα σου, καὶ ἀναγγελοῦσί σοι· τοὺς πρεσβυτέρους σου καὶ ἀπαγγελοῦσί σοι· καλῶς ἐζήτησας μαθεῖν ἐξ ἡμῶν, τίνος χάριν δίδονται τῷ λαῷ παρὰ τῶν κατὰ καιροὺς ἁγιωτάτων πατριαρχῶν μετὰ τὴν κατήχησιν θυμιάματα. Ἐγὼ δὲ πίνων τρυγίαν θλίψεως ὑπερόριον, ὤκνουν πρὸς τὴν ἀπόκρισιν. Ἐπεὶ δὲ παντὶ τῷ αἰτοῦντι, καὶ πάντοτε, καὶ γλώττῃ καὶ χειρὶ ὀφείλειν διδόναι μεμάθηκα, σχεδιάζω σοι ταῦτα πρὸς τὴν ἐρώτησιν.

D Τὴν ὑψηλοτάτην τῶν θείων αὐτοκρατόρων περιωπὴν, καὶ τῶν πατριαρχῶν τὴν μεγαλειότητα, μετὰ τῶν ἄλλων ἐσέμνουν καὶ ἐτήσιοι ῥόγαι ποτὲ, καὶ βαΐων φιλοτιμήματα. Ἐκάθηντο γὰρ ἐτησίως οἱ κατὰ καιροὺς πατριάρχαι καὶ βασιλεῖς, καὶ μετεκαλοῦντο τοὺς ὑπηκόους διὰ τούτων πρὸς εὔνοιαν. Οἶδε ταῦτα τῆς συγκλήτου βουλῆς τὸ ὑπέρτατον, ἴσως δὲ καὶ τινες τῶν τῆς καθ' ἡμᾶς γενεᾶς. Οὐδὲ γὰρ πρὸ Εὐκλείδου μεμυθολόγηνται, οὐδὲ γραϊδίων ἐστὶν ὀνειροπολούντων λογόδρια· ἀλλὰ μέχρι τῆς βασιλείας τοῦ Δούκα κυροῦ Κωνσταντίνου καὶ ταύτην εἶχον τὴν σεμνοπρέπειαν τὰ τοῦ Θεοῦ καὶ τῶν βασιλέων ἀνάκτορα, καὶ πάντως γέγονεν ἂν τὸ καλὸν πρὸς ἡμᾶς διαδόσιμον ἐκ προγόνων εἰς παῖδας, καὶ ἐκ φυλῆς εἰς φυλὴν πτερυσσόμενον. Εἰ δ', ὅπερ οὐ

Digitized by Google

πέπεισμαι, καὶ τοῦτο λήθης βυθῷ κατακέχωσται, καὶ Κασταλίας ὕδωρ εὐχάριστον τῶν τότε κρατούντων οὐ κηρύττει τὴν πρόνοιαν, ἀλλὰ μεμβράναι βίβλων ἱστορικῶν, καὶ συγγραφαὶ τακτικῶν ἀνακτορικῶν κεκράξονται κατὰ Στέντορα. Καὶ σὺ δὲ παντὸς συντάγματος λογικοῦ τελῶν ὑφηγητὴς νουνεχέστατος, κἂν τούτῳ τῷ σπουδαίῳ προβλήματι πλεονεκτήσεις πολλοὺς, καί μοι συλλαλήσεις τῷ γέροντι. Ἀλλὰ καὶ τοῦ βασιλέως κυροῦ Κωνσταντίνου τοῦ Μονομάχου τὰ θεσπεσιώτατα διατάγματα, τὰ τελεσφορήσαντα τὰ ὀφφίκια τοῦ ἐπὶ τῶν κρίσεων, καὶ τοῦ νομοφύλακος, καὶ διοριζόμενα τούτους ἐτησίως μετὰ καὶ ἄλλων πολλῶν ἀποφέρεσθαι χάριν ῥόγας ἀνὰ χρυσίου τοσήνδε ποσότητα, καὶ τὰ συνήθη βαΐα, οὐκ εἰσὶν ἐν τῷ οὐρανῷ, οὐδὲ πέραν θαλάσσης, ἵνα τις εἴπῃ, Τίς ταῦτα μετακομίσει μοι; Παρὰ δὲ τῇ χειρί σου, καὶ τῇ καρδίᾳ σου, καὶ τῷ στόματί σού εἰσι. Καὶ πάντως γνωμολογήσεις ἐκ τούτων τοῦ πράγματος τὴν ἀλήθειαν. Τῶν γοῦν βασιλέων καὶ τῶν πατριαρχῶν μεγαλυνομένων, ὡς εἴρηται, διὰ τῶν βαΐων καὶ τῶν ῥογῶν, ἔδει τέως τοὺς πατριάρχας τοὺς τὴν ἀρχαίαν μέχρι τοῦ νῦν συντηροῦντας συνήθειαν, καὶ χρυσίνους παραμετροῦντας τοῖς κληρικοῖς, διδόναι καὶ βαΐα, καθὼς προτετύπωται. Ἐπεὶ δ' οὐκ οἶδ' ὅπως οὐ φαίνεταί ποτε τοῦτο γινόμενον, ἀλλ' ἐν ταῖς ἡμέραις τῶν κατηχήσεων ἀντὶ ῥογῶν καὶ βαΐων μόνα διδόασι τῷ λαῷ θυμιάματα· σκοπητέον πρὸ πάντων, τὸ σημαινόμενον τῶν βαΐων, καὶ ζητητέον τὴν αἰτίαν, δι' ἣν θυμιάματα μὲν δίδονται κατὰ τὴν ἡμέραν τῆς κατηχήσεως, καὶ κατὰ τὴν μεγάλην τετράδα κηρία καὶ θυμιάματα· κηρία δὲ καὶ σταυρὸς κατὰ τῆς βαϊφόρου [84] τὴν Κυριώνυμον.

A generationem transiens. Sin, quod equidem non arbitror, hoc etiam oblivionis gurges absorbuit, et gratiosa isthæc aqua Castaliæ providentiam superioris memoriæ principum non prædicat : saltem membranæ librorum historicorum, et ordinationum aulicarum monumenta Stentoris in morem hæc proclamabunt. Tu quoque, qui cujusvis eruditi scripti acutissimus es interpres, etiam in hac non levis momenti quæstione compluribus eris superior, ac me senem in dicendo juvabis. Quinetiam imperatoris, domini Constantini Monomachi edicta sacratissima, quibus ordinata sunt officia præfecti Judiciorum, et nomophylacis, et quæ statuunt, eos debere singulos in annos, præter alia, consequi B ratione rogæ, quemlibet auri talem ac talem quantitatem, una cum consuetis baiis; non in cœlo sunt, nec trans mare, uti dicere quis debeat, Quisnam hæc afferet mihi? Sed sunt in manu tua, et in corde tuo, et in ore tuo. Atque omnino rei veritatem ex his mentis acumine colliges. Cum autem imperatores et patriarchæ magnificentiam ceu dictum est, suam demonstrent per baia et rogas, sane par erat, ut patriarchæ, qui priscam hactenus consuetudinem conservant, et aureos clericis nummos admetiuntur, etiam ipsis baia darent, quemadmodum indicatum est antea. Sed quoniam hos, nescio qua de causa, non amplius fieri videmus, sed iis diebus, quibus catecheses habentur, loco rogarum et baiorum sola populo dant incensa : considerandum ante omnia, C quodnam vocis baiorum significatum sit, et inquirenda, propter quam incensa dantur in die catechesis, et magna feria quarta, cerei cum incensis; cerei denique cum crucibus ea Dominica, qua baia gestantur.

Οἷα μὲν οὖν ἦσαν τὰ βαΐα ἐκεῖνα, παρὰ βασιλέων διδόμενά ποτε καὶ πατριαρχῶν, τέως ἐγὼ ἀγνοῶ. Οὔτε γὰρ ἀπὸ χειρὸς βασιλικῆς ἢ πατριαρχικῆς βαΐον ἡ χείρ μου μετὰ ῥόγας ἐδέξατο, καὶ ταῦτα πλουτιζομένη καθ' ἑκάστην σχεδὸν ὑπ' αὐτῶν, οὔτε τὴν τούτων ποιότητα παρ' ἑτέρων μεμάθηκα. Κλάδους δὲ φοινίκων καὶ μυρσινῶν βλέπω τοὺς ἀνθρώπους κατέχοντας, καὶ τὴν βαϊφόρον δοξάζοντας. Ποίας δὲ διαλέκτου τὸ βαΐον ἐστὶ, καὶ τίνα σημασίαν ἔχει κατὰ Ῥωμαίους καὶ Ἕλληνας, δηλωθήσεται. Βαΐον κατὰ Ῥωμαίους οὔτε κλάδος ἐστὶν ἐκ δένδρου κοπτόμενος, οὔτε ῥόδον ἐκ ῥοδωνιᾶς συναγόμενον, οὔτε κρίνον ἐκ κρινωνιᾶς συλλεγόμενον· ἀνθρωπίνη [85] δὲ γνώμη, ἐκ τοῦδε εἰς τόδε μετάβασις, ἀγαθὴ δηλονότι ἢ πονηρά. Ἐντεῦθεν γὰρ τοὺς παιδοτρίβας βαϊούους κατονομάζομεν, ὡς τὰ νηπιώδη τῶν παίδων φρονήματα μετάγοντας πρὸς ἀῤῥένωσιν. Καὶ πραεβαριχάτορας λέγομεν, τοὺς ποικιλλομένους κατὰ τὴν ἶριν συνεργοὺς, καὶ προδιδόντας τοὺς πρόσφυγας. Τῆς γοῦν Ἰουδαίας καὶ Ἱερουσαλὴμ γενομένης ὑποχειρίας τῶν Ῥωμαίων τῷ στέμματι, μετὰ τὸ μοναρχῆσαι τὸν Ἰούλιον Καίσαρα, (οὕτω

Enimvero cujusmodi fuerint illa baia, quæ ab imperatoribus et patriarchis olim dabantur, equidem hactenus ignoro. Nec enim ab imperatoria vel patriarchali manu baium aliquod cum roga manus mea unquam accepit, licet ab eis alioqui tantum non quotidie collocupletetur, nec horum qualitatem ex aliis intellexi. Palmarum tamen, ac myrtorum ramos tenere manu homines video, cum diem celebrant, qua baia gestantur. Et cujusnam linguæ vocabulum sit baium, quamve significationem habeat secundum Romanos et Græcos, indicabitur. Baium lingua Romana neque ramum significat, ex arbore cæsum, neque rosam ex roseto collectam, neque lilium : sed est animi humani ab D una sententia in aliam traductio, bona videlicet, vel prava. Nimirum hinc fit, ut puerorum magistros appellemus baiulos, veluti qui puerorum animos infantes ad virilitatem traducant. Et prævaricatores dicimus eos cooperarios, qui variantur instar iridis, et clientes produnt. Itaque cum Judæa et Hierosolyma facta fuisset Romanorum imperio subdita, solo rerum potito Julio

VARIÆ LECTIONES.

[84] σταυροὶ κατὰ τὴν βαϊοφόρον. [85] ἀνθρωπίνης δὲ γνώμης.

Digitized by Google

Cæsare; (sic enim factum, ut Dominum Pilatus judicaret, ac Judæam Cæsar Augustus censeret, et Paulus cum damnaretur, diceret : Sisti me Cæsari oportet ;) paterna Judæorum lingua cum Romana commutata fuit. Quippe Judæi cum gentilibus permisti, eorum instituta didicerunt. Cum ergo populi Judaici seniores, et scribarum cœtus vidisset Dominum Deumque nostrum, qui tergis cherubicis insidet, per demissionem asinino vehi pullo, cum nihilominus more regio a præcedentibus et sequentibus stiparetur, ac Hierosolymæ dignitatem amplificaret (quippe Sionis urbem super universa tabernacula Jacobi dilexit) viderent etiam turbas ad terram tunicas suas substernentes, et vias melliores reddentes, pueris ramos gestantibus, ac dicentibus, Hosanna filio regis Davidis! benedictus es qui venis : non dixere cum prophetis, Laudate, pueri Dominum ; neque, Gaude vehementer filia Sionis, prædica gloriam Dei Hierosolyma, quoniam ecce rex tuus venit tibi mitis et servans, et vectus asinino pullo filio subjugalis. Cum enim os habeant, inquit ille, non loquentur : cum oculos, non videbunt : cum aures, non audient : quoniam cordibus eorum velamen legis et ignorationis incumbit.

Nimirum ut peccatores excandescebant, et accendebantur ira, et fremebant dentibus, et contabescebant, cum dicerent : Egredimini, gentes, egredimini, populi, ac vilete, quo pacto mundus universus post eum vadat. Ideoque gestationem ramorum non intelligentes, furiosorum more clamabant : Babæ; seducti sunt omnes, omnes inutiles facti sunt et deflexerunt. Proh : leges et præcepta Mosaica præter exspectationem baium facta sunt, hoc est, secundum ipsorum insaniam, redactio ad interitum. Ita jam recte declarata, mea quidem opinione, baiorum voce, dicendum, quo pacto et quamobrem a sanctissimis patriarchis post catechesin incensa dentur, die baiorum gestationis, cruces et cerei, rursus magna feria quarta cerei et incensa, die sancti Paschatis salutationes et tricipitia.

Dicimus ergo, quod cum natio Judæorum ad lucem cæcutiverit, et salutem appellaverit exitium, velut indicatum est (solet enim usuvenire, ut aurugine laborantibus mel sit amarum), nos eis contraria sentientes et facientes, (quippe solem non conniventibus oculis intuemur), cum ramorum gestatione conventus celebremus et insaniam ipsorum velut in triumpho spectandam exhibentes (facti sunt enim spectaculum mortalibus), confiteamur, ac nequaquam inficiemur, nos quidem esse factos baium fidei; sed ex umbra ad veritatem, sed ad immortalitatem ex mortalitate : neque nos pudet ramos illos appellare baia. In eadem exsistentes opione fidelissimi principes, annuis rogis baia miscebant, argento puta vel auro exornata. Quippe congratulabantur iis, qui hæc consequebantur, velut orthodoxis erga Deum, et ipsos erga principes benevolis. Quia vero principum quidem

A γὰρ καὶ Πιλάτος τὸν Κύριον ἔκρινε, καὶ τὴν Ἰουδαίαν Καῖσαρ Αὔγουστος ἀπεγράψατο, καὶ Παῦλος κατακρινόμενος ἔφη· Δεῖ με παραστῆναι τῷ Καίσαρι) ἡ πατρῴα τῶν Ἰουδαίων διάλεκτος πρὸς τὴν τῶν Ῥωμαίων μετεστοιχείωται. Τοῖς ἔθνεσι γὰρ ἐμίγησαν, καὶ ἔμαθον τὰ τούτων ἐπιτηδεύματα. Ἰδόντες τοίνυν τῶν Ἰουδαίων οἱ δημογέροντες, καὶ τῶν γραμματέων ὁ σύλλογος τὸν ἐπὶ νώτοις χερουβικοῖς καθήμενον Κύριον καὶ Θεὸν ἡμῶν, ἐπὶ πώλου μὲν ὄνου κατὰ συγκατάβασιν ἐποχούμενον, βασιλικῶς δὲ παρὰ τῶν προαγόντων καὶ τῶν ἑπομένων στενοχωρούμενον, καὶ τὴν Ἱερουσαλὴμ μεγαλύνοντα, ἠγάπησε γὰρ τὴν πόλιν Σιὼν ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ) καὶ τοὺς ὄχλους μὲν τῇ γῇ τοὺς χιτῶνας στρωννύοντας, καὶ τὰς ὁδοὺς μαλακίζοντας, τοὺς

B παῖδας δὲ κλαδηφοροῦντας καὶ λέγοντας· Ὡσαννὰ τῷ υἱῷ τοῦ βασιλέως Δαβίδ! εὐλογημένος εἶ ὁ ἐρχόμενος· οὐκ εἶπον μετὰ τῶν προφητῶν· Αἰνεῖτε, παῖδες Κύριον· οὐδὲ, Χαῖρε σφόδρα, θύγατερ Σιών, κήρυττε δόξαν Θεοῦ Ἱερουσαλήμ, ὅτι ἰδοὺ βασιλεύς σου ἔρχεταί σοι πραὺς καὶ σώζων, ἐπιβεβηκὼς εἰς πῶλον ὄνου, υἱὸν ὑποζυγίου. Ἔχοντες γὰρ στόμα, φησὶν, οὐ καλέσουσιν· ὀφθαλμοὺς, καὶ οὐκ ὄψονται· ὦτα, καὶ οὐκ ἀκούσουσιν· ὅτι ταῖς καρδίαις αὐτῶν κάλυμμα νόμου καὶ ἀγνωσίας ἐπίκειται.

Ἠγανάκτησαν δὲ ὡς ἁμαρτωλοὶ, καὶ ὠργίσθησαν, καὶ τοὺς ὀδόντας ἔβρυξαν, καὶ ἐτάκησαν, καὶ εἶπον· Ἐξέλθετε ἔθνη, ἐξέλθετε λαοὶ, καὶ ἴδετε, πῶς ὅλος ὁ κόσμος ὑπάγει ὀπίσω αὐτοῦ. Διὸ καὶ τῶν κλάδων

C μὴ συνιέντες τὸ δορυφόρημα, Βαΐαι κατὰ μαινομένους ἐβόησαν, βαΐαι πάντες πεπλάνηνται, πάντες ἠχρειώθησαν καὶ ἐξέκλιναν. Βαΐαι τῶν Μωσαϊκῶν παραγγελιῶν, βαΐον ἀπροσδόκητον γέγονε, τουτέστι κατὰ τὴν τούτων ἀπόνοιαν, μεταφορὰ πρὸς ἀπώλειαν. Οὕτω καλῶς σαφηνισθείσης, ὡς εἶμαι, τῆς τῶν βαΐων φωνῆς, ῥητέον ὅπως καὶ διατί παρὰ τῶν ἁγιωτάτων πατριαρχῶν μετὰ τὴν κατήχησιν θυμιάματα δίδονται, κατὰ τὴν βαϊοφόρον σταυροὶ καὶ κηρία, καὶ αὖθις κατὰ τὴν μεγάλην τετράδα κηρία καὶ θυμιάματα, καὶ κατὰ τὸ ἅγιον Πάσχα ἀσπασμοὶ καὶ τρικέφαλα.

Φαμὲν τοίνυν, ὡς τοῦ γένους τῶν Ἰουδαίων πρὸς τὸ φῶς ἀβλεπτήσαντος, καὶ τὴν σωτηρίαν πανωλεθρίαν κατονομάσαντος, ὡς βεβλήπται, (τοῖς γὰρ

D ἰκτεριῶσι τὸ μέλι πικρόν ἐστιν), ἡμεῖς τἀναντία τούτοις φρονοῦντες καὶ πράττοντες (ἀσκαρδαμυκτὶ γὰρ τὸν ἥλιον βλέπομεν) κλαδηφοροῦντες πανηγυρίζομεν, καὶ τὴν ἐκείνων ἀπόνοιαν θριαμβεύοντες, θέατρον γὰρ καὶ ἀνθρώποις γεγόνασιν), ὁμολογοῦμεν καὶ οὐκ ἀρνούμεθα, βαΐον γεγονέναι τῆς πίστεως· ἀλλ' ἐκ σκιᾶς πρὸς ἀλήθειαν, ἀλλ' εἰς ἀθανασίαν ἀπὸ θνητότητος· καὶ βαΐα τοὺς κλάδους κατονομάζοντες, οὐκ ἐπαισχυνόμεθα. Οὕτω φρονοῦντες καὶ οἱ πιστότατοι βασιλεῖς, ταῖς ἐτησίοις ῥόγαις βαΐα συνεπρυτάνευον, ἐξ ἀργύρου τυχὸν ἢ χρυσοῦ καλλυνόμενα. Συνέχαιρον γὰρ τοῖς λαμβάνουσι ταῦτα ὀρθοδοξοῦσι τὰ πρὸς Θεὸν, καὶ εὐνοουμένοις τὰ πρὸς αὐτούς. Ἐπεὶ δὲ τῶν μὲν βασιλέων αἱ ῥόγαι, καὶ τῶν βαΐων τὰ ἄνθη τὰ ταύταις συνανατέλλοντα,

Digitized by Google

πρὸ χρόνων ἐσχόλασαν, δι' ἣν αἰτίαν ἄνωθεν εἴπομεν· τῶν δὲ θείων πατριαρχῶν αἱ ῥόγαι δημοσιεύονται, καὶ ἡ συνήθως διδομένη ῥόγα κατὰ τὴν κυρίως ἀπόκρεω, εἰς τὴν ἐτησίως προβαίνουσαν ἐκκλησιαστικὴν ῥόγαν κατὰ τὴν μεγάλην τρίτην μετέπεσε, καθὼς, τὰ παλαιὰ λαλοῦσι ῥογάλια, διδόασιν οἱ πατριάρχαι μετὰ τὴν κατήχησιν τῷ λαῷ ὡς βαΐα τὰ θυμιάματα· παρεγγυώμενοι δι' αὐτῶν ὡσανεὶ τοῖς λαμβάνουσι, μεταπεσεῖν ἐκ τῆς φαύλης διαγωγῆς, καθὼς που καὶ καθηγήθησαν, καὶ δι' ὀλιγομέρου ἐπιστροφῆς βασιλείαν αἰώνιον ἀνταλλάξασθαι. Εὐτελέσι δὲ θυμιάμασι κατὰ σμικρολόγους καὶ κίμβικας οὐκ ἐλαττονοῦσι τὸ μεγαλεῖον τοῦ Πνεύματος· (πῶς γὰρ οἱ πᾶσαν τὴν οἰκουμένην φιλανθρωπίαις παντοδαπαῖς σαγηνεύοντες, καὶ πᾶσαν πενητεύουσαν αὐλακίζοντες ἄρουραν, καὶ πολύχουν εὐεργεσίας θερίζοντες ἄσταχυν;) ἀλλὰ τῆς ἡμέρας τὴν δύναμιν αἰνιττόμενοι, καὶ διδάσκοντες ὥσπερεὶ δι' αὐτῶν τοὺς λαμβάνοντας, ὁποῖον εἶναι δεῖ τὸ ψυχικὸν κατάστημα τοῦ νηστεύοντος, καὶ τῆς μετανοίας τὸ ὁλοκαύτωμα, καὶ τῆς προσευχῆς τὸ θυμίαμα. Καὶ τότε μὲν οὕτω κατευθύνουσι τῆς νηστείας τὸ στάδιον. Κατὰ δὲ τὴν τῆς βαϊοφόρου χαρμόσυνον κυριώνυμον, ὡς ἀθλοθέται καθίσαντες, (Ἐκάθισε γάρ, φησὶν, ὁ κρίνων δικαιοσύνην,) δεξιοῦνται τοὺς τὸ παγκράτιον τῆς νηστείας νικήσαντας, τιμίων καὶ ἁγίων σταυρῶν ἁγιάσμασι, καὶ κηρίων φωτοβόλων χαρίσμασιν. Οὐδὲ γὰρ θέλουσι σκιαμαχεῖν τοὺς πιστοὺς κατ' ἐκείνους τοὺς νηπιόφρονας, ἀλλ' ὡς ἤδη τῆς δικαιοσύνης τὸν ἥλιον βλέποντας, τὴν νέαν Σιὼν διὰ πώλου φωτίζόντα, προτρέπονται δι' αὐτῶν τοῖς ἤδη νηστεύουσι νηστείαν Κυριακὴν τεσσαρακονθήμερον, καὶ τῶν παθῶν τὰ νέφη διώξασι, συνανατέλλειν μετὰ τοῦ γίγαντος. Βαΐα μὲν κατέχουσι ταῖς χερσὶ, διὰ τὸ μεταπεσεῖν ἐξ ἐμπαθοῦς καὶ κοινοτέρας ἴσως διαγωγῆς πρὸς ὑψηλοτέραν καὶ ἀπαθῆ· κηρία δὲ καὶ σταυροὺς, διὰ τὸ καταβαλεῖν μετὰ τοῦ τῆς ἀληθείας φωτὸς τὸ ἀρχέκακον Σατὰν καὶ ἀντίπαλον. Καὶ τί γὰρ ἄλλο δῶρον δοθήσεται τοῖς δι' ἐγκρατείας νικήσασι τὸ μέγα τῆς νηστείας παγκράτιον, τοῦ τριποθήτου θείου σταυροῦ τιμιώτερον, τοῦ μύλας ᾅδου παμφάγου συντρίψαντος, καὶ πύλας ζωῆς τῷ γένει τῶν ἀνθρώπων ἀνοίξαντος; Πάντως οὐδέν· εἰ μή τις εἴποι τὸν δι' αὐτοῦ τὴν σωτηρίαν ἡμῖν σχεδιάσαντα Ἰησοῦν Χριστὸν καὶ Θεὸν ἡμῶν. Ἐπεὶ δὲ καὶ βασιλέα πολλαῖς δορυφορούμενον κυριότησιν, ἀμέσως ἢ κατὰ ῥυπαροῦ καταστήματος οὐκ ἔξεστιν ὑποδέξασθαι, Νῦν μὲν, φησὶν ὁ μέγας ἀρχιερεὺς, τοῖς ἀγχεμάχοις συναριθμήθητε, τοῖς σφενδονήταις συστοιχειώθητε, τοῖς ἀκοντισταῖς συνανάβητε, καὶ τοῖς τροπαιοφόροις συνανακλίθητε. Μετὰ δὲ μικρὸν ἀνοιχθήσονται ὑμῖν τὰ ἀνάκτορα, καὶ ἴδητε τὸν οὐρανοῦ καὶ γῆς βασιλεύοντα ἀπερίγραπτον Κύριον καὶ Θεὸν ἡμῶν σαρκικῶς χερσὶ δικαίων περιγραφόμενον, καὶ ζωὴν ἀτελεύτητον ἀντὶ βαΐων φιλοτιμούμενον. Καὶ κατὰ μὲν τὴν χαρμόσυνον κυριώνυμον τῆς τῶν βαΐων σεπτῆς πανηγύρεως, κηρία καὶ σταυροὺς λαμβάνοντες οἱ λαοὶ, τὴν κατὰ τοῦ θανάτου νίκην ἑαυτοῖς προμνηστεύονται, καὶ ὡς ἀστέρες κα-

A rogæ baiorumque flores, qui cum rogis exoriebantur, ante multos annos desierunt ex ea causa, quam indicavimus; cum rogæ patriarcharum adhuc in usu publico sint, quæque pro more datur roga die carnis privii, sic immutata sit, ut in anniversariam rogam ecclesiasticam magnæ feriæ tertiæ incidat, quemadmodum antiqua Rogalia loquuntur: idcirco dant patriarchæ populo post catechesin incensa, loco baiorum; velut admonentes illos, qui ea sumunt, ut rationem vivendi pravam relinquant, sicut edocti sint, ac per conversionem paucorum dierum sibi regnum illud æternum comparent. Cæterum per hæc incensa vilis pretii, more parcorum hominum et avarorum, majestatem spiritus non deminuunt, (quo enim id pacto facerent ii,
B qui terrarum orbem universum variis beneficiis irretiunt, et omne arvum sterile sulcant, opimasque beneficentiæ spicas metunt?) sed occultam ejus diei vim indicare volunt, quasique docere per hæc eos, qui ea sumunt, qualis esse debeat animi status in eo, qui jejunium observat, quale holocaustum pœnitentiæ, et precationis incensum. Ac tunc quidem ita jejunii curriculum dirigunt. At vero læta illa die Dominica baiorum gestationis, solentes pro more distribuentium præmia (quippe consedit, inquiunt Litteræ sacræ, qui judicat justitiam), victores in certamine jejunii pretiosarum sanctarumque crucium lustrationibus, et cereorum lucentium donis excipiunt. Quippe non cum umbris
C dimicare fideles volunt, fatuorum more, sed eos veluti jam aspicientes justitiæ solem, qui novam Sionem per pullum illuminat, per hæc exhortantur, ut absoluto Dominico dierum quadraginta jejunio, et nubibus vitiorum expulsis, una cum hoc gigante (dicto nimirum sole) exoriantur. Et baia quidem manibus propterea tenent, quod traducti sint a vitiosa profanaque fortasse vita, ad sublimiorem et vitiorum expertem: cereos vero cum crucibus, quod cum lumine veritatis auctorem omnis mali et adversarium suum Satanam prostraverint. Et quodnam aliud donum iis, qui per continentiam in illo magno jejunii certamine victores exstiterint, dari pretiosius possit optatissima sacra cruce, quæ omnia devorantis inferni genuinos comminuit,
D et humano generi vitæ portas aperuit? omnino nullum, nisi quis dicere velit Jesum Christum Deum nostrum, qui per crucem nobis salutem acquisivit. Et quoniam regem multorum dominatuum satellitio stipatum sine medio, vel cum statu sordido non licet excipere; Nunc quidem, inquit magnus ille pontifex, inter pedem conferentes numeremini, funditorum ordine consistite, cum sagittariis pergite, cum gestantibus tropæa procumbite. Verum post exiguum temporis intervallum ipsa regia vobis aperietur, ac videbitis cœli terræque Regem, nullis circumscriptum terminis Dominum Deumque nostrum carnaliter justorum manibus circumscribi, vitamque vobis fine carentem baiorum loco largiri. Ac læta quidem illa die Dominica venerabilis baio-

Digitized by Google

rum festivitatis, dum populi cereos et cruces accipiunt, victoriam adversus mortem sibi certo despondent, et instar siderum illuminant expertem astrorum sphæram desperationis; vel tanquam servi fideles, qui faces gestant, per trivia circumeuntes, adventum sponsi splendidiorem reddunt, deque lepra sectariorum in caligine sedentium quasi triumphant. Post diem vero tertium curator ille humanarum animarum, videlicet ipse patriarcha, quasi rationibus secum expensis, ne quis clam ipso salutaris passionis præmia tractet indigne (nam ipsum mel quoque sæpius dulcedinem suam in vomitum convertere solet, si aliter quam expediat, sumptum sit), instar custodis vigilacis matutius surgens, incensi dat fidelibus, indicare per hæc volens, et admonere, ne festivo more, sed pugilum ritu deinceps dierum curriculum suscipiant. Licet enim, inquit, absque periculo magnum illud jejunii pelagus a crucis velo sublevati trajecistis, et ad divinum portum sanctorum Christi Deique nostri cruciatum appulistis: tamen instar illius prudentis negotiatoris, inæstimabilem illum unionem consecuti non estis. Adhuc enim prædones ac latrones studiose domino per tenebras insidiantur, et reti quodam homicidii consuto, capiendi ejus occasionem quærunt. Igitur etiam deinceps vigilemus, et cum Judæis excubias agentibus excubemus. Ipsi quidem in tenebris per mare vagabuntur, incassum retia laxantes: nos autem ambulemus in die, ac lucis opera consequemur: ipsi sudes hamis uncinabunt, nos prædam lucrabimur: ipsi unionem in lapide tegent, nos eum in testaceis vasis recondemus. Postquam in hunc modum data sunt incensa, et populus rursum manus suas ad jejunii pelagus prospero cursu direxit, noctemque sanctorum Christi cruciatuum faculis accensis collustravit (nam in die ambulantes, ut eorum more, qui ambulant in tenebris, nocturna faciant itinera fieri nullo modo potest): tum vero sponsus Ecclesiæ rursus exoriens instar matutini aut vespertini Arcturi, die fausto sancti Paschatis Dominico velut alter divinus Moses sinu suo Christi populum excipit, quasque congratulans eis, qui omnem sceleritatem Ægyptiacam excusserint, et Pharaonem persecutorem mari submerserint: Adeste, inquit, aspicite vos mercatores orthodoxæ doctrinæ, qui citra periculum pelagus jejunii trajecistis, quoniam invidiæ fluctus vitæ thesaurum jactaverit: ubinam insomnem illum unionem turbinis æstus abreptum in sepulcro, tanquam in ostreo, cælaverit. Cumque videritis saniem vi fulguris divini commotam, et unionem propria potestate prodeuntem, ac expositum emptoribus citra ullum pretium; accipite eum vobisque peculiarem facite, ac vitæ æternæ thesaurum vobismetipsis acquirite. Fortassis etiam more patris liberum amantis, qui

A ταφωτίζουσι τὴν ἀναστρον σφαῖραν τῆς ἀπογνώσεως, ἢ ὡς δοῦλοι πιστοὶ λαμπαδηφόροι τὰς τριόδους περιερχόμενοι, τοῦ νυμφίου τὴν ἐνδημίαν καταλαμπρύνουσι, καὶ τὴν λώβην τῶν ἐν σκότει καθημένων αἱρεσιωτῶν θριαμβεύουσι. Μετὰ δὲ τρίτην ἡμέραν, ὁ τῶν ἀνθρωπίνων ψυχῶν κηδεμών, ὁ πατριάρχης φημὶ, καθ' ἑαυτὸν ὥσπερ συλλογισάμενος, μὴ λάθῃ τις ἀχρειῶσαι τοῦ σωτηρίου πάθους τὰ ἔπαθλα, (καὶ μέλι γὰρ εἴωθε πολλάκις τὴν ἡδύτητα μετάγειν εἰς ἔμετον, εἰ μεταληφθείη παρὰ τὸ χρήσιμον,) ὡς ἄγρυπνος φύλαξ ἀναστὰς ὀρθριαίτερον, δίδωσι τοῖς πιστοῖς θυμιάματα, ὁμιλῶν οἷον διὰ τούτων αὐτοῖς, καὶ ὑποτιθέμενος, μὴ πανηγυρικῶς, ἀλλὰ ἀγωνιστικῶς τῶν ἐφεξῆς τριῶν ἡμερῶν τὸ στάδιον ἀναδέξασθαι. Κἂν γὰρ ἀκινδύνως, φησὶ, τὸ μέγα τῆς B νηστείας διεπεραιώθητε πέλαγος τῷ ἱστίῳ τοῦ σταυροῦ κουφιζόμενοι, καὶ παρὰ τῷ θείῳ λιμένι τῶν ἁγίων παθῶν τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν κατηντήσατε, ἀλλὰ τὸν ἀτίμητον οὐκ ἐπλουτήσατε μάργαρον, ὡς ἐκεῖνος ὁ φρόνιμος ἔμπορος. Ἔτι γὰρ ἅρπαγες καὶ λῃσταὶ σπουδαίως ἐρεθοδιφῶσι τὸν Κύριον, καὶ σαγήνην μιαιφονίας συρράψαντες, καιροσκοποῦσι τούτου τὴν ἅλωσιν. Ἐρηγορήσωμεν τοίνυν καὶ ἐφεξῆς, καὶ τοῖς ἀγρυπνοῦσιν Ἰουδαίοις συναγρυπνήσωμεν. Αὐτοὶ μὲν γὰρ ἐν σκότει ποντοπορήσουσι, κεναῖς ὠλέναις ἀφάσσοντες δίκτυα· ἡμεῖς δ' ἐν ἡμέρᾳ περιπατήσωμεν, καὶ τοῦ φωτὸς τὰ ἔργα ληψόμεθα. Αὐτοὶ τοὺς σκόλοπας ἀγκιστρεύσουσιν, ἡμεῖς δὲ τὴν ἄγραν κερδήσωμεν. Αὐτοὶ τὸν μάργα- C ρον ἐν λίθῳ καλύψουσιν, ἡμεῖς δὲ τοῦτον ἐν ὀστρακίνοις ἀποθησαυρίσωμεν σκεύεσιν. Οὕτω γινομένης καὶ ταύτης τῶν θυμιαμάτων τῆς διαδόσεως, καὶ τοῦ λαοῦ τὰς χεῖρας πάλιν ἐπὶ τὸ τῆς νηστείας οὐριοδρομήσαντος πέλαγος, καὶ τὴν νύκτα τῶν ἁγίων παθῶν τοῦ Χριστοῦ λαμπάσι καταπυρσεύσαντος, (τοὺς γὰρ ἐν ἡμέρᾳ περιπατοῦντας νυκτοβατεῖν κατὰ τοὺς ἐσκοτισμένους ἀδύνατον,) ὁ τῆς Ἐκκλησίας νυμφίος ἀνατείλας καὶ πάλιν, καθά τις εἶπε, ἠῶος ἀρκτοῦρος καὶ ἀκροκνέφαιος, κατὰ τὴν φαιδρὰν τοῦ ἁγίου Πάσχα ἡμέραν τὴν κυριώνυμον ὡς ἄλλος θεσπέσιος Μωσῆς τὸν τοῦ Χριστοῦ λαὸν ἐγκολπίζεται. Καὶ συγχαίρων οἷον αὐτοῖς, πᾶσαν Αἰγυπτιακὴν ἀποτιναξαμένοις κακότητα καὶ Φαραὼ διώκτην καταποντίσασι· Δεῦτε, φησὶν, ἴδετε τῆς ὀρθοδοξίας οἱ ἔμποροι, οἱ τὸ τῆς D νηστείας ἀκινδύνως περάσαντες πέλαγος, ποῦ τὸ μέγα κῦμα τοῦ φθόνου τὸν τῆς ζωῆς θησαυρὸν ἀπεκύλισε· ποῦ τὸν ἀκοίμητον μάργαρον εὐρακλύδων τυφωνικὸς ὡς ἐν ὀστρέῳ τῷ τάφῳ κατέκρυψε. Καὶ ἰδόντες τὸ μὲν ἕλυτρον μετασαλευθὲν δυνάμει θείᾳ ἀστραπῆς, τὸν δὲ μάργαρον αὐτεξουσίως ἐξανατείλαντα, καὶ εἰς ἐμποριαν προκείμενον ἀπραγμάτευτον, λάβετε τοῦτον καὶ ἰδιώσασθαι [86], καὶ ζωὴν αἰώνιον ἑαυτοῖς ἀποθησαυρίσατε. Τάχα δὲ καὶ κατὰ πατέρα φιλόστοργον, νῦν πρώτως ἰδόντα παῖδας ἀμύμονας, ἀπὸ μακρᾶς καὶ κινδυνώδους ἀποδημίας ἀβλαβῶς ἐνδημήσαντας, ἐν φιλήματι ἁγίῳ περιχυ-

VARIÆ LECTIONES.

[86] ἰδιώσασθε.

Digitized by Google

ρῶς κατασπάζεται, καὶ ἀνοίξας τοὺς θησαυροὺς τῆς εὐλογίας αὐτοῦ, δεξιοῦνται τούτους νομίσμασιν, ὀλίγοις μὲν κατὰ τὸ φαινόμενον, πολλοῖς δὲ κατὰ τὸ νοούμενον. Ἀφορῶν γὰρ εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν, ἀρραβωνίζεται δια τούτων αὐτοῖς καὶ τὴν τοῦ ἁγίου Πνεύματος ἐπιφοίτησιν.

A jam primum filios videt ex loginqua et periculosa peregrinatione domum illæsos redeuntes, lætabundus eos cum osculo sancto salutat, et apertis thesauris benedictionis suæ, numismatis eos excipit, exiguis quidem illis in speciem; sed magnis ejus ratione, quod intelligitur. Quippe respiciens in auctorem et consummatorem fidei, Jesum Christum, verum illum Deum nostrum; velut arrha data per hæc eis pollicetur futurum, ut Spiritus sanctus super eos veniat.

Ταῦτα ἡμεῖς ὡς ἀρχιτέκτονες γέροντες γεγράφαμέν σοι, σοφώτατε, καὶ ὑπεδείξαμέν σοι ἀπολογίας θεμέλιον. Σὺ δὲ ὡς ἄλλος Βεσελεὴλ, ἐποικοδομήσεις τὸ ἀληθές. Θεμέλιον γὰρ ἄλλον οὐδεὶς, φησὶ, δύναται θεῖναι παρὰ τὸν κείμενον, Ἰησοῦν Χριστὸν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

Hæc nos veluti provectiores architecti scripsimus tibi, vir eruditissime, ac fundamentum satisfactionis quasi digito commonstravimus. Tu velut alter Beseleel, verum superstrues. Quippe fundamentum aliud, ut ille inquit, nemo ponere potest præter id, quod positum est, Jesum scilicet Christum, cui gloria et imperium in sæcula. Amen.

B

ΤΟΥ ΑΥΤΟΥ

EJUSDEM

Μελέτη, χάριν τῆς εἰς τοὺς θείους ναοὺς τῶν μοναστηρίων γινομένης μετακλήσεως διὰ σημαντηρίων τριῶν.

Meditatum, de convocatione, quæ fit ad sacras monasteriorum ædes, per tria signa.

Βλέπων ἀπειροκάλους τινὰς, καὶ πρὸς μηδὲν εὐκαιροῦντας ἐπωφελὲς, ἀλλ' ἢ λέγειν τι καὶ ἀκούειν καινότερον, ματαίαν ἀποκαλοῦντας καὶ σκανδαλοποιὸν τὴν διὰ σημαντηρίων τριῶν εἰς τοὺς ναοὺς γινομένην τῶν μοναζόντων μετάκλησιν, χάριν τῆς τῶν θείων δοξολογιῶν ἀκροάσεως· (Ἤρκει γὰρ, φησὶ, δι' ἑνὸς αὐτοὺς μεταστέλλεσθαι, καὶ μὴ γίνεσθαι κατὰ τῶν ἁγίων Ἐκκλησιῶν τοῦ Θεοῦ μυκτηρισμὸν καὶ χλευασμὸν παρὰ τῶν κυκλούντων ἡμᾶς ἀσεβῶν· κἀντεῦθεν καὶ παραβολὴν ἐν τοῖς ἔθνεσι, μηδὲ θριαμβεύεσθαι τὸ μοναχικὸν, ὡς δῆθεν εἰς μίαν διαλαλιὰν μὴ εὐσυνθετοῦν·) παριστῶ διὰ τῆς παρούσης μου γραφῆς, ὡς οὔτε διὰ τὰς φληναφίας τῶν ἀσεβῶν, οὔτε διὰ τὰς δυσκολίας τῶν μοναστῶν ἐπενοήθη, διὰ σημαντηρίων τριῶν τὰς θείας δοξολογίας ἐπικηρύττεσθαι· ἀλλὰ διὰ λόγον ἀρχαιοπαράδοτον σπουδαιότατον.

Quoniam video quosdam imperitos, et nullam ad rem utilem idoneos, quam ut aliquid novi dicant et audiant stultam ac scandali plenam vocare convocationem monachorum ad sacras ædes, quæ tribus fit signis, celebrationes divinas audiendi causa (Sufficiebat enim, inquiunt, uno duntaxat eos signo congregari, nec præberi causam subsannandi et irridendi sanctas Dei Ecclesias circumdantibus nos impiis, ut parobola fiant inter paganos, nec statum monasticum velut in triumpho spectandum exhiberi, quasi ad unam commonitionem se recte non componat); equidem hoc scripto probabo, nec propter illas impiorum nugas, nec propter monachorum morositates excogitatum esse, ut tribus signis glorificationes divinæ denuntientur: sed propter magni momenti rationem quamdam, ab antiquis sæculis per manus traditam.

C

Τῶν γὰρ ἐπ' Ἐκκλησίας γινομένων ἡμερινῶν καὶ νυκτερινῶν δοξολογιῶν, κατὰ τὸ τοῦ προφήτου Δαβὶδ θεσπιώδημα, τὸ λέγον· Ἐν ἑσπέρᾳ, καὶ πρωῒ, καὶ μεσημβρίᾳ διηγήσομαι, καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεταί τῆς φωνῆς μου ὁ Κύριος· ἀπὸ τῆς Νέας δηλαδὴ καὶ τῆς Παλαιᾶς, κατὰ τῶν ἁγίων καὶ θεοφόρων Πατέρων παράδοσιν, ὡρίσθη πρὸ πάντων δοξάζεσθαι τὸν Θεὸν ἀπὸ τῆς θείας κιννύρας τοῦ θεοπάτορος (Ἀνοίξω γὰρ, φησὶν, ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου) καὶ μετὰ τὴν τούτου ἀνάπτυξιν, τὸν θεῖον μελισσῶνα τῆς Ἐκκλησίας ἐξαγωνίζεσθαι, διὰ κηρίου διδασκαλιῶν εὐαγγελικῶν, τοῦ κέντρου φωτίζοντος τὴν σκοτόμαιναν· διὰ μέλιτος γραφῶν ἀποστολικῶν, γλυκαίνοντος τῆς οἰκουμένης τὰ πέρατα· καὶ διὰ μαρτυρικῶν ἀφηγήσεων, μεγαλυνουσῶν τὸν ἔνσαρκον οἰκονομίαν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν. Διὸ καὶ χάριν μὲν τῶν ἓξ ψαλμῶν τοῦ θεοπάτορος, καὶ λοιπῶν, τῶν ἐν τῇ ὀρθρινῇ δοξολογίᾳ πρὸ τοῦ ἁγιοπολίτου ψαλλομένων ἑκάστοτε, καὶ ταῖς ψαλλομένων συνήθως ἐν ταῖς θείαις ἱεροτελεστίαις καὶ ταῖς ἑσπεριναῖς προσευχαῖς, πρὸ

Quippe cum Dei celebrationes, quæ interdiu et noctu fiunt in Ecclesia, juxta Davidis prophetæ oraculum, cujus verba sunt: Vesperi, et mane, et in meridie narrabo, et renuntiabo, vocemque meam Dominus audiet: cum igitur hæ perficiantur ex duobus Testamentis, Novo scilicet ac Veteri, juxta sanctorum et divinitus afflatorum Patrum traditionem: ante omnia sancitum est ut glorificetur Deus per sacram Davidis citharam, (Aperiam enim, inquit, in psalterio quæstionem meam) et post explicationem ejus, ut sacrum examen Ecclesiæ semet exerceat per evangelicarum doctrinarum favum, stimulo caliginem illuminante; perque mel apostolicorum scriptorum, quod dulcedinem finibus orbis terrarum offert; ac per narrationes denique de martyribus quæ administrationem in carne Christi Deique nostri amplificant. Ideoque propter sex illos Davidis psalmos, et reliquos, qui assidue in glorificatione matutina canuntur ante hagiopolitam; et propter eos, qui pro more canuntur, cum res divina peragitur, et

D

Digitized by Google

In precibus vespertinis, ante lectiones apostolicas, et evangelicas, atque etiam versibus inclusas, accessuntur monachi per signum quoddam exiguum, quasique humilius et obscurius. Nam quæ Veteri Testamento veluti per umbras delineantur, figura futurorum erant, et simulacra. Propter divinorum autem Evangeliorum prædicationem, et sacram reliquorum ad conventus publicos pertinentium librorum lectionem, et propter universum simpliciter hagiopolitæ ordinem, magnum signum inventum est. In universam enim terram, et ad fines orbis terrarum utilitas ex eis proveniens penetravit. Quæ cum ita modo quodam Deo grato ac religiose peragantur, oportebat populum Domini etiam de futuro commonefieri judicio, cujus causa in genua procumbimus, ac preces fundimus. Itaque statutum est, debere Christianos per signum aheneum illius ultimi diei admoneri. Scriptum est enim : Ascendit Deus in jubilatione, Dominus in voce tubæ. Item, Clangent angeli Dei tuba, et mortui resurgent, et retribuetur cuique secundum opera sua. Quod autem in generalibus urbium ecclesiis plebes non convocentur tribus signis, sed uno quodam magno : non ordinis ecclesiastici subversio est. Convocatur enim populus manuariis opificiis deditus, quique ligoni et aratro vacat. Itaque boni consulere debet, si publico intersit cœtui, cum Novi Testamenti lectiones recitantur. Ac nobis quidem, qui per Dei gratiam servamus immotam omnem traditionem ecclesiasticam, hunc ordinem sequi visum est. Latinis vero, male a nobis divisis, et quorum cor obduratum est a Satana, licet in sermonibus oleo sint molliores, alia quædam consuetudo convocandi populum sacras ad ædes est tradita. Nam uno duntaxat utuntur signo, campana scilicet, quæ a campo sic dicitur. Quemadmodum enim campus cujusvis itineri citra ullum expositus est impedimento, sic et illius ahenei tintinnabuli sublimis vox, universis accessu facilis patet. Ac pluribus sane signis Latini et Itali propterea non indigent, quod cantionibus hagiopoliticis non utantur, sed sola Davidis cithara.

A τῶν ἀποστολικῶν ἀναγνωσμάτων καὶ εὐαγγελικῶν, ἀλλὰ μὴν καὶ τῶν στιχηρῶν, μετακαλοῦνται οἱ μοναχοὶ διὰ σημαντηρίου μικροῦ, καὶ οἷον ταπεινοτέρου, καὶ σκοτεινοῦ. Τὰ γὰρ τῇ Παλαιᾷ Διαθήκῃ σκιαγραφούμενα, τύπος τῶν μελλόντων ἦσαν, καὶ εἰκονίσματα. Χάριν δὲ τῆς τῶν θεοφθόγγων Εὐαγγελίων ἀνακηρύξεως, καὶ λοιπῶν πανηγυρικῶν βιβλίων ἱερᾶς ἀναγνώσεως, καὶ τῆς ὅλης ἀκολουθίας τοῦ ἁγιοπολίτου ἁπλῶς, τὸ μέγα σημαντήριον εὕρηται. Εἰς πᾶσαν γὰρ τὴν γῆν καὶ εἰς τῆς οἰκουμένης τὰ πέρατα ἡ ἐκ τούτων διῆλθεν ὠφέλεια. Οὕτω δὲ τούτων τελουμένων θεαρέστως καὶ εὐσεβῶς, ἔδει τὸν τοῦ Κυρίου λαὸν καὶ περὶ τῆς μελλούσης ὑπομιμνήσκεσθαι κρίσεως, δι' ἣν, γονυκλισοῦμεν καὶ προσευχόμεθα. Τετύπωται γοῦν, διὰ σημαντηρίου χαλκοῦ, περὶ B τῆς τελευταίας ἡμέρας ἐκείνης τοὺς χριστωνύμους ὑπομιμνήσκεσθαι. Ἀνέβη γάρ, φησὶν, ὁ Θεὸς ἐν ἀλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος. Σαλπίσουσιν οἱ ἄγγελοι τοῦ Θεοῦ, καὶ οἱ νεκροὶ ἀναστήσονται, καὶ ἑκάστῳ ἀποδοθήσεται κατὰ τὰ ἔργα αὐτοῦ. Τὸ δὲ κατὰ τὰς καθολικὰς ἐκκλησίας τῶν πόλεων μὴ μετακαλεῖσθαι τὰ πλήθη διὰ σημαντηρίων τριῶν, ἀλλὰ διὰ μεγάλου ἑνός, οὐκ ἔστι τῆς ἐκκλησιαστικῆς ἀκολουθίας ἀνατροπή. Λαὸς γὰρ μετακαλεῖται χειρώναξ, καὶ περὶ σκαπάνην ἠσχολημένος καὶ ἄροτρον. Ἔστι τοίνυν ἀγαπητὸν ἐκκλησιάσαι τοῦτον κἂν εἰς τῆς Νέας Διαθήκης τὰ ψαλτῳδήματα. Καὶ ἡμῖν μὲν τοῖς φυλάττουσι τῇ χάριτι τοῦ Θεοῦ πᾶσαν ἐκκλησιαστικὴν παράδοσιν C ἀμετάπτωτον, οὕτω πολιτεύεσθαι δέδοκται. Τοῖς δὲ Λατίνοις μερισθεῖσι κακῶς ἀφ' ἡμῶν, καὶ πωρωθεῖσι τὴν καρδίαν ὑπὸ τοῦ Σατανᾶ, κἂν τοῖς λόγοις ὑπὲρ ἔλαιον ἁπαλύνωνται, ἄλλη τις παρεδόθη συνήθεια, περὶ τῆς εἰς τοὺς ναοὺς μετακλήσεως τοῦ λαοῦ. Ἑνὶ γὰρ κέχρηνται σημαντηρίῳ, τῇ καμπάνᾳ φημὶ, ἥτις ἐκ τοῦ κάμπου μετονομάζεται. Ὡς γὰρ ὁ κάμπος (φασὶ) βουλομένοις εἰς ὁδοιπορίαν ἀνεμπόδιστος πρόκειται, οὕτω καὶ τῆς χαλκοστόμου κώδωνος ἡ μετέωρος διαλαλιὰ τοῖς πᾶσιν εὐπρόσιτος ἥπλωται. Πολλῶν δὲ σημαντηρίων οὐκ ἔστι χρεία Λατίνοις καὶ Ἰταλοῖς, ὅτι μηδὲ ψαλτῳδημάτων ἁγιοπολιτικῶν, ἀλλὰ μόνης τῆς κινύρας τοῦ θεοπάτορος.

Digitized by Google

ΘΕΟΔΩΡΟΥ ΔΙΑΚΟΝΟΥ

ΤΟΥ ΕΠΙΚΛΗΘΕΝΤΟΣ

ΒΑΛΣΑΜΩΝ

ΤΩΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΔΙΑΤΑΞΕΩΝ

ΣΥΛΛΟΓΗ.

—

THEODORI DIACONI

COGNOMENTO

BALSAMONIS

ECCLESIASTICARUM CONSTITUTIONUM

COLLECTIO,

Quæ jam pridem a Joan. Leunclavio sub Paratitlorum nomine Latine edita est an. MDXCIII, nunc vero Græce primum in lucem prodit, ex duobus antiquis codicibus inter se collatis, una cum ejusdem Leunclavii versione.

Carolus Annibal Fabrotus J. C. hanc tralationem cum Græci codicibus contulit, emendavit, et notas adjecit.

—

ΣΥΝΑΓΩΓΗ

ΤΩΝ ΕΙΡΗΜΕΝΩΝ ΕΝ ΤΩ ΚΩΔΙΚΙ, ΚΑΙ ΤΟΙΣ ΔΙΓΕΣΤΟΙΣ, ΚΑΙ ΝΕΑΡΑΙΣ ΔΙΑΤΑΞΕΣΙ, ΠΕΡΙ ΕΠΙΣΚΟΠΩΝ, ΚΑΙ ΚΛΗΡΙΚΩΝ, ΚΑΙ ΜΟΝΑΧΩΝ ΚΑΙ ΠΡΑΓΜΑΤΩΝ ΕΓΑΓΩΝ, ΕΤΙ ΔΕ ΚΑΙ ΙΟΥΔΑΙΩΝ ΚΑΙ ΑΙΡΕΤΙΚΩΝ.

—

COLLECTIO

EXPOSITORUM IN CODICE, ET DIGESTIS, ET NOVELLIS CONSTITUTIONIBUS, DE EPISCOPIS, ET CLERICIS, ET MONACHIS, ET REBUS SACRIS, ATQUE ETIAM DE JUDÆIS ET HÆRETICIS (1).

—

LIBER PRIMUS.

ΕΚ ΤΟΥ ΠΡΩΤΟΥ ΒΙΒΛΙΟΥ ΤΟΥ ΚΩΔΙΚΟΣ. — EX LIBRO I CODICIS.

—

ΤΙΤΛΟΣ Α'.

Περὶ τῆς ἀνωτάτω Τριάδος, καὶ τῆς καθολικῆς πίστεως· καὶ περὶ τοῦ μηδένα τολμᾶν περὶ αὐτῆς ἀμφισβητεῖν.

Α'. *Ἑρμηνεία.* Ὁ μὴ δοξάζων τὴν ἁγίαν Τριάδα

TITULUS I.

De summa Trinitate, et fide catholica : et ut nemo de ea publice contendere audeat.

I. Qui sacrosanctam Trinitatem (2), in una dei-

Annibalis Fabroti notæ.

(1) Theodorum Balsamonem hujus Collectionis auctorem

(2) *Qui sacrosanctam Trinitatem.* Hæc epitome totidem verbis exstat apud Photium Nomocan. tit. 12, c. 2; quæ autem habetur tit. 4, c. 1, est ex Basilicorum lib. 1, tit. 1, c. 1.

Digitized by Google

tate paris potestatis, haud glorificat, ne Christianus quidem dicitur, sed vesanus, hæreticus, et infamis est, et punitur.

II. Hæretici congregationes nullas habeant, nec sacrificia vel mysteria (3) peragant, tametsi per subreptionem rescriptum impetraverint : fides Patrum, qui Nicææ convenerunt, auctoritatem duntaxat habeat ; ac siquidem hæretici congregationes intra oppida habere audeant, oppidis expelluntur.

III. Porphyrii, et aliorum adversus Christianos scripta, itemque Nestorii, atque adeo quæcumque cum Nicæna et Ephesina synodis non consentiunt, a quarum fide deflectere non licet, exuruntur (4). Qui vero libros indicatos habent et legunt, ultimo supplicio afficiuntur : et episcopi clericique Nestoriani ecclesiis ejiciuntur ; laici anathemate ferimntur, orthodoxis eos absque periculo (5) deferentibus. Tenor constitutionis est hujusmodi :

A ἐν μιᾷ θεότητι ἰσοδύναμον οὔτε Χριστιανὸς λέγεται, ἀλλ' ἄφρων ἐστὶ, καὶ αἱρετικὸς καὶ ἄτιμος, καὶ τιμωρεῖται.

Β'. Οἱ αἱρετικοὶ μὴ συναγέσθωσαν, μήτε θυσιαστήρια τελείτωσαν, ἢ μυστήρια, καὶ κατὰ συναρπαγὴν ἀντιγραφὴν ποριζόμενοι· μόνη δὲ χρηματιζέτω ἡ τῶν ἐν Νικαίᾳ πίστις· καὶ τολμῶντες οἱ αἱρετικοὶ συναγωγὰς ἐντὸς πόλεως ἔχειν, ἐκβάλλονται τῶν πόλεων.

Γ'. Τὰ κατὰ τῶν Χριστιανῶν Πορφυρίου καὶ ἄλλων συγγράμματα καιέσθωσαν, καὶ τὰ Νεστορίου, καὶ ὅσα μὴ συμφωνεῖ ταῖς ἐν Νικαίᾳ καὶ Ἐφέσῳ συνόδοις, ὧν οὐκ ἔξεστι παρεξίναι τὴν πίστιν. Οἱ δὲ τὰ εἰρημένα βιβλία ἔχοντες καὶ ἀναγινώσκοντες ἰσχάτως τιμωροῦνται. Οἱ δὲ Νεστοριανοὶ, ἐπίσκοποι μὲν καὶ κληρικοὶ, τῶν ἁγίων ἐκκλησιῶν ἐκβάλλονται· λαϊκοὶ δὲ, ἀναθεματίζονται, τῶν ὀρθοδόξων αὐτοῖς ἀκινδύνως δημοσιευόντων. Ἔχει δὲ ἡ διάταξις οὕτως·

Annibalis Fabroti notæ.

auctorem esse docent nos libri calamo exarati ; imo et ipse Balsamon se hujus libri parentem prodit ad Nomocanonem Photii tit. 9, cap. 2, ad finem, ut constat ex Paratitlis ad tit. 5, in fine. Nam qui primus eam in Latinum convertit, ejus auctorem ignoravit, forte quod mutilum codicem nactus esset. Sed et Franciscus Pithœus v. c. in Glossario ad Julianum Antecess. in voce *Decani* citat hæc Paratitla nullo nomine addito. Jacob. Cujac. consultissimus laudat etiam alicubi auctorem Paratitli : ut videantur omnes in codices incidisse, qui nullum nomen præferrent ; quod tandem inventum est in perantiquo et optimo cod. ms. Nicolai Peirescii, senatoris Aquisextiensis τοῦ μακαρίτου, qui initio sic inscribitur : Θεοδώρου Διακόνου, τῆς ἀγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας νομοφύλακος καὶ χαρτοφύλακος καὶ πρώτου τῶν Βλαχερνῶν, τοῦ Βαλσαμῶνος, τοῦ μετὰ χρόνους τινὰς γεγονότος πατριάρχου Θεουπόλεως μεγάλης Ἀντιοχείας. *Theodori diaconi sanctissimæ Dei Magnæ Ecclesiæ nomophylacis et chartophylacis, et primo Blachernorum, Balsamonis, post aliquot vero annos patriarchæ Theopolis magnæ Antiochiæ.* Non recte Joannes Leunclavius hunc librum inscripsit *Paratitla*. Imo paratitla partem operis universi constituunt. Idem tamen quid Paratitlorum nomine Justinianus intellexerit, percepit in Prologo ad hanc Collectionem : et post eum vv. cc. Joannes a Costa, et Julius Pacius : ut jure quis miretur prudentissimum virum Jacobum Cujacium in aliam sententiam ivisse, maxime cum ex fragmento Matthæi monachi (is est Matthæus Blastares) de Justiniani sententia satis perspicue constaret. Quod ut rectius intelligatur, consule sis hæc Paratitla ad unum vel alterum titulum, et ex his cognosces, per indicem, id est, summatim, et κεφαλαιωδῶς in eis referri, quæ suis quæque titulis διὰ πλατέων, et uti fere ab auctoribus concepta sunt, leguntur. Et constat igitur Græcos, juris interpretes aliter accepisse verba hæc Justiniani, de conceptione Digestorum : *Sufficiat per indices tantummodo, et titulorum subtilitatem, quæ παράτιτλα nuncupantur : quædam admonitoria ejus facere.* Et de confirmat. Digestorum : *Si qui forsitan, per titulorum subtilitatem admotare matuerint, et ea, quæ* Paratitla *nuncupantur componere.* Ipsi enim Paratitla vocant quæcumque ex cæteris titulis ad quemque titulum revocari possunt. Quod quidem Justiniano placuisse videtur, ut studiosi omnia, quæ ad eumdem juris articulum pertinent tanquam in uno conspectu haberent. Denique Paratitla sunt accessiones et supplementa ex aliis titulis desumpta, ita dicta vocabulo ἑλληνικοβαρβάρῳ, quasi extra titulum, quod confirmant Græci lib. LX, Bas. tit. 16. c. 2, ut parapherna dicuntur, quæ extra dotem ad virum deferuntur. Ait autem Justinianus *per titulorum subtilitatem*, id est, λεπτότητα. Commentarios scilicet fieri vetat, probatque tantum explicationes compendio factas. B. Cyprianus testimon. advers. Jud. lib. I, præf. *Sed et legentibus brevitas ejusmodi plurimum prodest, dum non intellectum legentis, et sensum liber longior spargit, sed subtiliore compendio id quod legitur tenax memoria custodit.*

(3) *Mysteria.* Recte igitur in l. II, cod. eod. libri veteres, inter quos. vet. c. Brodæi et Menagii, Græci et Cod. Theodos, habent : *Nullus hæreticis mysteriorum locus.* Pro quo perperam antea legebatur *ministeriorum.* Veterum codicum scripturam confirmant Basilica, quæ ita vertunt : Μηδεὶς τοῖς αἱρετικοῖς τῶν μυστηρίων τόπος ἀνεῴχθω. Denique sic legitur apud Hincmarum R. *De prædestinat.* cap. 37 ; veterum etiam librorum, et Basilicorum ope leve mendum in eadem lege licebit emendare : nam ubi legitur : *et suis apertis criminibus denotentur*, libri manuscripti sic habent : *et suis apertius crim. denot.* Basilica, καὶ τοῖς ἰδίοις φανερωτέρως ἐγκλήμασι σημειούσθωσαν.

(4) *Exuruntur.* Similiter Arii, Porphyrii, et aliorum hæreticorum libri lege Constantiniana comburuntur, quæ exstat apud Socratem *Histor. Ecclesiast.* lib. I, cap. 6. Hujus constitutionis etiam meminit Evagrius lib. I, cap. 12 ; Nicephor. Callixt. lib. XIV, cap. 36, et Jul. Poll. loco sup. citato. Per contrarium principum edictis feralibus Christianorum scripta igne consumpta ; quod de B. Dionysii Areopagitæ libris proditum est in Synaxario Græcorum. Diocletianus et Maximianus apud pariatorem juris Mosaici et Romani tit. 15, de Manichæis eorumque scriptis (Christianos sine dubio eis infensissimi principes tollere et eorum scripta ignibus corrumpere cogitabant) : *Jubemus namque auctores quidem ac principes una cum abominandis scripturis eorum severiori pœnæ subjici, ita ut flammeis ignibus exurantur.* Ejus severitatis meminit Arnobius 4. advers. Gentes : *Nam nostra quidem scripta car ignibus meruerint dari ?* Queruntur Optatus, et locis aliquantulis Augustinus. Protagoræ Atheniensis profane de divinitate disputantis libri in concione combusti sunt, Minuc. in Octavio.

(5) *Absque periculo.* Nec enim punientur, tametsi non potuerint crimen et accusationem perficere.

Digitized by Google

Αὐτοκράτορες Θεοδόσιος καὶ Οὐαλεντινιανὸς Αὔγουστοι Ὁρμίσδᾳ ἐπάρχῳ πραιτωρίων.

Impp. Theodosius et Valentinianus AA. Hormisdæ PP.

Θεσπίζομεν πάντα ὅσα ὁ Πορφύριος ὑπὸ τῆς αὐτομανίας ἐλαυνόμενος, ἢ ἕτερός τις κατὰ τῆς εὐσεβοῦς τῶν Χριστιανῶν θρησκείας συνέγραψε παρ' οἱῳδήποτε εὑρισκόμενα, πυρὶ παραδίδοσθαι· πάντα γὰρ τὰ κινοῦντα τὸν Θεὸν εἰς ὀργὴν συγγράμματα, καὶ ψυχὰς ἀδικοῦντα, οὐδὲ εἰς ἀκοὰς ἀνθρώπων ἐλθεῖν βουλόμεθα.

Ἔτι θεσπίζομεν τοὺς ζηλοῦντας τὴν ἀσεβῆ Νεστορίου πίστιν, ἢ τῇ ἀθεμίτῳ αὐτοῦ διδασκαλίᾳ ἀκολουθοῦντας, εἰ μὲν ἐπίσκοποι εἶεν, ἢ κληρικοὶ, τῶν ἁγίων ἐκκλησιῶν ἐκβάλλεσθαι· εἰ δὲ λαϊκοὶ, ἀναθεματίζεσθαι, ἐξουσίαν ἐχόντων τῶν βουλομένων ὀρθοδόξων τῶν ἑπομένων τῇ εὐσεβεῖ ἡμῶν νομοθεσίᾳ δίχα φόβου καὶ βλάβης δημοσιεύειν αὐτοὺς καὶ ἐλέγχειν. Ἐπειδὴ δὲ ἦλθεν εἰς τὰς εὐσεβεῖς ἡμῶν ἀκοὰς, ὥς τινες διδασκαλίας συνέγραψαν καὶ ἐξέθεντο ἀμφιβόλους, καὶ οὐκ ἀκριβῶς συμφωνούσας τῇ ἐκτεθείσῃ ὀρθοδόξῳ πίστει παρὰ τῆς ἁγίας συνόδου τῶν συνελθόντων ἐν Νικαίᾳ καὶ ἐν Ἐφέσῳ ἁγίων Πατέρων, καὶ Κυρίλλου τοῦ τῆς εὐσεβοῦς μνήμης, τοῦ γεγονότος τῆς μεγάλης Ἀλεξανδρείας πόλεως ἐπισκόπου· καλεύομεν τὰ μὲν γεγονότα τοιαῦτα συγγράμματα, ἢ πρὸ τούτου, ἢ καὶ νῦν ἐμπιπρᾶσθαι, καὶ διαφερόντως τὰ Νεστορίου, καὶ τελείῳ ἀφανισμῷ παραδίδοσθαι. ὥστε μηδὲ εἰς ἀνάγνωσίν τινος ἐλθεῖν, τῶν τὰ τοιαῦτα συγγράμματα ἤτοι βιβλία ἔχειν καὶ ἀναγινώσκειν ἀνεχομένων τὴν ἰσχάτην τιμωρίαν ὑφορωμένων, τοῦ δὲ λοιποῦ μηδενὶ ἐξεῖναι παρὰ τὴν ἐκτεθεῖσαν πίστιν, καθάπερ εἰρήκαμεν, τὴν ἐν Νικαίᾳ καὶ ἐν Ἐφέσῳ λέγειν τι ἢ διδάσκειν.

Sancimus ut quæcunque Porphyrius, propria exagitatus insania, vel quivis alius adversus piam Christianorum religionem conscripsit, apud quemcunque reperiantur, igni tradantur. Cuncta enim scripta, quæ Deum ad iram movent, et animas violant, ne ad hominum quidem aures pervenire volumus.

Præterea sancimus ut qui fidem impiam Nestorii æmulantur, aut nefariam ejus doctrinam sectantur, siquidem episcopi sint, aut clerici, ecclesiis sacrosanctis ejiciantur : si vero laici, anathemate feriantur, potestatem habentibus quibuslibet orthodoxis, qui piæ legis nostræ sectatores sunt, ut illos absque metu (6) et damno (7) denuntient ac insimulent. Quoniam vero ad pias aures nostras pervenit, aliquos doctrinas conscripsisse et exposuisse quasdam ambiguas, nec accurate congruentes cum fide orthodoxa SS. Patrum, sacra synodo exposita, qui Nicææ ac Ephesi convenerunt, et a Cyrillo piæ memoriæ, qui magnæ Alexandrinorum urbis episcopus fuit : jubemus, ut quæcunque fuerint ejusmodi scripta, vel antehac, vel nunc, et præcipue Nestorii, sic comburantur, et plenæ abolitioni tradantur, ut in neminis lectionem veniant, atque iis, qui talia scripta sive libros habere ac legere sustinent, ultimum supplicium formidantibus, nemini deinceps liceat præter expositam fidem, cui diximus, Nicææ atque Ephesi, quidquam dicere vel docere.

Δ'. Ὁ δημοσίᾳ παρόντος πλήθους δογματίζων περὶ τῆς τῶν Χριστιανῶν πίστεως, εἰ μὲν κληρικὸς εἴη, καθαιρεῖται· εἰ δὲ ὑπὸ στρατείαν, ἀποζώννυται. Οἱ δὲ λοιποὶ, ἐλεύθεροι μὲν ὄντες, τῆς βασιλίδος πόλεως ἐκβάλλονται, πρὸς τὸ δοκοῦν τῷ δικαστῇ σωφρονιζόμενοι· δοῦλοι δὲ σφοδρῶς ἐπιστρέφονται.

IV. Qui publice, multitudine præsente, de Christiana fide tractat (8), si clericus est, deponitur : sin militat (9), cingulo spoliatur (10) : cæteri, si liberi sint, ex urbe imperatoria ejiciuntur, prout visum judici fuerit, castigandi : servi vero acriter puniuntur.

Antibalis Fabroti notæ.

(6) *Absque metu.* Calumniæ.

(7) *Et damno.* Sine sumptu, ut apud Justinianum *Inst. quib alienare licet, vel non, Sine omni damno.* δίχα πάσης δαπάνης, Theoph. Lex est Marciani quæ integra exstat Concilii Chalcedonensis parte 3, c. 3, unde malnit exscribere Facundus Hermianensis lib. XII, cap. 2, quam ex Justiniani cod. in quo epitomata legitur : *Marcianus quoque imperator, ait, post sacerdotum sententiam aliquid tractare impium duxit atque sacrilegum, nec cuiquam semel, judicata recteque deposita revolvere, et de his publice disputare permisit, qui suo edicto omnibus discussionem eorum quæ Chalcedone judicata sunt negans : vere ait, impius et sacrilegus est, qui post tot sacerdotum sententiam opinioni suæ aliquid tractandum reliquit. Extremæ quippe dementiæ est, in medio et perspicuo die commentitium lumen inquirere. Quisquis enim post veritatem repertam aliquid utilius discutit, mendacium quærit. Nemo itaque vel clericus, vel militans, et ulterius cujuslibet conditionis, de fide Christiana, publice congregatis populis et audientibus, tractare præsumat in posterum, ex hoc* (perperam apud Facundum legitur, in posterum, et hoc tum), *tumultus et perfidiæ occasionem requirens. Nam injuriam facit judicio religiosissimæ synodi, si quis semel judicata ac recte disposita revolvere et publice disputare contendit. Et infra, postquam diversas pro transgressorum conditione statuit pœnas : Universa ergo, inquit, quæ a sancta synodo Chalcedonensi statuta sunt custodiri debeant, nihil postea dubitari. Hoc itaque nos præ commoniti tranquillitatis edicto abstinete profanis vocibus, et ulterius desinite de divinis disputare, quod nefas est, quia non solum divino judicio peccatum hoc pronl credimus puniendum, verum etiam legum et judicum auctoritate coercebitur.* B. Chrysostomus apud auctorem Catenæ in Joannem cap. 20 τοῦτο γάρ ἐστι πίστεως, τὸ τὰ μὴ ὁρώμενα δέξασθαι. Ἔστι γὰρ πίστις, etc., Heb. II.

(8) *Qui publice tractat.* Balsamon ad canonem 64, syn. 6 in Trullo : Καὶ τὸ δ' γὰρ κεφ. τοῦ α' τίτ. τοῦ α' τῶν Βασ. φησί· Μηδεὶς ἢ κληρικὸς, ἢ μοναχὸς, στρατευόμενος, ἢ ἄλλος οἱοσδήποτε πληθὺν συνάγων δημοσίᾳ περὶ τῆς πίστεως διαλεγέσθω. Vox μοναχὸς non exstat in Basilicis, nec in cod. Justiniani.

(9) *Sin militat.* In lib. IV : *Nemo clericus, vel militans.* Sic libri veteres, et Facundus, et cod. Brodæi et Menagii.

(10) *Cingulo spoliatur*, exauctoratur. Cæsarius p. 657, tom. I.

Digitized by Google

V. Expositio fidei orthodoxæ, atque exsecratio Nestorii et Eutychis, tum quod ii, qui cum eis sentiunt, hæretici sint, et castigentur.

VI. Similis orthodoxæ fidei expositio, et Eutychis atque Apollinarii exsecratio.

VII. Similis est præcedenti recipiens sancta quatuor concilia, et anathematismos ac segregationes ab eis promulgatas confirmans. Inter cætera dicit primum esse inter omnes sacerdotes papam Romanum.

Epistola papæ ad Justinianum, continens ea quæ ab eo scripta sunt de fide orthodoxa, quæ huic epistolæ subjiciuntur.

De orthodoxa fide.

Et ita se habet :

Imperator Justinianus Augustus. Cum recta et reprehensionis expers fides, quam prædicat sanctissima Dei catholica et apostolica Ecclesia, nullo modo novationem admittat, nos sanctorum apostolorum, et eorum, qui post eos in sanctis Dei Ecclesiis spectabiles fuere, dogmata sequentes ; recte nos facturos existimavimus, si cunctis manifestum faceremus, quo pacto de spe, quæ in nobis est, affecti sumus; insistentes vestigiis traditionis et confessionis sanctæ Dei catholicæ atque apostolicæ Ecclesiæ. Quippe credentes in Patrem, et Filium, et Spiritum sanctum, unam essentiam in tribus personis adoramus, unam deitatem, unam potestatem, Trinitatem unius essentiæ. In extremis autem diebus confitemur unigenitum Dei Filium, Deum de Deo, ante sæcula et sine tempore genitum ex Patre, Patri coæternum, eum ipsum, ex quo omnia, et per quem omnia, degressum e cœlis, incarnatum esse de Spiritu sancto, et sancta, gloriosa perpetuaque Virgine Maria, et hominem esse factum, crucemque pertulisse, sepultum esse, resurrexisse die tertio : unius et ejusdem miracula cruciatusque, quos sponte in carne sustinuit, agnoscentes. Non enim alium Deum Sermonem, et alium Christum novimus : sed unum et eumdem, consubstantialem Patri secundum divinitatem, et eumdem nobis consubstantialem secundum humanitatem. Quippe Trinitas mansit Trinitas, etiam post incarnatum Deum Sermonem, qui unus est ex Trinitate. Non enim adjectionem quartæ personæ sancta Trinitas admittit. Quæ cum ita se habeant, anathemate damnamus omnem sectam, et præcipue Nestorium adoratorem hominis, dividentem unum illum Dominum nostrum Jesum Christum, Dei Filium, Deumque nostrum, nec confitentem proprie ac secundum veritatem, quod sancta, gloriosa, perpetua Virgo Maria sit Deipara : sed tradentem, quod alius sit ille natus ex Deo Patre Deus Sermo, et alius ille natus ex sancta perpetuaque Virgine Maria, qui per gratiam et necessitudinem cum Deo Sermone, factus sit Deus. Neque vero duntaxat hunc, sed etiam mente captum illum Eutychem, qui apparentiam introducit, et veram illam incarnationem ex sancta perpetua Virgine

Ε'. Ἔκθεσις τῆς ὀρθοδόξου πίστεως, καὶ ἀναθεματισμὸς Εὐτυχοῦς, καὶ Νεστορίου, καὶ ὅτι οἱ φρονοῦντες τὰ αὐτῶν αἱρετικοί εἰσι, καὶ σωφρονίζονται.

Ϛ'. Ὁμοία ἔκθεσις τῆς ὀρθοδόξου πίστεως, καὶ ἀναθεματισμὸς Εὐτυχοῦς καὶ Ἀπολιναρίου.

Ζ'. Ὁμοία τῆς πρὸ αὐτῆς, ἀποδεχομένη τὰς ἁγίας συνόδους, καὶ βεβαιοῦσα τοὺς παρ' αὐτῶν ἀναθεματισμοὺς καὶ ἀφορισμούς. Φησὶ δὲ ὅτι πρῶτός ἐστι πάντων τῶν ἱερέων ὁ πάπας Ῥώμης.

Ἐπιστολὴ τοῦ πάπα πρὸς Ἰουστινιανὸν, ἀποδεχομένη τὰ παρ' αὐτοῦ περὶ τῆς ὀρθοδόξου πίστεως γραφέντα, ἃ τῇ ἐπιστολῇ ὑποτέταχται.

Περὶ τῆς ὀρθοδόξου πίστεως.

Καὶ ἔχει ῥητὸν οὕτως ·

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος. Τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως, ἥνπερ κηρύττει ἡ ἁγιωτάτη τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία, κατ' οὐδένα τρόπον καινισμὸν δεξαμένης, ἀκολουθοῦντες ἡμεῖς τοῖς τῶν ἁγίων ἀποστόλων, καὶ τῶν μετ' ἐκείνους διαπρεψάντων ἐν ταῖς ἁγίαις τοῦ Θεοῦ Ἐκκλησίαις διδάγμασι, δίκαιον ᾠήθημεν ἅπασι ποιῆσαι φανερὸν, ὅπως ἔχομεν περὶ τῆς ἐν ἡμῖν ἐλπίδος, ἀκολουθοῦντες τῇ παραδόσει καὶ ὁμολογίᾳ τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας. Πιστεύοντες γὰρ εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, μίαν οὐσίαν ἐν τρισὶν ὑποστάσεσι προσκυνοῦμεν · μίαν θεότητα, μίαν δύναμιν, Τριάδα ὁμοούσιον. Ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν ὁμολογοῦμεν τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ τὸν ἐκ Θεοῦ Θεὸν, τὸν πρὸ αἰώνων καὶ ἀχρόνως ἐκ τοῦ Πατρὸς γεννηθέντα, τὸν συναΐδιον τῷ Πατρὶ, τὸν ἐξ οὗ τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, κατελθόντα ἐκ τῶν οὐρανῶν, σαρκωθῆναι ἐκ Πνεύματος ἁγίου, καὶ τῆς ἁγίας ἐνδόξου καὶ ἀειπαρθένου Μαρίας, καὶ ἐνανθρωπῆσαι, σταυρόν τε ὑπομεῖναι, ταφῆναί τε καὶ ἀναστῆναι τῇ τρίτῃ ἡμέρᾳ · ἑνός καὶ τοῦ αὐτοῦ τά τε θαύματα καὶ τὰ πάθη, ἅπερ ἑκουσίως ὑπέμεινε σαρκὶ, γινώσκοντες. Οὐ γὰρ ἄλλον τὸν Θεὸν Λόγον, καὶ ἄλλον τὸν Χριστὸν ἐπιστάμεθα · ἀλλ' ἕνα καὶ τὸν αὐτὸν ὁμοούσιον τῷ Πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα. Ἔμεινε γὰρ ἡ Τριὰς, καὶ σαρκωθέντος τοῦ ἑνὸς τῆς Τριάδος Θεοῦ Λόγου · οὔτε γὰρ τετάρτου προσώπου προσθήκην ἐπιδέχεται ἡ ἁγία Τριάς. Τούτων τοίνυν οὕτως ἐχόντων, ἀναθεματίζομεν πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ Νεστόριον τὸν ἀνθρωπολάτρην, τὸν διαιροῦντα τὸν ἕνα Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Θεὸν ἡμῶν, καὶ μὴ ὁμολογοῦντα κυρίως καὶ κατὰ ἀλήθειαν τὴν ἁγίαν καὶ ἔνδοξον ἀειπαρθένον Μαρίαν Θεοτόκον· ἀλλὰ ἄλλον μὲν τὸν ἐκ τοῦ Θεοῦ Πατρὸς τὸν Λόγον λέγοντα, ἄλλον δὲ τὸν ἐκ τῆς ἁγίας Παρθένου Μαρίας, χάριτι δὲ καὶ οἰκειώσει τῇ πρὸς τὸν Θεὸν Λόγον Θεὸν αὐτὸν γεγενῆσθαι. Οὐ μὴν δὲ, ἀλλὰ καὶ Εὐτυχῆ τὸν φρενοβλαβῆ, τὸν φαντασίαν εἰσάγοντα, ἀρνούμενόν τε τὴν ἐκ τῆς ἁγίας Παρθένου καὶ Θεοτόκου Μαρίας ἀληθινὴν σάρκωσιν, τουτέστι τὴν ἡμετέραν σωτηρίαν, καὶ μὴ ὁμολογοῦντα κατὰ πάντα

Digitized by Google

τον ὁμοούσιον ἴσον τῷ Πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα. Τὸν αὐτὸν δὲ τρόπον καὶ Ἀπολλινάριον τὸν ψυχοφθόρον, τὸν ἄνουν λέγοντα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Θεὸν ἡμῶν· καὶ σύγχυσιν ἤτοι φυρμὸν εἰσάγοντα τῇ ἐνανθρωπήσει τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ. Καὶ πάντας τοὺς τὰ αὐτὰ φρονήσαντας ἢ φρονοῦντας. Εἰ γάρ τινες μετὰ ταύτην καὶ ἡμῶν προαγόρευσιν καὶ τὴν κατὰ τόπον θεοφιλεστάτων ἡμῶν ἐπισκόπων πληροφορίαν εὑρεθῶσι τοῦ λοιποῦ γνώμης ἐναντίοι ὄντες, μὴ προσδοκήσωσι συγγνώμης ἀξιωθῆναι. Κελεύομεν γὰρ τοὺς τοιούτους ὁμολογουμένους αἱρετικοὺς τῷ προσήκοντι ὑποβάλλεσθαι σωφρονισμῷ.

A Maria Deipara inficiatur, hoc est, ipsam salutem nostram; neque confitetur eumdem per omnia Patri consubstantialem secundum divinitatem, et nobis consubstantialem secundum humanitatem. Eodem modo et Apollinarem animæ exterminatorem, qui tradit Dominum nostrum Jesum Christum, Dei Filium, ac Deum nostrum, mente carere; confusionemque sive commistionem introducit in unigeniti Filii Dei inhumanatione. Universos denique, qui horum opiniones secuti sunt, vel sequuntur. Quippe si qui post hanc nostram præmonitionem, et religiosissimorum singulis in locis episcoporum nostrorum affirmationem, reperti deinceps fuerint esse contrariæ sententiæ, non exspectent futurum, ut veniam impetrent. Jubemus enim tales, veluti confessos hæreticos, animadversioni competenti subjici.

Ὁμοίως καὶ ἔχει τὸ ῥητὸν οὕτως.

B Et similiter se habet quod dictum est hoc modo.

Ὁ αὐτὸς βασιλεὺς Κωνσταντινουπολίταις.

Idem Imp. Constantinopolitanis.

Τὸν Σωτῆρα καὶ Δεσπότην τῶν ὅλων Ἰησοῦν Χριστὸν, τὸν ἀληθινὸν Θεὸν ἡμῶν θεραπεύοντες διὰ πάντων σπουδάζομεν, ὅσον ἐνδέχεται νοῦν καταλαμβάνειν ἀνθρώπινον, μιμεῖσθαι τὴν αὐτοῦ συγκατάβασιν. Καὶ εὑρόντες τινὰς τῇ νοσομανίᾳ κρατουμένους τῶν ἀσεβῶν Νεστορίου καὶ Εὐτυχοῦς, τῶν ἐχθρῶν τοῦ Θεοῦ καὶ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, ἀρνουμένους τὴν ἁγίαν ἔνδοξον ἀειπαρθένον Μαρίαν Θεοτόκον εἰπεῖν κυρίως καὶ κατὰ ἀλήθειαν· ἐσπεύσαμεν τούτους τὴν ὀρθὴν τῶν Χριστιανῶν διδαχθῆναι πίστιν. Οἱ δὲ, ἀνιάτως ἔχοντες, περιέρχονται, καθὰ μεμαθήκαμεν, τὰς τῶν ἁπλουστέρων ψυχὰς ἐκταράσσοντές τε καὶ σκανδαλίζοντες, καὶ ἐναντία τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας λέγοντες. Ἀναγκαῖον τοίνυν ἐνομίσαμεν καταλῦσαι μὲν τὰς τῶν αἱρετικῶν ψευδολογίας, σαφηνίσαι δὲ πᾶσιν ὅπως τε δοξάζει ἡ ἁγία τοῦ Θεοῦ ἀποστολικὴ καὶ καθολικὴ Ἐκκλησία, κηρύττουσι δὲ οἱ ταύτης ὁσιώτατοι ἱερεῖς, οἷς καὶ ἡμεῖς ἑπόμενοι φανερὰ καθιστῶμεν τὰ περὶ τῆς ἐν ἡμῖν ἐλπίδος, οὐ καινίζοντες πίστιν, μὴ γένοιτο, ἀλλ' ἐλέγχοντες τὴν μανίαν τῶν φρονούντων τὰ τῶν ἀσεβῶν αἱρετικῶν· ὅπερ ἤδη καὶ ἐν προοιμίοις τῆς ἡμετέρας βασιλείας πράξαντες, πᾶσι κατάδηλον ἐποιήσαμεν. Πιστεύομεν γὰρ εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ εἰς ἅγιον Πνεῦμα, μίαν οὐσίαν ἐν τρισὶν ὑποστάσεσι προσκυνοῦντες, μίαν θεότητα, μίαν δύναμιν, Τριάδα ὁμοούσιον. Ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν ὁμολογοῦμεν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν μονογενῆ τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν ἐκ Θεοῦ ἀληθινοῦ Θεὸν ἀληθινὸν, τὸν πρὸ αἰώνων καὶ ἀχρόνως ἐκ τοῦ Πατρὸς γεννηθέντα, τὸν συναΐδιον τῷ Πατρὶ, τὸν ἐξ οὗ τὰ πάντα, καὶ ἐφ' οὗ τὰ πάντα, κατελθόντα ἐκ τῶν οὐρανῶν σαρκωθῆναι ἐκ Πνεύματος ἁγίου, καὶ τῆς ἁγίας ἐνδόξου ἀειπαρθένου Μαρίας· καὶ ἐνανθρωπῆσαι, σταυρόν τε ὑπομεῖναι ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, ταφῆναί τε καὶ ἀναστῆναι τῇ τρίτῃ ἡμέρᾳ, ἑνὸς καὶ τοῦ αὐτοῦ τὰ τε πάθη καὶ τὰ θαύματα ἅπερ ὑπέμεινεν ἐκουσίως, ἐν σαρκὶ, γινώσκοντες. Οὐ γὰρ ἄλλον τὸν Θεὸν Λόγον, καὶ ἄλλον τὸν Χριστὸν ἐπιστάμεθα, ἀλλ' ἕνα

Servatorem ac Dominum hujus universi Jesum Christum verum Deum nostrum colentes per omnia, studiose damus operam, quantum ejus humana mens assequi potest, ut demissionem ejus imitemur. Cumque nonnullos invenerimus, qui morbo ac furore impiorum Nestorii et Eutychis, hostium Dei, et sanctæ catholicæ atque apostolicæ Ecclesiæ, detinentur: inficiantes se sanctam illam, gloriosam, perpetuam Virginem Mariam, proprie ac secundum veritatem dicere Deiparam; id operam dedimus, ut hi rectam Christianorum fidem edocerentur. Alii cum incurabiles sint, errorem suum tegentes circumeunt, uti quidem accepimus, simpliciorum animos conturbantes et offendentes, ac proferentes sanctæ catholicæ et apostolicæ Ecclesiæ contraria. Quamobrem necessarium duximus, tam hæreticorum mendacia dissipare, quam universis explanare, quomodo sentiat sancta Dei et catholica atque apostolica Ecclesia, et ejusdem sanctissimi sacerdotes prædicent. Quorum vestigia nos etiam sequentes, manifestamus ea, quæ de spe, quæ in nobis est, sentimus: non fidem innovantes, (absit hoc) sed coarguentes illorum insaniam, qui eadem cum impiis istis hæreticis sentiunt: quod quidem et in primordiis imperii nostri cum faceremus, satis omnibus animum nostrum declaravimus. Quippe credimus in unum Deum Patrem omnipotentem, et in unum Dominum Jesum Christum, Filium Dei, et in Spiritum sanctum, unam essentiam in tribus personis adorantes, unam deitatem, unam potestatem, Trinitatem unius essentiæ. In extremis autem diebus confitemur Dominum nostrum Jesum Christum, unigenitum Dei Filium, Deum verum ex Deo vero, ante sæcula et sine tempore genitum ex Patre, Patri coæternum, eum ipsum, ex quo omnia, et per quem omnia, degressum e cœlis, incarnatum esse de Spiritu sancto, et sancta, gloriosa, perpetuaque Virgine Maria, et hominem esse factum, crucemque pro nobis pertulisse sub Pontio Pilato, sepultum esse, resurrexisse die tertio: unius et ejusdem miracula et cruciatus, quos

Digitized by Google

V. Expositio fidei orthodoxæ, atque exsecratio Nestorii et Eutychis, tum quod ii, qui cum eis sentiunt, hæretici sint, et castigentur.

VI. Similis orthodoxæ fidei expositio, et Eutychis atque Apollinarii exsecratio.

VII. Similis est præcedenti recipiens sancta quatuor concilia, et anathematismos ac segregationes ab eis promulgatas confirmans. Inter cætera dicit primum esse inter omnes sacerdotes papam Romanum.

Epistola papæ ad Justinianum, continens ea quæ ab eo scripta sunt de fide orthodoxa, quæ huic epistolæ subjiciuntur.

De orthodoxa fide.

Et ita se habet :

Imperator Justinianus Augustus. Cum recta et reprehensionis expers fides, quam prædicat sanctissima Dei catholica et apostolica Ecclesia, nullo modo novationem admittat, nos sanctorum apostolorum, et eorum, qui post eos in sanctis Dei Ecclesiis spectabiles fuere, dogmata sequentes ; recte nos facturos existimavimus, si cunctis manifestum faceremus, quo pacto de spe, quæ in nobis est, affecti sumus; insistentes vestigiis traditionis et confessionis sanctæ Dei catholicæ atque apostolicæ Ecclesiæ. Quippe credentes in Patrem, et Filium, et Spiritum sanctum, unam essentiam in tribus personis adoramus, unam deitatem, unam potestatem, Trinitatem unius essentiæ. In extremis autem diebus confitemur unigenitum Dei Filium, Deum de Deo, ante sæcula et sine tempore genitum ex Patre, Patri coæternum, eum ipsum, ex quo omnia, et per quem omnia, degressum e cœlis, incarnatum esse de Spiritu sancto, et sancta, gloriosa perpetuaque Virgine Maria, et hominem esse factum, crucemque pertulisse, sepultum esse, resurrexisse die tertio : unius et ejusdem miracula cruciatusque, quos sponte in carne sustinuit, agnoscentes. Non enim alium Deum Sermonem, et alium Christum novimus : sed unum et eumdem, consubstantialem Patri secundum divinitatem, et eumdem nobis consubstantialem secundum humanitatem. Quippe Trinitas mansit Trinitas, etiam post incarnatum Deum Sermonem, qui unus est ex Trinitate. Non enim adjectionem quartæ personæ sancta Trinitas admittit. Quæ cum ita se habeant, anathemate damnamus omnem seclam, et præcipue Nestorium adoratorem hominis, dividentem unum illum Dominum nostrum Jesum Christum, Dei Filium, Deumque nostrum, nec confitentem proprie ac secundum veritatem, quod sancta, gloriosa, perpetua Virgo Maria sit Deipara : sed tradentem, quod alius sit ille natus ex Deo Patre Deus Sermo, et alius ille natus ex sancta perpetuaque Virgine Maria, qui per gratiam et necessitudinem cum Deo Sermone, factus sit Deus. Neque vero duntaxat hunc, sed etiam mente captum illum Eutychem, qui apparentiam introducit, et veram illam incarnationem ex sancta perpetua Virgine

Ε'. Ἔκθεσις τῆς ὀρθοδόξου πίστεως, καὶ ἀναθεματισμὸς Εὐτυχοῦς, καὶ Νεστορίου, καὶ ὅτι οἱ φρονοῦντες τὰ αὐτῶν αἱρετικοί εἰσι, καὶ σωφρονίζονται.

Ϛ'. Ὁμοία ἔκθεσις τῆς ὀρθοδόξου πίστεως, καὶ ἀναθεματισμὸς Εὐτυχοῦς καὶ Ἀπολλιναρίου.

Ζ'. Ὁμοία τῆς πρὸ αὐτῆς, ἀποδεχομένη τὰς ἁγίας συνόδους, καὶ βεβαιοῦσα τοὺς παρ' αὐτῶν ἀναθεματισμοὺς καὶ ἀφορισμούς. Φησὶ δὲ ὅτι πρῶτός ἐστι πάντων τῶν ἱερέων ὁ πάππας Ῥώμης.

Ἐπιστολὴ τοῦ πάππα πρὸς Ἰουστινιανὸν, ἀποδεχομένη τὰ παρ' αὐτοῦ περὶ τῆς ὀρθοδόξου πίστεως γραφέντα, ἃ τῇ ἐπιστολῇ ὑποτέτακται.

Περὶ τῆς ὀρθοδόξου πίστεως.

Καὶ ἔχει ῥητὸν οὕτως ·

